THE

SPOKEN LINES

OF

CHARACTERS

IN **HOMER**

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

3.0

This selection and arrangement of **PUBLIC DOMAIN TEXT** is available for free at ARCHIVE.ORG (LINK).
Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

LINE NUMBER UNDERLINED: **ODYSSEY**
NOT UNDERLINED: **ILIAD**

Letters not underlined: Dindorf (Teubner) & West (Teubner) agree.

✦ row of last line.
simile or **omen** **crux**
hapax legomena

τρὶς δὲ περίστειξας κοῖλον λόχον ἀμφαφόωσα,
ἐκ δ' ὀνομακλήδην Δαναῶν ὀνόμαζες ἀρίστους,
πάντων Ἀργείων φωνὴν ἴσκουσ' ἀλόχοισιν.

4.277-279

This edition presents the spoken lines of individual and groups of Homeric characters in a variety of layouts, This reference for the study of Homeric characters, speech and composition is also useful when searching for a spoken line should the reader recall only the meaning and speaker of the line.

Notes

Odysseus knew the number of Sirens (***ἴδμεν δ' ὅσσα***); we do not (ancient sources disagree). The dual form used at **12.52 *ὄφρα κε τερπόμενος ὄπ' ἀκούσῃς Σειρήνοιϊν.*** | and row 2 Siren 1 **<u>12.185</u>** ***νωϊτέρην ὄπ' ἀκούσῃς*** may refer to row 4 Siren 1 ***ὄπ' ἀκοῦσαι*** || Siren 2 ***νωϊτέρην ὄπ' ἀκούσῃς***|; and row 4 Siren 2 **<u>12.185</u>** ***νωϊτέρην ὄπ' ἀκούσῃς*** to row 6 Siren 2 ***ὄπ' ἀκοῦσαι*** || Siren 3 ***νωϊτέρην ὄπ' ἀκούσῃς***|.

Q But row 6 has <u>three</u> singers, and row 6 ***εὐρείῃ*** is dissonant!

A row 10: ***ἴδμεν δ' ὅσσα*** (we are aware of that issue in row 6), and provide row 10 Siren 2 ***πουλυβοτείρῃ*** || Siren 3 ***εὐρείῃ***|, a duet harmonizing **-*είρῃ*** and **-*ρείῃ*** *including* ***εὐρείῃ.***

row 5 ***πλείονα εἰδώς*** | recognizes row 5 is the first row in which three Sirens sing; row 9 ***πλείονα εἰδώς*** | recognizes the round could include parts for more than three Sirens.

Siren 1 begins **<u>12.184</u>** right after a Siren sings **<u>12.191</u>** alone: ***ἴδμεν δ' ὅσσα γένηται ἐπὶ χθονὶ πουλυβοτείρῃ.***

Siren 1: "We know how many Sirens just sang **<u>12.191</u>** (one) — that is my cue to restart the round and sing **<u>12.184</u>** again. This simple rule applies no matter how many Sirens have parts in the round."

Notes

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 110 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES OF ANDROMACHE IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

6.407 “δαιμόνιε, φθείσει σε τεὸν μένος οὐδ’ ἐλεαίρεις
παῖδά τε νηπίαχον καὶ ἔμ’ ἄμμορον, ἣ τάχα χήρη
σεῦ ἔσομαι· τάχα γάρ σε κατακτενέουσιν Ἀχαιοὶ
πάντες ἐφορμηθέντες. ἐμοὶ δέ κε κέρδιον εἴη
σεῦ ἀφαμαρτούσηι χθόνα δύμεναι· οὐ γὰρ ἔτ’ ἄλλη
ἔσται θαλπωρή, ἐπεὶ ἂν σύ_γε πότμον ἐπίσπηις,
ἀλλ’ ἄχε’. οὐδέ μοί ἐστι πατὴρ καὶ πότνια μήτηρ.
ἤτοι γὰρ πατέρ’ ἀμὸν ἀπέκτανε δῖος Ἀχιλλεύς,
ἐκ δὲ πόλιν πέρσεν Κιλίκων εὖ_ναιετάωσαν,
Θήβην ὑψίπυλον, κατὰ δ’ ἔκτανεν Ἠετίωνα·
οὐδέ μιν ἐξενάριξε, σεβάσσατο γὰρ τό_γε θυμῶι,
ἀλλ’ ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισιν
ἠδ’ ἐπὶ σῆμ’ ἔχεεν· περὶ δὲ πτελέας ἐφύτευσαν
νύμφαι ὀρεστιάδες, κοῦραι Διὸς αἰγιόχοιο.
οἳ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν ἐν μεγάροισιν,
οἱ μὲν πάντες ἰῶι κίον ἤματι Ἄιδος εἴσω·
πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεύς,
βουσὶν ἔπ’ εἰλιπόδεσσι καὶ ἀργεννῆις ὀΐεσσιν.
μητέρα δ’, ἣ βασίλευεν ὑπὸ Πλάκωι ὑλήεσσηι,
τὴν ἐπεὶ ἂρ δεῦρ’ ἤγαγ’ ἅμ’ ἄλλοισι κτεάτεσσιν,
ἂψ ὅ_γε τὴν ἀπέλυσε λαβὼν ἀπερείσι’ ἄποινα,
πατρὸς δ’ ἐν μεγάροισι βάλ’ Ἄρτεμις ἰοχέαιρα.
◆ Ἕκτορ, ἀτὰρ σύ μοί ἐσσι πατὴρ καὶ πότνια μήτηρ
ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης,
ἀλλ’ ἄγε νῦν ἐλέαιρε καὶ αὐτοῦ μίμν’ ἐπὶ πύργωι,
μὴ παῖδ’ ὀρφανικὸν θήηις χήρην τε γυναῖκα·
λαὸν δὲ στῆσον παρ’ ἐρινεόν, ἔνθα μάλιστα
ἀμβατός ἐστι πόλις καὶ ἐπίδρομον ἔπλετο τεῖχος.
τρὶς γὰρ τῆι γ’ ἐλθόντες ἐπειρήσανθ’ οἱ ἄριστοι
ἀμφ’ Αἴαντε δύω καὶ ἀγακλυτὸν Ἰδομενῆα
ἠδ’ ἀμφ’ Ἀτρεΐδας καὶ Τυδέος ἄλκιμον υἱόν·
Andro- ἤ πού τίς σφιν ἔνισπε θεοπροπίων εὖ εἰδώς,
mache ἤ νυ καὶ αὐτῶν θυμὸς ἐποτρύνει καὶ ἀνώγει.”
6.486 “δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῶι·
οὐ γάρ τίς μ’ ὑπὲρ αἶσαν ἀνὴρ Ἄϊδι προϊάψει·
μοῖραν δ’ οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακὸν, οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται.
ἀλλ’ εἰς οἶκον ἰοῦσα τὰ σ’ αὐτῆς ἔργα κόμιζε,
ἱστόν τ’ ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
Andro- ἔργον ἐποίχεσθαι· πόλεμος δ’ ἄνδρεσσι μελήσει
mache πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τοὶ Ἰλίωι ἐγγεγάασιν.”
22.450 “δεῦτε, δύω μοι ἕπεσθον, ἴδωμ’ ὅτιν’ ἔργα τέτυκται.
αἰδοίης ἑκυρῆς ὀπὸς ἔκλυον, ἐν δ’ ἐμοὶ αὐτῆι
στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα, νέρθε δὲ γοῦνα
πήγνυνται· ἐγγὺς δή τι κακὸν Πριάμοιο τέκεσσιν.
αἲ γὰρ ἀπ’ οὔατος εἴη ἐμοῦ ἔπος· ἀλλὰ μάλ’ αἰνῶς
δείδω μὴ δή μοι θρασὺν Ἕκτορα δῖος Ἀχιλλεύς,
μοῦνον ἀποτμήξας πόλιος, πεδίονδε δίηται,
καὶ δή μιν καταπαύσηι ἀγηνορίης ἀλεγεινῆς,
ἥ μιν ἔχεσκ’, ἐπεὶ οὔ_ποτ’ ἐνὶ πληθυῖ μένεν ἀνδρῶν,
ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων.”
“Ἕκτορ, ἐγὼ δύστηνος· ἰῆι ἄρα γεινόμεθ’ αἴσηι 22.477
ἀμφότεροι, σὺ μὲν ἐν Τροίηι Πριάμου κατὰ δῶμα,
αὐτὰρ ἐγὼ Θήβηισιν ὑπὸ Πλάκωι ὑλήεσσηι
ἐν δόμωι Ἠετίωνος, ὅ μ’ ἔτρεφε τυτθὸν ἐοῦσαν,
δύσμορος αἰνόμορον· ὡς μὴ ὤφελλε τεκέσθαι.
νῦν δὲ σὺ μὲν_Ἀΐδαο δόμους ὑπὸ κεύθεσι γαίης
ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῶι ἐνὶ πένθεϊ λείπεις
χήρην ἐν μεγάροισι· πάϊς δ’ ἔτι νήπιος αὔτως,
ὃν τέκομεν σύ τ’ ἐγώ τε δυσάμμοροι· οὔτε σὺ τούτωι
ἔσσεαι, Ἕκτορ, ὄνειαρ, ἐπεὶ θάνες, οὔτε σοὶ οὗτος.
ἤν_περ γὰρ πόλεμόν γε φύγηι πολύδακρυν Ἀχαιῶν,
αἰεί τοι τούτωι γε πόνος καὶ κήδε’ ὀπίσσω
ἔσσοντ’· ἄλλοι γάρ οἱ ἀπουρήσουσιν ἀρούρας.
ἦμαρ δ’ ὀρφανικὸν παναφήλικα παῖδα τίθησιν·
πάντα δ’ ὑπεμνήμυκε, δεδάκρυνται δὲ παρειαί.
δευόμενος δέ τ’ ἄνεισι πάϊς ἐς πατρὸς ἑταίρους,
ἄλλον μὲν χλαίνης ἐρύων, ἄλλον δὲ χιτῶνος·
τῶν δ’ ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπέσχεν,
χείλεα μέν τ’ ἐδίην’, ὑπερώιην δ’ οὐκ ἐδίηνεν.
τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξεν,
χερσὶν πεπληγὼς καὶ ὀνειδείοισιν ἐνίσσων·
‘ἔρρ’ οὕτως· οὐ σός γε πατὴρ μεταδαίνυται ἡμῖν.’
δακρυόεις δέ τ’ ἄνεισι πάϊς ἐς μητέρα χήρην,
Ἀστυάναξ, ὃς πρὶν μὲν ἑοῦ ἐπὶ γούνασι πατρὸς
μυελὸν οἶον ἔδεσκε καὶ οἰῶν πίονα δημόν·
αὐτὰρ ὅθ’ ὕπνος ἕλοι, παύσαιτό τε νηπιαχεύων,
εὕδεσκ’ ἐν λέκτροισιν, ἐν ἀγκαλίδεσσι τιθήνης,
εὐνῆι ἔνι μαλακῆι, θαλέων ἐμπλησάμενος κῆρ.
νῦν δ’ ἂν πολλὰ πάθησι, φίλου ἀπὸ πατρὸς ἁμαρτών,
Ἀστυάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσιν·
οἶος γάρ σφιν ἔρυσο πύλας καὶ τείχεα μακρά.
νῦν δὲ σὲ μὲν παρὰ νηυσὶ κορωνίσι, νόσφι τοκήων,
αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνες κορέσωνται,
γυμνόν· ἀτάρ τοι εἵματ’ ἐνὶ μεγάροισι κέονται
λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν.
ἀλλ’ ἤτοι τά_γε πάντα καταφλέξω πυρὶ κηλέωι,
οὐδὲν σοί_γ’ ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς, Andro-
ἀλλὰ πρὸς Τρώων καὶ Τρωϊάδων κλέος εἶναι.” mache
“ἆνερ, ἀπ’ αἰῶνος νέος ὤλεο, κὰδ δέ με χήρην 24.725
λείπεις ἐν μεγάροισι· πάϊς δ’ ἔτι νήπιος αὔτως,
ὃν τέκομεν σύ τ’ ἐγώ τε δυσάμμοροι, οὐδέ μιν οἴω
ἥβην ἵξεσθαι· πρὶν γὰρ πόλις ἥδε κατ’ ἄκρης
πέρσεται· ἦ γὰρ ὄλωλας ἐπίσκοπος, ὅς_τέ μιν αὐτὴν
ῥύσκευ, ἔχες δ’ ἀλόχους κεδνὰς καὶ νήπια τέκνα·
αἳ δή_τοι τάχα νηυσὶν ὀχήσονται γλαφυρῆισιν,
καὶ μὲν ἐγὼ μετὰ τῆισι· σὺ δ’ αὖ, τέκος, ἢ ἐμοὶ αὐτῆι
ἕψεαι, ἔνθα κεν ἔργα ἀεικέα ἐργάζοιο
ἀθλεύων πρὸ ἄνακτος ἀμειλίχου· ἤ τις Ἀχαιῶν
ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου, λυγρὸν ὄλεθρον,

χωόμενος, ὧι δή που ἀδελφεὸν ἔκτανεν Ἕκτωρ
ἢ πατέρ', ἠὲ καὶ υἱόν, ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν
Ἕκτορος ἐν παλάμηισιν ὀδὰξ ἕλον ἄσπετον οὖδας.
οὐ γὰρ μείλιχος ἔσκε πατὴρ τεὸς ἐν δαῒ λυγρῆι·
τῶι καί μιν λαοὶ μὲν ὀδύρονται κατὰ ἄστυ,
ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας,
Ἕκτορ· ἐμοὶ δὲ μάλιστα λελείψεται ἄλγεα λυγρά.
οὐ γάρ μοι θνήισκων λεχέων ἐκ χεῖρας ὄρεξας.
Andro- οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, οὗ τέ κεν αἰεὶ
mache μεμνήιμην νύκτας τε καὶ ἤματα δάκρυ χέουσα."

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 14 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF BRISEIS IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

19.287 “Πάτροκλέ μοι δειλῆι πλεῖστον κεχαρισμένε θυμῶι,
ζωὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα,
νῦν δέ σε τεθνηῶτα κιχάνομαι, ὄρχαμε λαῶν,
ἂψ ἀνιοῦσ’· ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί.
ἄνδρα μέν, ὧι ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ,
εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέϊ χαλκῶι,
τρεῖς τε κασιγνήτους, τούς μοι μία γείνατο μήτηρ,
κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον.
οὐδὲ μὲν οὐδέ μ’ ἔασκες, ὅτ’ ἄνδρ’ ἐμὸν ὠκὺς Ἀχιλλεὺς
ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
κλαίειν, ἀλλά μ’ ἔφασκες Ἀχιλλῆος θείοιο
κουριδίην ἄλοχον θήσειν, ἄξειν τ’ ἐνὶ νηυσὶν
ἐς Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσιν.
Briseis τῶι σ’ ἄμοτον κλαίω τεθνηότα, μείλιχον αἰεί.”

19.287 “Πάτροκλέ μοι δειλῆι πλεῖστον κεχαρισμένε θυμῶι,
ζωὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα,
νῦν δέ σε τεθνηῶτα κιχάνομαι, ὄρχαμε λαῶν,
ἂψ ἀνιοῦσ’· ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί.
ἄνδρα μέν, ὧι ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ,
εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέϊ χαλκῶι,
Briseis τρεῖς τε κασιγνήτους, τούς μοι μία γείνατο μήτηρ,
κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον.
οὐδὲ μὲν οὐδέ μ’ ἔασκες, ὅτ’ ἄνδρ’ ἐμὸν ὠκὺς Ἀχιλλεὺς
ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
κλαίειν, ἀλλά μ’ ἔφασκες Ἀχιλλῆος θείοιο
κουριδίην ἄλοχον θήσειν, ἄξειν τ’ ἐνὶ νηυσὶν
ἐς Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσιν.
τῶι σ’ ἄμοτον κλαίω τεθνηότα, μείλιχον αἰεί.”

19.287 “Πάτροκλέ μοι δειλῆι πλεῖστον κεχαρισμένε θυμῶι,
ζωὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα,
νῦν δέ σε τεθνηῶτα κιχάνομαι, ὄρχαμε λαῶν,
ἂψ ἀνιοῦσ᾽· ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί.
Briseis ἄνδρα μὲν, ὧι ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ,
εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέϊ χαλκῶι,
τρεῖς τε κασιγνήτους, τούς μοι μία γείνατο μήτηρ,
κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον.
οὐδὲ μὲν οὐδὲ μ᾽ ἔασκες, ὅτ᾽ ἄνδρ᾽ ἐμὸν ὠκὺς Ἀχιλλεὺς
ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
κλαίειν, ἀλλά μ᾽ ἔφασκες Ἀχιλλῆος θείοιο
κουριδίην ἄλοχον θήσειν, ἄξειν τ᾽ ἐνὶ νηυσὶν
ἐς Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσιν.
τῶι σ᾽ ἄμοτον κλαίω τεθνηότα, μείλιχον αἰεί.”

ALTERNATING: ILIAD ASCENDS FROM START; OD. DESCENDS FROM STARET

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 120 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF
HELEN
IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

3.172 “αἰδοῖός τέ μοί ἐσσι, φίλε ἑκυρέ, δεινός τε·
ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακὸς, ὁππότε δεῦρο
υἱέϊ σῶι ἑπόμην, θάλαμον γνωτούς τε λιποῦσα
παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν.
ἀλλὰ τά_γ' οὐκ ἐγένοντο· τὸ καὶ κλαίουσα τέτηκα.
τοῦτο δέ τοι ἐρέω, ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾶις·
οὗτός γ' Ἀτρείδης, εὐρὺ κρείων Ἀγαμέμνων,
ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής.
Helen δαὴρ αὖτ' ἐμὸς ἔσκε κυνώπιδος, εἴ_ποτ' ἔην γε.”
15.125 “δῶρόν τοι καὶ ἐγώ, τέκνον φίλε, τοῦτο δίδωμι,
μνῆμ' Ἑλένης χειρῶν, πολυηράτου ἐς γάμου ὥρην,
σῆι ἀλόχωι φορέειν· τείως δὲ φίληι παρὰ μητρὶ
κείσθω ἐνὶ μεγάρωι. σὺ δέ μοι χαίρων ἀφίκοιο
Helen οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν.”
3.200 “οὗτος δ' αὖ Λαερτιάδης, πολύμητις Ὀδυσσεὺς,
ὃς τράφεν ἐν δήμωι Ἰθάκης κραναῆς περ ἐούσης
Helen εἰδὼς παντοίους τε δόλους καὶ μηδεα πυκνά.”
15.172 “κλῦτέ μευ· αὐτὰρ ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῶι
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω.
ὡς ὅδε χῆν' ἥρπαξ' ἀτιταλλομένην ἐνὶ οἴκωι
ἐλθὼν ἐξ ὄρεος, ὅθι οἱ γενεή τε τόκος τε,
ὣς Ὀδυσεὺς κακὰ πολλὰ παθὼν καὶ πόλλ' ἐπαληθεὶς
οἴκαδε νοστήσει καὶ τείσεται· ἠὲ καὶ ἤδη
Helen οἴκοι, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει.”
3.229 “οὗτος δ' Αἴας ἐστὶ πελώριος, ἕρκος Ἀχαιῶν·
Ἰδομενεὺς δ' ἑτέρωθεν ἐνὶ Κρήτεσσι θεὸς ὣς
ἕστηκ', ἀμφὶ δέ μιν Κρητῶν ἀγοὶ ἠγερέθονται.
πολλάκι μιν ξείνισσεν ἀρηΐφιλος Μενέλαος
οἴκωι ἐν ἡμετέρωι, ὁπότε Κρήτηθεν ἵκοιτο.
νῦν δ' ἄλλους μὲν πάντας ὁρῶ ἑλίκωπας Ἀχαιοὺς,
οὕς κεν ἔϋ γνοίην καί τ' οὔνομα μυθησαίμην·
δοιὼ δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν,
Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,
αὐτοκασιγνήτω, τώ μοι μία γείνατο μήτηρ.
ἢ οὐχ ἑσπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς,
ἢ δεύρω μὲν ἕποντο νέεσσ' ἔνι ποντοπόροισιν,
νῦν αὖτ' οὐκ ἐθέλουσι μάχην καταδύμεναι ἀνδρῶν,
Helen αἴσχεα δειδιότες καὶ ὀνείδεα πόλλ', ἅ μοί ἐστιν.”
4.235 “Ἀτρείδη Μενέλαε διοτρεφὲς ἠδὲ καὶ οἵδε
ἀνδρῶν ἐσθλῶν παῖδες — ἀτὰρ θεὸς ἄλλοτε ἄλλωι
Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ· δύναται γὰρ ἅπαντα —
ἤτοι νῦν δαίνυσθε καθήμενοι ἐν μεγάροισιν
καὶ μύθοις τέρπεσθε· ἐοικότα γὰρ καταλέξω.
πάντα μὲν οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω,
ὅσσοι Ὀδυσσῆος ταλασίφρονός εἰσιν ἄεθλοι·
ἀλλ' οἷον τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ
δήμωι ἔνι Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί·
αὐτόν μιν πληγῆισιν ἀεικελίηισι δαμάσσας,
σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλὼν, οἰκῆϊ ἐοικὼς,
ἀνδρῶν δυσμενέων κατέδυ πόλιν εὐρυάγυιαν·
ἄλλωι δ' αὐτὸν φωτὶ κατακρύπτων ἤϊσκεν,
Δέκτηι, ὃς οὐδὲν τοῖος ἔην ἐπὶ νηυσὶν Ἀχαιῶν.
τῶι ἴκελος κατέδυ Τρώων πόλιν, οἱ δ' ἀβάκησαν
πάντες· ἐγὼ δέ μιν οἴη ἀνέγνων τοῖον ἐόντα,
καί μιν ἀνειρώτων· ὁ δὲ κερδοσύνηι ἀλέεινεν.
ἀλλ' ὅτε δή μιν ἐγὼ λόεον καὶ χρῖον ἐλαίωι,
ἀμφὶ δὲ εἵματα ἕσσα, καὶ ὤμοσα καρτερὸν ὅρκον
μὴ μὲν πρὶν Ὀδυσῆα μετὰ Τρώεσσ' ἀναφῆναι,
πρίν γε τὸν ἐς νῆάς τε θοὰς κλισίας τ' ἀφικέσθαι,
καὶ τότε δή μοι πάντα νόον κατέλεξεν Ἀχαιῶν.
πολλοὺς δὲ Τρώων κτείνας ταναήκεϊ χαλκῶι
ἦλθε μετ' Ἀργείους, κατὰ δὲ φρόνιν ἤγαγε πολλήν.
ἔνθ' ἄλλαι Τρωιαὶ λίγ' ἐκώκυον· αὐτὰρ ἐμὸν κῆρ
χαῖρ', ἐπεὶ ἤδη μοι κραδίη τέτραπτο νέεσθαι
ἂψ οἶκόνδ', ἄτην δὲ μετέστενον, ἣν Ἀφροδίτη
δῶχ', ὅτε μ' ἤγαγε κεῖσε φίλης ἀπὸ πατρίδος αἴης,
παῖδά τ' ἐμὴν νοσφισσαμένην θάλαμόν τε πόσιν τε
οὔ τευ δευόμενον, οὔτ' ἂρ φρένας οὔτέ τι εἶδος.” Helen
“δαιμονίη, τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν; 3.399
ἦ πήι με προτέρω πολίων ἐῢ ναιομενάων
ἄξεις ἢ Φρυγίης, ἢ Μηιονίης ἐρατεινῆς,
εἴ τίς τοι καὶ κεῖθι φίλος μερόπων ἀνθρώπων;
οὕνεκα δὴ νῦν δῖον Ἀλέξανδρον Μενέλαος
νικήσας ἐθέλει στυγερὴν ἐμὲ οἴκαδ' ἄγεσθαι,
τοὔνεκα δὴ νῦν δεῦρο δολοφρονέουσα παρέστης;
ἧσο παρ' αὐτὸν ἰοῦσα, θεῶν δ' ἀπόειπε κελεύθου,
μηδ' ἔτι σοῖσι πόδεσσιν ὑποστρέψειας Ὄλυμπον,
ἀλλ' αἰεὶ περὶ κεῖνον ὀΐζυε καί ἑ φύλασσε,
εἰς_ὅ κέ σ' ἢ' ἄλοχον ποιήσεται, ἢ' ὅ_γε δούλην.
κεῖσε δ' ἐγὼν οὐκ εἶμι — νεμεσσητὸν δέ κεν εἴη —
κείνου πορσανέουσα λέχος. Τρωιαὶ δέ μ' ὀπίσσω
πᾶσαι μωμήσονται· ἔχω δ' ἄχε' ἄκριτα θυμῶι.” Helen
“ἤλυθες ἐκ πολέμου· ὡς ὤφελες αὐτόθ' ὀλέσθαι, 3.428
ἀνδρὶ δαμεὶς κρατερῶι, ὃς ἐμὸς πρότερος πόσις ἦεν.
ἦ μὲν δὴ πρίν γ' εὔχε' ἀρηϊφίλου Μενελάου
σῆι τε βίηι καὶ χερσὶ καὶ ἔγχεϊ φέρτερος εἶναι·
ἀλλ' ἴθι νῦν προκάλεσσαι ἀρηΐφιλον Μενέλαον
ἐξαῦτις μαχέσασθαι ἐναντίον. ἀλλά σ' ἐγώ_γε
παύεσθαι κέλομαι, μηδὲ ξανθῶι Μενελάωι
ἀντίβιον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
ἀφραδέως, μή πως τάχ' ὑπ' αὐτοῦ δουρὶ δαμήηις.” Helen
“δᾶερ ἐμεῖο, κυνὸς κακομηχάνου, ὀκρυοέσσης, 6.344
ὥς μ' ὄφελ' ἤματι τῶι ὅτε με πρῶτον τέκε μήτηρ
οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα
εἰς ὄρος ἢ ἐς κῦμα πολυφλοίσβοιο θαλάσσης,
ἔνθα με κῦμ' ἀπόερσε πάρος τάδε ἔργα γενέσθαι.
αὐτὰρ ἐπεὶ τάδε γ' ὧδε θεοὶ κακὰ τεκμήραντο,
ἀνδρὸς ἔπειτ' ὤφελλον ἀμείνονος εἶναι ἄκοιτις,
ὃς εἴδη νέμεσίν τε καὶ αἴσχεα πόλλ' ἀνθρώπων.
τούτωι δ' οὔτ' ἂρ νῦν φρένες ἔμπεδοι οὔτ' ἂρ ὀπίσσω

ἔσσονται· τοῦ καί μιν ἐπαυρήσεσθαι ὀΐω.
ἀλλ' ἄγε νῦν εἴσελθε καὶ ἕζεο τῶιδ' ἐπὶ δίφρωι,
δᾶερ, ἐπεί σε μάλιστα πόνος φρένας ἀμφιβέβηκεν
εἵνεκ' ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδρου ἕνεκ' ἄτης,
οἷσιν ἔπι Ζεὺς θῆκε κακὸν μόρον, ὡς καὶ ὀπίσσω
Helen ἀνθρώποισι πελώμεθ' ἀοίδιμοι ἐσσομένοισιν."
24.762 "Ἕκτορ, ἐμῶι θυμῶι δαέρων πολὺ φίλτατε πάντων,
ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδής,
ὅς μ' ἄγαγε Τροίηνδ'· ὡς πρὶν ὤφελλον ὀλέσθαι·
ἤδη γὰρ νῦν μοι τόδ' ἐεικοστὸν ἔτος ἐστὶν
ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆς ἀπελήλυθα πάτρης·
ἀλλ' οὔ_πω σεῦ ἄκουσα κακὸν ἔπος οὐδ' ἀσύφηλον·
ἀλλ' εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι
δαέρων, ἢ γαλόων, ἢ εἰνατέρων εὐπέπλων,
ἢ ἑκυρή — ἑκυρὸς δὲ πατὴρ ὣς ἤπιος αἰεί —
ἀλλὰ σὺ τόν_γ' ἐπέεσσι παραιφάμενος κατέρυκες,
σῆι τ' ἀγανοφροσύνηι καὶ σοῖς ἀγανοῖς ἐπέεσσιν.
τῶι σέ θ' ἅμα κλαίω καὶ ἔμ' ἄμμορον ἀχνυμένη κῆρ·
οὐ γάρ τίς μοι ἔτ' ἄλλος ἐνὶ Τροίηι εὐρείηι
Helen ἤπιος οὐδὲ φίλος, πάντες δέ με πεφρίκασιν."

Notes

Notes

ALTERNATING: ILIAD ASCENDS FROM START; OD. ASCENDS FROM END

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 120 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF HELEN IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

3.172 “αἰδοῖός τέ μοί ἐσσι, φίλε ἑκυρέ, δεινός τε·
ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακός, ὁππότε δεῦρο
υἱέϊ σῶι ἑπόμην, θάλαμον γνωτούς τε λιποῦσα
παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν.
ἀλλὰ τά_γ’ οὐκ ἐγένοντο· τὸ καὶ κλαίουσα τέτηκα.
τοῦτο δέ τοι ἐρέω, ὅ μ’ ἀνείρεαι ἠδὲ μεταλλᾷς·
οὗτός γ’ Ἀτρείδης, εὐρὺ κρείων Ἀγαμέμνων,
ἀμφότερον, βασιλεύς τ’ ἀγαθὸς κρατερός τ’ αἰχμητής.
Helen δαὴρ αὖτ’ ἐμὸς ἔσκε κυνώπιδος, εἴ_ποτ’ ἔην γε.”
3.200 “οὗτος δ’ αὖ Λαερτιάδης, πολύμητις Ὀδυσσεύς,
ὃς τράφεν ἐν δήμωι Ἰθάκης κραναῆς περ ἐούσης
Helen εἰδὼς παντοίους τε δόλους καὶ μήδεα πυκνά.”
3.229 “οὗτος δ’ Αἴας ἐστὶ πελώριος, ἕρκος Ἀχαιῶν·
Ἰδομενεὺς δ’ ἑτέρωθεν ἐνὶ Κρήτεσσι θεὸς ὥς
ἕστηκ’, ἀμφὶ δέ μιν Κρητῶν ἀγοὶ ἠγερέθονται.
πολλάκι μιν ξείνισσεν ἀρηΐφιλος Μενέλαος
οἴκωι ἐν ἡμετέρωι, ὁπότε Κρήτηθεν ἵκοιτο.
νῦν δ’ ἄλλους μὲν πάντας ὁρῶ ἑλίκωπας Ἀχαιούς,
οὕς κεν ἐῢ γνοίην καί τ’ οὔνομα μυθησαίμην·
δοιὼ δ’ οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν,
Κάστορά θ’ ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,
αὐτοκασιγνήτω, τώ μοι μία γείνατο μήτηρ.
ἦ οὐχ ἑσπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς,
ἢ δεύρω μὲν ἕποντο νέεσσ’ ἔνι ποντοπόροισιν,
νῦν αὖτ’ οὐκ ἐθέλουσι μάχην καταδύμεναι ἀνδρῶν,
Helen αἴσχεα δειδιότες καὶ ὀνείδεα πόλλ’, ἅ μοί ἐστιν.”
3.399 “δαιμονίη, τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν;
ἦ πῄ με προτέρω πολίων εὖ ναιομενάων
ἄξεις ἢ Φρυγίης, ἢ Μηιονίης ἐρατεινῆς,
εἴ τίς τοι καὶ κεῖθι φίλος μερόπων ἀνθρώπων;
οὕνεκα δὴ νῦν δῖον Ἀλέξανδρον Μενέλαος
νικήσας ἐθέλει στυγερὴν ἐμὲ οἴκαδ’ ἄγεσθαι,
τοὔνεκα δὴ νῦν δεῦρο δολοφρονέουσα παρέστης;
ἧσο παρ’ αὐτὸν ἰοῦσα, θεῶν δ’ ἀπόειπε κελεύθου,
μηδ’ ἔτι σοῖσι πόδεσσιν ὑποστρέψειας Ὄλυμπον,
ἀλλ’ αἰεὶ περὶ κεῖνον ὀΐζυε καί ἑ φύλασσε,
εἰς_ὅ κέ σ’ ἢ ἄλοχον ποιήσεται, ἢ ὅ_γε δούλην.
κεῖσε δ’ ἐγὼν οὐκ εἶμι — νεμεσσητὸν δέ κεν εἴη —
κείνου πορσανέουσα λέχος. Τρωιαὶ δέ μ’ ὀπίσσω
Helen πᾶσαι μωμήσονται· ἔχω δ’ ἄχε’ ἄκριτα θυμῶι.”
3.428 “ἤλυθες ἐκ πολέμου· ὡς ὤφελες αὐτόθ’ ὀλέσθαι,
ἀνδρὶ δαμεὶς κρατερῶι, ὃς ἐμὸς πρότερος πόσις ἦεν.
ἦ μὲν δὴ πρίν γ’ εὔχε’ ἀρηϊφίλου Μενελάου
σῆι τε βίηι καὶ χερσὶ καὶ ἔγχεϊ φέρτερος εἶναι·
ἀλλ’ ἴθι νῦν προκάλεσσαι ἀρηΐφιλον Μενέλαον
ἐξαῦτις μαχέσασθαι ἐναντίον. ἀλλά σ’ ἐγώ_γε
παύεσθαι κέλομαι, μηδὲ ξανθῶι Μενελάωι
ἀντίβιον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
Helen ἀφραδέως, μή πως τάχ’ ὑπ’ αὐτοῦ δουρὶ δαμήῃς.”
15.125 “δῶρόν τοι καὶ ἐγώ, τέκνον φίλε, τοῦτο δίδωμι,
μνῆμ’ Ἑλένης χειρῶν, πολυηράτου ἐς γάμου ὥρην,
σῆι ἀλόχωι φορέειν· τείως δὲ φίλῃ παρὰ μητρὶ
κείσθω ἐνὶ μεγάρωι. σὺ δέ μοι χαίρων ἀφίκοιο
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν.” Helen
“δᾶερ ἐμεῖο, κυνὸς κακομηχάνου, ὀκρυοέσσης, 6.344
ὥς μ’ ὄφελ’ ἤματι τῶι ὅτε με πρῶτον τέκε μήτηρ
οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα
εἰς ὄρος ἢ ἐς κῦμα πολυφλοίσβοιο θαλάσσης,
ἔνθα με κῦμ’ ἀπόερσε πάρος τάδε ἔργα γενέσθαι.
αὐτὰρ ἐπεὶ τάδε γ’ ὧδε θεοὶ κακὰ τεκμήραντο,
ἀνδρὸς ἔπειτ’ ὤφελλον ἀμείνονος εἶναι ἄκοιτις,
ὃς εἴδη νέμεσίν τε καὶ αἴσχεα πόλλ’ ἀνθρώπων.
τούτωι δ’ οὔτ’ ἄρ νῦν φρένες ἔμπεδοι οὔτ’ ἄρ’ ὀπίσσω
ἔσσονται· τοῦ καί μιν ἐπαυρήσεσθαι ὀΐω.
ἀλλ’ ἄγε νῦν εἴσελθε καὶ ἕζεο τῶιδ’ ἐπὶ δίφρωι,
δᾶερ, ἐπεί σε μάλιστα πόνος φρένας ἀμφιβέβηκεν
εἵνεκ’ ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδρου ἕνεκ’ ἄτης,
οἷσιν ἔπι Ζεὺς θῆκε κακὸν μόρον, ὡς καὶ ὀπίσσω
ἀνθρώποισι πελώμεθ’ ἀοίδιμοι ἐσσομένοισιν.” Helen
“κλῦτέ μευ· αὐτὰρ ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῶι 15.172
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω.
ὡς ὅδε χῆν’ ἥρπαξ’ ἀτιταλλομένην ἐνὶ οἴκωι
ἐλθὼν ἐξ ὄρεος, ὅθι οἱ γενεή τε τόκος τε,
ὣς Ὀδυσεὺς κακὰ πολλὰ παθὼν καὶ πόλλ’ ἐπαληθεὶς
οἴκαδε νοστήσει καὶ τείσεται· ἠὲ καὶ ἤδη
οἴκοι, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει.” Helen
“Ἕκτορ, ἐμῶι θυμῶι δαέρων πολὺ φίλτατε πάντων, 24.762
ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδής,
ὅς μ’ ἄγαγε Τροίηνδ’· ὡς πρὶν ὤφελλον ὀλέσθαι·
ἤδη γὰρ νῦν μοι τόδ’ ἐεικοστὸν ἔτος ἐστὶν
ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆς ἀπελήλυθα πάτρης·
ἀλλ’ οὔ_πω σε’ ἄκουσα κακὸν ἔπος οὐδ’ ἀσύφηλον·
ἀλλ’ εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι
δαέρων, ἢ γαλόων, ἢ εἰνατέρων εὐπέπλων,
ἢ ἑκυρή — ἑκυρὸς δὲ πατὴρ ὣς ἤπιος αἰεί —
ἀλλὰ σὺ τόν_γ’ ἐπέεσσι παραιφάμενος κατέρυκες,
σῆι τ’ ἀγανοφροσύνῃ καὶ σοῖς ἀγανοῖς ἐπέεσσιν.
τῶι σέ θ’ ἅμα κλαίω καὶ ἔμ’ ἄμμορον ἀχνυμένη κῆρ·
οὐ γάρ τίς μοι ἔτ’ ἄλλος ἐνὶ Τροίῃ εὐρείῃ
ἤπιος οὐδὲ φίλος, πάντες δέ με πεφρίκασιν.” Helen
“Ἀτρείδη Μενέλαε διοτρεφὲς ἠδὲ καὶ οἵδε 4.235
ἀνδρῶν ἐσθλῶν παῖδες — ἀτὰρ θεὸς ἄλλοτε ἄλλωι
Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ· δύναται γὰρ ἅπαντα —
ἤτοι νῦν δαίνυσθε καθήμενοι ἐν μεγάροισιν
καὶ μύθοις τέρπεσθε· ἐοικότα γὰρ καταλέξω.
πάντα μὲν οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ’ ὀνομήνω,
ὅσσοι Ὀδυσσῆος ταλασίφρονός εἰσιν ἄεθλοι·
ἀλλ’ οἷον τόδ’ ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ
δήμωι ἔνι Τρώων, ὅθι πάσχετε πήματ’ Ἀχαιοί·
αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας,

σπεῖρα κάκ᾽ ἀμφ᾽ ὤμοισι βαλὼν, οἰκῆϊ ἐοικὼς,
ἀνδρῶν δυσμενέων κατέδυ πόλιν εὐρυάγυιαν·
ἄλλωι δ᾽ αὐτὸν φωτὶ κατακρύπτων ἤϊσκεν,
Δέκτηι, ὃς οὐδὲν τοῖος ἔην ἐπὶ νηυσὶν Ἀχαιῶν.
τῶι ἴκελος κατέδυ Τρώων πόλιν, οἱ δ᾽ ἀβάκησαν
πάντες· ἐγὼ δέ μιν οἴη ἀνέγνων τοῖον ἐόντα,
καί μιν ἀνειρώτων· ὁ δὲ κερδοσύνηι ἀλέεινεν.
ἀλλ᾽ ὅτε δή μιν ἐγὼ λόεον καὶ χρῖον ἐλαίωι,
ἀμφὶ δὲ εἵματα ἕσσα, καὶ ὤμοσα καρτερὸν ὅρκον
μὴ μὲν πρὶν Ὀδυσῆα μετὰ Τρώεσσ᾽ ἀναφῆναι,
πρίν γε τὸν ἐς νῆάς τε θοὰς κλισίας τ᾽ ἀφικέσθαι,
καὶ τότε δή μοι πάντα νόον κατέλεξεν Ἀχαιῶν.
πολλοὺς δὲ Τρώων κτείνας ταναήκεϊ χαλκῶι
ἦλθε μετ᾽ Ἀργείους, κατὰ δὲ φρόνιν ἤγαγε πολλήν.
ἔνθ᾽ ἄλλαι Τρωιαὶ λίγ᾽ ἐκώκυον· αὐτὰρ ἐμὸν κῆρ
χαῖρ᾽, ἐπεὶ ἤδη μοι κραδίη τέτραπτο νέεσθαι
ἂψ οἶκόνδ᾽, ἄτην δὲ μετέστενον, ἣν Ἀφροδίτη
δῶχ᾽, ὅτε μ᾽ ἤγαγε κεῖσε φίλης ἀπὸ πατρίδος αἴης,
παῖδά τ᾽ ἐμὴν νοσφισσαμένην θάλαμόν τε πόσιν τε
Helen οὔ τευ δευόμενον, οὔτ᾽ ἂρ φρένας οὔτέ τι εἶδος."

Notes

Notes

ILIAD AND OD.
ASCEND FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 120 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF

HELEN

IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

3.172 “αἰδοῖός τέ μοί ἐσσι, φίλε ἑκυρέ, δεινός τε·
ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακὸς, ὁππότε δεῦρο
υἱέϊ σῶι ἑπόμην, θάλαμον γνωτούς τε λιποῦσα
παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν.
ἀλλὰ τά_γ’ οὐκ ἐγένοντο· τὸ καὶ κλαίουσα τέτηκα.
τοῦτο δέ τοι ἐρέω, ὅ μ’ ἀνείρεαι ἠδὲ μεταλλᾷς·
οὗτός γ’ Ἀτρείδης, εὐρὺ κρείων Ἀγαμέμνων,
ἀμφότερον, βασιλεύς τ’ ἀγαθὸς κρατερός τ’ αἰχμητής.
Helen δαὴρ αὖτ’ ἐμὸς ἔσκε κυνώπιδος, εἴ_ποτ’ ἔην γε.”
3.200 “οὗτος δ’ αὖ Λαερτιάδης, πολύμητις Ὀδυσσεὺς,
ὃς τράφεν ἐν δήμωι Ἰθάκης κραναῆς περ ἐούσης
Helen εἰδὼς παντοίους τε δόλους καὶ μηδεα πυκνά.”
3.229 “οὗτος δ’ Αἴας ἐστὶ πελώριος, ἕρκος Ἀχαιῶν·
Ἰδομενεὺς δ’ ἑτέρωθεν ἐνὶ Κρήτεσσι θεὸς ὥς
ἕστηκ’, ἀμφὶ δέ μιν Κρητῶν ἀγοὶ ἠγερέθονται.
πολλάκι μιν ξείνισσεν ἀρηΐφιλος Μενέλαος
οἴκωι ἐν ἡμετέρωι, ὁπότε Κρήτηθεν ἵκοιτο.
νῦν δ’ ἄλλους μὲν πάντας ὁρῶ ἑλίκωπας Ἀχαιοὺς,
οὕς κεν ἐΰ γνοίην καί τ’ οὔνομα μυθησαίμην·
δοιὼ δ’ οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν,
Κάστορά θ’ ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,
αὐτοκασιγνήτω, τώ μοι μία γείνατο μήτηρ.
ἢ οὐχ ἑσπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς,
ἢ δεύρω μὲν ἕποντο νέεσσ’ ἔνι ποντοπόροισιν,
νῦν αὖτ’ οὐκ ἐθέλουσι μάχην καταδύμεναι ἀνδρῶν,
Helen αἴσχεα δειδιότες καὶ ὀνείδεα πόλλ’, ἅ μοί ἐστιν.”
3.399 “δαιμονίη, τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν;
ἦ πήι με προτέρω πολίων εὖ_ναιομενάων
ἄξεις ἢ Φρυγίης, ἢ Μῃονίης ἐρατεινῆς,
εἴ τίς τοι καὶ κεῖθι φίλος μερόπων ἀνθρώπων;
οὕνεκα δὴ νῦν δῖον Ἀλέξανδρον Μενέλαος
νικήσας ἐθέλει στυγερὴν ἐμὲ οἴκαδ’ ἄγεσθαι,
τοὔνεκα δὴ νῦν δεῦρο δολοφρονέουσα παρέστης;
ἧσο παρ’ αὐτὸν ἰοῦσα, θεῶν δ’ ἀπόειπε κελεύθου,
μηδ’ ἔτι σοῖσι πόδεσσιν ὑποστρέψειας Ὄλυμπον,
ἀλλ’ αἰεὶ περὶ κεῖνον ὀΐζυε καί ἑ φύλασσε,
εἰς_ὅ_κέ σ’ ἢ’ ἄλοχον ποιήσεται, ἢ’ ὅ_γε δούλην.
κεῖσε δ’ ἐγὼν οὐκ εἶμι — νεμεσσητὸν δέ κεν εἴη —
κείνου πορσανέουσα λέχος. Τρωιαὶ δέ μ’ ὀπίσσω
Helen πᾶσαι μωμήσονται· ἔχω δ’ ἄχε’ ἄκριτα θυμῶι.”
3.428 “ἤλυθες ἐκ πολέμου· ὡς ὤφελες αὐτόθ’ ὀλέσθαι,
ἀνδρὶ δαμεὶς κρατερῶι, ὃς ἐμὸς πρότερος πόσις ἦεν.
ἦ μὲν δὴ πρίν γ’ εὔχε’ ἀρηϊφίλου Μενελάου
σῆι τε βίηι καὶ χερσὶ καὶ ἔγχεϊ φέρτερος εἶναι·
ἀλλ’ ἴθι νῦν προκάλεσσαι ἀρηΐφιλον Μενέλαον
ἐξαῦτις μαχέσασθαι ἐναντίον. ἀλλά σ’ ἐγώ_γε
παύεσθαι κέλομαι, μηδὲ ξανθῶι Μενελάωι
ἀντίβιον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
Helen ἀφραδέως, μή πως τάχ’ ὑπ’ αὐτοῦ δουρὶ δαμήῃς.”
4.235 “Ἀτρείδη Μενέλαε διοτρεφὲς ἠδὲ καὶ οἶδε
ἀνδρῶν ἐσθλῶν παῖδες — ἀτὰρ θεὸς ἄλλοτε ἄλλωι
Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ· δύναται γὰρ ἅπαντα —
ἤτοι νῦν δαίνυσθε καθήμενοι ἐν μεγάροισιν
καὶ μύθοις τέρπεσθε· ἐοικότα γὰρ καταλέξω.
πάντα μὲν οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ’ ὀνομήνω,
ὅσσοι Ὀδυσσῆος ταλασίφρονός εἰσιν ἄεθλοι·
ἀλλ’ οἷον τόδ’ ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ
δήμωι ἔνι Τρώων, ὅθι πάσχετε πήματ’ Ἀχαιοί·
αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας,
σπεῖρα κάκ’ ἀμφ’ ὤμοισι βαλὼν, οἰκῆϊ ἐοικὼς,
ἀνδρῶν δυσμενέων κατέδυ πόλιν εὐρυάγυιαν·
ἄλλωι δ’ αὐτὸν φωτὶ κατακρύπτων ἤϊσκεν,
Δέκτηι, ὃς οὐδὲν τοῖος ἔην ἐπὶ νηυσὶν Ἀχαιῶν.
τῶι ἴκελος κατέδυ Τρώων πόλιν, οἱ δ’ ἀβάκησαν
πάντες· ἐγὼ δέ μιν οἴη ἀνέγνων τοῖον ἐόντα,
καί μιν ἀνειρώτων· ὁ δὲ κερδοσύνηι ἀλέεινεν.
ἀλλ’ ὅτε δή μιν ἐγὼ λόεον καὶ χρῖον ἐλαίωι,
ἀμφὶ δὲ εἵματα ἕσσα, καὶ ὤμοσα καρτερὸν ὅρκον
μὴ μὲν πρὶν Ὀδυσῆα μετὰ Τρώεσσ’ ἀναφῆναι,
πρίν γε τὸν ἐς νῆάς τε θοὰς κλισίας τ’ ἀφικέσθαι,
καὶ τότε δή μοι πάντα νόον κατέλεξεν Ἀχαιῶν.
πολλοὺς δὲ Τρώων κτείνας ταναήκεϊ χαλκῶι
ἦλθε μετ’ Ἀργείους, κατὰ δὲ φρόνιν ἤγαγε πολλήν.
ἔνθ’ ἄλλαι Τρωιαὶ λίγ’ ἐκώκυον· αὐτὰρ ἐμὸν κῆρ
χαῖρ’, ἐπεὶ ἤδη μοι κραδίη τέτραπτο νέεσθαι
ἂψ οἶκόνδ’, ἄτην δὲ μετέστενον, ἣν Ἀφροδίτη
δῶχ’, ὅτε μ’ ἤγαγε κεῖσε φίλης ἀπὸ πατρίδος αἴης,
παῖδά τ’ ἐμὴν νοσφισσαμένην θάλαμόν τε πόσιν τε
οὔ τευ δευόμενον, οὔτ’ ἂρ φρένας οὔτέ τι εἶδος.” Helen
“δᾶερ ἐμεῖο, κυνὸς κακομηχάνου, ὀκρυοέσσης, 6.344
ὥς μ’ ὄφελ’ ἤματι τῶι ὅτε με πρῶτον τέκε μήτηρ
οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα
εἰς ὄρος ἢ ἐς κῦμα πολυφλοίσβοιο θαλάσσης,
ἔνθα με κῦμ’ ἀπόερσε πάρος τάδε ἔργα γενέσθαι.
αὐτὰρ ἐπεὶ τάδε γ’ ὧδε θεοὶ κακὰ τεκμήραντο,
ἀνδρὸς ἔπειτ’ ὤφελλον ἀμείνονος εἶναι ἄκοιτις,
ὃς εἴδη νέμεσίν τε καὶ αἴσχεα πόλλ’ ἀνθρώπων.
τούτωι δ’ οὔτ’ ἂρ νῦν φρένες ἔμπεδοι οὔτ’ ἄρ’ ὀπίσσω
ἔσσονται· τοῦ καί μιν ἐπαυρήσεσθαι ὀΐω.
ἀλλ’ ἄγε νῦν εἴσελθε καὶ ἕζεο τῷιδ’ ἐπὶ δίφρωι,
δᾶερ, ἐπεί σε μάλιστα πόνος φρένας ἀμφιβέβηκεν
εἵνεκ’ ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδρου ἕνεκ’ ἄτης,
οἷσιν ἔπι Ζεὺς θῆκε κακὸν μόρον, ὡς καὶ ὀπίσσω
ἀνθρώποισι πελώμεθ’ ἀοίδιμοι ἐσσομένοισιν.” Helen
“δῶρόν τοι καὶ ἐγὼ, τέκνον φίλε, τοῦτο δίδωμι, 15.125
μνῆμ’ Ἑλένης χειρῶν, πολυηράτου ἐς γάμον ὥρην,
σῆι ἀλόχωι φορέειν· τείως δὲ φίλῃ παρὰ μητρὶ
κείσθω ἐνὶ μεγάρωι. σὺ δέ μοι χαίρων ἀφίκοιο
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν.” Helen
“κλῦτέ μευ· αὐτὰρ ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῶι 15.172

ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω.
ὡς ὅδε χῆν’ ἥρπαξ’ ἀτιταλλομένην ἐνὶ οἴκωι
ἐλθὼν ἐξ ὄρεος, ὅθι οἱ γενεή τε τόκος τε,
ὣς Ὀδυσεὺς κακὰ πολλὰ παθὼν καὶ πόλλ’ ἐπαληθεὶς
οἴκαδε νοστήσει καὶ τείσεται· ἠὲ καὶ ἤδη
Helen οἴκοι, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει.”
24.762 “Ἕκτορ, ἐμῶι θυμῶι δαέρων πολὺ φίλτατε πάντων,
ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδὴς,
ὅς μ’ ἄγαγε Τροίηνδ’· ὡς πρὶν ὤφελλον ὀλέσθαι·
ἤδη γὰρ νῦν μοι τόδ’ ἐεικοστὸν ἔτος ἐστὶν
ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆς ἀπελήλυθα πάτρης·
ἀλλ’ οὔ_πω σεῦ ἄκουσα κακὸν ἔπος οὐδ’ ἀσύφηλον·
ἀλλ’ εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι
δαέρων, ἢ γαλόων, ἢ εἰνατέρων εὐπέπλων,
ἢ ἑκυρή — ἑκυρὸς δὲ πατὴρ ὣς ἤπιος αἰεί —
ἀλλὰ σὺ τόν_γ’ ἐπέεσσι παραιφάμενος κατέρυκες,
σῆι τ’ ἀγανοφροσύνηι καὶ σοῖς ἀγανοῖς ἐπέεσσιν.
τῶι σέ θ’ ἅμα κλαίω καὶ ἔμ’ ἄμμορον ἀχνυμένη κῆρ·
οὐ γάρ τίς μοι ἔτ’ ἄλλος ἐνὶ Τροίηι εὐρείηι
Helen ἤπιος οὐδὲ φίλος, πάντες δέ με πεφρίκασιν.”

Notes

Notes

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 78 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF
HELEN
IN THE ILIAD

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

3.172 "αἰδοῖός τέ μοί ἐσσι, φίλε ἑκυρέ, δεινός τε·
ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακὸς, ὁππότε δεῦρο
υἱέϊ σῶι ἑπόμην, θάλαμον γνωτούς τε λιποῦσα
παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν.
ἀλλὰ τά_γ' οὐκ ἐγένοντο· τὸ καὶ κλαίουσα τέτηκα.
τοῦτο δέ τοι ἐρέω, ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾶις·
οὗτός γ' Ἀτρείδης, εὐρὺ κρείων Ἀγαμέμνων,
ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής.
Helen δαὴρ αὖτ' ἐμὸς ἔσκε κυνώπιδος, εἴ_ποτ' ἔην γε."
3.200 "οὗτος δ' αὖ Λαερτιάδης, πολύμητις Ὀδυσσεὺς,
ὃς τράφεν ἐν δήμωι Ἰθάκης κραναῆς περ ἐούσης
Helen εἰδὼς παντοίους τε δόλους καὶ μηδεα πυκνά."
3.229 "οὗτος δ' Αἴας ἐστὶ πελώριος, ἕρκος Ἀχαιῶν·
Ἰδομενεὺς δ' ἑτέρωθεν ἐνὶ Κρήτεσσι θεὸς ὥς
ἕστηκ', ἀμφὶ δέ μιν Κρητῶν ἀγοὶ ἠγερέθονται.
πολλάκι μιν ξείνισσεν ἀρηΐφιλος Μενέλαος
οἴκωι ἐν ἡμετέρωι, ὁπότε Κρήτηθεν ἵκοιτο.
νῦν δ' ἄλλους μὲν πάντας ὁρῶ ἑλίκωπας Ἀχαιούς,
οὕς κεν ἐῢ γνοίην καί τ' οὔνομα μυθησαίμην·
δοιὼ δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν,
Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,
αὐτοκασιγνήτω, τώ μοι μία γείνατο μήτηρ.
ἢ οὐχ ἑσπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς,
ἢ δεύρω μὲν ἕποντο νέεσσ' ἔνι ποντοπόροισιν,
νῦν αὖτ' οὐκ ἐθέλουσι μάχην καταδύμεναι ἀνδρῶν,
Helen αἴσχεα δειδιότες καὶ ὀνείδεα πόλλ', ἅ μοί ἐστιν."
3.399 "δαιμονίη, τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν;
ἦ πήι με προτέρω πολίων εὖ_ναιομενάων
ἄξεις ἢ Φρυγίης, ἢ Μῃονίης ἐρατεινῆς,
εἴ τίς τοι καὶ κεῖθι φίλος μερόπων ἀνθρώπων;
οὕνεκα δὴ νῦν δῖον Ἀλέξανδρον Μενέλαος
νικήσας ἐθέλει στυγερὴν ἐμὲ οἴκαδ' ἄγεσθαι,
τοὔνεκα δὴ νῦν δεῦρο δολοφρονέουσα παρέστης;
ἧσο παρ' αὐτὸν ἰοῦσα, θεῶν δ' ἀπόειπε κελεύθου,
μηδ' ἔτι σοῖσι πόδεσσιν ὑποστρέψειας Ὄλυμπον,
ἀλλ' αἰεὶ περὶ κεῖνον ὀΐζυε καί ἑ φύλασσε,
εἰς_ὅ_κέ σ' ἢ' ἄλοχον ποιήσεται, ἢ' ὅ_γε δούλην.
κεῖσε δ' ἐγὼν οὐκ εἶμι — νεμεσσητὸν δέ κεν εἴη —
κείνου πορσανέουσα λέχος. Τρωαὶ δέ μ' ὀπίσσω
Helen πᾶσαι μωμήσονται· ἔχω δ' ἄχε' ἄκριτα θυμῶι."
3.428 "ἤλυθες ἐκ πολέμου· ὡς ὤφελες αὐτόθ' ὀλέσθαι,
ἀνδρὶ δαμεὶς κρατερῶι, ὃς ἐμὸς πρότερος πόσις ἦεν.
ἦ μὲν δὴ πρίν γ' εὔχε' ἀρηϊφίλου Μενελάου
σῇ τε βίηι καὶ χερσὶ καὶ ἔγχεϊ φέρτερος εἶναι·
ἀλλ' ἴθι νῦν προκάλεσσαι ἀρηΐφιλον Μενέλαον
ἐξαῦτις μαχέσασθαι ἐναντίον. ἀλλά σ' ἐγώ_γε
παύεσθαι κέλομαι, μηδὲ ξανθῶι Μενελάωι
ἀντίβιον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
Helen ἀφραδέως, μή πως τάχ' ὑπ' αὐτοῦ δουρὶ δαμήῃς."
6.344 "δᾶερ ἐμεῖο, κυνὸς κακομηχάνου, ὀκρυοέσσης,
ὥς μ' ὄφελ' ἤματι τῶι ὅτε με πρῶτον τέκε μήτηρ
οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα
εἰς ὄρος ἢ ἐς κῦμα πολυφλοίσβοιο θαλάσσης,
ἔνθα με κῦμ' ἀπόερσε πάρος τάδε ἔργα γενέσθαι.
αὐτὰρ ἐπεὶ τάδε γ' ὧδε θεοὶ κακὰ τεκμήραντο,
ἀνδρὸς ἔπειτ' ὤφελλον ἀμείνονος εἶναι ἄκοιτις, 6.350
ὃς εἴδη νέμεσίν τε καὶ αἴσχεα πόλλ' ἀνθρώπων.
τούτωι δ' οὔτ' ἂρ νῦν φρένες ἔμπεδοι οὔτ' ἄρ' ὀπίσσω
ἔσσονται· τοῦ καί μιν ἐπαυρήσεσθαι ὀΐω.
ἀλλ' ἄγε νῦν εἴσελθε καὶ ἕζεο τῶιδ' ἐπὶ δίφρωι,
δᾶερ, ἐπεί σε μάλιστα πόνος φρένας ἀμφιβέβηκεν
εἵνεκ' ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδρου ἕνεκ' ἄτης,
οἷσιν ἔπι Ζεὺς θῆκε κακὸν μόρον, ὡς καὶ ὀπίσσω
ἀνθρώποισι πελώμεθ' ἀοίδιμοι ἐσσομένοισιν." Helen
"Ἕκτορ, ἐμῶι θυμῶι δαέρων πολὺ φίλτατε πάντων, 24.762
ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδής,
ὅς μ' ἄγαγε Τροίηνδ'· ὡς πρὶν ὤφελλον ὀλέσθαι·
ἤδη γὰρ νῦν μοι τόδ' ἐεικοστὸν ἔτος ἐστὶν
ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆς ἀπελήλυθα πάτρης·
ἀλλ' οὔ_πω σε' ἄκουσα κακὸν ἔπος οὐδ' ἀσύφηλον·
ἀλλ' εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι
δαέρων, ἢ γαλόων, ἢ εἰνατέρων εὐπέπλων,
ἢ ἑκυρή — ἑκυρὸς δὲ πατὴρ ὣς ἤπιος αἰεί —
ἀλλὰ σὺ τόν_γ' ἐπέεσσι παραιφάμενος κατέρυκες,
σῇ τ' ἀγανοφροσύνηι καὶ σοῖς ἀγανοῖς ἐπέεσσιν.
τῶι σέ θ' ἅμα κλαίω καὶ ἔμ' ἄμμορον ἀχνυμένη κῆρ·
οὐ γάρ τίς μοι ἔτ' ἄλλος ἐνὶ Τροίηι εὐρείηι
ἤπιος οὐδὲ φίλος, πάντες δέ με πεφρίκασιν." Helen

3.172 “αἰδοῖός τέ μοί ἐσσι, φίλε ἑκυρέ, δεινός τε·
ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακὸς, ὁππότε δεῦρο
υἱέϊ σῶι ἑπόμην, θάλαμον γνωτούς τε λιποῦσα
παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν.
ἀλλὰ τά_γ’ οὐκ ἐγένοντο· τὸ καὶ κλαίουσα τέτηκα.
τοῦτο δέ τοι ἐρέω, ὅ μ’ ἀνείρεαι ἠδὲ μεταλλᾷις·
οὗτός γ’ Ἀτρείδης, εὐρὺ κρείων Ἀγαμέμνων,
ἀμφότερον, βασιλεύς τ’ ἀγαθὸς κρατερός τ’ αἰχμητής.
Helen δαὴρ αὖτ’ ἐμὸς ἔσκε κυνώπιδος, εἴ_ποτ’ ἔην γε.”
3.200 “οὗτος δ’ αὖ Λαερτιάδης, πολύμητις Ὀδυσσεὺς,
ὃς τράφεν ἐν δήμωι Ἰθάκης κραναῆς περ ἐούσης
Helen εἰδὼς παντοίους τε δόλους καὶ μηδεα πυκνά.”
3.229 “οὗτος δ’ Αἴας ἐστὶ πελώριος, ἕρκος Ἀχαιῶν·
Ἰδομενεὺς δ’ ἑτέρωθεν ἐνὶ Κρήτεσσι θεὸς ὥς
ἕστηκ’, ἀμφὶ δέ μιν Κρητῶν ἀγοὶ ἠγερέθονται.
πολλάκι μιν ξείνισσεν ἀρηΐφιλος Μενέλαος
οἴκωι ἐν ἡμετέρωι, ὁπότε Κρήτηθεν ἵκοιτο.
νῦν δ’ ἄλλους μὲν πάντας ὁρῶ ἑλίκωπας Ἀχαιοὺς,
οὕς κεν ἐΰ γνοίην καί τ’ οὔνομα μυθησαίμην·
δοιὼ δ’ οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν,
Κάστορά θ’ ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,
αὐτοκασιγνήτω, τώ μοι μία γείνατο μήτηρ.
ἢ οὐχ ἑσπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς,
ἢ δεύρω μὲν ἕποντο νέεσσ’ ἔνι ποντοπόροισιν,
νῦν αὖτ’ οὐκ ἐθέλουσι μάχην καταδύμεναι ἀνδρῶν,
Helen αἴσχεα δειδιότες καὶ ὀνείδεα πόλλ’, ἅ μοί ἐστιν.”
3.399 “δαιμονίη, τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν;
ἦ πήι με προτέρω πολίων εὖ_ναιομενάων
ἄξεις ἢ Φρυγίης, ἢ Μηιονίης ἐρατεινῆς,
εἴ τίς τοι καὶ κεῖθι φίλος μερόπων ἀνθρώπων;
οὕνεκα δὴ νῦν δῖον Ἀλέξανδρον Μενέλαος
νικήσας ἐθέλει στυγερὴν ἐμὲ οἴκαδ’ ἄγεσθαι,
τοὔνεκα δὴ νῦν δεῦρο δολοφρονέουσα παρέστης;
ἧσο παρ’ αὐτὸν ἰοῦσα, θεῶν δ’ ἀπόειπε κελεύθου,
μηδ’ ἔτι σοῖσι πόδεσσιν ὑποστρέψειας Ὄλυμπον,
ἀλλ’ αἰεὶ περὶ κεῖνον ὀΐζυε καί ἑ φύλασσε,
εἰς_ὅ κέ σ’ ἢ ἄλοχον ποιήσεται, ἢ ὅ_γε δούλην.
κεῖσε δ’ ἐγὼν οὐκ εἶμι — νεμεσσητὸν δέ κεν εἴη —
κείνου πορσανέουσα λέχος. Τρωιαὶ δέ μ’ ὀπίσσω
πᾶσαι μωμήσονται· ἔχω δ’ ἄχε’ ἄκριτα θυμῶι.” Helen
“ἤλυθες ἐκ πολέμου· ὡς ὤφελες αὐτόθ’ ὀλέσθαι, 3.428
ἀνδρὶ δαμεὶς κρατερῶι, ὃς ἐμὸς πρότερος πόσις ἦεν.
ἦ μὲν δὴ πρίν γ’ εὔχε’ ἀρηϊφίλου Μενελάου
σῆι τε βίηι καὶ χερσὶ καὶ ἔγχεϊ φέρτερος εἶναι·
ἀλλ’ ἴθι νῦν προκάλεσσαι ἀρηΐφιλον Μενέλαον
ἐξαῦτις μαχέσασθαι ἐναντίον. ἀλλά σ’ ἐγώ_γε
παύεσθαι κέλομαι, μηδὲ ξανθῶι Μενελάωι
ἀντίβιον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
ἀφραδέως, μή πως τάχ’ ὑπ’ αὐτοῦ δουρὶ δαμήηις.” Helen
“δᾶερ ἐμεῖο, κυνὸς κακομηχάνου, ὀκρυοέσσης, 6.344
ὥς μ’ ὄφελ’ ἤματι τῶι ὅτε με πρῶτον τέκε μήτηρ
οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα
εἰς ὄρος ἢ ἐς κῦμα πολυφλοίσβοιο θαλάσσης,
ἔνθα με κῦμ’ ἀπόερσε πάρος τάδε ἔργα γενέσθαι.
αὐτὰρ ἐπεὶ τάδε γ’ ὧδε θεοὶ κακὰ τεκμήραντο,
ἀνδρὸς ἔπειτ’ ὤφελλον ἀμείνονος εἶναι ἄκοιτις,
ὃς εἴδη νέμεσίν τε καὶ αἴσχεα πόλλ’ ἀνθρώπων.
τούτωι δ’ οὔτ’ ἂρ νῦν φρένες ἔμπεδοι οὔτ’ ἄρ’ ὀπίσσω
ἔσσονται· τοῦ καί μιν ἐπαυρήσεσθαι ὀΐω.
ἀλλ’ ἄγε νῦν εἴσελθε καὶ ἕζεο τῶιδ’ ἐπὶ δίφρωι,
δᾶερ, ἐπεί σε μάλιστα πόνος φρένας ἀμφιβέβηκεν
εἵνεκ’ ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδρου ἕνεκ’ ἄτης,
οἷσιν ἔπι Ζεὺς θῆκε κακὸν μόρον, ὡς καὶ ὀπίσσω
ἀνθρώποισι πελώμεθ’ ἀοίδιμοι ἐσσομένοισιν.” Helen
““Ἕκτορ, ἐμῶι θυμῶι δαέρων πολὺ φίλτατε πάντων, 24.762
ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδής,
ὅς μ’ ἄγαγε Τροίηνδ’· ὡς πρὶν ὤφελλον ὀλέσθαι·
ἤδη γὰρ νῦν μοι τόδ’ ἐεικοστὸν ἔτος ἐστὶν
ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆς ἀπελήλυθα πάτρης·
ἀλλ’ οὔ_πω σε’ ἄκουσα κακὸν ἔπος οὐδ’ ἀσύφηλον·
ἀλλ’ εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι
δαέρων, ἢ γαλόων, ἢ εἰνατέρων εὐπέπλων,
ἢ ἑκυρή — ἑκυρὸς δὲ πατὴρ ὣς ἤπιος αἰεί —
ἀλλὰ σὺ τόν_γ’ ἐπέεσσι παραιφάμενος κατέρυκες,
σῆι τ’ ἀγανοφροσύνηι καὶ σοῖς ἀγανοῖς ἐπέεσσιν.
τῶι σέ θ’ ἅμα κλαίω καὶ ἔμ’ ἄμμορον ἀχνυμένη κῆρ·
οὐ γάρ τίς μοι ἔτ’ ἄλλος ἐνὶ Τροίηι εὐρείηι
ἤπιος οὐδὲ φίλος, πάντες δέ με πεφρίκασιν.” Helen

language: Homeric Greek

copy text: Dindorf (Teubner 1877)

typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 10 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES

OF THE ITHAKAN

MELANTHO

IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

18.327 “ξεῖνε τάλαν, σύ_γέ τις φρένας ἐκπεπαταγμένος ἐσσί,
◆ οὐδ’ ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθών,
ἠέ που ἐς λέσχην, ἀλλ’ ἐνθάδε πόλλ’ ἀγορεύεις,
θαρσαλέως πολλοῖσι μετ’ ἀνδράσιν, οὐδέ τι θυμῶι
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.
ἦ’ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;
μή τίς τοι τάχα Ἴρου ἀμείνων ἄλλος ἀναστῆι,
Mel- ὅς τίς σ’ ἀμφὶ κάρη κεκοπὼς χερσὶ στιβαρῇσιν
antho δώματος ἐκπέμψησι, φορύξας αἵματι πολλῶι.”

18.327 “ξεῖνε τάλαν, σύ_γέ τις φρένας ἐκπεπαταγμένος ἐσσί,
➢ οὐδ’ ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθών,
ἠέ που ἐς λέσχην, ἀλλ’ ἐνθάδε πόλλ’ ἀγορεύεις,
Mel- θαρσαλέως πολλοῖσι μετ’ ἀνδράσιν, οὐδέ τι θυμῶι
antho ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.
ἦ’ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;
μή τίς τοι τάχα Ἴρου ἀμείνων ἄλλος ἀναστῆι,
ὅς τίς σ’ ἀμφὶ κάρη κεκοπὼς χερσὶ στιβαρῇσιν
δώματος ἐκπέμψησι, φορύξας αἵματι πολλῶι.”

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 8 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF THE ITHAKAN MILL GIRL IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

20.112 "Ζεῦ πάτερ, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσεις,
ἦ μεγάλ' ἐβρόντησας ἀπ' οὐρανοῦ ἀστερόεντος,
οὐδέ ποθι νέφος ἐστί· τέρας νύ τεῳ τόδε φαίνεις.
Mill κρῆνον νῦν καὶ ἐμοὶ δειλῇ ἔπος, ὅττί κεν εἴπω·
Girl μνηστῆρες πύματόν τε καὶ ὕστατον ἤματι τῷδε
ἐν μεγάροις Ὀδυσῆος ἑλοίατο δαῖτ' ἐρατεινὴν,
οἳ δή μοι καμάτῳ θυμαλγέϊ γούνατ' ἔλυσαν
ἄλφιτα τευχούσῃ· νῦν ὕστατα δειπνήσειαν."

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 23 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF DREAMS IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

2.23 “εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο;
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧι λαοί τ᾽ ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.
νῦν δ᾽ ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ᾽ ἐλεαίρει.
θωρῆξαί σε κέλευσε κάρη κομόωντας Ἀχαιοὺς
πανσυδίηι· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ᾽ ἀμφὶς Ὀλύμπια δώματ᾽ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε᾽ ἐφῆπται
ἐκ Διός. ἀλλὰ σὺ σῇισιν ἔχε φρεσί, μηδέ σε λήθη
Dream αἱρείτω, εὖτ᾽ ἄν σε μελίφρων ὕπνος ἀνήηι.”

“εὕδεις, Πηνελόπεια, φίλον τετιημένη ἦτορ; **4.804**
οὐ μέν σ᾽ οὐδὲ ἐῶσι θεοὶ ῥεῖα ζώοντες
κλαίειν οὐδ᾽ ἀκάχησθαι, ἐπεί ῥ᾽ ἔτι νόστιμός ἐστιν
σὸς παῖς· οὐ μὲν γάρ τι θεοῖς ἀλιτήμενός ἐστιν.” **Iphthime**
“θάρσει, μηδέ τι πάγχυ μετὰ φρεσὶ δείδιθι λίην· **4.825**
τοίη γάρ οἱ πομπὸς ἅμ᾽ ἔρχεται, ἥν τε καὶ ἄλλοι
ἀνέρες ἠρήσαντο παρεστάμεναι — δύναται γάρ —
Παλλὰς Ἀθηναίη· σὲ δ᾽ ὀδυρομένην ἐλεαίρει·
ἣ νῦν με προέηκε τεῒν τάδε μυθήσασθαι.” **Iphthime**
“οὐ μέν τοι κεῖνόν γε διηνεκέως ἀγορεύσω, **4.836**
ζώει ὅ γ᾽ ἦ τέθνηκε· κακὸν δ᾽ ἀνεμώλια βάζειν.” **Iphthime**

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 8 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF THE ὀτρηρὴ ταμίη OF ANDROMACHE IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

6.382 "Ἕκτορ, ἐπεὶ μάλ' ἄνωγας ἀληθέα μυθήσασθαι,
οὔτε πη ἐς γαλόων οὔτ' εἰνατέρων εὐπέπλων
οὔτ' ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι
Τρωιαὶ ἐϋπλόκαμοι δεινὴν θεὸν ἱλάσκονται,
ἀλλ' ἐπὶ πύργον ἔβη μεγαν Ἰλίου, οὕνεκ' ἄκουσεν
τείρεσθαι Τρῶας, μέγα δὲ κράτος εἶναι Ἀχαιῶν.
ὀτρηρὴ ἡ μὲν δὴ πρὸς τεῖχος ἐπειγομένη ἀφικάνει
ταμίη μαινομένηι εἰκυῖα· φέρει δ' ἅμα παῖδα τιθήνη."

6.382 "Ἕκτορ, ἐπεὶ μάλ' ἄνωγας ἀληθέα μυθήσασθαι,
οὔτε πη ἐς γαλόων οὔτ' εἰνατέρων εὐπέπλων
ὀτρηρὴ οὔτ' ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι
ταμίη Τρωιαὶ ἐϋπλόκαμοι δεινὴν θεὸν ἱλάσκονται,
ἀλλ' ἐπὶ πύργον ἔβη μεγαν Ἰλίου, οὕνεκ' ἄκουσεν
τείρεσθαι Τρῶας, μέγα δὲ κράτος εἶναι Ἀχαιῶν.
ἡ μὲν δὴ πρὸς τεῖχος ἐπειγομένη ἀφικάνει
μαινομένηι εἰκυῖα· φέρει δ' ἅμα παῖδα τιθήνη."

Notes

Notes

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 17 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF (PRIEST OF APOLLO) CHRYSES IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.17 “Ἀτρεΐδαί τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ,
ὑμῖν μὲν θεοὶ δοῖεν Ὀλύμπια δώματ’ ἔχοντες
ἐκπέρσαι Πριάμοιο πόλιν, εὖ δ’ οἴκαδ’ ἱκέσθαι·
παῖδα δ’ ἐμοὶ λύσαι τε φίλην τὰ τ’ ἄποινα δέχεσθαι,
Chryses ἁζόμενοι Διὸς υἱὸν ἑκηβόλον Ἀπόλλωνα.”

1.37 “κλῦθί μευ, Ἀργυρότοξ’, ὃς Χρύσην ἀμφιβέβηκας
Κίλλάν τε ζαθέην Τενέδοιό τε ἶφι ἀνάσσεις,
Σμινθεῦ· εἴ_ποτέ τοι χαρίεντ’ ἐπὶ νηὸν ἔρεψα,
ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί’ ἔκηα
ταύρων ἠδ’ αἰγῶν, τόδε μοι κρήηνον ἐέλδωρ·
Chryses τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσιν.”

1.451 “κλῦθί μευ, ἀργυρότοξ’, ὃς Χρύσην ἀμφιβέβηκας
Κίλλάν τε ζαθέην, Τενέδοιό τε ἶφι ἀνάσσεις.
ἠμὲν δή ποτ’ ἐμέο πάρος ἔκλυες εὐξαμένοιο·
τίμησας μὲν ἐμὲ, μέγα δ’ ἴψαο λαὸν Ἀχαιῶν·
ἠδ’ ἔτι καὶ νῦν μοι τόδ’ ἐπικρήηνον ἐέλδωρ·
Chryses ἤδη νῦν Δαναοῖσιν ἀεικέα λοιγὸν ἄμυνον.”

1.17 “Ἀτρεΐδαί τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ,
ὑμῖν μὲν θεοὶ δοῖεν Ὀλύμπια δώματ’ ἔχοντες
ἐκπέρσαι Πριάμοιο πόλιν, εὖ δ’ οἴκαδ’ ἱκέσθαι·
παῖδα δ’ ἐμοὶ λύσαι τε φίλην τὰ τ’ ἄποινα δέχεσθαι,
Chryses ἁζόμενοι Διὸς υἱὸν ἑκηβόλον Ἀπόλλωνα.”

“κλῦθί μευ, Ἀργυρότοξ’, ὃς Χρύσην ἀμφιβέβηκας 1.37
Κίλλάν τε ζαθέην Τενέδοιό τε ἶφι ἀνάσσεις,
Σμινθεῦ· εἴ_ποτέ τοι χαρίεντ’ ἐπὶ νηὸν ἔρεψα,
ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί’ ἔκηα
ταύρων ἠδ’ αἰγῶν, τόδε μοι κρήηνον ἐέλδωρ·
τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσιν.” Chryses

1.451 “κλῦθί μ<u>ευ</u>, ἀργυρότοξ’, ὃς Χρύσην ἀμφιβέβηκας
Κίλλάν τε ζαθέην, Τενέδοιό τε ἶφι ἀνάσσεις.
ἠμὲν δή ποτ’ ἐμέο πάρος ἔκλυες εὐ̓ξαμένοιο·
τίμησας μὲν ἐμὲ, μέγα δ’ ἴψαο λαὸν Ἀχαιῶν·
ἠ̓δ’ ἔτι καὶ νῦν μοι τόδ’ ἐπικρήηνον ἐέλδωρ·
Chryses ἤδη νῦν Δαναοῖσιν ἀεικέα λοιγὸν ἄμυνον.”

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 24 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES OF
(PRIESTESS OF ATHENA)

THEANO

IN **THE ILIAD** BY
THE **SKAIAN GATE**

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

6.501 σκαιῇι, δεξιτερῇι δ’ ἄρ’ ὑπ’ ἀνθερεῶνος ἑλοῦσα
λισσομένη προσέειπε Δία Κρονίωνα ἄνακτα·
“Ζεῦ πάτερ, εἴ_ποτε δή σε μετ’ ἀθανάτοισιν ὄνησα
ἢ ἔπει ἢ ἔργωι, τόδε μοι κρήηνον ἐέλδωρ·
τίμησόν μοι υἱὸν, ὃς ὠκυμορώτατος ἄλλων
ἔπλετ’, ἀτάρ μιν νῦν γε ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.
ἀλλὰ σύ πέρ μιν τῖσον, Ὀλύμπιε μητίετα Ζεῦ·
τόφρα δ’ ἐπὶ Τρώεσσι τίθει κράτος, ὄφρ’ ἂν Ἀχαιοὶ
υἱὸν ἐμὸν τίσωσιν ὀφέλλωσίν τέ ἑ τιμῇι.”
✦ ὣς φάτο· τήν δ’ οὔ_τι προσέφη νεφεληγερέτα Ζεὺς,
ἀλλ’ ἀκέων δὴν ἧστο. Θέτις δ’ ὡς ἥψατο γούνων,

“πότνι’ Ἀθηναίη ἐρυσίπτολι, δῖα θεάων, 6.305
ἆξον δὴ ἔγχος Διομήδεος, ἠδὲ καὶ αὐτὸν
πρηνέα δὸς πεσέειν Σκαιῶν προπάροιθε πυλάων,
ὄφρα τοι αὐτίκα νῦν δυοκαίδεκα βοῦς ἐνὶ νηῶι
ἤνις ἠκέστας ἱερεύσομεν, αἴ κ’ ἐλεήσῃς Theano
ἄστύ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα.”
“πότνι’ Ἀθηναίη ἐρυσίπτολι, δῖα θεάων, 6.305
ἆξον δὴ ἔγχος Διομήδεος, ἠδὲ καὶ αὐτὸν
πρηνέα δὸς πεσέειν Σκαιῶν προπάροιθε πυλάων,
ὄφρα τοι αὐτίκα νῦν δυοκαίδεκα βοῦς ἐνὶ νηῶι
ἤνις ἠκέστας ἱερεύσομεν, αἴ κ’ ἐλεήσῃς Theano
ἄστύ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα.”

Notes

Notes

ALTERNATING: ILIAD ASCENDS FROM START; OD. DESCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 199 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF SEERS IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.74 “ὦ Ἀχιλεῦ, κέλεαί με, διίφιλε, μυθήσασθαι
μῆνιν Ἀπόλλωνος ἑκατηβελέταο ἄνακτος.
τοι γὰρ ἐγὼν ἐρέω· σὺ δὲ σύνθεο καί μοι ὄμοσσον
ἦ μέν μοι πρόφρων ἔπεσιν καὶ χερσὶν ἀρήξειν·
ἦ γὰρ ὀΐομαι ἄνδρα χολωσέμεν, ὃς μέγα πάντων
Ἀργείων κρατέει καί οἱ πείθονται Ἀχαιοί.
κρέσσων γὰρ βασιλεύς, ὅτε χώσεται ἀνδρὶ χέρηϊ·
εἴ περ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψηι,
ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσηι,
Kalchas ἐν στήθεσσιν ἑοῖσι. σὺ δὲ φράσαι εἴ με σαώσεις.”
24.454 “κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅττί κεν εἴπω·
ὑμετέρηι κακότητι, φίλοι, τάδε ἔργα γένοντο·
οὐ γὰρ ἐμοὶ πείθεσθ’, οὐ Μέντορι ποιμένι λαῶν,
ὑμετέρους παῖδας καταπαυέμεν ἀφροσυνάων,
οἳ μέγα ἔργον ἔρεξαν ἀτασθαλίηισι κακῆισιν,
κτήματα κείροντες καὶ ἀτιμάζοντες ἄκοιτιν
ἀνδρὸς ἀριστῆος· τὸν δ’ οὐκέτι φάντο νέεσθαι.
Hali- καὶ νῦν ὧδε γένοιτο· πίθεσθέ μοι, ὡς ἀγορεύω·
therses μὴ ἴομεν, μή πού τις ἐπισπαστὸν κακὸν εὕρηι.”
1.93 “οὔτ’ ἄρ’ ὅ γ’ εὐχωλῆς ἐπιμέμφεται οὐθ’ ἑκατόμβης,
ἀλλ’ ἕνεκ’ ἀρητῆρος, ὃν ἠτίμησ’ Ἀγαμέμνων
οὐδ’ ἀπέλυσε θύγατρα καὶ οὐκ ἀπεδέξατ’ ἄποινα·
τοὔνεκ’ ἄρ’ ἄλγε’ ἔδωκεν Ἑκηβόλος ἠδ’ ἔτι δώσει.
οὐδ’ ὅ γε πρὶν Δαναοῖσιν ἀεικέα λοιγὸν ἀπώσει,
πρίν γ’ ἀπὸ πατρὶ φίλωι δόμεναι ἑλικώπιδα κούρην
Kalchas ἀπριάτην, ἀνάποινον, ἄγειν θ’ ἱερὴν ἑκατόμβην
ἐς Χρύσην· τότε κέν μιν ἱλασσάμενοι πεπίθοιμεν.”
22.312 “γουνοῦμαί σ’, Ὀδυσεῦ· σὺ δέ μ’ αἴδεο καί μ’ ἐλέησον·
οὐ γάρ πώ τινά φημι γυναικῶν ἐν μεγάροισιν
εἰπεῖν οὔτέ τι ῥέξαι ἀτάσθαλον· ἀλλὰ καὶ ἄλλους
παύεσκον μνηστῆρας, ὅ τις τοιαῦτά γε ῥέζοι.
ἀλλά μοι οὐ πείθοντο κακῶν ἄπο χεῖρας ἔχεσθαι·
τῶι καὶ ἀτασθαλίηισιν ἀεικέα πότμον ἐπέσπον.
Lei- αὐτὰρ ἐγὼ μετὰ τοῖσι θυοσκόος οὐδὲν ἑοργὼς
odes κείσομαι, ὡς οὐκ ἔστι χάρις μετόπισθ’ εὐεργέων.”
6.77 “Αἰνεία τε καὶ Ἕκτορ, ἐπεὶ πόνος ὔμμι μάλιστα
Τρώων καὶ Λυκίων ἐγκέκλιται, οὕνεκ’ ἄριστοι
πᾶσαν ἐπ’ ἰθύν ἐστε μάχεσθαί τε φρονέειν τε,
στῆτ’ αὐτοῦ, καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων
πάντηι ἐποιχόμενοι, πρὶν αὖτ’ ἐν χερσὶ γυναικῶν
φεύγοντας πεσέειν, δηΐοισι δὲ χάρμα γενέσθαι.
αὐτὰρ ἐπεί κε φάλαγγας ἐποτρύνητον ἁπάσας,
ἡμεῖς μὲν Δαναοῖσι μαχησόμεθ’ αὖθι μένοντες,
καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει·
Ἕκτορ, ἀτὰρ σὺ πόλινδε μετέρχεο, εἰπὲ δ’ ἔπειτα
μητέρι σῆι καὶ ἐμῆι· ἡ δὲ ξυνάγουσα γεραιὰς
νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλει ἄκρηι,
οἴξασα κληῖδι θύρας ἱεροῖο δόμοιο,
πέπλον, ὅ οἱ δοκέει χαριέστατος ἠδὲ μέγιστος
εἶναι ἐνὶ μεγάρωι καί οἱ πολὺ φίλτατος αὐτῆι,
θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο,
καί οἱ ὑποσχέσθαι δυοκαίδεκα βοῦς ἐνὶ νηῶι
ἤνις ἠκέστας ἱερευσέμεν, αἴ κ’ ἐλεήσηι
ἄστυ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα,
αἴ κεν Τυδέος υἱὸν ἀπόσχηι Ἰλίου ἱρῆς,
ἄγριον αἰχμητήν, κρατερὸν μήστωρα φόβοιο,
ὃν δὴ ἐγὼ κάρτιστον Ἀχαιῶν φημι γενέσθαι.
οὐδ’ Ἀχιλῆά ποθ’ ὧδέ γ’ ἐδείδιμεν, ὄρχαμον ἀνδρῶν,
ὅν περ φασὶ θεᾶς ἐξ ἔμμεναι· ἀλλ’ ὅδε λίην
μαίνεται, οὐδέ τίς οἱ δύναται μένος ἰσοφαρίζειν.” Helenos
15.244 ◆ “Ἕκτορ, υἱὲ Πριάμοιο, τίη δὲ σὺ νόσφιν ἀπ’ ἄλλων
Apollo ἧσ’ ὀλιγηπελέων; ἦ πού τί σε κῆδος ἱκάνει;”
15.254 “θάρσει νῦν· τοῖόν τοι ἀοσσητῆρα Κρονίων
ἐξ Ἴδης προέηκε παρεστάμεναι καὶ ἀμύνειν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὅς σε πάρος περ
ῥύομ’, ὁμῶς αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον.
ἀλλ’ ἄγε νῦν ἱππεῦσιν ἐπότρυνον πολέεσσιν
νηυσὶν ἔπι γλαφυρῆισιν ἐλαυνέμεν ὠκέας ἵππους·
αὐτὰρ ἐγὼ προπάροιθε κιὼν ἵπποισι κέλευθον
Apollo πᾶσαν λειανέω, τρέψω δ’ ἥρωας Ἀχαιούς.”
16.721 “Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδὲ τί σε χρή.
αἴθ’ ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἴην·
τῶι κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.
Apollo ἀλλ’ ἄγε, Πατρόκλωι ἔφεπε κρατερώνυχας ἵππους,
as Asios αἴ κέν πώς μιν ἕληις, δώηι δέ τοι εὖχος Ἀπόλλων.”
17.75 “Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων,
ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ’ ἀλεγεινοὶ
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ’ ὀχέεσθαι,
ἄλλωι γ’ ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱὸς,
Apollo Πατρόκλωι περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνεν,
as Mentes Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς.”
17.327 “Αἰνεία πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσσαισθε
Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
κάρτεΐ τε σθένεΐ τε πεποιθότας ἠνορέηι τε
πλήθεΐ τε σφετέρωι, καὶ ὑπερδέα δῆμον ἔχοντας. Apollo
ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται ἢ Δαναοῖσιν as Peri-
νίκην· ἀλλ’ αὐτοὶ τρεῖτ’ ἄσπετον οὐδὲ μάχεσθε.” phas
“Ἕκτορ, τίς κέ σ’ ἔτ’ ἄλλος Ἀχαιῶν ταρβήσειεν; 17.586
οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ
μαλθακὸς αἰχμητής· νῦν δ’ οἴχεται οἶος ἀείρας Apollo
νεκρὸν ὕπεκ Τρώων· σὸν δ’ ἔκτανε πιστὸν ἑταῖρον, as Phae-
ἐσθλὸν ἐνὶ προμάχοισι, Ποδῆν υἱὸν Ἠετίωνος.” nops
“Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαὶ, 20.83
ἃς Τρώων βασιλεῦσιν ὑπίσχεο οἰνοποτάζων,
Πηλείδεω Ἀχιλῆος ἐναντίβιον πτολεμίζειν;” Apollo
“ἥρως, ἀλλ’ ἄγε καὶ σὺ θεοῖς αἰειγενέτηισιν 20.104
εὔχεο· καὶ δὲ σέ φασι Διὸς κούρης Ἀφροδίτης
ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεοῦ ἐστίν.
ἡ μὲν γὰρ Διός ἐσθ’, ἡ δ’ ἐξ ἁλίοιο γέροντος.
ἀλλ’ ἰθὺς φέρε χαλκὸν ἀτειρέα, μηδέ σε πάμπαν
λευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῆι.” Apollo
“Ἕκτορ, μηκέτι πάμπαν Ἀχιλλῆϊ προμάχιζε, 20.376
ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίσβοιο δέδεξο,
μή πώς σ’ ἠὲ βάληι, ἠὲ σχεδὸν ἄορι τύψηι.” Apollo
“Ἐννοσίγαι’, οὐκ ἄν με σαόφρονα μυθήσαιο 21.462
ἔμμεναι, εἰ δὴ σοί_γε βροτῶν ἕνεκα πτολεμίξω
δειλῶν, οἳ φύλλοισιν ἐοικότες ἄλλοτε μέν τε
ζαφλεγέες τελέθουσιν, ἀρούρης καρπὸν ἔδοντες,
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι. ἀλλὰ τάχιστα
παυσώμεσθα μάχης· οἱ δ’ αὐτοὶ δηριαάσθων.” Apollo
“ὤ_ μοι ἐγών· εἰ μέν κεν ὑπὸ κρατεροῦ Ἀχιλῆος 21.553
φεύγω, τῆι_περ οἱ ἄλλοι ἀτυζόμενοι κλονέονται,
αἱρήσει με καὶ ὧς, καὶ ἀνάλκιδα δειροτομήσει.
εἰ δ’ ἂν ἐγὼ τούτους μὲν ὑποκλονέεσθαι ἐάσω
Πηλεΐδηι Ἀχιλῆϊ, ποσὶν δ’ ἀπὸ τείχεος ἄλληι
φεύγω πρὸς πεδίον Ἰλήϊον, ὄφρ’ ἂν ἵκωμαι
Ἴδης τε κνημοὺς κατά τε ῥωπήϊα δύω·
ἑσπέριος δ’ ἂν ἔπειτα λοεσσάμενος ποταμοῖο,
ἱδρῶ ἀποψυχθεὶς, προτὶ Ἴλιον ἀπονεοίμην.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
μή μ’ ἀπαειρόμενον πόλιος πεδίονδε νοήσηι
καί με μεταΐξας μάρψηι ταχέεσσι πόδεσσιν.
οὐκέτ’ ἔπειτ’ ἔσται θάνατον καὶ κῆρας ἀλύξαι·
λίην γὰρ κρατερὸς περὶ πάντων ἔστ’ ἀνθρώπων.
εἰ δέ κέν οἱ προπάροιθε πόλιος κατ’_ἐναντίον ἔλθω·
καὶ γάρ θην τούτωι τρωτὸς χρὼς ὀξέϊ χαλκῶι,
ἐν δὲ ἴα ψυχὴ, θνητὸν δέ ἕ φασ’ ἄνθρωποι Agenor or
ἔμμεναι· αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει.” Apollo
“τίπτε με, Πηλέος υἱὲ, ποσὶν ταχέεσσι διώκεις, 22.8
αὐτὸς θνητὸς ἐὼν θεὸν ἄμβροτον; οὐδέ νύ πώ με
ἔγνως ὡς θεός εἰμι, σὺ δ’ ἀσπερχὲς μενεαίνεις.
ἦ νύ τοι οὔ_τι μέλει Τρώων πόνος οὓς ἐφόβησας,

οἳ δή_τοι εἰς ἄστυ ἄλεν, σὺ δὲ δεῦρο λιάσθης.
Apollo οὐ μέν με κτενέεις, ἐπεὶ οὔ_τοι μόρσιμός εἰμι."
24.33 "σχέτλιοί ἐστε, θεοί, δηλήμονες· οὔ νύ ποθ' ὑμῖν
Ἕκτωρ μηρί' ἔκηε βοῶν αἰγῶν τε τελείων;
τὸν νῦν οὐκ ἔτλητε, νέκυν περ ἐόντα, σαῶσαι,
ἧι τ' ἀλόχωι ἰδέειν καὶ μητέρι καὶ τέκεϊ ὧι
καὶ πατέρι Πριάμωι λαοῖσί τε, τοί κέ μιν ὦκα
ἐν πυρὶ κήαιεν καὶ ἐπὶ κτέρεα κτερίσαιεν·
ἀλλ' ὀλοῶι Ἀχιλῆϊ, θεοί, βούλεσθ' ἐπαρήγειν,
ὧι οὔτ' ἄρ' φρένες εἰσὶν ἐναίσιμοι οὔτε νόημα
γναμπτὸν ἐνὶ στήθεσσι, λέων δ' ὣς ἄγρια οἶδεν,
ὅς τ' ἐπεὶ ἂρ μεγάληι τε βίηι καὶ ἀγήνορι θυμῶι
εἴξας εἶσ' ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβησιν.
ὣς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδὼς
γίγνεται, ἥ_τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν.
μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
ἠὲ κασίγνητον ὁμογάστριον ἠὲ καὶ υἱόν·
ἀλλ' ἤτοι κλαύσας καὶ ὀδυράμενος μεθέηκεν·
τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.
αὐτὰρ ὅ_γ' Ἕκτορα δῖον, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
ἵππων ἐξάπτων περὶ σῆμ' ἑτάροιο φίλοιο
ἕλκει· οὐ μήν οἱ τό_γε κάλλιον οὐδέ τ' ἄμεινον·
μὴ ἀγαθῶι περ ἐόντι νεμεσσηθῶμέν οἱ ἡμεῖς.
Apollo κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων."
8.335 "Ἑρμεία, Διὸς υἱέ, διάκτορε, δῶτορ ἐάων,
✦ ἦ ῥά κεν ἐν δεσμοῖς ἐθέλοις κρατεροῖσι πιεσθεὶς
Apollo ✦ εὕδειν ἐν λέκτροισι παρὰ χρυσῆι Ἀφροδίτηι;"

Notes

Notes

EXCLUDES **21.553** ff

“ὤ μοι ἐγών· εἰ μέν κεν ὑπὸ κρατεροῦ Ἀχιλῆος **21.553**
φεύγω, τῇ περ οἱ ἄλλοι ἀτυζόμενοι κλονέονται,
αἱρήσει με καὶ ὧς, καὶ ἀνάλκιδα δειροτομήσει.
εἰ δ’ ἂν ἐγὼ τούτους μὲν ὑποκλονέεσθαι ἐάσω
Πηλεΐδῃ Ἀχιλῆϊ, ποσὶν δ’ ἀπὸ τείχεος ἄλλῃ
φεύγω πρὸς πεδίον Ἰλήϊον, ὄφρ’ ἂν ἵκωμαι
Ἴδης τε κνημοὺς κατά τε ῥωπήϊα δύω·
ἑσπέριος δ’ ἂν ἔπειτα λοεσσάμενος ποταμοῖο,
ἱδρῶ ἀποψυχθεὶς, προτὶ Ἴλιον ἀπονεοίμην.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
μή μ’ ἀπαειρόμενον πόλιος πεδίονδε νοήσῃ
καί με μεταΐξας μάρψῃ ταχέεσσι πόδεσσιν.
οὐκέτ’ ἔπειτ’ ἔσται θάνατον καὶ κῆρας ἀλύξαι·
λίην γὰρ κρατερὸς περὶ πάντων ἔστ’ ἀνθρώπων.
εἰ δέ κέν οἱ προπάροιθε πόλιος κατ’ ἐναντίον ἔλθω·
καὶ γάρ θην τούτῳ τρωτὸς χρὼς ὀξέϊ χαλκῷ,
ἐν δὲ ἴα ψυχὴ, θνητὸν δέ ἕ φασ’ ἄνθρωποι **Agenor or**
ἔμμεναι· αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει.” **Apollo**

ILIAD AND OD.
ASCEND FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 109 lines 3.0

As some way-faring Man, who wanders o’er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF
APOLLO
IN HOMER

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

4.509 “ὄρνυσθ’, ἱππόδαμοι Τρῶες, μηδ’ εἴκετε χάρμης
Ἀργείοις, ἐπεὶ οὔ σφι λίθος χρὼς οὐδὲ σίδηρος,
χαλκὸν ἀνασχέσθαι ταμεσίχροα βαλλομένοισιν.
οὐ μὰν οὐδ’ Ἀχιλεὺς, Θέτιδος παῖς ἠϋκόμοιο,
Apollo μάρναται, ἀλλ’ ἐπὶ νηυσὶ χόλον θυμαλγέα πέσσει.”
5.440 “φράζεο, Τυδεΐδη, καὶ χάζεο, μηδὲ θεοῖσιν
ἶσ’ ἔθελε φρονέειν, ἐπεὶ οὔ ποτε φῦλον ὁμοῖον
Apollo ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ’ ἀνθρώπων.”
5.455 “Ἆρες Ἄρες βροτολοιγὲ, μιαιφόνε, τειχεσιπλῆτα,
οὐκ ἂν δὴ τόνδ’ ἄνδρα μάχης ἐρύσαιο μετελθὼν,
Τυδεΐδην, ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο;
Κύπριδα μὲν πρῶτα σχεδὸν οὔτασε χεῖρ’ ἐπὶ καρπῶι,
Apollo αὐτὰρ ἔπειτ’ αὐτῶι μοι ἐπέσσυτο δαίμονι ἶσος.”
7.24 “τίπτε σὺ δ’ αὖ μεμαυῖα, Διὸς θύγατερ μεγάλοιο,
ἦλθες ἀπ’ Οὐλύμποιο, μέγας δέ σε θυμὸς ἀνῆκεν;
ἦ ἵνα δὴ Δαναοῖσι μάχης ἑτεραλκέα νίκην
δῶις; ἐπεὶ οὔ τι Τρῶας ἀπολλυμένους ἐλεαίρεις.
ἀλλ’ εἴ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη.
νῦν μὲν παύσωμεν πόλεμον καὶ δηϊοτῆτα
σήμερον· ὕστερον αὖτε μαχήσοντ’, εἰς ὅ κε τέκμωρ
Ἰλίου εὕρωσιν, ἐπεὶ ὣς φίλον ἔπλετο θυμῶι
Apollo ✦ ὑμῖν ἀθανάτῃισι, διαπραθέειν τόδε ἄστυ.”
7.38 “Ἕκτορος ὄρσωμεν κρατερὸν μένος ἱπποδάμοιο,
ἥν τινά που Δαναῶν προκαλέσσεται οἰόθεν οἶος
ἀντίβιον μαχέσασθαι ἐν αἰνῆι δηϊοτῆτι,
οἱ δέ κ’ ἀγασσάμενοι χαλκοκνήμιδες Ἀχαιοὶ
Apollo οἶον ἐπόρσειαν πολεμίζειν Ἕκτορι δίωι.”
8.335 “Ἑρμεία, Διὸς υἱὲ, διάκτορε, δῶτορ ἑάων,
✦ ἦ ῥά κεν ἐν δεσμοῖς ἐθέλοις κρατεροῖσι πιεσθεὶς
Apollo εὕδειν ἐν λέκτροισι παρὰ χρυσῆι Ἀφροδίτηι;”
15.244 “Ἕκτορ, υἱὲ Πριάμοιο, τίη δὲ σὺ νόσφιν ἀπ’ ἄλλων
Apollo ἧσ’ ὀλιγηπελέων; ἦ πού τί σε κῆδος ἱκάνει;”
15.254 “θάρσει νῦν· τοῖόν τοι ἀοσσητῆρα Κρονίων
ἐξ Ἴδης προέηκε παρεστάμεναι καὶ ἀμύνειν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὅς σε πάρος περ
ῥύομ’, ὁμῶς αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον.
ἀλλ’ ἄγε νῦν ἱππεῦσιν ἐπότρυνον πολέεσσιν
νηυσὶν ἔπι γλαφυρῆισιν ἐλαυνέμεν ὠκέας ἵππους·
αὐτὰρ ἐγὼ προπάροιθε κιὼν ἵπποισι κέλευθον
Apollo πᾶσαν λειανέω, τρέψω δ’ ἥρωας Ἀχαιούς.”
16.721 “Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδὲ τί σε χρή.
αἴθ’ ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἴην·
τῶι κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.
Apollo ἀλλ’ ἄγε, Πατρόκλωι ἔφεπε κρατερώνυχας ἵππους,
as Asios αἴ κέν πώς μιν ἕλῃς, δώηι δέ τοι εὖχος Ἀπόλλων.”.
17.75 “Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων,
ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ’ ἀλεγεινοὶ
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ’ ὀχέεσθαι,
ἄλλωι γ’ ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱὸς,
Πατρόκλωι περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνεν, Apollo
Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς.” as Mentes
“Αἰνεία πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσσαισθε 17.327
Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
κάρτεΐ τε σθένεΐ τε πεποιθότας ἠνορέηι τε
πλήθεΐ τε σφετέρωι, καὶ ὑπερδέα δῆμον ἔχοντας. Apollo
ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται ἢ Δαναοῖσιν as Peri-
νίκην· ἀλλ’ αὐτοὶ τρεῖτ’ ἄσπετον οὐδὲ μάχεσθε.” phas
“Ἕκτορ, τίς κέ σ’ ἔτ’ ἄλλος Ἀχαιῶν ταρβήσειεν; 17.586
οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ
μαλθακὸς αἰχμητής· νῦν δ’ οἴχεται οἶος ἀείρας Apollo
νεκρὸν ὕπεκ Τρώων· σὸν δ’ ἔκτανε πιστὸν ἑταῖρον, as Phae-
ἐσθλὸν ἐνὶ προμάχοισι, Ποδῆν υἱὸν Ἠετίωνος.” nops
“Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαὶ, 20.83
ἃς Τρώων βασιλεῦσιν ὑπίσχεο οἰνοποτάζων,
Πηλεΐδεω Ἀχιλῆος ἐναντίβιον πτολεμίζειν;” Apollo
“ἥρως, ἀλλ’ ἄγε καὶ σὺ θεοῖς αἰειγενέτῃσιν 20.104
εὔχεο· καὶ δὲ σέ φασι Διὸς κούρης Ἀφροδίτης
ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεοῦ ἐστίν.
ἣ μὲν γὰρ Διός ἐσθ’, ἣ δ’ ἐξ ἁλίοιο γέροντος.
ἀλλ’ ἰθὺς φέρε χαλκὸν ἀτειρέα, μηδέ σε πάμπαν
λευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῆι.” Apollo
“Ἕκτορ, μηκέτι πάμπαν Ἀχιλλῆϊ προμάχιζε, 20.376
ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίσβοιο δέδεξο,
μή πώς σ’ ἠὲ βάλῃι, ἠὲ σχεδὸν ἄορι τύψηι.” Apollo
“Ἐννοσίγαι’, οὐκ ἄν με σαόφρονα μυθήσαιο 21.462
ἔμμεναι, εἰ δὴ σοί γε βροτῶν ἕνεκα πτολεμίξω
δειλῶν, οἳ φύλλοισιν ἐοικότες ἄλλοτε μέν τε
ζαφλεγέες τελέθουσιν, ἀρούρης καρπὸν ἔδοντες,
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι. ἀλλὰ τάχιστα
παυσώμεσθα μάχης· οἱ δ’ αὐτοὶ δηριαάσθων.” Apollo
“τίπτε με, Πηλέος υἱὲ, ποσὶν ταχέεσσι διώκεις, 22.8
αὐτὸς θνητὸς ἐὼν θεὸν ἄμβροτον; οὐδέ νύ πώ με
ἔγνως ὡς θεός εἰμι, σὺ δ’ ἀσπερχὲς μενεαίνεις.
ἦ νύ τοι οὔ τι μέλει Τρώων πόνος οὓς ἐφόβησας,
οἳ δή τοι εἰς ἄστυ ἄλεν, σὺ δὲ δεῦρο λιάσθης.
οὐ μέν με κτενέεις, ἐπεὶ οὔ τοι μόρσιμός εἰμι.” Apollo
“σχέτλιοί ἐστε, θεοὶ, δηλήμονες· οὔ νύ ποθ’ ὑμῖν 24.33
Ἕκτωρ μηρί’ ἔκηε βοῶν αἰγῶν τε τελείων;
τὸν νῦν οὐκ ἔτλητε, νέκυν περ ἐόντα, σαῶσαι,
ἧι τ’ ἀλόχωι ἰδέειν καὶ μητέρι καὶ τέκεϊ ὧι
καὶ πατέρι Πριάμωι λαοῖσί τε, τοί κέ μιν ὦκα
ἐν πυρὶ κήαιεν καὶ ἐπὶ κτέρεα κτερίσαιεν·
ἀλλ’ ὀλοῶι Ἀχιλῆϊ, θεοὶ, βούλεσθ’ ἐπαρήγειν,
ὧι οὔτ’ ἂρ φρένες εἰσὶν ἐναίσιμοι οὔτε νόημα
γναμπτὸν ἐνὶ στήθεσσι, λέων δ’ ὣς ἄγρια οἶδεν,
ὅς τ’ ἐπεὶ ἂρ μεγάληι τε βίηι καὶ ἀγήνορι θυμῶι
εἴξας εἶσ’ ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβησιν.
ὣς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδώς
γίγνεται, ἥ τ’ ἄνδρας μέγα σίνεται ἠδ’ ὀνίνησιν.

μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
ἠὲ κασίγνητον ὁμογάστριον ἠὲ καὶ υἱόν·
ἀλλ' ἤτοι κλαύσας καὶ ὀδυράμενος μεθέηκεν·
τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.
αὐτὰρ ὅ_γ' Ἕκτορα δῖον, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
ἵππων ἐξάπτων περὶ σῆμ' ἑτάροιο φίλοιο
ἕλκει· οὐ μῆν οἱ τό_γε κάλλιον οὐδέ τ' ἄμεινον·
μὴ ἀγαθῶι περ ἐόντι νεμεσσηθῶμέν οἱ ἡμεῖς.
κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων."

Notes

Notes

EXCLUDES **21.553** ff

“ὤ_ μοι ἐγών· εἰ μέν κεν ὑπὸ κρατεροῦ Ἀχιλῆος **21.553**
φεύγω, τῆι_περ οἱ ἄλλοι ἀτυζόμενοι κλονέονται,
αἱρήσει με καὶ ὧς, καὶ ἀνάλκιδα δειροτομήσει.
εἰ δ' ἂν ἐγὼ τούτους μὲν ὑποκλονέεσθαι ἐάσω
Πηλεΐδηι Ἀχιλῆϊ, ποσὶν δ' ἀπὸ τείχεος ἄλληι
φεύγω πρὸς πεδίον Ἰλήϊον, ὄφρ' ἂν ἵκωμαι
Ἴδης τε κνημοὺς κατά τε ῥωπήϊα δύω·
ἑσπέριος δ' ἂν ἔπειτα λοεσσάμενος ποταμοῖο,
ἱδρῶ ἀποψυχθεὶς, προτὶ Ἴλιον ἀπονεοίμην.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
μή μ' ἀπαειρόμενον πόλιος πεδίονδε νοήσηι
καί με μεταΐξας μάρψηι ταχέεσσι πόδεσσιν.
οὐκέτ' ἔπειτ' ἔσται θάνατον καὶ κῆρας ἀλύξαι·
λίην γὰρ κρατερὸς περὶ πάντων ἔστ' ἀνθρώπων.
εἰ δέ κέν οἱ προπάροιθε πόλιος κατ'_ἐναντίον ἔλθω·
καὶ γάρ θην τούτωι τρωτὸς χρὼς ὀξέϊ χαλκῶι,
ἐν δὲ ἴα ψυχὴ, θνητὸν δέ ἕ φασ' ἄνθρωποι **Agenor or**
ἔμμεναι· αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει.” **Apollo**

ILIAD ASCENDS
THEN OD. ASCENDS

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 109 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF
APOLLO
IN HOMER

EPIC POEM
.ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

4.509 “ὄρνυσθ’, ἱππόδαμοι Τρῶες, μηδ’ εἴκετε χάρμης
Ἀργείοις, ἐπεὶ οὔ σφι λίθος χρὼς οὐδὲ σίδηρος,
χαλκὸν ἀνασχέσθαι ταμεσίχροα βαλλομένοισιν.
οὐ μὰν οὐδ’ Ἀχιλεὺς, Θέτιδος παῖς ἠϋκόμοιο,
Apollo μάρναται, ἀλλ’ ἐπὶ νηυσὶ χόλον θυμαλγέα πέσσει.”
5.440 “φράζεο, Τυδείδη, καὶ χάζεο, μηδὲ θεοῖσιν
ἶσ’ ἔθελε φρονέειν, ἐπεὶ οὔ ποτε φῦλον ὁμοῖον
Apollo ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ’ ἀνθρώπων.”
5.455 “Ἆρες Ἄρες βροτολοιγὲ, μιαιφόνε, τειχεσιπλῆτα,
οὐκ ἂν δὴ τόνδ’ ἄνδρα μάχης ἐρύσαιο μετελθὼν,
Τυδείδην, ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο;
Κύπριδα μὲν πρῶτα σχεδὸν οὔτασε χεῖρ’ ἐπὶ καρπῶι,
Apollo αὐτὰρ ἔπειτ’ αὐτῶι μοι ἐπέσσυτο δαίμονι ἶσος.”
7.24 “τίπτε σὺ δ’ αὖ μεμαυῖα, Διὸς θύγατερ μεγάλοιο,
ἦλθες ἀπ’ Οὐλύμποιο, μέγας δέ σε θυμὸς ἀνῆκεν;
ἦ ἵνα δὴ Δαναοῖσι μάχης ἑτεραλκέα νίκην
δῶις; ἐπεὶ οὔ τι Τρῶας ἀπολλυμένους ἐλεαίρεις.
ἀλλ’ εἴ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη.
νῦν μὲν παύσωμεν πόλεμον καὶ δηϊοτῆτα
σήμερον· ὕστερον αὖτε μαχήσοντ’, εἰς ὅ κε τέκμωρ
Ἰλίου εὕρωσιν, ἐπεὶ ὣς φίλον ἔπλετο θυμῶι
Apollo ✦ ὑμῖν ἀθανάτῃσι, διαπραθέειν τόδε ἄστυ.”
7.38 “Ἕκτορος ὄρσωμεν κρατερὸν μένος ἱπποδάμοιο,
ἤν τινά που Δαναῶν προκαλέσσεται οἰόθεν οἶος
ἀντίβιον μαχέσασθαι ἐν αἰνῆι δηϊοτῆτι,
οἱ δέ κ’ ἀγασσάμενοι χαλκοκνήμιδες Ἀχαιοὶ
Apollo οἶον ἐπόρσειαν πολεμίζειν Ἕκτορι δίωι.”
15.244 “Ἕκτορ, υἱὲ Πριάμοιο, τίη δὲ σὺ νόσφιν ἀπ’ ἄλλων
Apollo ἧσ’ ὀλιγηπελέων; ἦ πού τί σε κῆδος ἱκάνει;”
15.254 “θάρσει νῦν· τοῖόν τοι ἀοσσητῆρα Κρονίων
ἐξ Ἴδης προέηκε παρεστάμεναι καὶ ἀμύνειν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὅς σε πάρος περ
ῥύομ’, ὁμῶς αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον.
ἀλλ’ ἄγε νῦν ἱππεῦσιν ἐπότρυνον πολέεσσιν
νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν ὠκέας ἵππους·
αὐτὰρ ἐγὼ προπάροιθε κιὼν ἵπποισι κέλευθον
Apollo πᾶσαν λειανέω, τρέψω δ’ ἥρωας Ἀχαιούς.”
16.721 “Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή.
αἴθ’ ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἴην·
τῶι κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.
Apollo ἀλλ’ ἄγε, Πατρόκλωι ἔφεπε κρατερώνυχας ἵππους,
as Asios αἴ κέν πώς μιν ἕλῃις, δώηι δέ τοι εὖχος Ἀπόλλων.”.
17.75 “Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων,
ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ’ ἀλεγεινοὶ
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ’ ὀχέεσθαι,
ἄλλωι γ’ ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱὸς,
Apollo Πατρόκλωι περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνεν,
as Mentes Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς.”
17.327 “Αἰνεία πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσσαισθε
Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
κάρτεΐ τε σθένεΐ τε πεποιθότας ἠνορέηι τε
πλήθεΐ τε σφετέρωι, καὶ ὑπερδέα δῆμον ἔχοντας. Apollo
ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται ἢ Δαναοῖσιν as Peri-
νίκην· ἀλλ’ αὐτοὶ τρεῖτ’ ἄσπετον οὐδὲ μάχεσθε.” phas
“Ἕκτορ, τίς κέ σ’ ἔτ’ ἄλλος Ἀχαιῶν ταρβήσειεν; 17.586
οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ
μαλθακὸς αἰχμητής· νῦν δ’ οἴχεται οἶος ἀείρας Apollo
νεκρὸν ὕπεκ Τρώων· σὸν δ’ ἔκτανε πιστὸν ἑταῖρον, as Phae-
ἐσθλὸν ἐνὶ προμάχοισι, Ποδῆν υἱὸν Ἠετίωνος.” nops
“Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαὶ, 20.83
ἃς Τρώων βασιλεῦσιν ὑπίσχεο οἰνοποτάζων,
Πηλείδεω Ἀχιλῆος ἐναντίβιον πτολεμίζειν;” Apollo
“ἥρως, ἀλλ’ ἄγε καὶ σὺ θεοῖς αἰειγενέτῃσιν 20.104
εὔχεο· καὶ δὲ σέ φασι Διὸς κούρης Ἀφροδίτης
ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεοῦ ἐστίν.
ἡ μὲν γὰρ Διός ἐσθ’, ἡ δ’ ἐξ ἁλίοιο γέροντος.
ἀλλ’ ἰθὺς φέρε χαλκὸν ἀτειρέα, μηδέ σε πάμπαν
λευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῆι.” Apollo
“Ἕκτορ, μηκέτι πάμπαν Ἀχιλλῆϊ προμάχιζε, 20.376
ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίσβοιο δέδεξο,
μή πώς σ’ ἠὲ βάληι, ἠὲ σχεδὸν ἄορι τύψηι.” Apollo
“Ἐννοσίγαι’, οὐκ ἄν με σαόφρονα μυθήσαιο 21.462
ἔμμεναι, εἰ δὴ σοί γε βροτῶν ἕνεκα πτολεμίξω
δειλῶν, οἳ φύλλοισιν ἐοικότες ἄλλοτε μέν τε
ζαφλεγέες τελέθουσιν, ἀρούρης καρπὸν ἔδοντες,
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι. ἀλλὰ τάχιστα
παυσώμεσθα μάχης· οἱ δ’ αὐτοὶ δηριαάσθων.” Apollo
“τίπτε με, Πηλέος υἱὲ, ποσὶν ταχέεσσι διώκεις, 22.8
αὐτὸς θνητὸς ἐὼν θεὸν ἄμβροτον; οὐδέ νύ πώ με
ἔγνως ὡς θεός εἰμι, σὺ δ’ ἀσπερχὲς μενεαίνεις.
ἦ νύ τοι οὔ τι μέλει Τρώων πόνος οὓς ἐφόβησας,
οἳ δή τοι εἰς ἄστυ ἄλεν, σὺ δὲ δεῦρο λιάσθης.
οὐ μέν με κτενέεις, ἐπεὶ οὔ τοι μόρσιμός εἰμι.” Apollo
“σχέτλιοί ἐστε, θεοί, δηλήμονες· οὔ νύ ποθ’ ὑμῖν 24.33
Ἕκτωρ μηρί’ ἔκηε βοῶν αἰγῶν τε τελείων;
τὸν νῦν οὐκ ἔτλητε, νέκυν περ ἐόντα, σαῶσαι,
ἧι τ’ ἀλόχωι ἰδέειν καὶ μητέρι καὶ τέκεϊ ὧι
καὶ πατέρι Πριάμωι λαοῖσί τε, τοί κέ μιν ὦκα
ἐν πυρὶ κήαιεν καὶ ἐπὶ κτέρεα κτερίσαιεν·
ἀλλ’ ὀλοῶι Ἀχιλῆϊ, θεοί, βούλεσθ’ ἐπαρήγειν,
ὧι οὔτ’ ἄρ’ φρένες εἰσὶν ἐναίσιμοι οὔτε νόημα
γναμπτὸν ἐνὶ στήθεσσι, λέων δ’ ὣς ἄγρια οἶδεν,
ὅς τ’ ἐπεὶ ἂρ μεγάλῃ τε βίηι καὶ ἀγήνορι θυμῶι
εἴξας εἶσ’ ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβῃσιν.
ὣς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδὼς
γίγνεται, ἥ τ’ ἄνδρας μέγα σίνεται ἠδ’ ὀνίνησιν.
μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
ἠὲ κασίγνητον ὁμογάστριον ἠὲ καὶ υἱόν·
ἀλλ’ ἤτοι κλαύσας καὶ ὀδυράμενος μεθέηκεν·

τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.
αὐτὰρ ὅ_γ' Ἕκτορα δῖον, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
ἵππων ἐξάπτων περὶ σῆμ' ἑτάροιο φίλοιο
ἕλκει· οὐ μῆν οἱ τό_γε κάλλιον οὐδέ τ' ἄμεινον·
μὴ ἀγαθῶι περ ἐόντι νεμεσσηθῶμέν οἱ ἡμεῖς.
κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων."

8.335 "Ἑρμεία, Διὸς υἱὲ, διάκτορε, δῶτορ ἑάων,
◆ ἦ ῥά κεν ἐν δεσμοῖς ἐθέλοις κρατεροῖσι πιεσθεὶς
Apollo εὕδειν ἐν λέκτροισι παρὰ χρυσῆι Ἀφροδίτηι;"

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 41 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES

OF

ARES

IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

5.464 “ὦ υἱεῖς Πριάμοιο, διοτρεφέος βασιλῆος,
ἐς τί ἔτι κτείνεσθαι ἐάσετε λαὸν Ἀχαιοῖς;
ἦ εἰς ὅ κεν ἀμφὶ πύλῃς εὐποιήτῃσι μάχωνται;
κεῖται ἀνὴρ ὅν τ’ ἶσον ἐτίομεν Ἕκτορι δίωι,
Αἰνείας, υἱὸς μεγαλήτορος Ἀγχίσαο.
Ares ἀλλ’ ἄγετ’ ἐκ φλοίσβοιο σαώσομεν ἐσθλὸν ἑταῖρον.”
5.872 “Ζεῦ πάτερ, οὐ νεμεσίζε’ ὁρῶν τάδε καρτερὰ ἔργα;
αἰεί τοι ῥίγιστα θεοὶ τετληότες εἰμὲν
ἀλλήλων ἰότητι, χάριν ἄνδρεσσι φέροντες.
σοὶ πάντες μαχόμεσθα· σὺ γὰρ τέκες ἄφρονα κούρην,
οὐλομένην, ᾗι τ’ αἰὲν ἀήσυλα ἔργα μέμηλεν.
ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ’ ἐν Ὀλύμπωι,
σοί τ’ ἐπιπείθονται καὶ δεδμήμεσθα ἕκαστος·
ταύτην δ’ οὔτ’ ἔπεϊ προτιβάλλεαι οὔτέ τι ἔργωι,
ἀλλ’ ἀνίεις, ἐπεὶ αὐτὸς ἐγείναο παῖδ’ ἀΐδηλον·
ἣ νῦν Τυδέος υἱόν, ὑπέρθυμον Διομήδεα,
μαργαίνειν ἀνέηκεν ἐπ’ ἀθανάτοισι θεοῖσιν.
Κύπριδα μὲν πρῶτα σχεδὸν οὔτασε χεῖρ’ ἐπὶ καρπῶι,
αὐτὰρ ἔπειτ’ αὐτῶι μοι ἐπέσσυτο δαίμονι ἶσος·
ἀλλά μ’ ὑπήνεικαν ταχέες πόδες· ἦ τε κε δηρὸν
αὐτοῦ πήματ’ ἔπασχον ἐν αἰνῇσιν νεκάδεσσιν,
ἤ κε ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσιν.”

μαργαίνειν ἀνέηκεν ἐπ’ ἀθανάτοισι θεοῖσιν.
Κύπριδα μὲν πρῶτα σχεδὸν οὔτασε χεῖρ’ ἐπὶ καρπῶι,
αὐτὰρ ἔπειτ’ αὐτῶι μοι ἐπέσσυτο δαίμονι ἶσος·
ἀλλά μ’ ὑπήνεικαν ταχέες πόδες· ἦ τε κε δηρὸν
αὐτοῦ πήματ’ ἔπασχον ἐν αἰνῇσιν νεκάδεσσιν,
ἤ κε ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσιν.” Ares
“μὴ νῦν μοι νεμεσήσετ’, Ὀλύμπια δώματ’ ἔχοντες, 15.115
τείσασθαι φόνον υἷος ἰόντ’ ἐπὶ νῆας Ἀχαιῶν,
εἴ πέρ μοι καὶ μοῖρα Διὸς πληγέντι κεραυνῶι
κεῖσθαι ὁμοῦ νεκύεσσι μεθ’ αἵματι καὶ κονίῃσιν.” Ares
“τίπτ’ αὖτ’, ὦ κυνάμυια, θεοὺς ἔριδι ξυνελαύνεις 21.394
θάρσος ἄητον ἔχουσα, μέγας δέ σε θυμὸς ἀνῆκεν;
ἦ οὐ μέμνηι, ὅτε Τυδείδην Διομήδε’ ἀνῆκας
οὐτάμεναι, αὐτὴ δὲ πανόψιον ἔγχος ἑλοῦσα
ἰθὺς ἐμεῦ ὦσας, διὰ δὲ χρόα καλὸν ἔδαψας;
τώ σ’ αὖ νῦν ὀΐω ἀποτεισέμεν, ὅσσα μ’ ἔοργας.” Ares
“δεῦρο, φίλη, λέκτρονδε τραπείομεν εὐνηθέντες· 8.292
οὐ γὰρ ἔθ’ Ἥφαιστος μεταδήμιος, ἀλλά που ἤδη
οἴχεται ἐς Λῆμνον μετὰ Σίντιας ἀγριοφώνους.” Ares

ILIAD ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 8 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF ARTEMIS IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

21.472 “φεύγεις δὴ, Ἑκάεργε, Ποσειδάωνι δὲ νίκην
πᾶσαν ἐπέτρεψας, μέλεον δέ οἱ εὖχος ἔδωκας·
νηπύτιε, τί νυ τόξον ἔχεις ἀνεμώλιον αὔτως;
μή σευ νῦν ἔτι πατρὸς ἐνὶ μεγάροισιν ἀκούσω
εὐχομένου, ὡς τὸ πρὶν ἐν ἀθανάτοισι θεοῖσιν,
Artemis ἄντα Ποσειδάωνος ἐναντίβιον πτολεμίξειν.”
21.512 “σή μ’ ἄλοχος στυφέλιξε, πάτερ, λευκώλενος Ἥρη,
Artemis ἐξ ἧς ἀθανάτοισιν ἔρις καὶ νεῖκος ἐφῆπται.”

21.472 “φεύγεις δὴ, Ἑκάεργε, Ποσειδάωνι δὲ νίκην
πᾶσαν ἐπέτρεψας, μέλεον δέ οἱ εὖχος ἔδωκας·
νηπύτιε, τί νυ τόξον ἔχεις ἀνεμώλιον αὔτως;
μή σευ νῦν ἔτι πατρὸς ἐνὶ μεγάροισιν ἀκούσω
εὐχομένου, ὡς τὸ πρὶν ἐν ἀθανάτοισι θεοῖσιν,
ἄντα Ποσειδάωνος ἐναντίβιον πτολεμίξειν.” Artemis
“σή μ’ ἄλοχος στυφέλιξε, πάτερ, λευκώλενος Ἥρη, 21.512
ἐξ ἧς ἀθανάτοισιν ἔρις καὶ νεῖκος ἐφῆπται.” Artemis

Notes

Notes

ILIAD AND OD.
ASCEND FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 606 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF ATHENA IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.45 “ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
καὶ λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρωι·
ὡς ἀπόλοιτο καὶ ἄλλος, ὅ_τις τοιαῦτά γε ῥέζοι.
ἀλλά μοι ἀμφ’ Ὀδυσῆϊ δαΐφρονι δαίεται ἦτορ,
δυσμόρωι, ὃς δὴ δηθὰ φίλων ἄπο πήματα πάσχει
νήσωι ἐν ἀμφιρύτηι, ὅθι τ’ ὀμφαλός ἐστι θαλάσσης·
νῆσος δενδρήεσσα, θεὰ δ’ ἐν δώματα ναίει,
Ἄτλαντος θυγάτηρ ὀλοόφρονος, ὅς_τε θαλάσσης
πάσης βένθεα οἶδεν, ἔχει δέ τε κίονας αὐτὸς
μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν.
τοῦ θυγάτηρ δύστηνον ὀδυρόμενον κατερύκει,
αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισιν
θέλγει, ὅπως Ἰθάκης ἐπιλήσεται· αὐτὰρ Ὀδυσσεὺς,
ἱέμενος καὶ καπνὸν ἀποθρώισκοντα νοῆσαι
ἧς γαίης, θανέειν ἱμείρεται. οὐδέ νυ σοί περ
ἐντρέπεται φίλον ἦτορ, Ὀλύμπιε. οὔ νύ τ’ Ὀδυσσεὺς
Ἀργείων παρὰ νηυσὶ χαρίζετο ἱερὰ ῥέζων
Athena Τροίηι ἐν εὐρείηι; τί νύ οἱ τόσον ὠδύσαο, Ζεῦ;”
1.81 “ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
εἰ μὲν δὴ νῦν τοῦτο φίλον μακάρεσσι θεοῖσιν,
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε,
Ἑρμείαν μὲν ἔπειτα διάκτορον Ἀργειφόντην,
νῆσον ἐς Ὠγυγίην ὀτρύνομεν, ὄφρα τάχιστα
νύμφηι ἐϋπλοκάμωι εἴπηι νημερτέα βουλὴν,
νόστον Ὀδυσσῆος ταλασίφρονος, ὥς κε νέηται.
L1[I] αὐτὰρ ἐγὼν Ἰθάκηνδε ἐλεύσομαι, ὄφρα οἱ υἱὸν
𝔸 μᾶλλον ἐποτρύνω, καί οἱ μένος ἐν φρεσὶ θείω,
εἰς ἀγορὴν καλέσαντα κάρη_κομόωντας Ἀχαιοὺς
πᾶσι μνηστήρεσσιν ἀπειπέμεν, οἵ_τέ οἱ αἰεὶ
μῆλ’ ἁδινὰ σφάζουσι καὶ εἰλίποδας ἕλικας βοῦς.
πέμψω δ’ ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα,
νόστον πευσόμενον πατρὸς φίλου, ἤν που ἀκούσηι,
ἠδ’ ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχησιν.”
1.179 “τοιγὰρ ἐγώ τοι ταῦτα μάλ’ ἀτρεκέως ἀγορεύσω.
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
νῦν δ’ ὧδε ξὺν νηῒ κατήλυθον ἠδ’ ἑτάροισιν,
πλέων ἐπὶ οἴνοπα πόντον ἐπ’ ἀλλοθρόους ἀνθρώπους,
ἐς Τεμέσην μετὰ χαλκὸν, ἄγω δ’ αἴθωνα σίδηρον.
νηῦς δέ μοι ἥδ’ ἕστηκεν ἐπ’ ἀγροῦ νόσφι πόληος,
ἐν λιμένι Ῥείθρωι, ὑπὸ Νηΐωι ὑλήεντι.
ξεῖνοι δ’ ἀλλήλων πατρώϊοι εὐχόμεθ’ εἶναι
ἐξ ἀρχῆς, εἴ_πέρ τε γέροντ’ εἴρηαι ἐπελθὼν
Λαέρτην ἥρωα, τὸν οὐκέτι φασὶ πόλινδε
ἔρχεσθ’, ἀλλ’ ἀπάνευθεν ἐπ’ ἀγροῦ πήματα πάσχειν
γρηῒ σὺν ἀμφιπόλωι, ἥ οἱ βρῶσίν τε πόσιν τε
παρτιθεῖ, εὖτ’ ἄν μιν κάματος κατὰ γυῖα λάβησιν
ἑρπύζοντ’ ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
νῦν δ’ ἦλθον· δὴ γάρ μιν ἔφαντ’ ἐπιδήμιον εἶναι,
σὸν πατέρ’· ἀλλά νυ τόν_γε θεοὶ βλάπτουσι κελεύθου.
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀδυσσεὺς,
ἀλλ’ ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντωι,
νήσωι ἐν ἀμφιρύτηι, χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν,
ἄγριοι, οἵ που κεῖνον ἐρυκανόωσ’ ἀέκοντα.
αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῶι
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω,
οὔτέ τι μάντις ἐὼν οὔτ’ οἰωνῶν σάφα εἰδώς·
οὔ_τοι ἔτι δηρόν γε φίλης ἀπὸ πατρίδος αἴης
ἔσσεται, οὐδ’ εἴ_πέρ τε σιδήρεα δέσματ’ ἔχησιν·
φράσσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστιν.
ἀλλ’ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἰ δὴ ἐξ αὐτοῖο τόσος παῖς εἰς Ὀδυσῆος.
αἰνῶς μὲν κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας
κείνωι, ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ’ ἀλλήλοισιν,
πρίν γε τὸν ἐς Τροίην ἀναβήμεναι, ἔνθά περ ἄλλοι
Ἀργείων οἱ ἄριστοι ἔβαν κοίλης ἐπὶ νηυσίν· Athena as
ἐκ τοῦ δ’ οὔτ’ Ὀδυσῆα ἐγὼν ἴδον οὔτ’ ἐμὲ κεῖνος.” Mentes
“ἦλθον ἐγὼ παύσουσα τεὸν μένος, αἴ κε πίθηαι, 1.207
οὐρανόθεν· πρὸ δέ μ’ ἧκε θεὰ λευκώλενος Ἥρη,
ἄμφω ὁμῶς θυμῶι φιλέουσά τε κηδομένη τε.
ἀλλ’ ἄγε, λῆγ’ ἔριδος, μηδὲ ξίφος ἕλκεο χειρί·
ἀλλ’ ἤτοι ἔπεσιν μὲν ὀνείδισον ὡς ἔσεταί περ. ✦
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
καί ποτέ τοι τρὶς τόσσα παρέσσεται ἀγλαὰ δῶρα
ὕβριος εἵνεκα τῆσδε· σὺ δ’ ἴσχεο, πείθεο δ’ ἡμῖν.” Athena
“οὐ μέν τοι γενεήν γε θεοὶ νώνυμνον ὀπίσσω L2[O] 1.222
θῆκαν, ἐπεὶ σέ_γε τοῖον ἐγείνατο Πηνελόπεια. 𝔸
ἀλλ’ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
τίς δαὶς, τίς δὲ ὅμιλος ὅδ’ ἔπλετο; τίπτε δέ σε χρεώ;
εἰλαπίνη ἠὲ γάμος; ἐπεὶ οὐκ ἔρανος τάδε γ’ ἐστίν.
ὥς_τέ μοι ὑβρίζοντες ὑπερφιάλως δοκέουσιν
δαίνυσθαι κατὰ δῶμα. νεμεσσήσαιτό κεν ἀνὴρ
αἴσχεα πόλλ’ ὁρόων, ὅς_τις πινυτός γε μετέλθοι.” Athena
“ὢ πόποι, ἦ δὴ πολλὸν ἀποιχομένου Ὀδυσῆος 1.253
δεύηι, ὅ κε μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφείη.
εἰ γὰρ νῦν ἐλθὼν δόμου ἐν πρώτηισι θύρηισιν
σταίη, ἔχων πήληκα καὶ ἀσπίδα καὶ δύο δοῦρε,
τοῖος ἐὼν οἷόν μιν ἐγὼ τὰ πρῶτ’ ἐνόησα
οἴκωι ἐν ἡμετέρωι πίνοντά τε τερπόμενόν τε,
ἐξ Ἐφύρης ἀνιόντα παρ’ Ἴλου Μερμερίδαο.
ὤιχετο γὰρ καὶ κεῖσε θοῆς ἐπὶ νηὸς Ὀδυσσεύς
φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα οἱ εἴη
ἰοὺς χρίεσθαι χαλκήρεας· ἀλλ’ ὁ μὲν οὔ οἱ
δῶκεν, ἐπεί ῥα θεοὺς νεμεσίζετο αἰὲν ἐόντας,
ἀλλὰ πατήρ οἱ δῶκεν ἐμός· φιλέεσκε γὰρ αἰνῶς.
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
πάντές κ’ ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
ἀλλ’ ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
ἤ κεν νοστήσας ἀποτίσεται, ἠὲ καὶ οὐκί,
οἷσιν ἐνὶ μεγάροισι· σὲ δὲ φράζεσθαι ἄνωγα,

ὅππως κε μνηστῆρας ἀπώσεαι ἐκ μεγάροιο.
εἰ δ' ἄγε νῦν ξυνίει καὶ ἐμῶν ἐμπάζεο μύθων·
αὔριον εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιοὺς
μῦθον πέφραδε πᾶσι, θεοὶ δ' ἐπὶ μάρτυροι ἔστων.
μνηστῆρας μὲν ἐπὶ σφέτερα σκίδνασθαι ἄνωχθι,
μητέρα δ', εἴ οἱ θυμὸς ἐφορμᾶται γαμέεσθαι,
ἂψ ἴτω ἐς μέγαρον πατρὸς μέγα δυναμένοιο·
οἱ δὲ γάμον τεύξουσι καὶ ἀρτυνέουσιν ἔεδνα
πολλὰ μάλ', ὅσσα ἔοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι.
σοὶ δ' αὐτῶι πυκινῶς ὑποθήσομαι, αἴ κε πίθηαι·
νῆ' ἄρσας ἐρέτησιν ἐείκοσιν, ἥ τις ἀρίστη,
ἔρχεο πευσόμενος πατρὸς δὴν οἰχομένοιο,
ἤν τίς τοι εἴπησι βροτῶν, ἢ ὄσσαν ἀκούσηις
ἐκ Διός, ἥ τε μάλιστα φέρει κλέος ἀνθρώποισιν.
πρῶτα μὲν ἐς Πύλον ἐλθὲ καὶ εἴρεο Νέστορα δῖον,
κεῖθεν δὲ Σπάρτηνδε παρὰ ξανθὸν Μενέλαον·
ὃς γὰρ δεύτατος ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων.
εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσηις,
ἦ τ' ἂν τρυχόμενός περ, ἔτι τλαίης ἐνιαυτόν·
εἰ δέ κε τεθνηῶτος ἀκούσηις μηδ' ἔτ' ἐόντος,
νοστήσας δήπειτα φίλην ἐς πατρίδα γαῖαν
σῆμά τέ οἱ χεῦαι καὶ ἐπὶ κτέρεα κτερεΐξαι
πολλὰ μάλ', ὅσσα ἔοικε, καὶ ἀνέρι μητέρα δοῦναι.
αὐτὰρ ἐπὴν δὴ ταῦτα τελευτήσηις τε καὶ ἔρξηις,
φράζεσθαι δήπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
L2[I] ὅππως κε μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσιν
𝔸 κτείνηις ἠὲ δόλωι ἢ ἀμφαδόν· οὐδέ τί σε χρὴ
νηπιάας ὀχέειν, ἐπεὶ οὐκέτι τηλίκος ἐσσί.
ἦ οὐκ ἀΐεις οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης
πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὅ οἱ πατέρα κλυτὸν ἔκτα;
καὶ σύ, φίλος — μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε —
ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπηι.
αὐτὰρ ἐγὼν ἐπὶ νῆα θοὴν κατελεύσομαι ἤδη
ἠδ' ἑτάρους, οἵ πού με μάλ' ἀσχαλόωσι μένοντες·
Athena σοὶ δ' αὐτῶι μελέτω, καὶ ἐμῶν ἐμπάζεο μύθων."
1.315 "μή μ' ἔτι νῦν κατέρυκε, λιλαιόμενόν περ ὁδοῖο.
δῶρον δ' ὅττί κέ μοι δοῦναι φίλον ἦτορ ἀνώγηι,
αὖτις ἀνερχομένωι δόμεναι οἶκόνδε φέρεσθαι,
Athena καὶ μάλα καλὸν ἑλών· σοὶ δ' ἄξιον ἔσται ἀμοιβῆς."
2.173 "διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
οὕτω δὴ οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν
φεύξεσθ' ἐν νήεσσι πολυκλήϊσι πεσόντες,
κὰδ δέ κεν εὐχωλὴν Πριάμωι καὶ Τρωσὶ λίποιτε
Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλοὶ Ἀχαιῶν
ἐν Τροίηι ἀπόλοντο, φίλης ἀπὸ πατρίδος αἴης.
ἀλλ' ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν, μηδ' ἔτ' ἐρώει,
σοῖς δ' ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον,
Athena μηδὲ ἔα νῆας ἅλαδ' ἑλκέμεν ἀμφιελίσσας."
2.270 "Τηλέμαχ' οὐδ' ὄπιθεν κακὸς ἔσσεαι οὐδ' ἀνοήμων.
εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠΰ,
οἷος ἐκεῖνος ἔην τελέσαι ἔργόν τε ἔπος τε,
οὔ τοι ἔπειθ' ἁλίη ὁδὸς ἔσσεται οὐδ' ἀτέλεστος.
εἰ δ' οὐ κείνου γ' ἐσσὶ γόνος καὶ Πηνελοπείης,
οὔ σε γ' ἔπειτα ἔολπα τελευτήσειν ἃ μενοινᾶις.
παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται,
οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους.
ἀλλ' ἐπεὶ οὐδ' ὄπιθεν κακὸς ἔσσεαι οὐδ' ἀνοήμων,
οὐδέ σε πάγχυ γε μῆτις Ὀδυσσῆος προλέλοιπεν,
ἐλπωρή τοι ἔπειτα τελευτῆσαι τάδε ἔργα.
τῶι νῦν μνηστήρων μὲν ἔα βουλήν τε νόον τε
ἀφραδέων, ἐπεὶ οὔ τι νοήμονες οὐδὲ δίκαιοι·
οὐδέ τι ἴσασιν θάνατον καὶ κῆρα μέλαιναν,
ὃς δή σφι σχεδόν ἐστιν, ἐπ' ἤματι πάντας ὀλέσθαι.
σοὶ δ' ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται ἣν σὺ μενοινᾶις·
τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώϊός εἰμι,
ὅς τοι νῆα θοὴν στελέω καὶ ἅμ' ἕψομαι αὐτός.
ἀλλὰ σὺ μὲν πρὸς δώματ' ἰὼν μνηστῆρσιν ὁμίλει,
ὅπλισσόν τ' ἤϊα καὶ ἄγγεσιν ἄρσον ἅπαντα,
οἶνον ἐν ἀμφιφορεῦσι, καὶ ἄλφιτα, μυελὸν ἀνδρῶν,
δέρμασιν ἐν πυκινοῖσιν· ἐγὼ δ' ἀνὰ δῆμον ἑταίρους
αἶψ' ἐθελοντῆρας συλλέξομαι. εἰσὶ δὲ νῆες
πολλαὶ ἐν ἀμφιάλωι Ἰθάκηι, νέαι ἠδὲ παλαιαί·
τάων μέν τοι ἐγὼν ἐπιόψομαι ἥ τις ἀρίστη, **Athena**
ὦκα δ' ἐφοπλίσσαντες ἐνήσομεν εὐρέϊ πόντωι." **as Mentor**
"Τηλέμαχ', ἤδη μέν τοι ἐϋκνήμιδες ἑταῖροι L3[O] 2.402
εἵατ' ἐπήρετμοι, τὴν σὴν ποτιδέγμενοι ὁρμήν· 𝔸 **Athena**
ἀλλ' ἴομεν, μὴ δηθὰ διατρίβωμεν ὁδοῖο." **as Mentor**
"Τηλέμαχ', οὐ μέν σε χρὴ ἔτ' αἰδοῦς οὐδ' ἠβαιόν· 3.14
τοὔνεκα γὰρ καὶ πόντον ἐπέπλως, ὄφρα πύθηαι
πατρὸς, ὅπου κύθε γαῖα καὶ ὅν τινα πότμον ἐπέσπεν.
ἀλλ' ἄγε νῦν ἰθὺς κίε Νέστορος ἱπποδάμοιο·
εἴδομεν ἥν τινα μῆτιν ἐνὶ στήθεσσι κέκευθεν.
λίσσεσθαι δέ μιν αυτὸν, ὅπως νεμερτέα εἴπηι· **Athena**
ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστίν."
"Τηλέμαχ', ἄλλα μὲν αὐτὸς ἐνὶ φρεσὶ σῆισι νοήσεις, 3.26
ἄλλα δὲ καὶ δαίμων ὑποθήσεται· οὐ γὰρ ὀΐω
οὔ σε θεῶν ἀέκητι γενέσθαί τε τραφέμεν τε." **Athena**
"κλῦθι, Ποσείδαον γαιήοχε, μηδὲ μεγήρηις 3.55
ἡμῖν εὐχομένοισι τελευτῆσαι τάδε ἔργα.
Νέστορι μὲν πρώτιστα καὶ υἱάσι κῦδος ὄπαζε,
αὐτὰρ ἔπειτ' ἄλλοισι δίδου χαρίεσσαν ἀμοιβὴν
σύμπασιν Πυλίοισιν ἀγακλειτῆς ἑκατόμβης.
δὸς δ' ἔτι Τηλέμαχον καὶ ἐμὲ πρήξαντα νέεσθαι,
οὕνεκα δεῦρ' ἱκόμεσθα θοῆι σὺν νηῒ μελαίνηι." **Athena**
"Τηλέμαχε, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων. 3.230
ῥεῖα θεός γ' ἐθέλων καὶ τηλόθεν ἄνδρα σαώσαι.
βουλοίμην δ' ἂν ἐγώ γε καὶ ἄλγεα πολλὰ μογήσας
οἴκαδέ τ' ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι,
ἢ ἐλθὼν ἀπολέσθαι ἐφέστιος, ὡς Ἀγαμέμνων

ὤλεθ' ὑπ' Αἰγίσθοιο δόλωι καὶ ἧς ἀλόχοιο.
ἀλλ' ἤτοι θάνατον μὲν ὁμοίϊον οὐδὲ θεοί περ
καὶ φίλωι ἀνδρὶ δύνανται ἀλαλκέμεν, ὁππότε κεν δὴ
Athena μοῖρ' ὀλοὴ καθέλησι τανηλεγέος θανάτοιο."
3.331 "ὦ γέρον, ἤτοι ταῦτα κατὰ μοῖραν κατέλεξας·
ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας, κεράασθε δὲ οἶνον,
ὄφρα Ποσειδάωνι καὶ ἄλλοις ἀθανάτοισιν
σπείσαντες κοίτοιο μεδώμεθα· τοῖο γὰρ ὥρη.
ἤδη γὰρ φάος οἴχεθ' ὑπὸ ζόφον, οὐδὲ ἔοικεν
Athena δηθὰ θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι."
3.357 "εὖ δὴ ταῦτά γ' ἔφησθα, γέρον φίλε· σοὶ δὲ ἔοικεν
Τηλέμαχον πείθεσθαι, ἐπεὶ πολὺ κάλλιον οὕτως.
ἀλλ' οὗτος μὲν νῦν σοι ἅμ' ἕψεται, ὄφρα κεν εὕδηι
σοῖσιν ἐνὶ μεγάροισιν· ἐγὼ δ' ἐπὶ νῆα μέλαιναν
εἶμ', ἵνα θαρσύνω θ' ἑτάρους εἴπω τε ἕκαστα.
οἶος γὰρ μετὰ τοῖσι γεραίτερος εὔχομαι εἶναι·
οἱ δ' ἄλλοι φιλότητι νεώτεροι ἄνδρες ἕπονται,
πάντες ὁμηλικίη μεγαθύμου Τηλεμάχοιο.
ἔνθα κε λεξαίμην κοίληι παρὰ νηῒ μελαίνηι
νῦν· ἀτὰρ ἠῶθεν μετὰ Καύκωνας μεγαθύμους
εἶμ', ἔνθα χρεῖός μοι ὀφέλλεται, οὔ τι νέον γε,
οὐδ' ὀλίγον. σὺ δὲ τοῦτον, ἐπεὶ τεὸν ἵκετο δῶμα,
Athena πέμψον σὺν δίφρωι τε καὶ υἱέϊ· δὸς δέ οἱ ἵππους,
οἵ τοι ἐλαφρότατοι θείειν καὶ κάρτος ἄριστοι."
4.93 "ἦ ῥά νύ μοί τι πίθοιο, Λυκάονος υἱὲ δαΐφρον;
L3[I] τλαίης κεν Μενελάωι ἔπι προέμεν ταχὺν ἰόν,
𝔸 πᾶσι δέ κε Τρώεσσι χάριν καὶ κῦδος ἄροιο,
ἐκ πάντων δὲ μάλιστα Ἀλεξάνδρωι βασιλῆϊ.
τοῦ κεν δὴ πάμπρωτα πάρ' ἀγλαὰ δῶρα φέροιο,
αἴ κεν ἴδηι Μενέλαον ἀρήϊον Ἀτρέος υἱὸν
σῶι βέλεϊ δμηθέντα, πυρῆς ἐπιβάντ' ἀλεγεινῆς.
ἀλλ' ἄγ' ὀΐστευσον Μενελάου κυδαλίμοιο,
Athena εὔχεο δ' Ἀπόλλωνι Λυκηγενέϊ κλυτοτόξωι
as Lao- ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην
dokon οἴκαδε νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης."
5.7 "Ζεῦ πάτερ ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
μή τις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω
σκηπτοῦχος βασιλεύς, μηδὲ φρεσὶν αἴσιμα εἰδώς·
ἀλλ' αἰεὶ χαλεπός τ' εἴη καὶ αἴσυλα ῥέζοι,
ὡς οὔ τις μέμνηται Ὀδυσσῆος θείοιο
λαῶν, οἷσιν ἄνασσε, πατὴρ δ' ὣς ἤπιος ἦεν.
ἀλλ' ὁ μὲν ἐν νήσωι κεῖται κρατέρ' ἄλγεα πάσχων,
νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκηι
ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι·
οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
νῦν αὖ παῖδ' ἀγαπητὸν ἀποκτεῖναι μεμάασιν
Athena οἴκαδε νισόμενον· ὁ δ' ἔβη μετὰ πατρὸς ἀκουὴν
ἐς Πύλον ἠγαθέην ἠδ' ἐς Λακεδαίμονα δῖαν."
5.31 "Ἆρες Ἄρες βροτολοιγέ, μιαιφόνε, τειχεσιπλῆτα,
οὐκ ἂν δὴ Τρῶας μὲν ἐάσαιμεν καὶ Ἀχαιοὺς
μάρνασθ', ὁπποτέροισι πατὴρ Ζεὺς κῦδος ὀρέξηι,
νῶϊ δὲ χαζώμεσθα, Διὸς δ' ἀλεώμεθα μῆνιν;" Athena
"θαρσῶν νῦν, Διόμηδες, ἐπὶ Τρώεσσι μάχεσθαι· 5.124
ἐν γάρ τοι στήθεσσι μένος πατρώϊον ἧκα
ἄτρομον, οἷον ἔχεσκε σακέσπαλος ἱππότα Τυδεύς·
ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν,
ὄφρ' εὖ γιγνώσκηις ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα.
τῶι νῦν, αἴ κε θεὸς πειρώμενος ἐνθάδ' ἵκηται,
μή τι σύ γ' ἀθανάτοισι θεοῖς ἀντικρὺ μάχεσθαι
τοῖς ἄλλοις· ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
ἔλθησ' ἐς πόλεμον, τήν γ' οὐτάμεν ὀξέϊ χαλκῶι." Athena
"Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι, ὅττι κεν εἴπω; 5.421
ἦ μάλα δή τινα Κύπρις Ἀχαιϊάδων ἀνιεῖσα
Τρωσὶν ἅμα σπέσθαι, τοὺς νῦν ἔκπαγλ' ἐφίλησεν,
τῶν τινὰ καρρέζουσα Ἀχαιϊάδων εὐπέπλων
πρὸς χρυσέηι περόνηι καταμύξατο χεῖρα ἀραιήν." Athena
"ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς. 5.800
Τυδεύς τοι σμικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής.
καί ῥ' ὅτε πέρ μιν ἐγὼ πολεμίζειν οὐκ εἴασκον
οὐδ' ἐκπαιφάσσειν, ὅτε τ' ἤλυθε νόσφιν Ἀχαιῶν
ἄγγελος ἐς Θήβας, πολέας μετὰ Καδμείωνας·
δαίνυσθαί μιν ἄνωγον ἐνὶ μεγάροισιν ἕκηλον·
αὐτὰρ ὁ θυμὸν ἔχων ὃν καρτερόν, ὡς τὸ πάρος περ,
κούρους Καδμείων προκαλίζετο, πάντα δ' ἐνίκα
ῥηϊδίως· τοίη οἱ ἐγὼν ἐπιτάρροθος ἦα. L3[I]
σοὶ δ' ἤτοι μὲν ἐγὼ παρά θ' ἵσταμαι ἠδὲ φυλάσσω, ◆ 𝔸
καί σε προφρονέως κέλομαι Τρώεσσι μάχεσθαι·
ἀλλά σε' ἢ κάματος πολυάϊξ γυῖα δέδυκεν,
ἤ νύ σέ που δέος ἴσχει ἀκήριον· οὐ σύ γ' ἔπειτα
Τυδέος ἔκγονός ἐσσι δαΐφρονος Οἰνεΐδαο." Athena
"Τυδεΐδη Διόμηδες, ἐμῶι κεχαρισμένε θυμῶι, 5.826
μήτε σύ γ' Ἄρηα τό γε δείδιθι μήτε τιν' ἄλλον
ἀθανάτων· τοίη τοι ἐγὼν ἐπιτάρροθός εἰμι.
ἀλλ' ἄγ' ἐπ' Ἄρηϊ πρώτωι ἔχε μώνυχας ἵππους,
τύψον δὲ σχεδίην, μηδ' ἅζεο θοῦρον Ἄρηα
τοῦτον μαινόμενον, τυκτὸν κακόν, ἀλλοπρόσαλλον,
ὃς πρώην μὲν ἐμοί τε καὶ Ἥρηι στεῦτ' ἀγορεύων
Τρωσὶ μαχήσεσθαι, ἀτὰρ Ἀργείοισιν ἀρήξειν,
νῦν δὲ μετὰ Τρώεσσιν ὁμιλεῖ, τῶν δὲ λέλασται." Athena
"Ναυσικάα, τί νύ σ' ὧδε μεθήμονα γείνατο μήτηρ; 6.25
εἵματα μέν τοι κεῖται ἀκηδέα σιγαλόεντα,
σοὶ δὲ γάμος σχεδόν ἐστιν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
ἕννυσθαι, τὰ δὲ τοῖσι παρασχεῖν οἵ κέ σ' ἄγωνται.
ἐκ γάρ τοι τούτων φάτις ἀνθρώπους ἀναβαίνει
ἐσθλή, χαίρουσιν δὲ πατὴρ καὶ πότνια μήτηρ.
ἀλλ' ἴομεν πλυνέουσαι ἅμ' ἠοῖ φαινομένηφιν· ◆
καί τοι ἐγὼ συνέριθος ἅμ' ἕψομαι, ὄφρα τάχιστα
ἐντύνεαι, ἐπεὶ οὔ τοι ἔτι δὴν παρθένος ἔσσεαι·
ἤδη γάρ σε μνῶνται ἀριστῆες κατὰ δῆμον

πάντων Φαιήκων, ὅθι τοι γένος ἐστὶ καὶ αὐτῆι.
Athena ἀλλ' ἄγ' ἐπότρυνον πατέρα κλυτὸν ἠῶθι πρὸ
as κούρηι ἡμιόνους καὶ ἅμαξαν ἐφοπλίσαι, ἥ κεν ἄγῃσιν
Δύμ- ζῶστρά τε καὶ πέπλους καὶ ῥήγεα σιγαλόεντα.
αντος καὶ δὲ σοὶ ὧδ' αὐτῆι πολὺ κάλλιον ἠὲ πόδεσσιν
ἔρχεσθαι· πολλὸν γὰρ ἀπὸ πλυνοί εἰσι πόληος."
7.28 "τοιγὰρ ἐγώ τοι, ξεῖνε πάτερ, δόμον ὅν με κελεύεις
δείξω, ἐπεί μοι πατρὸς ἀμύμονος ἐγγύθι ναίει.
ἀλλ' ἴθι σιγῆι τοῖον, ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω·
μηδέ τιν' ἀνθρώπων προτιόσσεο μηδ' ἐρέεινε.
οὐ γὰρ ξείνους οἵ γε μάλ' ἀνθρώπους ἀνέχονται,
οὐδ' ἀγαπαζόμενοι φιλέουσ' ὅς κ' ἄλλοθεν ἔλθηι.
νηυσὶ θοῆισιν τοί_γε πεποιθότες ὠκείῃσιν
λαῖτμα μέγ' ἐκπερόωσιν, ἐπεί σφισι δῶκ' Ἐνοσίχθων·
Athena τῶν νέες ὠκεῖαι ὡς_εἰ πτερὸν ἠὲ νόημα."
7.34 "ὧδ' ἔστω, Ἑκάεργε· τὰ γὰρ φρονέουσα καὶ αὐτὴ
ἦλθον ἀπ' Οὐλύμποιο μετὰ Τρῶας καὶ Ἀχαιούς.
Athena ἀλλ' ἄγε, πῶς μέμονας πόλεμον καταπαυσέμεν ἀνδρῶν;"
7.48 "οὗτος δή τοι, ξεῖνε πάτερ, δόμος, ὅν με κελεύεις
πεφραδέμεν· δήεις δὲ διοτρεφέας βασιλῆας,
δαίτην δαινυμένους· σὺ δ' ἔσω κίε μηδέ τι θυμῶι
τάρβει· θαρσαλέος γὰρ ἀνὴρ ἐν πᾶσιν ἀμείνων
ἔργοισιν τελέθει, εἰ καί ποθεν ἄλλοθεν ἔλθοι.
δέσποιναν μὲν πρῶτα κιχήσεαι ἐν μεγάροισιν·
Ἀρήτη δ' ὄνομ' ἐστὶν ἐπώνυμον, ἐκ δὲ τοκήων
L3[O] τῶν αὐτῶν οἵ_περ τέκον Ἀλκίνοον βασιλῆα.
𝔸 Ναυσίθοον μὲν πρῶτα Ποσειδάων ἐνοσίχθων
γείνατο καὶ Περίβοια, γυναικῶν εἶδος ἀρίστη,
ὁπλοτάτη θυγάτηρ μεγαλήτορος Εὐρυμέδοντος,
ὅς ποθ' ὑπερθύμοισι Γιγάντεσσιν βασίλευεν.
ἀλλ' ὁ μὲν ὤλεσε λαὸν ἀτάσθαλον, ὤλετο δ' αὐτός,
τῆι δὲ Ποσειδάων ἐμίγη, καὶ ἐγείνατο παῖδα
Ναυσίθοον μεγάθυμον, ὃς ἐν Φαίηξιν ἄνασσεν·
Ναυσίθοος δ' ἔτεκε Ῥηξήνορά τ' Ἀλκίνοόν τε.
τὸν μὲν ἄκουρον ἐόντα βάλ' ἀργυρότοξος Ἀπόλλων
νυμφίον ἐν μεγάρωι, μίαν οἴην παῖδα λιπόντα
Ἀρήτην· τὴν δ' Ἀλκίνοος ποιήσατ' ἄκοιτιν,
καί μιν ἔτισ', ὡς οὔ_τις ἐπὶ χθονὶ τίεται ἄλλη,
ὅσσαι νῦν γε γυναῖκες ὑπ' ἀνδράσιν οἶκον ἔχουσιν.
ὣς κείνη περὶ κῆρι τετίμηταί τε καὶ ἔστιν
ἔκ τε φίλων παίδων ἔκ τ' αὐτοῦ Ἀλκινόοιο
καὶ λαῶν, οἵ μίν ῥα θεὸν ὣς εἰσορόωντες
δειδέχαται μύθοισιν, ὅτε στείχῃσ' ἀνὰ ἄστυ.
οὐ μὲν γάρ τι νόου γε καὶ αὐτὴ δεύεται ἐσθλοῦ·
οἷσίν τ' εὖ φρονέῃσι καὶ ἀνδράσι νείκεα λύει.
εἴ κέν τοι κείνη γε φίλα φρονέῃσ' ἐνὶ θυμῶι,
ἐλπωρή τοι ἔπειτα φίλους τ' ἰδέειν καὶ ἱκέσθαι
Athena οἶκον ἐς ὑψόροφον καὶ σὴν ἐς πατρίδα γαῖαν."
8.31 "ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι σθένος οὐκ ἐπιεικτόν·
ἀλλ' ἔμπης Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων,
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται.
ἀλλ' ἤτοι πολέμου μὲν ἀφεξόμεθ', εἰ σὺ κελεύεις·
βουλὴν δ' Ἀργείοις ὑποθησόμεθ', ἥ_τις ὀνήσει,
ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεοῖο." Athena
"καί κ' ἀλαός τοι, ξεῖνε, διακρίνειε τὸ σῆμα 8.195
ἀμφαφόων, ἐπεὶ οὔ_τι μεμιγμένον ἐστὶν ὁμίλωι,
ἀλλὰ πολὺ πρῶτον. σὺ δὲ θάρσει τόνδε γ' ἄεθλον· Athena
οὔ_τις Φαιήκων τόν γ' ἵξεται οὐδ' ὑπερήσει." as a man
"καὶ λίην οὗτός γε μένος θυμόν τ' ὀλέσειεν, 8.358
χερσὶν ὑπ' Ἀργείων φθίμενος ἐν πατρίδι γαίηι·
ἀλλὰ πατὴρ οὑμὸς φρεσὶ μαίνεται οὐκ ἀγαθῆισιν,
σχέτλιος, αἰὲν ἀλιτρός, ἐμῶν μενέων ἀπερωεύς·
οὐδέ τι τῶν μέμνηται, ὅ οἱ μάλα πολλάκις υἱὸν
τειρόμενον σώεσκον ὑπ' Εὐρυσθῆος ἀέθλων.
ἤτοι ὁ μὲν κλαίεσκε πρὸς οὐρανόν, αὐτὰρ ἐμὲ Ζεὺς
τῶι ἐπαλεξήσουσαν ἀπ' οὐρανόθεν προΐαλλεν.
εἰ γὰρ ἐγὼ τάδε εἴδε' ἐνὶ φρεσὶ πευκαλίμῃσιν,
εὖτέ μιν εἰς Ἀΐδαο πυλάρταο προὔπεμψεν
ἐξ Ἐρέβεος ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο,
οὐκ ἂν ὑπεξέφυγε Στυγὸς ὕδατος αἰπὰ ῥέεθρα.
νῦν δ' ἐμὲ μὲν στυγέει, Θέτιδος δ' ἐξήνυσε βουλάς,
ἥ οἱ γούνατ' ἔκυσσε καὶ ἔλλαβε χειρὶ γενείου,
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον.
ἔσται μὰν ὅτ' ἂν αὖτε φίλην Γλαυκώπιδα εἴπηι.
ἀλλὰ σὺ μὲν νῦν νῶϊν ἐπέντυε μώνυχας ἵππους, L2[I]
ὄφρ' ἂν ἐγὼ καταδῦσα Διὸς δόμον αἰγιόχοιο 𝔸
τεύχεσιν ἐς πόλεμον θωρήξομαι, ὄφρα ἴδωμαι
εἰ νῶϊ Πριάμοιο πάϊς κορυθαιόλος Ἕκτωρ
γηθήσει προφανεῖσα ἀνὰ πτολέμοιο γεφύρας,
ἦ τις καὶ Τρώων κορέει κύνας ἠδ' οἰωνοὺς Athena
δημῶι καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν."
"νόστου δὴ μνῆσαι, μεγαθύμου Τυδέος υἱέ, 10.509
νῆας ἔπι γλαφυράς, μὴ καὶ πεφοβημένος ἔλθῃς,
μή πού τις καὶ Τρῶας ἐγείρῃσιν θεὸς ἄλλος." Athena
"νήπιός εἰς, ὦ ξεῖν', ἢ τηλόθεν εἰλήλουθας, 13.237
εἰ δὴ τήνδε γε γαῖαν ἀνείρεαι. οὐδέ τι λίην
οὕτω νώνυμός ἐστιν· ἴσασι δέ μιν μάλα πολλοί,
ἠμὲν ὅσοι ναίουσι πρὸς Ἠῶ τ' Ἠέλιόν τε, ✦
ἠδ' ὅσσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα.
ἤτοι μὲν τρηχεῖα καὶ οὐχ ἱππήλατός ἐστιν,
οὐδὲ λίην λυπρή, ἀτὰρ οὐδ' εὐρεῖα τέτυκται.
ἐν μὲν γάρ οἱ σῖτος ἀθέσφατος, ἐν δέ τε οἶνος
γίγνεται· αἰεὶ δ' ὄμβρος ἔχει τεθαλυῖά θ' ἐέρση·
αἰγίβοτος δ' ἀγαθὴ καὶ βούβοτος· ἔστι μὲν ὕλη
παντοίη, ἐν δ' ἀρδμοὶ ἐπηετανοὶ παρέασιν.
τῶι τοι, ξεῖν', Ἰθάκης γε καὶ ἐς Τροίην ὄνομ' ἵκει,
τήν_περ τηλοῦ φασὶν Ἀχαιΐδος ἔμμεναι αἴης." Athena
"κερδαλέος κ' εἴη καὶ ἐπίκλοπος ὅς σε παρέλθοι 13.291
ἐν πάντεσσι δόλοισι, καὶ εἰ θεὸς ἀντιάσειεν.

σχέτλιε, ποικιλομῆτα, δόλων ἆτ', οὐκ ἄρ' ἔμελλες,
οὐδ' ἐν σῆι περ ἐὼν γαίηι, λήξειν ἀπατάων
μύθων τε κλοπίων, οἵ τοι πεδόθεν φίλοι εἰσίν.
ἀλλ' ἄγε, μηκέτι ταῦτα λεγώμεθα, εἰδότες ἄμφω
κέρδε', ἐπεὶ σὺ μέν ἐσσι βροτῶν ὄχ' ἄριστος ἁπάντων
βουλῆι καὶ μύθοισιν, ἐγὼ δ' ἐν πᾶσι θεοῖσιν
μήτι τε κλέομαι καὶ κέρδεσιν· οὐδὲ σύ γ' ἔγνως
Παλλάδ' Ἀθηναίην, κούρην Διός, ἥ_τέ τοι αἰεὶ
ἐν πάντεσσι πόνοισι παρίσταμαι ἠδὲ φυλάσσω,
καὶ δέ σε Φαιήκεσσι φίλον πάντεσσιν ἔθηκα.
νῦν αὖ δεῦρ' ἱκόμην, ἵνα τοι σὺν μῆτιν ὑφήνω
χρήματά τε κρύψω, ὅσα τοι Φαίηκες ἀγαυοὶ
ὤπασαν οἴκαδ' ἰόντι ἐμῆι βουλῆι τε νόωι τε,
εἴπω θ' ὅσσα τοι αἶσα δόμοις ἔνι ποιητοῖσιν
κήδε' ἀνασχέσθαι. σὺ δὲ τετλάμεναι καὶ ἀνάγκηι,
Athena μηδέ τωι ἐκφάσθαι μήτ' ἀνδρῶν μήτε γυναικῶν,
as a πάντων, οὕνεκ' ἄρ' ἦλθες ἀλώμενος, ἀλλὰ σιωπῆι
woman πάσχειν ἄλγεα πολλά, βίας ὑποδέγμενος ἀνδρῶν."
13.330 "αἰεί τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα·
τῶι σε καὶ οὐ δύναμαι προλιπεῖν δύστηνον ἐόντα,
οὕνεκ' ἐπητής ἐσσι καὶ ἀγχίνοος καὶ ἐχέφρων.
ἀσπασίως γάρ κ' ἄλλος ἀνὴρ ἀλαλήμενος ἐλθὼν
ἵετ' ἐνὶ μεγάροις ἰδέειν παῖδάς τ' ἄλοχόν τε·
σοὶ δ' οὔ_πω φίλον ἐστὶ δαήμεναι οὐδὲ πυθέσθαι,
πρίν γ' ἔτι σῆς ἀλόχου πειρήσεαι, ἥ_τέ τοι αὔτως
L2[O] ἧσται ἐνὶ μεγάροισιν, ὀϊζυραὶ δέ οἱ αἰεὶ
A φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ_χεούσηι.
αὐτὰρ ἐγὼ τὸ μὲν οὔ_ποτ' ἀπίστεον, ἀλλ' ἐνὶ θυμῶι
ἤιδε', ὃ νοστήσεις ὀλέσας ἄπο πάντας ἑταίρους·
ἀλλά τοι οὐκ ἐθέλησα Ποσειδάωνι μάχεσθαι
πατροκασιγνήτωι, ὅς τοι κότον ἔνθετο θυμῶι,
χωόμενος ὅτι οἱ υἱὸν φίλον ἐξαλάωσας.
ἀλλ' ἄγε τοι δείξω Ἰθάκης ἕδος, ὄφρα πεποίθηις.
Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμήν, ἁλίοιο γέροντος,
ἥδε δ' ἐπὶ κρατὸς λιμένος τανύφυλλος ἐλαίη·
ἀγχόθι δ' αὐτῆς ἄντρον ἐπήρατον ἠεροειδές,
ἱρὸν νυμφάων, αἳ νηϊάδες καλέονται·
τοῦτο δέ τοι σπέος ἐστὶ κατηρεφές, ἔνθα σὺ πολλὰς
ἔρδεσκες Νύμφηισι τελήεσσας ἑκατόμβας·
Athena τοῦτο δὲ Νήριτόν ἐστιν ὄρος καταειμένον ὕληι."
13.362 "θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῆισι μελόντων.
ἀλλ' ἄγε, χρήματα μὲν μυχῶι ἄντρου θεσπεσίοιο
θείομεν αὐτίκα νῦν, ἵνα περ τάδε τοι σόα μίμνηι·
αὐτοὶ δὲ φραζώμεθ' ὅπως ὄχ' ἄριστα γένηται."
13.375 "διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
φράζε' ὅπως μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσεις,
οἳ δή τοι τρίετες μέγαρον κάτα κοιρανέουσιν,
μνώμενοι ἀντιθέην ἄλοχον καὶ ἕδνα διδόντες·
ἡ δὲ σὸν αἰεὶ νόστον ὀδυρομένη κατὰ θυμὸν
πάντας μέν ῥ' ἔλπει καὶ ὑπίσχεται ἀνδρὶ ἑκάστωι,
ἀγγελίας προϊεῖσα, νόος δέ οἱ ἄλλα μενοινᾶι." Athena
"καὶ λίην τοι ἐγώ γε παρέσσομαι, οὐδέ με λήσεις, 13.393
ὁππότε κεν δὴ ταῦτα πενώμεθα· καί τιν' ὀΐω
αἵματί τ' ἐγκεφάλωι τε παλαξέμεν ἄσπετον οὖδας
ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
ἀλλ' ἄγε σ' ἄγνωστον τεύξω πάντεσσι βροτοῖσιν·
κάρψω μὲν χρόα καλὸν ἐπὶ γναμπτοῖσι μέλεσσιν,
ξανθὰς δ' ἐκ κεφαλῆς ὀλέσω τρίχας, ἀμφὶ δὲ λαῖφος
ἕσσω ὅ κε στυγέηισιν ἰδὼν ἄνθρωπος ἔχοντα,
κνυζώσω δέ τοι ὄσσε πάρος περικαλλέ' ἐόντε,
ὡς ἂν ἀεικέλιος πᾶσι μνηστῆρσι φανείης
σῆι τ' ἀλόχωι καὶ παιδί, τὸν ἐν μεγάροισιν ἔλειπες.
αὐτὸς δὲ πρώτιστα συβώτην εἰσαφικέσθαι,
ὅς τοι ὑῶν ἐπίουρος, ὁμῶς δέ τοι ἤπια οἶδεν,
παῖδά τε σὸν φιλέει καὶ ἐχέφρονα Πηνελόπειαν.
δήεις τόν γε σύεσσι παρήμενον· αἳ δὲ νέμονται
πὰρ Κόρακος πέτρηι ἐπί τε κρήνηι Ἀρεθούσηι,
ἔσθουσαι βάλανον μενοεικέα καὶ μέλαν ὕδωρ
πίνουσαι, τά_θ' ὕεσσι τρέφει τεθαλυῖαν ἀλοιφήν.
ἔνθα μένειν καὶ πάντα παρήμενος ἐξερέεσθαι,
ὄφρ' ἂν ἐγὼν ἔλθω Σπάρτην ἐς καλλιγύναικα
Τηλέμαχον καλέουσα, τεὸν φίλον υἱόν, Ὀδυσσεῦ·
ὅς τοι ἐς εὐρύχορον Λακεδαίμονα πὰρ Μενέλαον
ὤιχετο πευσόμενος μετὰ σὸν κλέος, εἴ που ἔτ' εἴης." Athena
"μὴ δή τοι κεῖνός γε λίην ἐνθύμιος ἔστω. 13.421
αὐτή μιν πόμπευον, ἵνα κλέος ἐσθλὸν ἄροιτο L1[I]
κεῖσ' ἐλθών· ἀτὰρ οὔ_τιν' ἔχει πόνον, ἀλλὰ ἕκηλος A
ἧσται ἐν Ἀτρεΐδαο δόμοις, παρὰ δ' ἄσπετα κεῖται.
ἦ μέν μιν λοχόωσι νέοι σὺν νηῒ μελαίνηι,
ἱέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι·
ἀλλὰ τά_γ' οὐκ ὀΐω, πρὶν καί τινα γαῖα καθέξει
ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν." Athena
"Τηλέμαχ', οὐκέτι καλὰ δόμων ἄπο τῆλ' ἀλάλησαι, 15.10
κτήματά τε προλιπὼν ἄνδράς τ' ἐν σοῖσι δόμοισιν
οὕτω ὑπερφιάλους· μή τοι κατὰ πάντα φάγωσιν
κτήματα δασσάμενοι, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθηις.
ἀλλ' ὄτρυνε τάχιστα βοὴν ἀγαθὸν Μενέλαον
πεμπέμεν, ὄφρ' ἔτι οἴκοι ἀμύμονα μητέρα τέτμηις.
ἤδη γάρ ῥα πατήρ τε κασίγνητοί τε κέλονται
Εὐρυμάχωι γήμασθαι· ὁ γὰρ περιβάλλει ἅπαντας
μνηστῆρας δώροισι καὶ ἐξώφελλεν ἔεδνα·
μή νύ τι σεῦ ἀέκητι δόμων ἐκ κτῆμα φέρηται.
οἶσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός·
κείνου βούλεται οἶκον ὀφέλλειν ὅς κεν ὀπυίηι,
παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο
οὐκέτι μέμνηται τεθνηότος οὐδὲ μεταλλᾶι.
ἀλλὰ σύ_γ' ἐλθὼν αὐτὸς ἐπιτρέψειας ἕκαστα
δμωιάων ἥ_τίς τοι ἀρίστη φαίνεται εἶναι,
εἰς_ὅ κέ τοι φήνωσι θεοὶ κυδρὴν παράκοιτιν.
ἄλλο δέ τοί τι ἔπος ἐρέω, σὺ δὲ σύνθεο θυμῶι.

μνηστήρων σ' ἐπιτηδὲς ἀριστῆες λοχόωσιν
ἐν πορθμῶι Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης,
ἱέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι.
ἀλλὰ τά_γ' οὐκ ὀΐω· πρὶν καί τινα γαῖα καθέξει
ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
ἀλλὰ ἑκὰς νήσων ἀπέχειν εὐεργέα νῆα,
νυκτὶ δ' ὁμῶς πλείειν· πέμψει δέ τοι οὖρον ὄπισθεν
ἀθανάτων ὅς_τίς σε φυλάσσει τε ῥύεταί τε.
αὐτὰρ ἐπὴν πρώτην ἀκτὴν Ἰθάκης ἀφίκηαι,
νῆα μὲν ἐς πόλιν ὀτρῦναι καὶ πάντας ἑταίρους,
αὐτὸς δὲ πρώτιστα συβώτην εἰσαφικέσθαι,
ὅς τοι ὑῶν ἐπίουρος, ὁμῶς δέ τοι ἤπια οἶδεν.
ἔνθα δὲ νύκτ' ἀέσαι· τὸν δ' ὀτρῦναι πόλιν εἴσω
ἀγγελίην ἐρέοντα περίφρονι Πηνελοπείηι,
Athena οὕνεκά οἱ σῶς ἐσσὶ καὶ ἐκ Πύλου εἰλήλουθας."
15.128 "μαινόμενε, φρένας ἠλέ, διέφθορας. ἦ νύ τοι αὔτως
οὔατ' ἀκουέμεν ἐστὶ, νόος δ' ἀπόλωλε καὶ αἰδώς.
οὐκ ἀΐεις, ἅ τέ φησι θεὰ λευκώλενος Ἥρη,
ἣ δὴ νῦν πὰρ Ζηνὸς Ὀλυμπίου εἰλήλουθεν;
ἦ ἐθέλεις αὐτὸς μὲν ἀναπλήσας κακὰ πολλὰ
ἂψ ἴμεν Οὔλυμπόνδε, καὶ ἀχνύμενός περ, ἀνάγκηι,
αὐτὰρ τοῖς ἄλλοισι κακὸν μέγα πᾶσι φυτεῦσαι;
αὐτίκα γὰρ Τρῶας μὲν ὑπερθύμους καὶ Ἀχαιοὺς
λείψει, ὁ δ' ἡμέας εἶσι κυδοιμήσων ἐς Ὄλυμπον,
μάρψει δ' ἑξείης ὅς τ' αἴτιος ὅς τε καὶ οὐκί.
L1[O] τῶι σ' αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷος ἑῆος·
𝔸 ἤδη γάρ τις τοῦ_γε βίην καὶ χεῖρας ἀμείνων
ἢ πέφατ', ἢ καὶ ἔπειτα πεφήσεται· ἀργαλέον δὲ
Athena πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε."
16.167 "διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἤδη νῦν σῶι παιδὶ ἔπος φάο μηδ' ἐπίκευθε,
ὡς ἂν μνηστῆρσιν θάνατον καὶ κῆρ' ἀραρόντε
ἔρχησθον προτὶ ἄστυ περικλυτόν· οὐδ' ἐγὼ αὐτὴ
Athena δηρὸν ἀπὸ σφῶϊν ἔσομαι μεμαυῖα μάχεσθαι."
17.556 "σοὶ μὲν δή, Μενέλαε, κατηφείη καὶ ὄνειδος
Athena ἔσσεται, εἴ κ' Ἀχιλῆος ἀγαυοῦ πιστὸν ἑταῖρον
as τείχει ὕπο Τρώων ταχέες κύνες ἑλκήσουσιν.
Phoenix ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα."
20.33 "τίπτ' αὖτ' ἐγρήσσεις, πάντων περὶ κάμμορε φωτῶν;
Athena οἶκος μέν τοι ὅδ' ἐστὶ, γυνὴ δέ τοι ἥδ' ἐνὶ οἴκωι
as woman καὶ παῖς, οἷόν πού τις ἐέλδεται ἔμμεναι υἷα."
20.45 "σχέτλιε, καὶ μέν τίς τε χερείονι πείθεθ' ἑταίρωι,
ὅς_περ θνητός τ' ἐστὶ καὶ οὐ τόσα μήδεα οἶδεν·
αὐτὰρ ἐγὼ θεός εἰμι, διαμπερὲς ἥ σε φυλάσσω
ἐν πάντεσσι πόνοις. ἐρέω δέ τοι ἐξαναφανδόν·
εἴ_περ πεντήκοντα λόχοι μερόπων ἀνθρώπων
νῶϊ περισταῖεν, κτεῖναι μεμαῶτες ἄρηϊ,
καί κεν τῶν ἐλάσαιο βόας καὶ ἴφια μῆλα.
ἀλλ' ἑλέτω σε καὶ ὕπνος· ἀνίη καὶ τὸ φυλάσσειν
Athena πάννυχον ἐγρήσσοντα, κακῶν δ' ὑποδύσεαι ἤδη."

"νηπυτι', οὐδέ νύ πώ περ ἐπεφράσω ὅσσον ἀρείων **21.410**
εὔχομ' ἐγὼν ἔμεναι, ὅτι μοι μένος ἰσοφαρίζεις. ◆
οὕτω κεν τῆς μητρὸς ἐρινύας ἐξαποτίνοις,
ἥ τοι χωομένη κακὰ μήδεται, οὕνεκ' Ἀχαιοὺς
κάλλιπες, αὐτὰρ Τρωσὶν ὑπερφιάλοισιν ἀμύνεις." **Athena**
"τοιοῦτοι νῦν πάντες, ὅσοι Τρώεσσιν ἀρωγοὶ, **21.428**
εἶεν, ὅτ' Ἀργείοισι μαχοίατο θωρηκτῆισιν,
ὧδέ τε θαρσαλέοι καὶ τλήμονες, ὡς Ἀφροδίτη
ἦλθεν Ἄρηι ἐπίκουρος, ἐμῶι μένει ἀντιόωσα·
τῶι κεν δὴ πάλαι ἄμμες ἐπαυσάμεθα πτολέμοιο,
Ἰλίου ἐκπέρσαντες ἐϋκτίμενον πτολίεθρον." **Athena**
"ὦ πάτερ Ἀργικέραυνε, κελαινεφὲς, οἷον ἔειπες· **22.178**
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσηι,
ἂψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
ἔρδ'· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι." **Athena**
"νῦν δὴ νῶϊ γ' ἔολπα, διίφιλε φαίδιμ' Ἀχιλλεῦ, **22.216**
οἴσεσθαι μέγα κῦδος Ἀχαιοῖσι προτὶ νῆας,
Ἕκτορα δηιώσαντε, μάχης ἆτόν περ ἐόντα.
οὔ οἱ νῦν ἔτι γ' ἐστὶ πεφυγμένον ἄμμε γενέσθαι,
οὐδ' εἴ κεν μάλα πολλὰ πάθοι ἑκάεργος Ἀπόλλων
προπροκυλινδόμενος πατρὸς Διὸς αἰγιόχοιο.
ἀλλὰ σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυε, τόνδε δ' ἐγώ τοι
οἰχομένη πεπιθήσω ἐναντίβιον μαχέσασθαι." **Athena**
"οὐκέτι σοί γ', Ὀδυσεῦ, μένος ἔμπεδον οὐδὲ τις ἀλκὴ, **22.226**
οἵη ὅτ' ἀμφ' Ἑλένηι λευκωλένωι εὐπατερείηι
εἰνάετες Τρώεσσιν ἐμάρναο νωλεμὲς αἰεὶ, **L1[O]**
πολλοὺς δ' ἄνδρας ἔπεφνες ἐν αἰνῆι δηϊοτῆτι, 𝔹
σῆι δ' ἤλω βουλῆι Πριάμου πόλις εὐρυάγυια.
πῶς δὴ νῦν, ὅτε σόν γε δόμον καὶ κτήμαθ' ἱκάνεις,
ἄντα μνηστήρων ὀλοφύρεαι ἄλκιμος εἶναι;
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵσταο καὶ ἴδε ἔργον,
ὄφρ' εἴδηις, οἷός τοι ἐν ἀνδράσι δυσμενέεσσιν
Μέντωρ Ἀλκιμίδης εὐεργεσίας ἀποτίνειν." **Athena**
"ἠθεῖ', ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεὺς, **22.229**
ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκων· **Athena as**
ἀλλ' ἄγε δὴ στέωμεν καὶ ἀλεξώμεσθα μένοντες." **Deiphobos**
"ἠθεῖ', ἦ μὲν πολλὰ πατὴρ καὶ πότνια μήτηρ **22.239**
λίσσονθ' ἑξείης γουνούμενοι, ἀμφὶ δ' ἑταῖροι,
αὖθι μένειν· τοῖον γὰρ ὑποτρομέουσιν ἅπαντες·
ἀλλ' ἐμὸς ἔνδοθι θυμὸς ἐτείρετο πένθεϊ λυγρῶι.
νῦν δ' ἰθὺς μεμαῶτε μαχώμεθα, μηδέ τι δούρων
ἔστω φειδωλή, ἵνα εἴδομεν εἴ κεν Ἀχιλλεὺς
νῶϊ κατακτείνας ἔναρα βροτόεντα φέρηται
νῆας ἔπι γλαφυρὰς, ἦ κεν σῶι δουρὶ δαμείη_." **Athena**
αὔτως ἠλάσκουσαι ἀνάλκιδες, οὐδ’ ἔπι χάρμη.
ὣς Τρῶες τὸ πρίν γε μένος καὶ χεῖρας Ἀχαιῶν
μίμνειν οὐκ ἐθέλεσκον ἐναντίον, οὐδ’ ἠβαιόν·
νῦν δὲ ἑκὰς πόλιος κοίληις ἐπὶ νηυσὶ μάχονται.
ἡγεμόνος κακότητι μεθημοσύνηισί τε λαῶν,
οἳ κείνωι ἐρίσαντες ἀμυνέμεν οὐκ ἐθέλουσιν
νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν’ αὐτάς.
ἀλλ’ εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιός ἐστιν
ἥρως Ἀτρείδης, εὐρὺ_κρείων Ἀγαμέμνων,
οὕνεκ’ ἀπητίμησε ποδώκεα Πηλείωνα,
ἡμέας γ’ οὔ_πως ἔστι μεθιέμεναι πολέμοιο.
ἀλλ’ ἀκεώμεθα θᾶσσον· ἀκεσταί τοι φρένες ἐσθλῶν.
ὑμεῖς δ’ οὐκέτι καλὰ μεθίετε θούριδος ἀλκῆς,
πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν· οὐδ’ ἂν ἐγώ_γε
ἀνδρὶ μαχεσσαίμην ὅς_τίς πολέμοιο μεθείη
λυγρὸς ἐών· ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι.
ὦ πέπονες, τάχα δή τι κακὸν ποιήσετε μεῖζον
τῆιδε μεθημοσύνηι. ἀλλ’ ἐν φρεσὶ θέσθε ἕκαστος
αἰδῶ καὶ νέμεσιν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν·
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸς πολεμίζει
καρτερὸς, ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα.” Poseidon
“Ἥφαιστ’, εἴ_περ γάρ κεν Ἄρης χρείως ὑπαλύξας 8.355
οἴχηται φεύγων, αὐτός τοι ἐγὼ τάδε τείσω.” Poseidon
“Ἰδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ 13.219
οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;” Pos. as Thoas
“λῦσον· ἐγὼ δέ τοι αὐτὸν ὑπίσχομαι, ὡς σὺ κελεύεις, 8.347
τείσειν αἴσιμα πάντα μετ’ ἀθανάτοισι θεοῖσιν.” Poseidon
“Ἰδομενεῦ, μὴ κεῖνος ἀνὴρ ἔτι νοστήσειεν 13.232
ἐκ Τροίης, ἀλλ’ αὖθι κυνῶν μέλπηθρα γένοιτο,
ὅς_τις ἐπ’ ἤματι τῶιδε ἑκὼν μεθιῆσι μάχεσθαι.
ἀλλ’ ἄγε τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ’ ἅμα χρὴ
σπεύδειν, αἴ κ’ ὄφελός τι γενώμεθα καὶ δύ’ ἐόντε.
συμφερτὴ δ’ ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν· ◆
νῶϊ δὲ καί κ’ ἀγαθοῖσιν ἐπισταίμεσθα μάχεσθαι.” Poseidon
“οὕτω νῦν κακὰ πολλὰ παθὼν ἀλόω κατὰ πόντον, 5.377
εἰς_ὅ_κεν ἀνθρώποισι διοτρεφέεσσι μιγείηις·
ἀλλ’ οὐδ’ ὧς σε ἔολπα ὀνόσσεσθαι κακότητος.” Poseidon
“Ἀτρείδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ 14.139
γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν
δερκομένωι, ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ’ ἠβαιαί.
ἀλλ’ ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειεν.
σοὶ δ’ οὔ_πω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν,
ἀλλ’ ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες Poseidon
εὐρὺ κονίσουσιν πεδίον, σὺ δ’ ἐπόψεαι αὐτὸς as
φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.” old man
“Ἀργεῖοι, καὶ δὴ αὖτε μεθίεμεν Ἕκτορι νίκην 14.364

Πριαμίδηι, ἵνα νῆας ἕληι καὶ κῦδος ἄρηται;
ἀλλ᾽ ὁ μὲν οὕτω φησὶ καὶ εὔχεται, οὕνεκ᾽ Ἀχιλλεὺς
νηυσὶν ἔπι γλαφυρῆισι μένει κεχολωμένος ἦτορ·
κείνου δ᾽ οὔ τι λίην ποθὴ ἔσσεται, εἴ κεν οἱ ἄλλοι
ἡμεῖς ὀτρυνώμεθ᾽ ἀμυνέμεν ἀλλήλοισιν.
ἀλλ᾽ ἄγεθ᾽, ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
ἀσπίδες, ὅσσαι ἄρισται ἐνὶ στρατῶι ἠδὲ μέγισται,
ἑσσάμενοι, κεφαλὰς δὲ παναίθηισιν κορύθεσσιν
κρύψαντες, χερσὶν δὲ τὰ μακρότατ᾽ ἔγχε᾽ ἑλόντες,
ἴομεν· αὐτὰρ ἐγὼν ἡγήσομαι, οὐδ᾽ ἔτι φημὶ
Ἕκτορα Πριαμίδην μενέειν, μάλα περ μεμαῶτα.
ὃς δέ κ᾽ ἀνὴρ μενέχαρμος, ἔχηι δ᾽ ὀλίγον σάκος ὤμωι,
Poseidon χείρονι φωτὶ δότω, ὁ δ᾽ ἐν ἀσπίδι μείζονι δύτω."
15.185 "ὢ πόποι, ἦ ῥ᾽ ἀγαθός περ ἐών, ὑπέροπλον ἔειπεν,
εἴ μ᾽ ὁμότιμον ἐόντα βίηι ἀέκοντα καθέξει.
τρεῖς γάρ τ᾽ ἐκ Κρόνου εἰμὲν ἀδελφεοί, οὓς τέκετο Ῥέα,
Ζεὺς καὶ ἐγώ, τρίτατος δ᾽ Ἀΐδης ἐνέροισιν ἀνάσσων.
τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ᾽ ἔμμορε τιμῆς·
ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ
παλλομένων, Ἀΐδης δ᾽ ἔλαχε ζόφον ἠερόεντα,
Ζεὺς δ᾽ ἔλαχ᾽ οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέληισιν·
γαῖα δ᾽ ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος.
τῶι ῥα καὶ οὔ τι Διὸς βέομαι φρεσίν, ἀλλὰ ἕκηλος,
καὶ κρατερός περ ἐών, μενέτω τριτάτηι ἐνὶ μοίρηι.
χερσὶ δὲ μή τί με πάγχυ κακὸν ὣς δειδισσέσθω·
θυγατέρεσσιν γάρ τε καὶ υἱάσι κέρδιον εἴη
ἐκπάγλοις ἐπέεσσιν ἐνισσέμεν, οὓς τέκεν αὐτός,
Poseidon οἵ ἑθεν ὀτρύνοντος ἀκούσονται καὶ ἀνάγκηι."
15.206 "Ἶρι θεά, μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες·
ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ᾽ ἄγγελος αἴσιμα εἰδῆι.
ἀλλὰ τόδ᾽ αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
ὁππότ᾽ ἂν ἰσόμορον καὶ ὁμῆι πεπρωμένον αἴσηι
νεικείειν ἐθέληισι χολωτοῖσιν ἐπέεσσιν.
ἀλλ᾽ ἤτοι νῦν μέν γε νεμεσσηθεὶς ὑποείξω·
ἄλλο δέ τοι ἐρέω, καὶ ἀπειλήσω τό γε θυμῶι·
αἴ κεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης,
Ἥρης Ἑρμείω τε καὶ Ἡφαίστοιο ἄνακτος,
Ἰλίου αἰπεινῆς πεφιδήσεται, οὐδ᾽ ἐθελήσει
ἐκπέρσαι, δοῦναι δὲ μέγα κράτος Ἀργείοισιν,
Poseidon ἴστω τοῦθ᾽, ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται."
20.16 "τίπτ᾽ αὖτ᾽, Ἀργικέραυνε, θεοὺς ἀγορήνδε κάλεσσας;
ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
Poseidon τῶν γὰρ νῦν ἄγχιστα μάχη πόλεμός τε δέδηεν."
20.133 "Ἥρη, μὴ χαλέπαινε παρὲκ νόον· οὐδέ τί σε χρή.
οὐκ ἂν ἐγώ γ᾽ ἐθέλοιμι θεοὺς ἔριδι ξυνελάσσαι
ἡμέας τοὺς ἄλλους, ἐπεὶ ἦ πολὺ φέρτεροι εἰμεν·
ἀλλ᾽ ἡμεῖς μὲν ἔπειτα καθεζώμεσθα κιόντες
ἐκ πάτου ἐς σκοπιήν, πόλεμος δ᾽ ἄνδρεσσι μελήσει,
εἰ δέ κ᾽ Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων,
ἢ Ἀχιλῆ᾽ ἴσχωσι καὶ οὐκ εἰῶσι μάχεσθαι,

αὐτίκ᾽ ἔπειτα καὶ ἄμμι παρ᾽ αὐτόθι νεῖκος ὀρεῖται
φυλόπιδος· μάλα δ᾽ ὦκα διακρινθέντας ὀΐω
ἂψ ἴμεν Οὔλυμπόνδε, θεῶν μεθ᾽ ὁμήγυριν ἄλλων,
ἡμετέρηις ὑπὸ χερσὶν ἀναγκαίηφι δαμέντας." Poseidon
"ὢ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο, 20.293
ὃς τάχα Πηλείωνι δαμεὶς Ἄϊδόσδε κάτεισιν,
πειθόμενος μύθοισιν Ἀπόλλωνος ἑκάτοιο,
νήπιος, οὐδέ τί οἱ χραισμήσει λυγρὸν ὄλεθρον.
ἀλλὰ τίη νῦν οὗτος ἀναίτιος ἄλγεα πάσχει
μὰψ ἕνεκ᾽ ἀλλοτρίων ἀχέων, κεχαρισμένα δ᾽ αἰεὶ
δῶρα θεοῖσι δίδωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
ἀλλ᾽ ἄγεθ᾽ ἡμεῖς πέρ μιν ὑπεκ θανάτου ἀγάγωμεν,
μή πως καὶ Κρονίδης κεχολώσεται, αἴ κεν Ἀχιλλεὺς
τόνδε κατακτείνηι· μόριμον δέ οἵ ἐστ᾽ ἀλέασθαι,
ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται
Δαρδάνου, ὃν Κρονίδης περὶ πάντων φίλατο παίδων,
οἳ ἕθεν ἐξεγένοντο γυναικῶν τε θνητάων.
ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·
νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει
καὶ παίδων παῖδες, τοί κεν μετόπισθε γένωνται." Poseidon
"Αἰνεία, τίς σ᾽ ὧδε θεῶν ἀτέοντα κελεύει 20.332
ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι,
ὃς σεῦ ἅμα κρείσσων καὶ φίλτερος ἀθανάτοισιν;
ἀλλ᾽ ἀναχωρῆσαι, ὅτε κε συμβλήσεαι αὐτῶι,
μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος εἰσαφίκηαι.
αὐτὰρ ἐπεὶ κ᾽ Ἀχιλεὺς θάνατον καὶ πότμον ἐπίσπηι,
θαρσήσας δὴ ἔπειτα μετὰ πρώτοισι μάχεσθαι·
οὐ μὲν γάρ τίς σ᾽ ἄλλος Ἀχαιῶν ἐξεναρίξει." Poseidon
"Πηλείδη, μήτ᾽ ἄρ τι λίην τρέε μήτε τι τάρβει· 21.288
τοίω γάρ τοι νῶϊ θεῶν ἐπιταρρόθω εἰμέν,
Ζηνὸς ἐπαινήσαντος, ἐγὼ καὶ Παλλὰς Ἀθήνη·
ὡς οὔ τοι ποταμῶι γε δαμήμεναι αἴσιμόν ἐστιν·
ἀλλ᾽ ὅδε μὲν τάχα λωφήσει, σὺ δὲ εἴσεαι αὐτός·
αὐτὰρ σοὶ πυκινῶς ὑποθησόμεθ᾽, αἴ κε πίθηαι·
μὴ πρὶν παύειν χεῖρας ὁμοιΐοο πτολέμοιο,
πρὶν κατὰ Ἰλιόφι κλυτὰ τείχεα λαὸν ἐέλσαι
Τρωϊκόν, ὅς κε φύγηισι. σὺ δ᾽ Ἕκτορι θυμὸν ἀπούρας,
ἂψ ἐπὶ νῆας ἴμεν· δίδομεν δέ τοι εὖχος ἀρέσθαι." Poseidon
"Φοῖβε, τίη δὴ νῶϊ διέσταμεν; οὐδὲ ἔοικεν 21.436
ἀρξάντων ἑτέρων· τὸ μὲν αἴσχιον, αἴ κ᾽ ἀμαχητεὶ
ἴομεν Οὔλυμπόνδε, Διὸς ποτὶ χαλκοβατὲς δῶ.
ἄρχε· σὺ γὰρ γενεῆφι νεώτερος· οὐ γὰρ ἐμοί γε
καλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.
νηπύτι᾽, ὡς ἄνοον κραδίην ἔχες· οὐδέ νυ τῶν περ
μέμνηαι, ὅσα δὴ πάθομεν κακὰ Ἴλιον ἀμφὶ
μοῦνοι νῶϊ θεῶν, ὅτ᾽ ἀγήνορι Λαομέδοντι
πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτὸν
μισθῶι ἔπι ῥητῶι· ὁ δὲ σημαίνων ἐπέτελλεν.
ἤτοι ἐγὼ Τρώεσσι πόλιν πέρι τεῖχος ἔδειμα
εὐρύ τε καὶ μάλα καλόν, ἵν᾽ ἄρρηκτος πόλις εἴη·

Φοῖβε, σὺ δ' εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες
Ἴδης ἐν κνημοῖσι πολυπτύχου ὑληέσσης.
ἀλλ' ὅτε δὴ μισθοῖο τέλος πολυγηθέες Ὧραι
ἐξέφερον, τότε νῶϊ βιήσατο μισθὸν ἅπαντα
Λαομέδων ἔκπαγλος, ἀπειλήσας δ' ἀπέπεμπεν·
σὺν μὲν ὅ_γ' ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθεν
δήσειν, καὶ περάαν νήσων ἔπι τηλεδαπάων·
στεῦτο δ' ὅ_γ' ἀμφοτέρων ἀπολεψέμεν οὔατα χαλκῶι·
νῶϊ δέ τ' ἄψορροι κίομεν κεκοτηότι θυμῶι,
μισθοῦ χωόμενοι, τὸν ὑποστὰς οὐκ ἐτέλεσσεν.
τοῦ δὴ νῦν λαοῖσι φέρεις χάριν, οὐδὲ μεθ' ἡμέων
Poseidon πειρᾶι, ὥς κεν Τρῶες ὑπερφίαλοι ἀπόλωνται
πρόχνυ κακῶς σὺν παισὶ καὶ αἰδοίηις ἀλόχοισιν."

5.286 "ὢ πόποι, ἦ μάλα δὴ μετεβούλευσαν θεοὶ ἄλλως
ἀμφ' Ὀδυσῆϊ ἐμεῖο μετ' Αἰθιόπεσσιν ἐόντος,
καὶ δὴ Φαιήκων γαίης σχεδόν, ἔνθα οἱ αἶσα
Poseidon ἐκφυγέειν μέγα πεῖραρ ὀϊζύος, ἥ μιν ἱκάνει·
ἀλλ' ἔτι μέν μίν φημι ἅδην ἐλάαν κακότητος."

ALTERNATING: ILIAD ASCENDS FROM START; OD. FROM END

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 218 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF POSEIDON IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

7.446 “Ζεῦ πάτερ, ἦ ῥά τίς ἐστι βροτῶν ἐπ’ ἀπείρονα γαῖαν
ὅς_τις ἔτ’ ἀθανάτοισι νόον καὶ μῆτιν ἐνίψει;
οὐχ ὁράαις ὅτι δ’ αὖτε κάρη_κομόωντες Ἀχαιοὶ
τεῖχος ἐτειχίσσαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον
ἤλασαν, οὐδὲ θεοῖσι δόσαν κλειτὰς ἑκατόμβας;
τοῦ δ’ ἤτοι κλέος ἔσται ὅσον τ’ ἐπικίδναται ἠώς·
τοῦ δ’ ἐπιλήσονται τὸ ἐγὼ καὶ Φοῖβος Ἀπόλλων
Poseidon ἥρωι Λαομέδοντι πολίσσαμεν ἀθλήσαντε.”
8.209 “Ἥρη ἀπτοεπὲς, ποῖον τὸν μῦθον ἔειπες.
οὐκ ἂν ἐγώ_γ’ ἐθέλοιμι Διὶ Κρονίωνι μάχεσθαι
ἡμέας τοὺς ἄλλους, ἐπεὶ_ἦ πολὺ φέρτερός ἐστιν.”
13.47 “Αἴαντε, σφὼ μέν τε σαώσετε λαὸν Ἀχαιῶν
ἀλκῆς μνησαμένω, μηδὲ κρυεροῖο φόβοιο.
ἄλληι μὲν γὰρ ἐγώ γ’ οὐ δείδια χεῖρας ἀάπτους
Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλωι·
ἕξουσιν γὰρ πάντας ἐϋκνήμιδες Ἀχαιοί·
τῆι δὲ δὴ αἰνότατον περιδείδια μή τι πάθωμεν,
ἧι ῥ’ ὅ_γ’ ὁ λυσσώδης φλογὶ εἴκελος ἡγεμονεύει,
Ἕκτωρ, ὃς Διὸς εὔχετ’ ἐρισθενέος πάϊς εἶναι.
σφῶϊν δ’ ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν,
Poseidon αὐτώ θ’ ἑστάμεναι κρατερῶς καὶ ἀνωγέμεν ἄλλους·
as τῶι κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ’ ἀπὸ νηῶν
Kalchas ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει.”·
13.95 “αἰδώς, Ἀργεῖοι, κοῦροι νέοι· ὔμμιν ἐγώ_γε
μαρναμένοισι πέποιθα σαωσέμεναι νέας ἁμάς·
εἰ δ’ ὑμεῖς πολέμοιο μεθήσετε λευγαλέοιο,
νῦν δὴ εἴδεται ἦμαρ ὑπὸ Τρώεσσι δαμῆναι.
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ’ ὀφθαλμοῖσιν ὁρῶμαι,
δεινόν, ὃ οὔ_ποτ’ ἐγώ_γε τελευτήσεσθαι ἔφασκον,
Τρῶας ἐφ’ ἡμετέρας ἰέναι νέας, οἳ τὸ πάρος περ
φυζακινῆις ἐλάφοισιν ἐοίκεσαν, αἵ_τε καθ’ ὕλην
θώων παρδαλίων τε λύκων τ’ ἤϊα πέλονται
αὔτως ἠλάσκουσαι ἀνάλκιδες, οὐδ’ ἔπι χάρμη.
ὣς Τρῶες τὸ πρίν γε μένος καὶ χεῖρας Ἀχαιῶν
μίμνειν οὐκ ἐθέλεσκον ἐναντίον, οὐδ’ ἠβαιόν·
νῦν δὲ ἑκὰς πόλιος κοίληις ἐπὶ νηυσὶ μάχονται.
ἡγεμόνος κακότητι μεθημοσύνηισί τε λαῶν,
οἳ κείνωι ἐρίσαντες ἀμυνέμεν οὐκ ἐθέλουσιν
νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν’ αὐτάς.
ἀλλ’ εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιός ἐστιν
ἥρως Ἀτρείδης, εὐρὺ_κρείων Ἀγαμέμνων,
οὕνεκ’ ἀπητίμησε ποδώκεα Πηλείωνα,
ἡμέας γ’ οὔ_πως ἔστι μεθιέμεναι πολέμοιο.
ἀλλ’ ἀκεώμεθα θᾶσσον· ἀκεσταί τοι φρένες ἐσθλῶν.
ὑμεῖς δ’ οὐκέτι καλὰ μεθίετε θούριδος ἀλκῆς,
πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν· οὐδ’ ἂν ἐγώ_γε
ἀνδρὶ μαχεσσαίμην ὅς_τίς πολέμοιο μεθείη
λυγρὸς ἐών· ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι.
ὦ πέπονες, τάχα δή τι κακὸν ποιήσετε μεῖζον
τῆιδε μεθημοσύνηι. ἀλλ’ ἐν φρεσὶ θέσθε ἕκαστος
αἰδῶ καὶ νέμεσιν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν·
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸς πολεμίζει
καρτερὸς, ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα.” Poseidon
“Ἰδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ 13.219
οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;” Pos. as Thoas
“Ἰδομενεῦ, μὴ κεῖνος ἀνὴρ ἔτι νοστήσειεν 13.232
ἐκ Τροίης, ἀλλ’ αὖθι κυνῶν μέλπηθρα γένοιτο,
ὅς_τις ἐπ’ ἤματι τῶιδε ἑκὼν μεθιῆισι μάχεσθαι.
ἀλλ’ ἄγε τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ’ ἅμα χρὴ
σπεύδειν, αἴ κ’ ὄφελός τι γενώμεθα καὶ δύ’ ἐόντε.
συμφερτὴ δ’ ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν· ◆
νῶϊ δὲ καί κ’ ἀγαθοῖσιν ἐπισταίμεσθα μάχεσθαι.” Poseidon
“Ἀτρείδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ 14.139
γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν
δερκομένωι, ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ’ ἠβαιαί.
ἀλλ’ ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειεν.
σοὶ δ’ οὔ_πω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν,
ἀλλ’ ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες Poseidon
εὐρὺ κονίσουσιν πεδίον, σὺ δ’ ἐπόψεαι αὐτὸς as
φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.” old man
“Ἀργεῖοι, καὶ δὴ αὖτε μεθίεμεν Ἕκτορι νίκην 14.364
Πριαμίδηι, ἵνα νῆας ἕληι καὶ κῦδος ἄρηται;
ἀλλ’ ὁ μὲν οὕτω φησὶ καὶ εὔχεται, οὕνεκ’ Ἀχιλλεὺς
νηυσὶν ἔπι γλαφυρῆισι μένει κεχολωμένος ἦτορ·
κείνου δ’ οὔ_τι λίην ποθὴ ἔσσεται, εἴ κεν οἱ ἄλλοι
ἡμεῖς ὀτρυνώμεθ’ ἀμυνέμεν ἀλλήλοισιν.
ἀλλ’ ἄγεθ’, ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
ἀσπίδες, ὅσσαι ἄρισται ἐνὶ στρατῶι ἠδὲ μέγισται,
ἑσσάμενοι, κεφαλὰς δὲ παναίθηισιν κορύθεσσιν
κρύψαντες, χερσὶν δὲ τὰ μακρότατ’ ἔγχε’ ἑλόντες,
ἴομεν· αὐτὰρ ἐγὼν ἡγήσομαι, οὐδ’ ἔτι φημὶ
Ἕκτορα Πριαμίδην μενέειν, μάλα περ μεμαῶτα.
ὃς δέ κ’ ἀνὴρ μενέχαρμος, ἔχηι δ’ ὀλίγον σάκος ὤμωι,
χείρονι φωτὶ δότω, ὁ δ’ ἐν ἀσπίδι μείζονι δύτω.” Poseidon
“ὢ πόποι, ἦ ῥ’ ἀγαθός περ ἐὼν, ὑπέροπλον ἔειπεν, 15.185
εἴ μ’ ὁμότιμον ἐόντα βίηι ἀέκοντα καθέξει.
τρεῖς γάρ τ’ ἐκ Κρόνου εἰμὲν ἀδελφεοὶ, οὓς τέκετο Ῥέα,
Ζεὺς καὶ ἐγώ, τρίτατος δ’ Ἀΐδης ἐνέροισιν ἀνάσσων.
τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ’ ἔμμορε τιμῆς·
ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ
παλλομένων, Ἀΐδης δ’ ἔλαχε ζόφον ἠερόεντα,
Ζεὺς δ’ ἔλαχ’ οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέληισιν·
γαῖα δ’ ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος.
τῶι ῥα καὶ οὔ_τι Διὸς βέομαι φρεσὶν, ἀλλὰ ἕκηλος,
καὶ κρατερός περ ἐὼν, μενέτω τριτάτηι ἐνὶ μοίρηι.
χερσὶ δὲ μή_τί με πάγχυ κακὸν ὣς δειδισσέσθω·
θυγατέρεσσιν γάρ τε καὶ υἱάσι κέρδιον εἴη
ἐκπάγλοις ἐπέεσσιν ἐνισσέμεν, οὓς τέκεν αὐτὸς,
οἵ ἑθεν ὀτρύνοντος ἀκούσονται καὶ ἀνάγκηι.” Poseidon
“Ἶρι θεὰ, μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες· 15.206

ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ’ ἄγγελος αἴσιμα εἰδῆι.
ἀλλὰ τόδ’ αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
ὁππότ’ ἂν ἰσόμορον καὶ ὁμῆι πεπρωμένον αἴσηι
νεικείειν ἐθέλῃσι χολωτοῖσιν ἐπέεσσιν.
ἀλλ’ ἤτοι νῦν μέν γε νεμεσσηθεὶς ὑποείξω·
ἄλλο δέ τοι ἐρέω, καὶ ἀπειλήσω τό γε θυμῶι·
αἴ κεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης,
Ἥρης Ἑρμείω τε καὶ Ἡφαίστοιο ἄνακτος,
Ἰλίου αἰπεινῆς πεφιδήσεται, οὐδ’ ἐθελήσει
ἐκπέρσαι, δοῦναι δὲ μέγα κράτος Ἀργείοισιν,
Poseidon ἴστω τοῦθ’, ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται.”
13.147 “αἶψά κ’ ἐγὼν ἔρξαιμι, Κελαινεφὲς, ὡς ἀγορεύεις·
ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι ἠδ’ ἀλεείνω.
νῦν αὖ Φαιήκων ἐθέλω περικαλλέα νῆα,
ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντωι
ῥαῖσαι, ἵν’ ἤδη σχῶνται, ἀπολλήξωσι δὲ πομπῆς
Poseidon ἀνθρώπων, μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.”
20.16 “τίπτ’ αὖτ’, Ἀργικέραυνε, θεοὺς ἀγορήνδε κάλεσσας;
ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
Poseidon τῶν γὰρ νῦν ἄγχιστα μάχη πόλεμός τε δέδηεν.”
13.128 “Ζεῦ πάτερ, οὐκέτ’ ἐγώ_γε μετ’ ἀθανάτοισι θεοῖσιν
τιμήεις ἔσομαι, ὅτε με βροτοὶ οὔ_τι τίουσιν,
Φαίηκες, τοί_πέρ τε ἐμῆς ἔξ εἰσι γενέθλης.
καὶ γὰρ νῦν Ὀδυσῆα φάμην κακὰ πολλὰ παθόντα
οἴκαδ’ ἐλεύσεσθαι· νόστον δέ οἱ οὔ_ποτ’ ἀπηύρων
πάγχυ, ἐπεὶ σὺ πρῶτον ὑπέσχεο καὶ κατένευσας.
οἱ δ’ εὕδοντ’ ἐν νηῒ θοῆι ἐπὶ πόντον ἄγοντες
κάτθεσαν εἰν Ἰθάκηι, ἔδοσαν δέ οἱ ἄσπετα δῶρα,
χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά θ’ ὑφαντὴν,
πόλλ’, ὅσ’ ἂν οὐδέ_ποτε Τροίης ἐξήρετ’ Ὀδυσσεὺς,
Poseidon εἴ_περ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ ληΐδος αἶσαν.”
20.133 “Ἥρη, μὴ χαλέπαινε παρὲκ νόον· οὐδέ τί σε χρή.
οὐκ ἂν ἐγώ_γ’ ἐθέλοιμι θεοὺς ἔριδι ξυνελάσσαι
ἡμέας τοὺς ἄλλους, ἐπεὶ_ἦ πολὺ φέρτεροι εἰμεν·
ἀλλ’ ἡμεῖς μὲν ἔπειτα καθεζώμεσθα κιόντες
ἐκ πάτου ἐς σκοπιὴν, πόλεμος δ’ ἄνδρεσσι μελήσει,
εἰ δέ κ’ Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων,
ἢ Ἀχιλῆ’ ἴσχωσι καὶ οὐκ εἰῶσι μάχεσθαι,
αὐτίκ’ ἔπειτα καὶ ἄμμι παρ’ αὐτόθι νεῖκος ὀρεῖται
φυλόπιδος· μάλα δ’ ὦκα διακρινθέντας ὀΐω
ἂψ ἴμεν Οὔλυμπόνδε, θεῶν μεθ’ ὁμήγυριν ἄλλων,
Poseidon ἡμετέρῃς ὑπὸ χερσὶν ἀναγκαίηφι δαμέντας.”
11.248 “χαῖρε, γύναι, φιλότητι, περιπλομένου δ’ ἐνιαυτοῦ
τέξεις ἀγλαὰ τέκνα, ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ
ἀθανάτων· σὺ δὲ τοὺς κομέειν ἀτιταλλέμεναί τε.
νῦν δ’ ἔρχεο πρὸς δῶμα, καὶ ἴσχεο μηδ’ ὀνομήνῃς·
Poseidon αὐτὰρ ἐγώ τοί εἰμι Ποσειδάων ἐνοσίχθων.”
20.293 “ὢ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο,
ὃς τάχα Πηλεΐωνι δαμεὶς Ἀΐδόσδε κάτεισιν,
πειθόμενος μύθοισιν Ἀπόλλωνος ἑκάτοιο,
νήπιος, οὐδέ τί οἱ χραισμήσει λυγρὸν ὄλεθρον.
ἀλλὰ τίη νῦν οὗτος ἀναίτιος ἄλγεα πάσχει
μὰψ ἕνεκ’ ἀλλοτρίων ἀχέων, κεχαρισμένα δ’ αἰεὶ
δῶρα θεοῖσι δίδωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
ἀλλ’ ἄγεθ’ ἡμεῖς πέρ μιν ὑπεκ θανάτου ἀγάγωμεν,
μή πως καὶ Κρονίδης κεχολώσεται, αἴ κεν Ἀχιλλεὺς
τόνδε κατακτείνῃ· μόριμον δέ οἵ ἐστ’ ἀλέασθαι,
ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται ✦
Δαρδάνου, ὃν Κρονίδης περὶ πάντων φίλατο παίδων,
οἳ ἕθεν ἐξεγένοντο γυναικῶν τε θνητάων.
ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·
νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει
καὶ παίδων παῖδες, τοί κεν μετόπισθε γένωνται.” **Poseidon**
“Ἥφαιστ’, εἴ_περ γάρ κεν Ἄρης χρείως ὑπαλύξας **8.355**
οἴχηται φεύγων, αὐτός τοι ἐγὼ τάδε τείσω.” **Poseidon**
“Αἰνεία, τίς σ’ ὧδε θεῶν ἀτέοντα κελεύει **20.332**
ἀντία Πηλεΐωνος ὑπερθύμοιο μάχεσθαι,
ὃς σεῦ ἅμα κρείσσων καὶ φίλτερος ἀθανάτοισιν;
ἀλλ’ ἀναχωρῆσαι, ὅτε κε συμβλήσεαι αὐτῶι,
μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος εἰσαφίκηαι.
αὐτὰρ ἐπεὶ κ’ Ἀχιλεὺς θάνατον καὶ πότμον ἐπίσπῃ,
θαρσήσας δὴ ἔπειτα μετὰ πρώτοισι μάχεσθαι·
οὐ μὲν γάρ τίς σ’ ἄλλος Ἀχαιῶν ἐξεναρίξει.” **Poseidon**
“λῦσον· ἐγὼ δέ τοι αὐτὸν ὑπίσχομαι, ὡς σὺ κελεύεις, **8.347**
τείσειν αἴσιμα πάντα μετ’ ἀθανάτοισι θεοῖσιν.” **Poseidon**
“Πηλεΐδη, μήτ’ ἄρ τι λίην τρέε μήτε τι τάρβει· **21.288**
τοίω γάρ τοι νῶϊ θεῶν ἐπιταρρόθω εἰμὲν,
Ζηνὸς ἐπαινήσαντος, ἐγὼ καὶ Παλλὰς Ἀθήνη·
ὡς οὔ τοι ποταμῶι γε δαμήμεναι αἴσιμόν ἐστιν·
ἀλλ’ ὅδε μὲν τάχα λωφήσει, σὺ δὲ εἴσεαι αὐτός·
αὐτὰρ σοὶ πυκινῶς ὑποθησόμεθ’, αἴ κε πίθηαι·
μὴ πρὶν παύειν χεῖρας ὁμοιΐοο πτολέμοιο,
πρὶν κατὰ Ἰλιόφι κλυτὰ τείχεα λαὸν ἐέλσαι
Τρωϊκόν, ὅς κε φύγῃσι. σὺ δ’ Ἕκτορι θυμὸν ἀπούρας,
ἂψ ἐπὶ νῆας ἴμεν· δίδομεν δέ τοι εὖχος ἀρέσθαι.” **Poseidon**
“οὕτω νῦν κακὰ πολλὰ παθὼν ἀλόω κατὰ πόντον, **5.377**
εἰς_ὅ_κεν ἀνθρώποισι διοτρεφέεσσι μιγείῃς·
ἀλλ’ οὐδ’ ὧς σε ἔολπα ὀνόσσεσθαι κακότητος.” **Poseidon**
“Φοῖβε, τίη δὴ νῶϊ διέσταμεν; οὐδὲ ἔοικεν **21.436**
ἀρξάντων ἑτέρων· τὸ μὲν αἴσχιον, αἴ κ’ ἀμαχητεὶ
ἴομεν Οὔλυμπόνδε, Διὸς ποτὶ χαλκοβατὲς δῶ.
ἄρχε· σὺ γὰρ γενεῆφι νεώτερος· οὐ γὰρ ἔμοι_γε
καλὸν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.
νηπύτι’, ὡς ἄνοον κραδίην ἔχες· οὐδέ νυ τῶν_περ
μέμνηαι, ὅσα δὴ πάθομεν κακὰ Ἴλιον ἀμφὶ
μοῦνοι νῶϊ θεῶν, ὅτ’ ἀγήνορι Λαομέδοντι
πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτὸν
μισθῶι ἔπι ῥητῶι· ὁ δὲ σημαίνων ἐπέτελλεν.
ἤτοι ἐγὼ Τρώεσσι πόλιν πέρι τεῖχος ἔδειμα
εὐρύ τε καὶ μάλα καλὸν, ἵν’ ἄρρηκτος πόλις εἴη·

Φοῖβε, σὺ δ' εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες
Ἴδης ἐν κνημοῖσι πολυπτύχου ὑληέσσης.
ἀλλ' ὅτε δὴ μισθοῖο τέλος πολυγηθέες Ὧραι
ἐξέφερον, τότε νῶϊ βιήσατο μισθὸν ἅπαντα
Λαομέδων ἔκπαγλος, ἀπειλήσας δ' ἀπέπεμπεν·
σὺν μὲν ὅ_γ' ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθεν
δήσειν, καὶ περάαν νήσων ἔπι τηλεδαπάων·
στεῦτο δ' ὅ_γ' ἀμφοτέρων ἀπολεψέμεν οὔατα χαλκῶι·
νῶϊ δέ τ' ἄψορροι κίομεν κεκοτηότι θυμῶι,
μισθοῦ χωόμενοι, τὸν ὑποστὰς οὐκ ἐτέλεσσεν.
τοῦ δὴ νῦν λαοῖσι φέρεις χάριν, οὐδὲ μεθ' ἡμέων
Poseidon πειρᾶι, ὥς κεν Τρῶες ὑπερφίαλοι ἀπόλωνται
πρόχνυ κακῶς σὺν παισὶ καὶ αἰδοίῃς ἀλόχοισιν."
5.286 "ὢ πόποι, ἦ μάλα δὴ μετεβούλευσαν θεοὶ ἄλλως
ἀμφ' Ὀδυσῆϊ ἐμεῖο μετ' Αἰθιόπεσσιν ἐόντος,
καὶ δὴ Φαιήκων γαίης σχεδόν, ἔνθα οἱ αἶσα
Poseidon ἐκφυγέειν μέγα πεῖραρ ὀϊζύος, ἥ μιν ἱκάνει·
ἀλλ' ἔτι μέν μίν φημι ἅδην ἐλάαν κακότητος."

ILIAD AND OD.
ASCEND FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 218 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES OF POSEIDON IN HOMER

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

5.286 “ὢ πόποι, ἦ μάλα δὴ μετεβούλευσαν θεοὶ ἄλλως
ἀμφ’ Ὀδυσῆϊ ἐμεῖο μετ’ Αἰθιόπεσσιν ἐόντος,
καὶ δὴ Φαιήκων γαίης σχεδόν, ἔνθα οἱ αἶσα
Poseidon ἐκφυγέειν μέγα πεῖραρ ὀϊζύος, ἥ μιν ἱκάνει·
ἀλλ’ ἔτι μέν μίν φημι ἅδην ἐλάαν κακότητος.”
5.377 “οὕτω νῦν κακὰ πολλὰ παθὼν ἀλόω κατὰ πόντον,
εἰς_ὅ κεν ἀνθρώποισι διοτρεφέεσσι μιγείηις·
Poseidon ἀλλ’ οὐδ’ ὧς σε ἔολπα ὀνόσσεσθαι κακότητος.”
7.446 “Ζεῦ πάτερ, ἦ ῥά τίς ἐστι βροτῶν ἐπ’ ἀπείρονα γαῖαν
ὅς_τις ἔτ’ ἀθανάτοισι νόον καὶ μῆτιν ἐνίψει;
οὐχ ὁράαις ὅτι δ’ αὖτε κάρη_κομόωντες Ἀχαιοὶ
τεῖχος ἐτειχίσσαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον
ἤλασαν, οὐδὲ θεοῖσι δόσαν κλειτὰς ἑκατόμβας;
τοῦ δ’ ἤτοι κλέος ἔσται ὅσον τ’ ἐπικίδναται ἠώς·
τοῦ δ’ ἐπιλήσονται τὸ ἐγὼ καὶ Φοῖβος Ἀπόλλων
Poseidon ἥρωι Λαομέδοντι πολίσσαμεν ἀθλήσαντε.”
8.209 “Ἥρη ἀπτοεπές, ποῖον τὸν μῦθον ἔειπες.
οὐκ ἂν ἐγώ_γ’ ἐθέλοιμι Διὶ Κρονίωνι μάχεσθαι
ἡμέας τοὺς ἄλλους, ἐπεὶ_ἦ πολὺ φέρτερός ἐστιν.”
8.347 “λῦσον· ἐγὼ δέ τοι αὐτὸν ὑπίσχομαι, ὡς σὺ κελεύεις,
Poseidon τείσειν αἴσιμα πάντα μετ’ ἀθανάτοισι θεοῖσιν.”
8.355 “Ἥφαιστ’, εἴ_περ γάρ κεν Ἄρης χρείως ὑπαλύξας
Poseidon οἴχηται φεύγων, αὐτός τοι ἐγὼ τάδε τείσω.”
11.248 “χαῖρε, γύναι, φιλότητι, περιπλομένου δ’ ἐνιαυτοῦ
τέξεις ἀγλαὰ τέκνα, ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ
ἀθανάτων· σὺ δὲ τοὺς κομέειν ἀτιταλλέμεναί τε.
νῦν δ’ ἔρχεο πρὸς δῶμα, καὶ ἴσχεο μηδ’ ὀνομήνηις·
Poseidon αὐτὰρ ἐγώ τοί εἰμι Ποσειδάων ἐνοσίχθων.”
13.47 “Αἴαντε, σφὼ μέν τε σαώσετε λαὸν Ἀχαιῶν
ἀλκῆς μνησαμένω, μηδὲ κρυεροῖο φόβοιο.
ἄλληι μὲν γὰρ ἐγώ γ’ οὐ δείδια χεῖρας ἀάπτους
Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλωι·
ἕξουσιν γὰρ πάντας ἐϋκνήμιδες Ἀχαιοί·
τῆι δὲ δὴ αἰνότατον περιδείδια μή τι πάθωμεν,
ἧι ῥ’ ὅ_γ’ ὁ λυσσώδης φλογὶ εἴκελος ἡγεμονεύει,
Ἕκτωρ, ὃς Διὸς εὔχετ’ ἐρισθενέος πάϊς εἶναι.
σφῶϊν δ’ ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν,
Poseidon αὐτώ θ’ ἑστάμεναι κρατερῶς καὶ ἀνωγέμεν ἄλλους·
as τῶι κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ’ ἀπὸ νηῶν
Kalchas ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει.”·
13.95 “αἰδώς, Ἀργεῖοι, κοῦροι νέοι· ὔμμιν ἐγώ_γε
μαρναμένοισι πέποιθα σαωσέμεναι νέας ἀμάς·
εἰ δ’ ὑμεῖς πολέμοιο μεθήσετε λευγαλέοιο,
νῦν δὴ εἴδεται ἦμαρ ὑπὸ Τρώεσσι δαμῆναι.
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ’ ὀφθαλμοῖσιν ὁρῶμαι,
δεινόν, ὃ οὔ_ποτ’ ἐγώ_γε τελευτήσεσθαι ἔφασκον,
Τρῶας ἐφ’ ἡμετέρας ἰέναι νέας, οἳ τὸ πάρος περ
φυζακινῆις ἐλάφοισιν ἐοίκεσαν, αἵ_τε καθ’ ὕλην
θώων παρδαλίων τε λύκων τ’ ἤϊα πέλονται
αὔτως ἠλάσκουσαι ἀνάλκιδες, οὐδ’ ἔπι χάρμη.
ὣς Τρῶες τὸ πρίν γε μένος καὶ χεῖρας Ἀχαιῶν
μίμνειν οὐκ ἐθέλεσκον ἐναντίον, οὐδ’ ἠβαιόν·
νῦν δὲ ἑκὰς πόλιος κοίληις ἐπὶ νηυσὶ μάχονται.
ἡγεμόνος κακότητι μεθημοσύνηισί τε λαῶν,
οἳ κείνωι ἐρίσαντες ἀμυνέμεν οὐκ ἐθέλουσιν
νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν’ αὐτάς.
ἀλλ’ εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιός ἐστιν
ἥρως Ἀτρείδης, εὐρὺ_κρείων Ἀγαμέμνων,
οὕνεκ’ ἀπητίμησε ποδώκεα Πηλείωνα,
ἡμέας γ’ οὔ_πως ἔστι μεθιέμεναι πολέμοιο.
ἀλλ’ ἀκεώμεθα θᾶσσον· ἀκεσταί τοι φρένες ἐσθλῶν.
ὑμεῖς δ’ οὐκέτι καλὰ μεθίετε θούριδος ἀλκῆς,
πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν· οὐδ’ ἂν ἐγώ_γε
ἀνδρὶ μαχεσσαίμην ὅς_τίς πολέμοιο μεθείη
λυγρὸς ἐών· ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι.
ὦ πέπονες, τάχα δή τι κακὸν ποιήσετε μεῖζον
τῆιδε μεθημοσύνηι. ἀλλ’ ἐν φρεσὶ θέσθε ἕκαστος
αἰδῶ καὶ νέμεσιν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν·
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸς πολεμίζει
καρτερός, ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα.” Poseidon
“Ζεῦ πάτερ, οὐκέτ’ ἐγώ_γε μετ’ ἀθανάτοισι θεοῖσιν 13.128
τιμήεις ἔσομαι, ὅτε με βροτοὶ οὔ_τι τίουσιν,
Φαίηκες, τοί_πέρ τε ἐμῆς ἔξ εἰσι γενέθλης.
καὶ γὰρ νῦν Ὀδυσῆα φάμην κακὰ πολλὰ παθόντα
οἴκαδ’ ἐλεύσεσθαι· νόστον δέ οἱ οὔ_ποτ’ ἀπηύρων
πάγχυ, ἐπεὶ σὺ πρῶτον ὑπέσχεο καὶ κατένευσας.
οἳ δ’ εὕδοντ’ ἐν νηῒ θοῆι ἐπὶ πόντον ἄγοντες
κάτθεσαν εἰν Ἰθάκηι, ἔδοσαν δέ οἱ ἄσπετα δῶρα,
χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά θ’ ὑφαντήν,
πόλλ’, ὅσ’ ἂν οὐδέ_ποτε Τροίης ἐξήρετ’ Ὀδυσσεύς,
εἴ_περ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ ληΐδος αἶσαν.” Poseidon
“αἶψά κ’ ἐγὼν ἔρξαιμι, Κελαινεφές, ὡς ἀγορεύεις· 13.147
ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι ἠδ’ ἀλεείνω.
νῦν αὖ Φαιήκων ἐθέλω περικαλλέα νῆα,
ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντωι
ῥαῖσαι, ἵν’ ἤδη σχῶνται, ἀπολλήξωσι δὲ πομπῆς
ἀνθρώπων, μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.” Poseidon
“Ἰδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ 13.219
οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;” Pos. as Thoas
“Ἰδομενεῦ, μὴ κεῖνος ἀνὴρ ἔτι νοστήσειεν 13.232
ἐκ Τροίης, ἀλλ’ αὖθι κυνῶν μέλπηθρα γένοιτο,
ὅς_τις ἐπ’ ἤματι τῶιδε ἑκὼν μεθιῆισι μάχεσθαι.
ἀλλ’ ἄγε τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ’ ἅμα χρὴ
σπεύδειν, αἴ κ’ ὄφελός τι γενώμεθα καὶ δύ’ ἐόντε.
συμφερτὴ δ’ ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν· ◆
νῶϊ δὲ καί κ’ ἀγαθοῖσιν ἐπισταίμεσθα μάχεσθαι.” Poseidon
“Ἀτρείδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ 14.139
γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν
δερκομένωι, ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ’ ἠβαιαί.
ἀλλ’ ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειεν.

σοὶ δ' οὔ_πω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν,
Poseidon ἀλλ' ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες
as εὐρὺ κονίσουσιν πεδίον, σὺ δ' ἐπόψεαι αὐτὸς
old man φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων."
14.364 "Ἀργεῖοι, καὶ δὴ αὖτε μεθίεμεν Ἕκτορι νίκην
Πριαμίδηι, ἵνα νῆας ἕληι καὶ κῦδος ἄρηται;
ἀλλ' ὁ μὲν οὕτω φησὶ καὶ εὔχεται, οὕνεκ' Ἀχιλλεὺς
νηυσὶν ἔπι γλαφυρῆισι μένει κεχολωμένος ἦτορ·
κείνου δ' οὔ_τι λίην ποθὴ ἔσσεται, εἴ κεν οἱ ἄλλοι
ἡμεῖς ὀτρυνώμεθ' ἀμυνέμεν ἀλλήλοισιν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
ἀσπίδες, ὅσσαι ἄρισται ἐνὶ στρατῶι ἠδὲ μέγισται,
ἑσσάμενοι, κεφαλὰς δὲ παναίθηισιν κορύθεσσιν
κρύψαντες, χερσὶν δὲ τὰ μακρότατ' ἔγχε' ἑλόντες,
ἴομεν· αὐτὰρ ἐγὼν ἡγήσομαι, οὐδ' ἔτι φημὶ
Ἕκτορα Πριαμίδην μενέειν, μάλα περ μεμαῶτα.
ὃς δέ κ' ἀνὴρ μενέχαρμος, ἔχηι δ' ὀλίγον σάκος ὤμωι,
Poseidon χείρονι φωτὶ δότω, ὁ δ' ἐν ἀσπίδι μείζονι δύτω."
15.185 "ὢ πόποι, ἦ ῥ' ἀγαθός περ ἐὼν, ὑπέροπλον ἔειπεν,
εἴ μ' ὁμότιμον ἐόντα βίηι ἀέκοντα καθέξει.
τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοί, οὓς τέκετο Ῥέα,
Ζεὺς καὶ ἐγώ, τρίτατος δ' Ἀΐδης ἐνέροισιν ἀνάσσων.
τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς·
ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ
παλλομένων, Ἀΐδης δ' ἔλαχε ζόφον ἠερόεντα,
Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλησιν·
γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος.
τῶι ῥα καὶ οὔ_τι Διὸς βέομαι φρεσὶν, ἀλλὰ ἕκηλος,
καὶ κρατερός περ ἐὼν, μενέτω τριτάτηι ἐνὶ μοίρηι.
χερσὶ δὲ μή_τί με πάγχυ κακὸν ὣς δειδισσέσθω·
θυγατέρεσσιν γάρ τε καὶ υἱάσι κέρδιον εἴη
ἐκπάγλοις ἐπέεσσιν ἐνισσέμεν, οὓς τέκεν αὐτὸς,
Poseidon οἵ ἑθεν ὀτρύνοντος ἀκούσονται καὶ ἀνάγκηι."
15.206 "Ἶρι θεά, μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες·
ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῆι.
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
ὁππότ' ἂν ἰσόμορον καὶ ὁμῆι πεπρωμένον αἴσηι
νεικείειν ἐθέλησι χολωτοῖσιν ἐπέεσσιν.
ἀλλ' ἤτοι νῦν μέν γε νεμεσσηθεὶς ὑποείξω·
ἄλλο δέ τοι ἐρέω, καὶ ἀπειλήσω τό γε θυμῶι·
αἴ κεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης,
Ἥρης Ἑρμείω τε καὶ Ἡφαίστοιο ἄνακτος,
Ἰλίου αἰπεινῆς πεφιδήσεται, οὐδ' ἐθελήσει
ἐκπέρσαι, δοῦναι δὲ μέγα κράτος Ἀργείοισιν,
Poseidon ἴστω τοῦθ', ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται."
20.16 "τίπτ' αὖτ', Ἀργικέραυνε, θεοὺς ἀγορήνδε κάλεσσας;
ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
Poseidon τῶν γὰρ νῦν ἄγχιστα μάχη πόλεμός τε δέδηεν."
20.133 "Ἥρη, μὴ χαλέπαινε παρὲκ νόον· οὐδὲ τί σε χρή.
οὐκ ἂν ἐγώ_γ' ἐθέλοιμι θεοὺς ἔριδι ξυνελάσσαι
ἡμέας τοὺς ἄλλους, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰμεν·
ἀλλ' ἡμεῖς μὲν ἔπειτα καθεζώμεσθα κιόντες
ἐκ πάτου ἐς σκοπιὴν, πόλεμος δ' ἄνδρεσσι μελήσει,
εἰ δὲ κ' Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων,
ἢ Ἀχιλῆ' ἴσχωσι καὶ οὐκ εἰῶσι μάχεσθαι,
αὐτίκ' ἔπειτα καὶ ἄμμι παρ' αὐτόθι νεῖκος ὀρεῖται
φυλόπιδος· μάλα δ' ὦκα διακρινθέντας ὀΐω
ἂψ ἴμεν Οὔλυμπόνδε, θεῶν μεθ' ὁμήγυριν ἄλλων,
ἡμετέρης ὑπὸ χερσὶν ἀναγκαίηφι δαμέντας." Poseidon
"ὢ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο, 20.293
ὃς τάχα Πηλείωνι δαμεὶς Ἀϊδόσδε κάτεισιν,
πειθόμενος μύθοισιν Ἀπόλλωνος ἑκάτοιο,
νήπιος, οὐδέ τί οἱ χραισμήσει λυγρὸν ὄλεθρον.
ἀλλὰ τίη νῦν οὗτος ἀναίτιος ἄλγεα πάσχει
μὰψ ἕνεκ' ἀλλοτρίων ἀχέων, κεχαρισμένα δ' αἰεὶ
δῶρα θεοῖσι δίδωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
ἀλλ' ἄγεθ' ἡμεῖς πέρ μιν ὕπεκ θανάτου ἀγάγωμεν,
μή πως καὶ Κρονίδης κεχολώσεται, αἴ κεν Ἀχιλλεὺς
τόνδε κατακτείνηι· μόριμον δέ οἵ ἐστ' ἀλέασθαι,
ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται
Δαρδάνου, ὃν Κρονίδης περὶ πάντων φίλατο παίδων,
οἳ ἕθεν ἐξεγένοντο γυναικῶν τε θνητάων.
ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·
νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει
καὶ παίδων παῖδες, τοί κεν μετόπισθε γένωνται." Poseidon
"Αἰνεία, τίς σ' ὧδε θεῶν ἀτέοντα κελεύει 20.332
ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι,
ὃς σεῦ ἅμα κρείσσων καὶ φίλτερος ἀθανάτοισιν;
ἀλλ' ἀναχωρῆσαι, ὅτε κε συμβλήσεαι αὐτῶι,
μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος εἰσαφίκηαι.
αὐτὰρ ἐπεὶ κ' Ἀχιλεὺς θάνατον καὶ πότμον ἐπίσπηι,
θαρσήσας δὴπειτα μετὰ πρώτοισι μάχεσθαι·
οὐ μὲν γάρ τίς σ' ἄλλος Ἀχαιῶν ἐξεναρίξει." Poseidon
"Πηλείδη, μήτ' ἄρ τι λίην τρέε μήτε τι τάρβει· 21.288
τοίω γάρ τοι νῶϊ θεῶν ἐπιταρρόθω εἰμὲν,
Ζηνὸς ἐπαινήσαντος, ἐγὼ καὶ Παλλὰς Ἀθήνη·
ὡς οὔ τοι ποταμῶι γε δαμήμεναι αἴσιμόν ἐστιν·
ἀλλ' ὅδε μὲν τάχα λωφήσει, σὺ δὲ εἴσεαι αὐτός·
αὐτὰρ σοὶ πυκινῶς ὑποθησόμεθ', αἴ κε πίθηαι·
μὴ πρὶν παύειν χεῖρας ὁμοιΐοο πτολέμοιο,
πρὶν κατὰ Ἰλιόφι κλυτὰ τείχεα λαὸν ἐέλσαι
Τρωϊκόν, ὃς κε φύγησι. σὺ δ' Ἕκτορι θυμὸν ἀπούρας,
ἂψ ἐπὶ νῆας ἴμεν· δίδομεν δέ τοι εὖχος ἀρέσθαι." Poseidon
"Φοῖβε, τίη δὴ νῶϊ διέσταμεν; οὐδὲ ἔοικεν 21.436
ἀρξάντων ἑτέρων· τὸ μὲν αἴσχιον, αἴ κ' ἀμαχητεὶ
ἴομεν Οὔλυμπόνδε, Διὸς ποτὶ χαλκοβατὲς δῶ.
ἄρχε· σὺ γὰρ γενεῆφι νεώτερος· οὐ γὰρ ἐμοί_γε
καλὸν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.
νηπύτι', ὡς ἄνοον κραδίην ἔχες· οὐδέ νυ τῶν_περ
μέμνηαι, ὅσα δὴ πάθομεν κακὰ Ἴλιον ἀμφὶ

μοῦνοι νῶϊ θεῶν, ὅτ᾽ ἀγήνορι Λαομέδοντι
πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτὸν
μισθῷ ἔπι ῥητῷ· ὁ δὲ σημαίνων ἐπέτελλεν.
ἤτοι ἐγὼ Τρώεσσι πόλιν πέρι τεῖχος ἔδειμα
εὐρύ τε καὶ μάλα καλὸν, ἵν᾽ ἄρρηκτος πόλις εἴη·
Φοῖβε, σὺ δ᾽ εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες
Ἴδης ἐν κνημοῖσι πολυπτύχου ὑλη
έσσης.
ἀλλ᾽ ὅτε δὴ μισθοῖο τέλος πολυγηθέες Ὧραι
ἐξέφερον, τότε νῶϊ βιήσατο μισθὸν ἅπαντα
Λαομέδων ἔκπαγλος, ἀπειλήσας δ᾽ ἀπέπεμπεν·
σὺν μὲν ὅ_γ᾽ ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθεν
δήσειν, καὶ περάαν νήσων ἔπι τηλεδαπάων·
στεῦτο δ᾽ ὅ_γ᾽ ἀμφοτέρων ἀπολεψέμεν οὔατα χαλκῷ·
νῶϊ δέ τ᾽ ἄψορροι κίομεν κεκοτηότι θυμῷ,
μισθοῦ χωόμενοι, τὸν ὑποστὰς οὐκ ἐτέλεσσεν.
τοῦ δὴ νῦν λαοῖσι φέρεις χάριν, οὐδὲ μεθ᾽ ἡμέων
Poseidon πειρᾷ, ὥς κεν Τρῶες ὑπερφίαλοι ἀπόλωνται
πρόχνυ κακῶς σὺν παισὶ καὶ αἰδοίῃς ἀλόχοισιν."

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 34 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF POSEIDON IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

5.286 “ὢ πόποι, ἦ μάλα δὴ μετεβούλευσαν θεοὶ ἄλλως
ἀμφ’ Ὀδυσῆϊ ἐμεῖο μετ’ Αἰθιόπεσσιν ἐόντος,
καὶ δὴ Φαιήκων γαίης σχεδὸν, ἔνθα οἱ αἶσα
Poseidon ἐκφυγέειν μέγα πεῖραρ ὀϊζύος, ἥ μιν ἱκάνει·
ἀλλ’ ἔτι μέν μίν φημι ἅδην ἐλάαν κακότητος.”
5.377 “οὕτω νῦν κακὰ πολλὰ παθὼν ἀλόω κατὰ πόντον,
εἰς ὅ κεν ἀνθρώποισι διοτρεφέεσσι μιγείης·
Poseidon ἀλλ’ οὐδ’ ὧς σε ἔολπα ὀνόσσεσθαι κακότητος.”
8.347 “λῦσον· ἐγὼ δέ τοι αὐτὸν ὑπίσχομαι, ὡς σὺ κελεύεις,
Poseidon τείσειν αἴσιμα πάντα μετ’ ἀθανάτοισι θεοῖσιν.”
8.355 “Ἥφαιστ’, εἴ περ γάρ κεν Ἄρης χρείως ὑπαλύξας
Poseidon οἴχηται φεύγων, αὐτός τοι ἐγὼ τάδε τείσω.”
11.248 “χαῖρε, γύναι, φιλότητι, περιπλομένου δ’ ἐνιαυτοῦ
τέξεις ἀγλαὰ τέκνα, ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ
ἀθανάτων· σὺ δὲ τοὺς κομέειν ἀτιταλλέμεναί τε.
νῦν δ’ ἔρχεο πρὸς δῶμα, καὶ ἴσχεο μηδ’ ὀνομήνῃς·
Poseidon αὐτὰρ ἐγώ τοί εἰμι Ποσειδάων ἐνοσίχθων.”
13.128 “Ζεῦ πάτερ, οὐκέτ’ ἐγώ γε μετ’ ἀθανάτοισι θεοῖσιν
τιμήεις ἔσομαι, ὅτε με βροτοὶ οὔ τι τίουσιν,
Φαίηκες, τοί περ τε ἐμῆς ἔξ εἰσι γενέθλης.
καὶ γὰρ νῦν Ὀδυσῆα φάμην κακὰ πολλὰ παθόντα
οἴκαδ’ ἐλεύσεσθαι· νόστον δέ οἱ οὔ ποτ’ ἀπηύρων
πάγχυ, ἐπεὶ σὺ πρῶτον ὑπέσχεο καὶ κατένευσας.
οἱ δ’ εὕδοντ’ ἐν νηῒ θοῇ ἐπὶ πόντον ἄγοντες
κάτθεσαν εἰν Ἰθάκῃ, ἔδοσαν δέ οἱ ἄσπετα δῶρα,
χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά θ’ ὑφαντὴν,
πόλλ’, ὅσ’ ἂν οὐδέ ποτε Τροίης ἐξήρετ’ Ὀδυσσεὺς,
Poseidon εἴ περ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ ληΐδος αἶσαν.”
13.147 “αἶψά κ’ ἐγὼν ἔρξαιμι, Κελαινεφὲς, ὡς ἀγορεύεις·
ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι ἠδ’ ἀλεείνω.
νῦν αὖ Φαιήκων ἐθέλω περικαλλέα νῆα,
ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντωι
ῥαῖσαι, ἵν’ ἤδη σχῶνται, ἀπολλήξωσι δὲ πομπῆς
Poseidon ἀνθρώπων, μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.”

5.286 “ὢ πόποι, ἦ μάλα δὴ μετεβούλευσαν θεοὶ ἄλλως
ἀμφ’ Ὀδυσῆϊ ἐμεῖο μετ’ Αἰθιόπεσσιν ἐόντος,
καὶ δὴ Φαιήκων γαίης σχεδόν, ἔνθα οἱ αἶσα
Poseidon ἐκφυγέειν μέγα πεῖραρ ὀϊζύος, ἥ μιν ἱκάνει·
ἀλλ’ ἔτι μέν μίν φημι ἅδην ἐλάαν κακότητος.”
5.377 “οὕτω νῦν κακὰ πολλὰ παθὼν ἀλόω κατὰ πόντον,
εἰς_ὅ κεν ἀνθρώποισι διοτρεφέεσσι μιγείηις·
Poseidon ἀλλ’ οὐδ’ ὧς σε ἔολπα ὀνόσσεσθαι κακότητος.”
8.347 “λῦσον· ἐγὼ δέ τοι αὐτὸν ὑπίσχομαι, ὡς σὺ κελεύεις,
Poseidon τείσειν αἴσιμα πάντα μετ’ ἀθανάτοισι θεοῖσιν.”
8.355 “Ἥφαιστ’, εἴ_περ γάρ κεν Ἄρης χρείως ὑπαλύξας
Poseidon οἴχηται φεύγων, αὐτός τοι ἐγὼ τάδε τείσω.”
11.248 “χαῖρε, γύναι, φιλότητι, περιπλομένου δ’ ἐνιαυτοῦ
τέξεις ἀγλαὰ τέκνα, ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ
ἀθανάτων· σὺ δὲ τοὺς κομέειν ἀτιταλλέμεναί τε.
νῦν δ’ ἔρχεο πρὸς δῶμα, καὶ ἴσχεο μηδ’ ὀνομήνηις·
Poseidon αὐτὰρ ἐγώ τοί εἰμι Ποσειδάων ἐνοσίχθων.”

“Ζεῦ πάτερ, οὐκέτ’ ἐγώ_γε μετ’ ἀθανάτοισι θεοῖσιν 13.128
τιμήεις ἔσομαι, ὅτε με βροτοὶ οὔ_τι τίουσιν,
Φαίηκες, τοί_πέρ τε ἐμῆς ἔξ εἰσι γενέθλης.
καὶ γὰρ νῦν Ὀδυσῆα_φάμην κακὰ πολλὰ παθόντα
οἴκαδ’ ἐλεύσεσθαι· νόστον δέ οἱ οὔ_ποτ’ ἀπηύρων
πάγχυ, ἐπεὶ σὺ πρῶτον ὑπέσχεο καὶ κατένευσας.
οἳ δ’ εὕδοντ’ ἐν νηῒ θοῆι ἐπὶ πόντον ἄγοντες
κάτθεσαν εἰν Ἰθάκηι, ἔδοσαν δέ οἱ ἄσπετα δῶρα,
χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά θ’ ὑφαντήν,
πόλλ’, ὅσ’ ἂν οὐδέ_ποτε Τροίης ἐξήρετ’ Ὀδυσσεύς,
εἴ_περ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ ληΐδος αἶσαν.” Poseidon
“αἶψά κ’ ἐγὼν ἔρξαιμι, Κελαινεφές, ὡς ἀγορεύεις· 13.147
ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι ἠδ’ ἀλεείνω.
νῦν αὖ Φαιήκων ἐθέλω περικαλλέα νῆα,
ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντωι
ῥαῖσαι, ἵν’ ἤδη σχῶνται, ἀπολλήξωσι δὲ πομπῆς
ἀνθρώπων, μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.” Poseidon

5.286 “ὢ πόποι, ἦ μάλα δὴ μετεβούλευσαν θεοὶ ἄλλως
ἀμφ’ Ὀδυσῆϊ ἐμεῖο μετ’ Αἰθιόπεσσιν ἐόντος,
καὶ δὴ Φαιήκων γαίης σχεδόν, ἔνθα οἱ αἶσα
Poseidon ἐκφυγέειν μέγα πεῖραρ ὀϊζύος, ἥ μιν ἱκάνει·
ἀλλ’ ἔτι μέν μίν φημι ἅδην ἐλάαν κακότητος.”
5.377 “οὕτω νῦν κακὰ πολλὰ παθὼν ἀλόω κατὰ πόντον,
εἰς_ὅ_κεν ἀνθρώποισι διοτρεφέεσσι μιγείης·
Poseidon ἀλλ’ οὐδ’ ὧς σε ἔολπα ὀνόσσεσθαι κακότητος.”
8.347 “λῦσον· ἐγὼ δέ τοι αὐτὸν ὑπίσχομαι, ὡς σὺ κελεύεις,
Poseidon τείσειν αἴσιμα πάντα μετ’ ἀθανάτοισι θεοῖσιν.”
8.355 “Ἥφαιστ’, εἴ_περ γάρ κεν Ἄρης χρείως ὑπαλύξας
οἴχηται φεύγων, αὐτός τοι ἐγὼ τάδε τείσω.” Poseidon
“χαῖρε, γύναι, φιλότητι, περιπλομένου δ’ ἐνιαυτοῦ 11.248
τέξεις ἀγλαὰ τέκνα, ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ
ἀθανάτων· σὺ δὲ τοὺς κομέειν ἀτιταλλέμεναί τε.
νῦν δ’ ἔρχεο πρὸς δῶμα, καὶ ἴσχεο μηδ’ ὀνομήνῃς·
αὐτὰρ ἐγώ τοί εἰμι Ποσειδάων ἐνοσίχθων.” Poseidon
“Ζεῦ πάτερ, οὐκέτ’ ἐγώ_γε μετ’ ἀθανάτοισι θεοῖσιν 13.128
τιμήεις ἔσομαι, ὅτε με βροτοὶ οὔ_τι τίουσιν,
Φαίηκες, τοί_περ τε ἐμῆς ἔξ εἰσι γενέθλης.
καὶ γὰρ νῦν Ὀδυσῆα_φάμην κακὰ πολλὰ παθόντα
οἴκαδ’ ἐλεύσεσθαι· νόστον δέ οἱ οὔ_ποτ’ ἀπηύρων

πάγχυ, ἐπεὶ σὺ πρῶτον ὑπέσχεο καὶ κατένευσας.
οἳ δ’ εὕδοντ’ ἐν νηῒ θοῆι ἐπὶ πόντον ἄγοντες
κάτθεσαν εἰν Ἰθάκηι, ἔδοσαν δέ οἱ ἄσπετα δῶρα,
χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά θ’ ὑφαντὴν,
πόλλ’, ὅσ’ ἂν οὐδέ_ποτε Τροίης ἐξήρετ’ Ὀδυσσεὺς,
Poseidon εἴ_περ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ ληΐδος αἶσαν.”
13.147 “αἶψά κ’ ἐγὼν ἔρξαιμι, Κελαινεφὲς, ὡς ἀγορεύεις·
ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι ἠδ’ ἀλεείνω.
νῦν αὖ Φαιήκων ἐθέλω περικαλλέα νῆα,
ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντωι
ῥαῖσαι, ἵν’ ἤδη σχῶνται, ἀπολλήξωσι δὲ πομπῆς
Poseidon ἀνθρώπων, μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.”

Notes

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 40 or 32 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES OF RIVERS IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

21.214 “ὦ Ἀχιλεῦ, περὶ μὲν κρατέεις, περὶ δ’ αἴσυλα ῥέζεις
ἀνδρῶν· αἰεὶ γάρ τοι ἀμύνουσιν θεοὶ αὐτοί.
εἴ τοι Τρῶας ἔδωκε Κρόνου παῖς πάντας ὀλέσσαι,
ἐξ ἐμέθεν γ’ ἐλάσας πεδίον κάτα μέρμερα ῥέζε·
πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα,
οὐδέ τί πῃ δύναμαι προχέειν ῥόον εἰς ἅλα δῖαν
στεινόμενος νεκύεσσι, σὺ δὲ κτείνεις ἀϊδήλως.
River ἀλλ’ ἄγε δὴ καὶ ἔασον· ἄγη μ’ ἔχει, ὄρχαμε λαῶν.”
21.229 “ὢ πόποι, Ἀργυρότοξε, Διὸς τέκος, οὐ σύ γε βουλὰς
εἰρύσαο Κρονίωνος, ὅ τοι μάλα πόλλ’ ἐπέτελλεν
Τρωσὶ παρεστάμεναι καὶ ἀμύνειν, εἰς ὅ κεν ἔλθῃ
δείελος ὀψὲ δύων, σκιάσῃ δ’ ἐρίβωλον ἄρουραν.” River
“φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ 21.308
σχῶμεν, ἐπεὶ τάχα ἄστυ μέγα Πριάμοιο ἄνακτος
ἐκπέρσει, Τρῶες δὲ κατὰ μόθον οὐ μενέουσιν.
ἀλλ’ ἐπάμυνε τάχιστα, καὶ ἐμπίμπληθι ῥέεθρα
ὕδατος ἐκ πηγέων, πάντας δ’ ὀρόθυνον ἐναύλους,
ἵστη δὲ μέγα κῦμα, πολὺν δ’ ὀρυμαγδὸν ὄρινε
φιτρῶν καὶ λάων, ἵνα παύσομεν ἄγριον ἄνδρα,
ὃς δὴ νῦν κρατέει, μέμονεν δ’ ὅ γε ἶσα θεοῖσιν.

21.153 “Πηλεΐδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις;
εἴμ’ ἐκ Παιονίης ἐριβώλου, τηλόθ’ ἐούσης,
Παίονας ἄνδρας ἄγων δολιχεγχέας· ἥδε δέ μοι νῦν
ἠὼς ἑνδεκάτη, ὅτ’ ἐς Ἴλιον εἰλήλουθα.
Asteropaeos (son of river) αὐτὰρ ἐμοὶ γενεὴ ἐξ Ἀξιοῦ εὐρὺ ῥέοντος,
Ἀξιοῦ, ὃς κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησιν,
ὃς τέκε Πηλεγόνα κλυτὸν ἔγχεϊ· τὸν δ’ ἐμέ φασιν
γείνασθαι· νῦν αὖτε μαχώμεθα, φαίδιμ’ Ἀχιλλεῦ.”
21.214 “ὦ Ἀχιλεῦ, περὶ μὲν κρατέεις, περὶ δ’ αἴσυλα ῥέζεις
ἀνδρῶν· αἰεὶ γάρ τοι ἀμύνουσιν θεοὶ αὐτοί.
εἴ τοι Τρῶας ἔδωκε Κρόνου παῖς πάντας ὀλέσσαι,
ἐξ ἐμέθεν γ’ ἐλάσας πεδίον κάτα μέρμερα ῥέζε·
πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα,
οὐδέ τί πῃ δύναμαι προχέειν ῥόον εἰς ἅλα δῖαν
στεινόμενος νεκύεσσι, σὺ δὲ κτείνεις ἀϊδήλως.
ἀλλ’ ἄγε δὴ καὶ ἔασον· ἄγη μ’ ἔχει, ὄρχαμε λαῶν.” River
“ὢ πόποι, Ἀργυρότοξε, Διὸς τέκος, οὐ σύ γε βουλὰς 21.229
εἰρύσαο Κρονίωνος, ὅ τοι μάλα πόλλ’ ἐπέτελλεν
Τρωσὶ παρεστάμεναι καὶ ἀμύνειν, εἰς ὅ κεν ἔλθῃ
δείελος ὀψὲ δύων, σκιάσῃ δ’ ἐρίβωλον ἄρουραν.” River

φημὶ γὰρ οὔτε βίην χραισμησέμεν οὔτε τι εἶδος,
οὔτε τὰ τεύχεα καλά, τά που μάλα νειόθι λίμνης
κείσεθ' ὑπ' ἰλύος κεκαλυμμένα· κὰδ δέ μιν αὐτὸν
εἰλύσω ψαμάθοισιν, ἅλις χέραδος περιχεύας
μυρίον, οὐδέ οἱ ὀστέ' ἐπιστήσονται Ἀχαιοὶ
ἀλλέξαι· τόσσην οἱ ἄσιν καθύπερθε καλύψω.
αὐτοῦ οἱ καὶ σῆμα τετεύξεται, οὐδέ τί μιν χρεὼ
River ἔσται τυμβοχοῆς_, ὅτε μιν θάπτωσιν Ἀχαιοί."
21.357 "Ἥφαιστ', οὔ_τις σοί_γε θεῶν δύνατ' ἀντιφερίζειν,
οὐδ' ἂν ἐγὼ σοί_γ' ὧδε πυρὶ φλεγέθοντι μαχοίμην.
λῆγ' ἔριδος, Τρῶας δὲ καὶ αὐτίκα δῖος Ἀχιλλεὺς
River ἄστεος ἐξελάσειε. τί μοι ἔριδος καὶ ἀρωγῆς;"

21.308 "φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ
σχῶμεν, ἐπεὶ τάχα ἄστυ μέγα Πριάμοιο ἄνακτος
ἐκπέρσει, Τρῶες δὲ κατὰ μόθον οὐ μενέουσιν.
✦ ἀλλ' ἐπάμυνε τάχιστα, καὶ ἐμπίμπληθι ῥέεθρα
ὕδατος ἐκ πηγέων, πάντας δ' ὀρόθυνον ἐναύλους,
ἵστη δὲ μέγα κῦμα, πολὺν δ' ὀρυμαγδὸν ὄρινε
φιτρῶν καὶ λάων, ἵνα παύσομεν ἄγριον ἄνδρα,
ὃς δὴ νῦν κρατέει, μέμονεν δ' ὅ_γε ἶσα θεοῖσιν.
φημὶ γὰρ οὔτε βίην χραισμησέμεν οὔτε τι εἶδος,
οὔτε τὰ τεύχεα καλά, τά που μάλα νειόθι λίμνης

κείσεθ' ὑπ' ἰλύος κεκαλυμμένα· κὰδ δέ μιν αὐτὸν
εἰλύσω ψαμάθοισιν, ἅλις χέραδος περιχεύας
μυρίον, οὐδέ οἱ ὀστέ' ἐπιστήσονται Ἀχαιοὶ
ἀλλέξαι· τόσσην οἱ ἄσιν καθύπερθε καλύψω.
αὐτοῦ οἱ καὶ σῆμα τετεύξεται, οὐδέ τί μιν χρεὼ
ἔσται τυμβοχοῆς_, ὅτε μιν θάπτωσιν Ἀχαιοί." **River**
"Ἥφαιστ', οὔ_τις σοί_γε θεῶν δύνατ' ἀντιφερίζειν, **21.357**
οὐδ' ἂν ἐγὼ σοί_γ' ὧδε πυρὶ φλεγέθοντι μαχοίμην.
λῆγ' ἔριδος, Τρῶας δὲ καὶ αὐτίκα δῖος Ἀχιλλεὺς
ἄστεος ἐξελάσειε. τί μοι ἔριδος καὶ ἀρωγῆς;" **River**

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 2 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF THEMIS IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

15.90 “Ἥρη, τίπτε βέβηκας, ἀτυζομένηι δὲ ἔοικας;
Themis ἦ μάλα δή σ’ ἐφόβησε Κρόνου παῖς, ὅς τοι ἀκοίτης.”

Notes

Notes

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 142 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF THETIS IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.362 “τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος;
Thetis ἐξαύδα, μὴ κεῦθε νόωι, ἵνα εἴδομεν ἄμφω.”
1.414 “ὤι μοι, τέκνον ἐμόν, τί νύ σ’ ἔτρεφον αἰνὰ τεκοῦσα;
αἴθ’ ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων
ἧσθαι, ἐπεί νύ τοι αἶσα μίνυνθά περ, οὔ τι μάλα δήν·
νῦν δ’ ἅμα τ’ ὠκύμορος καὶ ὀϊζυρὸς περὶ πάντων
ἔπλεο· τῶι σε κακῆι αἴσηι τέκον ἐν μεγάροισιν.
τοῦτο δὲ τοι ἐρέουσα ἔπος Διὶ τερπικεραύνωι
εἶμ’ αὐτὴ πρὸς Ὄλυμπον ἀγάννιφον, αἴ κε πίθηται.
ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος ὠκυπόροισιν
μήνι’ Ἀχαιοῖσιν, πολέμου δ’ ἀποπαύεο πάμπαν·
Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ’ ἀμύμονας Αἰθιοπῆας
χθιζὸς ἔβη κατὰ δαῖτα, θεοὶ δ’ ἅμα πάντες ἕποντο·
δωδεκάτηι δέ τοι αὖτις ἐλεύσεται Οὔλυμπόνδε,
καὶ τότ’ ἔπειτά τοι εἶμι Διὸς ποτὶ χαλκοβατὲς δῶ,
Thetis καί μιν γουνάσομαι, καί μιν πείσεσθαι ὀΐω.”
1.503 “Ζεῦ πάτερ, εἴ ποτε δή σε μετ’ ἀθανάτοισιν ὄνησα
ἢ ἔπει ἢ ἔργωι, τόδε μοι κρήηνον ἐέλδωρ·
τίμησόν μοι υἱόν, ὃς ὠκυμορώτατος ἄλλων
ἔπλετ’, ἀτάρ μιν νῦν γε ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.
ἀλλὰ σύ πέρ μιν τῖσον, Ὀλύμπιε μητίετα Ζεῦ·
Thetis τόφρα δ’ ἐπὶ Τρώεσσι τίθει κράτος, ὄφρ’ ἂν Ἀχαιοὶ
υἱὸν ἐμὸν τίσωσιν ὀφέλλωσίν τέ ἑ τιμῆι.”
1.514 “νημερτὲς μὲν δή μοι ὑπόσχεο καὶ κατάνευσον,
ἢ ἀπόειπ’, ἐπεὶ οὔ τοι ἔπι δέος, ὄφρ’ εὖ εἰδῶ
Thetis ὅσσον ἐγὼ μετὰ πᾶσιν ἀτιμοτάτη θεός εἰμι.”
1.540 “τίς δὴ αὖ τοι, δολομῆτα, θεῶν συμφράσσατο βουλάς;
αἰεί τοι φίλον ἐστὶν, ἐμεῖ’ ἀπὸ νόσφιν ἐόντα,
κρυπτάδια φρονέοντα δικαζέμεν· οὐδέ τί πώ μοι
Thetis πρόφρων τέτληκας εἰπεῖν ἔπος ὅττι νοήσηις.”
18.52 “κλῦτε, κασίγνηται Νηρηΐδες, ὄφρ’ εὖ πᾶσαι
εἴδετ’ ἀκούουσαι ὅσ’ ἐμῶι ἔνι κήδεα θυμῶι.
ὤ μοι ἐγὼ δειλή, ὤ μοι δυσαριστοτόκεια,
ἥ τ’ ἐπεὶ ἂρ τέκον υἱὸν ἀμύμονά τε κρατερόν τε,
ἔξοχον ἡρώων· ὁ δ’ ἀνέδραμεν ἔρνεϊ ἶσος·
τὸν μὲν ἐγὼ θρέψασα, φυτὸν ὣς γουνῶι ἀλωῆς,
νηυσὶν ἔπι προέηκα κορωνίσιν Ἴλιον εἴσω
Τρωσὶ μαχησόμενον· τὸν δ’ οὐχ ὑποδέξομαι αὖτις
οἴκαδε νοστήσαντα δόμον Πηλήϊον εἴσω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾶι φάος ἠελίοιο,
ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
ἀλλ’ εἶμ’, ὄφρα ἴδωμι φίλον τέκος ἠδ’ ἐπακούσω
ὅττι μιν ἵκετο πένθος ἀπὸ πτολέμοιο μένοντα.”
18.73 “τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πενθος;
ἐξαύδα, μὴ κεῦθε. τὰ μὲν δή τοι τετέλεσται
ἐκ Διός, ὡς ἄρα δὴ πρίν γ’ ηὔχεο χεῖρας ἀνασχὼν,
πάντας ἐπὶ πρύμνῃσιν ἀλήμεναι υἷας Ἀχαιῶν,
σεῦ ἐπιδευομένους, παθέειν τ’ ἀεκήλια ἔργα.”
18.95 “ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ’ ἀγορεύεις·
αὐτίκα γάρ τοι ἔπειτα μεθ’ Ἕκτορα πότμος ἑτοῖμος.” Thetis
“ναὶ δὴ ταῦτά γε, τέκνον, ἐτήτυμον· οὐ κακόν ἐστιν 18.128
τειρομένοις ἑτάροισιν ἀμυνέμεν αἰπὺν ὄλεθρον·
ἀλλά τοι ἔντεα καλὰ μετὰ Τρώεσσιν ἔχονται,
χάλκεα μαρμαίροντα· τὰ μὲν κορυθαιόλος Ἕκτωρ
αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται· οὐδέ ἕ φημι
δηρὸν ἐπαγλαῗεσθαι, ἐπεὶ φόνος ἐγγύθεν αὐτῶι·
ἀλλὰ σὺ μὲν μή πω καταδύσεο μῶλον Ἄρηος,
πρίν γ’ ἐμὲ δεῦρ’ ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδηαι·
ἠῶθεν γὰρ νέομαι, ἅμ’ ἠελίωι ἀνιόντι,
τεύχεα καλὰ φέρουσα παρ’ Ἡφαίστοιο ἄνακτος.” Thetis
“ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον, 18.140
ὀψόμεναί τε γέρονθ’ ἅλιον καὶ δώματα πατρὸς,
καί οἱ πάντ’ ἀγορεύσατ’· ἐγὼ δ’ ἐς μακρὸν Ὄλυμπον
εἶμι παρ’ Ἥφαιστον κλυτοτέχνην, αἴ κ’ ἐθέλησιν
υἱεῖ ἐμῶι δόμεναι κλυτὰ τεύχεα παμφανόωντα.” Thetis
“Ἥφαιστε, πρόμολ’ ὧδε· Θέτις νύ τι σεῖο χατίζει.” 18.394
τὴν δ’ ἠμείβετ’ ἔπειτα περικλυτὸς Ἀμφιγυήεις·
“ἦ ῥά νύ μοι δεινή τε καὶ αἰδοίη θεὸς ἔνδον,
ἥ μ’ ἐσάωσ’, ὅτε μ’ ἄλγος ἀφίκετο τῆλε πεσόντα
μητρὸς ἐμῆς ἰότητι κυνώπιδος, ἥ μ’ ἐθέλησεν
κρύψαι χωλὸν ἐόντα. τότ’ ἂν πάθον ἄλγεα θυμῶι,
εἰ μή μ’ Εὐρυνόμη τε Θέτις θ’ ὑπεδέξατο κόλπωι,
Εὐρυνόμη, θυγάτηρ ἀψορρόου Ὠκεανοῖο.
τῆισι πάρ’ εἰνάετες χάλκευον δαίδαλα πολλὰ,
πόρπας τε γναμπτάς θ’ ἕλικας κάλυκάς τε καὶ ὅρμους,
ἐν σπῆϊ γλαφυρῶι· περὶ δὲ ῥόος Ὠκεανοῖο
ἀφρῶι μορμύρων ῥέεν ἄσπετος. οὐδέ τις ἄλλος
εἴδεεν οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων,
ἀλλὰ Θέτις τε καὶ Εὐρυνόμη ἴσαν, αἵ μ’ ἐσάωσαν.
ἣ νῦν ἡμέτερον δόμον ἵκει· τῶι με μάλα χρεὼ
πάντα Θέτι καλλιπλοκάμωι ζωάγρια τίνειν.
ἀλλὰ σὺ μὲν νῦν οἱ παράθες ξεινήϊα καλὰ,
ὄφρ’ ἂν ἐγὼ φύσας ἀποθείομαι ὅπλα τε πάντα.” Thetis
“Ἥφαιστ’, ἦ ἄρα δή τις, ὅσαι θεαί εἰσ’ ἐν Ὀλύμπωι, 18.429
τοσσάδ’ ἐνὶ φρεσὶν ἧισιν ἀνέσχετο κήδεα λυγρὰ,
ὅσσ’ ἐμοὶ ἐκ πασέων Κρονίδης Ζεὺς ἄλγε’ ἔδωκεν;
ἐκ μέν μ’ ἀλλάων ἁλιάων ἀνδρὶ δάμασσεν,
Αἰακίδηι Πηλῆϊ, καὶ ἔτλην ἀνέρος εὐνὴν
πολλὰ μάλ’ οὐκ ἐθέλουσα· ὁ μὲν δὴ γήραϊ λυγρῶι
κεῖται ἐνὶ μεγάροις ἀρημένος, ἄλλα δέ μοι νῦν·
υἱὸν ἐπεὶ μοι δῶκε γενέσθαί τε τραφέμεν τε
ἔξοχον ἡρώων· ὁ δ’ ἀνέδραμεν ἔρνεϊ ἶσος·
τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὣς γουνῶι ἀλωῆς,
νηυσὶν ἔπι προέηκα κορωνίσιν Ἴλιον εἴσω
Τρωσὶ μαχησόμενον· τὸν δ’ οὐχ ὑποδέξομαι αὖτις
οἴκαδε νοστήσαντα δόμον Πηλήϊον εἴσω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾶι φάος ἠελίοιο,
ἄχνυται, οὐδε τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
κούρην, ἣν ἄρα οἱ γέρας ἔξελον υἷες Ἀχαιῶν,

τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων·
ἤτοι ὁ τῆς ἀχέων φρένας ἔφθιεν· αὐτὰρ Ἀχαιοὺς
Τρῶες ἐπὶ πρύμνῃσιν ἐείλεον, οὐδὲ θύραζε
εἴων ἐξιέναι· τὸν δὲ λίσσοντο γέροντες
Ἀργείων, καὶ πολλὰ περικλυτὰ δῶρ' ὀνόμαζον.
ἔνθ' αὐτὸς μὲν ἔπειτ' ἠναίνετο λοιγὸν ἀμῦναι,
αὐτὰρ ὁ Πάτροκλον περὶ μὲν τὰ ἃ τεύχεα ἕσσεν,
πέμπε δέ μιν πόλεμόνδε, πολὺν δ' ἅμα λαὸν ὄπασσεν.
πᾶν δ' ἦμαρ μάρναντο περὶ Σκαιῇσι πύλῃσιν·
καί νύ κεν αὐτῆμαρ πόλιν ἔπραθον, εἰ μὴ Ἀπόλλων
πολλὰ κακὰ ῥέξαντα Μενοιτίου ἄλκιμον υἱὸν
ἔκταν' ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδος ἔδωκεν.
τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέλῃσθα
υἱεῖ ἐμῶι ὠκυμόρωι δόμεν ἀσπίδα καὶ τρυφάλειαν
καὶ καλὰς κνημῖδας, ἐπισφυρίοις ἀραρυίας,
καὶ θώρηχ'· ὃ γὰρ ἦν οἱ, ἀπώλεσε πιστὸς ἑταῖρος
Thetis Τρωσὶ δαμείς· ὁ δὲ κεῖται ἐπὶ χθονὶ θυμὸν ἀχεύων."
19.8 "τέκνον ἐμόν, τοῦτον μὲν ἐάσομεν, ἀχνύμενοί περ,
κεῖσθαι, ἐπεὶ δὴ πρῶτα θεῶν ἰότητι δαμάσθη·
τύνη δ' Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο,
Thetis καλὰ μάλ', οἷ' οὔ πώ τις ἀνὴρ ὤμοισι φόρησεν."
19.29 "τέκνον, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
τῶι μὲν ἐγὼ πειρήσω ἀλαλκεῖν ἄγρια φῦλα,
μυίας, αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν·
ἤν περ γὰρ κεῖταί γε τελεσφόρον εἰς ἐνιαυτὸν,
αἰεὶ τῶιδ' ἔσται χρὼς ἔμπεδος, ἢ καὶ ἀρείων.
ἀλλὰ σύ γ' εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιοὺς,
μῆνιν ἀποειπὼν Ἀγαμέμνονι, ποιμένι λαῶν,
Thetis αἶψα μάλ' ἐς πόλεμον θωρήσσεο, δύσεο δ' ἀλκήν."
24.90 "τίπτε με κεῖνος ἄνωγε μέγας θεός; αἰδέομαι δὲ
μίσγεσθ' ἀθανάτοισιν· ἔχω δ' ἄχε' ἄκριτα θυμῶι.
εἶμι μὲν, οὐδ' ἅλιον ἔπος ἔσσεται, ὅττί κεν εἴπῃι."
24.128 "τέκνον ἐμὸν, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων
σὴν ἔδεαι κραδίην, μεμνημένος οὔτέ τι σίτου
οὔτ' εὐνῆς; ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι
μίσγεσθ'· οὐ γάρ μοι δηρὸν βέῃι, ἀλλά τοι ἤδη
ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή.
ἀλλ' ἐμέθεν ξύνες ὦκα, Διὸς δέ τοι ἄγγελός εἰμι·
σκύζεσθαί τοί φησι θεοὺς, ἓ δ' ἔξοχα πάντων
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃισιν
Ἕκτορ' ἔχεις παρὰ νηυσὶ κορωνίσιν οὐδ' ἀπέλυσας.
Thetis ἀλλ' ἄγε δὴ λῦσον, νεκροῖο δὲ δέξαι ἄποινα.

Notes

Notes

ILIAD AND OD.
ASCEND FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 404 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF
ZEUS
IN HOMER

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.32 “ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται·
ἐξ ἡμέων γάρ φασι κάκ’ ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ
σφῆισιν ἀτασθαλίηισιν ὑπὲρ μόρον ἄλγε’ ἔχουσιν,
ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον Ἀτρεΐδαο
γῆμ’ ἄλοχον μνηστήν, τὸν δ’ ἔκτανε νοστήσαντα,
εἰδὼς αἰπὺν ὄλεθρον· ἐπεὶ πρό οἱ εἴπομεν ἡμεῖς,
Ἑρμείαν πέμψαντες, εὔσκοπον Ἀργειφόντην,
μήτ’ αὐτὸν κτείνειν μήτε μνάασθαι ἄκοιτιν·
ἐκ γὰρ Ὀρέσταο τίσις ἔσσεται Ἀτρεΐδαο,
ὁππότ’ ἂν ἡβήσηι τε καὶ ἧς ἱμείρεται αἴης.’
ὣς ἔφαθ’ Ἑρμείας, ἀλλ’ οὐ φρένας Αἰγίσθοιο
Zeus πεῖθ’ ἀγαθὰ φρονέων· νῦν δ’ ἁθρόα πάντ’ ἀπέτισεν.”
1.64 “τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.
πῶς ἂν ἔπειτ’ Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην,
ὃς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ’ ἱρὰ θεοῖσιν
ἀθανάτοισιν ἔδωκε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
ἀλλὰ Ποσειδάων γαιήοχος ἀσκελὲς αἰεὶ
Κύκλωπος κεχόλωται, ὃν ὀφθαλμοῦ ἀλάωσεν,
ἀντίθεον Πολύφημον, ὅου κράτος ἔσκε μέγιστον
πᾶσιν Κυκλώπεσσι· Θόωσα δέ μιν τέκε νύμφη,
Φόρκυνος θυγάτηρ ἁλὸς ἀτρυγέτοιο μέδοντος,
ἐν σπέεσι γλαφυροῖσι Ποσειδάωνι μιγεῖσα.
ἐκ τοῦ δὴ Ὀδυσῆα Ποσειδάων ἐνοσίχθων
οὔ τι κατακτείνει, πλάζει δ’ ἀπὸ πατρίδος αἴης.
ἀλλ’ ἄγεθ’, ἡμεῖς οἵδε περιφραζώμεθα πάντες
νόστον, ὅπως ἔλθηισι· Ποσειδάων δὲ μεθήσει
ὃν χόλον· οὐ μὲν γάρ τι δυνήσεται ἀντία πάντων
ἀθανάτων ἀέκητι θεῶν ἐριδαινέμεν οἶος.”
1.518 “ἦ δὴ λοίγια ἔργ’, ὅ τέ μ’ ἐχθοδοπῆσαι ἐφήσεις
Ἥρηι, ὅτ’ ἄν μ’ ἐρέθησιν ὀνειδείοις ἐπέεσσιν.
ἡ δὲ καὶ αὔτως μ’ αἰεὶ ἐν ἀθανάτοισι θεοῖσιν
νεικεῖ, καί τέ μέ φησι μάχηι Τρώεσσιν ἀρήγειν.
ἀλλὰ σὺ μὲν νῦν αὖτις ἀπόστιχε, μή τι νοήσηι
Ἥρη· ἐμοὶ δέ κε ταῦτα μελήσεται, ὄφρα τελέσσω.
εἰ δ’ ἄγε τοι κεφαλῆι κατανεύσομαι, ὄφρα πεποίθηις·
τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ’ ἀθανάτοισι μέγιστον
τέκμωρ· οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ’ ἀπατηλὸν
Zeus οὐδ’ ἀτελεύτητον, ὅ τί κεν κεφαλῆι κατανεύσω.”
1.545 “Ἥρη, μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους
εἰδήσειν· χαλεποί τοι ἔσοντ’ ἀλόχωι περ ἐούσηι.
ἀλλ’ ὃν μέν κ’ ἐπιεικὲς ἀκουέμεν, οὔ τις ἔπειτα
οὔτε θεῶν πρότερος τόν γ’ εἴσεται οὔτ’ ἀνθρώπων·
Zeus ὃν δέ κ’ ἐγὼν ἀπάνευθε θεῶν ἐθέλωμι νοῆσαι,
μή τι σὺ ταῦτα ἕκαστα διείρεο μηδὲ μετάλλα.”
1.561 “δαιμονίη, αἰεὶ μὲν ὀΐεαι, οὐδέ σε λήθω·
πρῆξαι δ’ ἔμπης οὔ τι δυνήσεαι, ἀλλ’ ἀπὸ θυμοῦ
μᾶλλον ἐμοὶ ἔσεαι· τὸ δέ τοι καὶ ῥίγιον ἔσται.
εἰ δ’ οὕτω τοῦτ’ ἐστίν, ἐμοὶ μέλλει φίλον εἶναι.
ἀλλ’ ἀκέουσα κάθησο, ἐμῶι δ’ ἐπιπείθεο μύθωι,
μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ’ ἐν Ὀλύμπωι
ἆσσον ἰόνθ’, ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω.” Zeus
“βάσκ’ ἴθι, οὖλε Ὄνειρε, θοὰς ἐπὶ νῆας Ἀχαιῶν· 2.8
ἐλθὼν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρεΐδαο
πάντα μάλ’ ἀτρεκέως ἀγορευέμεν ὡς ἐπιτέλλω.
θωρῆξαί ἑ κέλευε κάρη κομόωντας Ἀχαιοὺς
πανσυδίηι· νῦν γάρ κεν ἕλοι πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ’ ἀμφὶς Ὀλύμπια δώματ’ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε’ ἐφῆπται.” Zeus
“δοιαὶ μὲν Μενελάωι ἀρηγόνες εἰσὶ θεάων, 4.7
Ἥρη τ’ Ἀργείη καὶ Ἀλαλκομενηῒς Ἀθήνη.
ἀλλ’ ἤτοι ταὶ νόσφι καθήμεναι εἰσορόωσαι
τέρπεσθον· τῶι δ’ αὖτε φιλομμειδὴς Ἀφροδίτη
αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆρας ἀμύνει,
καὶ νῦν ἐξεσάωσεν ὀϊόμενον θανέεσθαι.
ἀλλ’ ἤτοι νίκη μὲν ἀρηϊφίλου Μενελάου·
ἡμεῖς δὲ φραζώμεθ’ ὅπως ἔσται τάδε ἔργα,
ἤ ῥ’ αὖτις πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν
ὄρσομεν, ἦ φιλότητα μετ’ ἀμφοτέροισι βάλωμεν.
εἰ δ’ αὖ πως τόδε πᾶσι φίλον καὶ ἡδὺ γένοιτο,
ἤτοι μὲν οἰκέοιτο πόλις Πριάμοιο ἄνακτος,
αὖτις δ’ Ἀργείην Ἑλένην Μενέλαος ἄγοιτο.” Zeus
“δαιμονίη, τί νύ σε Πρίαμος Πριάμοιό τε παῖδες 4.31
τόσσα κακὰ ῥέζουσιν, ὅ τ’ ἀσπερχὲς μενεαίνεις
Ἰλίου ἐξαλαπάξαι ἐϋκτίμενον πτολίεθρον;
εἰ δὲ σύ γ’ εἰσελθοῦσα πύλας καὶ τείχεα μακρὰ
ὠμὸν βεβρώθοις Πρίαμον Πριάμοιό τε παῖδας
ἄλλους τε Τρῶας, τότε κεν χόλον ἐξακέσαιο.
ἔρξον ὅπως ἐθέλεις· μὴ τοῦτό γε νεῖκος ὀπίσσω
σοὶ καὶ ἐμοὶ μέγ’ ἔρισμα μετ’ ἀμφοτέροισι γένηται.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
ὁππότε κεν καὶ ἐγὼ μεμαὼς πόλιν ἐξαλαπάξαι
τὴν ἐθέλω ὅθι τοι φίλοι ἀνέρες ἐγγεγάασιν,
μή τι διατρίβειν τὸν ἐμὸν χόλον, ἀλλά μ’ ἐᾶσαι·
καὶ γὰρ ἐγὼ σοὶ δῶκα ἑκὼν ἀέκοντί γε θυμῶι.
αἳ γὰρ ὑπ’ ἠελίωι τε καὶ οὐρανῶι ἀστερόεντι
ναιετάουσι πόληες ἐπιχθονίων ἀνθρώπων,
τάων μοι περὶ κῆρι τιέσκετο Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
λοιβῆς τε κνίσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.” Zeus
“αἶψα μάλ’ ἐς στρατὸν ἐλθὲ μετὰ Τρῶας καὶ Ἀχαιούς, 4.70
πειρᾶν δ’ ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς
ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι.” Zeus
“οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήϊα ἔργα, 5.428
ἀλλὰ σύ γ’ ἱμερόεντα μετέρχεο ἔργα γάμοιο,
ταῦτα δ’ Ἄρηϊ θοῶι καὶ Ἀθήνηι πάντα μελήσει.” Zeus
“ἄγρει μάν οἱ ἔπορσον Ἀθηναίην ἀγελείην, 5.765
ἥ ἑ μάλιστ’ εἴωθε κακῆις ὀδύνηισι πελάζειν.” Zeus
“μή τί μοι, ἀλλοπρόσαλλε, παρεζόμενος μινύριζε. 5.889

ἔχθιστος δέ μοί ἐσσι θεῶν οἳ Ὄλυμπον ἔχουσιν·
αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε.
μητρός τοι μένος ἐστὶν ἀάσχετον, οὐκ ἐπιεικτὸν,
Ἥρης· τὴν μὲν ἐγὼ σπουδῆι δάμνημ' ἐπέεσσιν·
τῶι σ' ὀΐω κείνης τάδε πάσχειν ἐννεσίῃσιν.
ἀλλ' οὐ μάν σ' ἔτι δηρὸν ἀνέξομαι ἄλγε' ἔχοντα·
ἐκ γὰρ ἐμεῦ γένος ἐσσὶ, ἐμοὶ δέ σε γείνατο μήτηρ.
εἰ δέ τευ ἐξ ἄλλου γε θεῶν γένε' ὧδ' ἀΐδηλος,
Zeus καί κεν δὴ πάλαι ἦσθα ἐνέρτερος Οὐρανιώνων."
7.455 "ὢ πόποι, Ἐννοσίγαι' εὐρυσθενὲς, οἷον ἔειπες.
ἄλλός κέν τις τοῦτο θεῶν δείσειε νόημα,
ὃς σέο πολλὸν ἀφαυρότερος χεῖράς τε μένος τε·
σὸν δ' ἤτοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς.
ἄγρει μάν, ὅτ' ἂν αὖτε κάρη κομόωντες Ἀχαιοὶ
οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν,
τεῖχος ἀναρρήξας τὸ μὲν εἰς ἅλα πᾶν καταχεῦαι,
αὖτις δ' ἠϊόνα μεγάλην ψαμάθοισι καλύψαι,
Zeus ὥς κέν τοι μέγα τεῖχος ἀμαλδύνηται Ἀχαιῶν."
8.5 "κέκλυτέ μοι, πάντές τε θεοὶ πᾶσαί τε θέαιναι,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
μήτέ τις οὖν θήλεια θεὸς τό γε μήτε τις ἄρσην
πειράτω διακέρσαι ἐμὸν ἔπος, ἀλλ' ἅμα πάντες
αἰνεῖτ', ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα.
ὃν δ' ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω
ἐλθόντ' ἢ Τρώεσσιν ἀρηγέμεν ἢ Δαναοῖσιν,
πληγεὶς οὐ κατὰ κόσμον ἐλεύσεται Οὔλυμπόνδε·
ἤ μιν ἑλὼν ῥίψω ἐς Τάρταρον ἠερόεντα,
τῆλε μάλ', ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον,
◆ ἔνθα σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδὸς,
τόσσον ἔνερθ' Ἀΐδεω ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης·
γνώσετ' ἔπειθ' ὅσον εἰμὶ θεῶν κάρτιστος ἁπάντων.
εἰ δ' ἄγε πειρήσασθε, θεοὶ, ἵνα εἴδετε πάντες·
σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες
πάντες τ' ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι·
ἀλλ' οὐκ ἂν ἐρύσαιτ' ἐξ οὐρανόθεν πεδίονδε
Ζῆν', ὕπατον μήστωρ', οὐδ' εἰ μάλα πολλὰ κάμοιτε.
ἀλλ' ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι,
αὐτῆι κεν γαίηι ἐρύσαιμ' αὐτῆι τε θαλάσσηι·
σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο
δησαίμην, τὰ δέ κ' αὖτε μετήορα πάντα γένοιτο.
Zeus τόσσον ἐγὼ περί τ' εἰμὶ θεῶν περί τ' εἰμ' ἀνθρώπων."
8.39 "θάρσει, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῶι
Zeus πρόφρονι μυθέομαι· ἐθέλω δέ τοι ἤπιος εἶναι."
8.399 "βάσκ' ἴθι, Ἶρι ταχεῖα, πάλιν τρέπε μηδ' ἔα ἄντην
ἔρχεσθ'· οὐ γὰρ καλὰ συνοισόμεθα πτόλεμόνδε.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
γυιώσω μέν σφωϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
αὐτὰς δ' ἐκ δίφρου βαλέω κατά θ' ἅρματα ἄξω·
οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτοὺς
ἕλκε' ἀπαλθήσεσθον, ἅ κεν μάρπτησι κεραυνός·
ὄφρ' εἴδηι Γλαυκῶπις, ὅτ' ἂν ὧι πατρὶ μάχηται.
Ἥρηι δ' οὔ τι τόσον νεμεσίζομαι οὐδὲ χολοῦμαι·
αἰεὶ γάρ μοι ἔωθεν ἐνικλᾶν ὅττι κεν εἴπω." Zeus
"τίφθ' οὕτω τετίησθον, Ἀθηναίη τε καὶ Ἥρη; 8.447
οὐ μέν θην κάμετόν γε μάχηι ἔνι κυδιανείρηι
ὀλλῦσαι Τρῶας, τοῖσιν κότον αἰνὸν ἔθεσθε.
πάντως, οἷον ἐμόν γε μένος καὶ χεῖρες ἄαπτοι,
οὐκ ἄν με τρέψειαν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπωι.
σφῶϊν δὲ πρίν περ τρόμος ἔλλαβε φαίδιμα γυῖα,
πρὶν πόλεμόν τε ἰδεῖν πολεμοιό τε μέρμερα ἔργα.
ὧδε γὰρ ἐξερέω, τὸ δέ κεν τετελεσμένον ἦεν·
οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῶι,
ἂψ ἐς Ὄλυμπον ἵκεσθον, ἵν' ἀθανάτων ἕδος ἐστίν." Zeus
"ἠοῦς δὴ καὶ μᾶλλον ὑπερμενέα Κρονίωνα 8.470
ὄψεαι, αἴ κ' ἐθέληισθα, βοῶπι πότνια Ἥρη,
ὀλλύντ' Ἀργείων πουλὺν στρατὸν αἰχμητάων·
οὐ γὰρ πρὶν πολέμου ἀποπαύσεται ὄβριμος Ἕκτωρ,
πρὶν ὄρθαι παρὰ ναῦφι ποδώκεα Πηλείωνα.
ἤματι τῶι ὅτ' ἂν οἳ μὲν ἐπὶ πρύμνηισι μάχωνται,
στείνει ἐν αἰνοτάτωι, περὶ Πατρόκλοιο θανόντος.
ὡς γὰρ θέσφατόν ἐστι· σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω
χωομένης, οὐδ' εἴ κε τὰ νείατα πείραθ' ἵκηαι
γαίης καὶ πόντοιο, ἵν' Ἰαπετός τε Κρόνος τε
ἥμενοι οὔτ' αὐγῆις Ὑπερίονος Ἠελίοιο
τέρποντ' οὔτ' ἀνέμοισι, βαθὺς δέ τε Τάρταρος ἀμφίς·
οὐδ' ἢν ἔνθ' ἀφίκηαι ἀλωμένη, οὔ σε' ἐγώ γε
σκυζομένης ἀλέγω, ἐπεὶ οὐ σέο κύντερον ἄλλο." Zeus
"βάσκ' ἴθι, Ἶρι ταχεῖα, τὸν Ἕκτορι μῦθον ἐνίσπες. 11.186
ὄφρ' ἂν μὲν κεν ὁρᾶι Ἀγαμέμνονα, ποιμένα λαῶν,
θύνοντ' ἐν προμάχοισιν, ἐναίροντα στίχας ἀνδρῶν,
τόφρ' ἀναχωρείτω, τὸν δ' ἄλλον λαὸν ἀνώχθω
μάρνασθαι δηΐοισι κατὰ κρατερὴν ὑσμίνην.
αὐτὰρ ἐπεί κ' ἢ δουρὶ τυπεὶς ἢ βλήμενος ἴωι
εἰς ἵππους ἅλεται, τότε οἱ κράτος ἐγγυαλίξω
κτείνειν, εἰς ὅ κε νῆας ἐϋσσέλμους ἀφίκηται
δύηι τ' ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθηι." Zeus
"Ἠέλι', ἤτοι μὲν σὺ μετ' ἀθανάτοισι φάεινε 12.385
καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν·
τῶν δέ κ' ἐγὼ τάχα νῆα θοὴν ἀργῆτι κεραυνῶι
τυτθὰ βαλὼν κεάσαιμι μέσωι ἐνὶ οἴνοπι πόντωι." Zeus
"ὢ πόποι, Ἐννοσίγαι' εὐρυσθενὲς, οἷον ἔειπες. ◆ 13.140
οὔ τί σ' ἀτιμάζουσι θεοί· χαλεπὸν δέ κεν εἴη
πρεσβύτατον καὶ ἄριστον ἀτιμίῃσιν ἰάλλειν.
ἀνδρῶν δ' εἴ πέρ τίς σε βίηι καὶ κάρτεϊ εἴκων
οὔ τι τίει, σοὶ δ' ἔστι καὶ ἐξοπίσω τίσις αἰεί.
ἔρξον ὅπως ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῶι." Zeus
"ὢ πέπον, ὡς μὲν ἐμῶι θυμῶι δοκεῖ εἶναι ἄριστα, 13.154
ὁππότε κεν δὴ πάντες ἐλαυνομένην προΐδωνται
λαοὶ ἀπὸ πτόλιος, θεῖναι λίθον ἐγγύθι γαίης
νηῒ θοῆι ἴκελον, ἵνα θαυμάζωσιν ἅπαντες

Zeus ἄνθρωποι· μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι."
14.298 "Ἥρη, πῆι μεμαυῖα κατ' Οὐλύμπου τόδ' ἱκάνεις;
Zeus ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίης."
14.313 "Ἥρη κεῖσε μὲν ἔστι καὶ ὕστερον ὁρμηθῆναι,
νῶϊ δ' ἄγ' ἐν φιλότητι τραπείομεν εὐνηθέντε.
οὐ γάρ πώ ποτέ μ' ὧδε θεᾶς ἔρος οὐδὲ γυναικὸς
θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν,
οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίης ἀλόχοιο,
ἣ τέκε Πειρίθοον, θεόφιν μήστωρ' ἀτάλαντον·
οὐδ' ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης,
ἣ τέκε Περσῆα, πάντων ἀριδείκετον ἀνδρῶν·
οὐδ' ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
◆ ἣ τέκε μοι Μίνων τε καὶ ἀντίθεον Ῥαδάμανθυν·
οὐδ' ὅτε περ Σεμέλης οὐδ' Ἀλκμήνης ἐνὶ Θήβηι,
ἥ ῥ' Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα·
ἡ δὲ Διώνυσον Σεμέλη τέκε, χάρμα βροτοῖσιν·
οὐδ' ὅτε Δήμητρος καλλιπλοκάμοιο ἀνάσσης,
οὐδ' ὁπότε Λητοῦς ἐρικυδέος, οὐδὲ σέ' αὐτῆς,
Zeus ὡς σέο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ."
14.342 "Ἥρη, μήτε θεὸν τό γε δείδιθι μήτε τιν' ἀνδρῶν
ὄψεσθαι· τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω,
χρύσεον· οὐδ' ἂν νῶϊ διαδράκοι Ἠέλιός περ,
Zeus οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι."
15.49 "εἰ μὲν δὴ σύ γ' ἔπειτα, βοῶπι πότνια Ἥρη,
ἶσον ἐμοὶ φρονέουσα μετ' ἀθανάτοισι καθίζοις,
τῶι κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλληι,
αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ.
ἀλλ' εἰ δή ῥ' ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις,
ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον
Ἶρίν τ' ἐλθέμεναι καὶ Ἀπόλλωνα κλυτότοξον
ὄφρ' ἡ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
ἔλθηι καὶ εἴπησι Ποσειδάωνι ἄνακτι
παυσάμενον πολέμοιο τὰ ἃ πρὸς δώμαθ' ἱκέσθαι,
Ἕκτορα δ' ὀτρύνησι μάχην ἐς Φοῖβος Ἀπόλλων,
αὖτις δ' ἐμπνεύσησι μένος, λελάθηι δ' ὀδυνάων
αἳ νῦν μιν τείρουσι κατὰ φρένας, αὐτὰρ Ἀχαιοὺς
αὖτις ἀποστρέψησιν, ἀνάλκιδα φύζαν ἐνόρσας,
φεύγοντες δ' ἐν νηυσὶ πολυκλήϊσι πέσωσιν,
Πηλείδεω Ἀχιλῆος. ὁ δ' ἀνστήσει ὃν ἑταῖρον
Πάτροκλον· τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος Ἕκτωρ
Ἰλίου προπάροιθε, πολεῖς ὀλέσαντ' αἰζηοὺς
τοὺς ἄλλους, μετὰ δ' υἱὸν ἐμὸν Σαρπηδόνα δῖον.
τοῦ δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς.
ἐκ τοῦ δ' ἄν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν
αἰὲν ἐγὼ τεύχοιμι διαμπερές, εἰς ὅ κ' Ἀχαιοὶ
Ἴλιον αἰπὺ ἕλοιεν Ἀθηναίης διὰ βουλάς.
τὸ πρὶν δ' οὔτ' ἄρ' ἐγὼ παύω χόλον οὔτέ τιν' ἄλλον
ἀθανάτων Δαναοῖσιν ἀμυνέμεν ἐνθάδ' ἐάσω,
πρίν γε τὸ Πηλείδαο τελευτηθῆναι ἐέλδωρ,
ὥς οἱ ὑπέστην πρῶτον, ἐμῶι δ' ἐπένευσα κάρητι,
ἤματι τῶι ὅτ' ἐμεῖο θεὰ Θέτις ἥψατο γούνων,
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον." Zeus
"βάσκ' ἴθι, Ἶρι ταχεῖα, Ποσειδάωνι ἄνακτι 15.158
πάντα τάδ' ἀγγεῖλαι, μηδὲ ψευδάγγελος εἶναι.
παυσάμενόν μιν ἄνωχθι μάχης ἠδὲ πτολέμοιο
ἔρχεσθαι μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα δῖαν.
εἰ δέ μοι οὐκ ἐπέεσσ' ἐπιπείσεται, ἀλλ' ἀλογήσει,
φραζέσθω δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν,
μή μ' οὐδὲ, κρατερός περ ἐὼν, ἐπιόντα ταλάσσηι
μεῖναι, ἐπεί εὕ φημι βίηι πολὺ φέρτερος εἶναι
καὶ γενεῆι πρότερος· τοῦ δ' οὐκ ὄθεται φίλον ἦτορ
ἶσον ἐμοὶ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι." Zeus
"ἔρχεο νῦν, φίλε Φοῖβε, μεθ' Ἕκτορα χαλκοκορυστήν· 15.221
ἤδη μὲν γάρ τοι γαιήοχος Ἐννοσίγαιος
οἴχεται εἰς ἅλα δῖαν, ἀλευάμενος χόλον αἰπὺν
ἡμέτερον· μάλα γάρ κε μάχης ἐπύθοντο καὶ ἄλλοι,
οἵ περ ἐνέρτεροί εἰσι θεοί, Κρόνον ἀμφὶς ἐόντες.
ἀλλὰ τόδ' ἠμὲν ἐμοὶ πολὺ κέρδιον ἠδὲ οἷ αὐτῶι
ἔπλετο, ὅττι πάροιθε νεμεσσηθεὶς ὑπόειξεν
χεῖρας ἐμὰς, ἐπεὶ οὔ κεν ἀνιδρωτεί γ' ἐτελέσθη.
ἀλλὰ σύ γ' ἐν χείρεσσι λάβ' αἰγίδα θυσανόεσσαν,
τὴν μάλ' ἐπισσείων φοβέειν ἥρωας Ἀχαιούς·
σοὶ δ' αὐτῶι μελέτω, Ἑκατηβόλε, φαίδιμος Ἕκτωρ·
τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα, ὄφρ' ἂν Ἀχαιοὶ
φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκωνται.
κεῖθεν δ' αὐτὸς ἐγὼ φράσομαι ἔργόν τε ἔπος τε,
ὥς κε καὶ αὖτις Ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο." Zeus
"ὤ μοι ἐγὼν, ὅ τέ μοι Σαρπηδόνα, φίλτατον ἀνδρῶν, 16.433
μοῖρ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι.
διχθὰ δέ μοι κραδίη μέμονε φρεσὶν ὁρμαίνοντι,
ἤ μιν ζωὸν ἐόντα μάχης ἄπο δακρυοέσσης
θείω ἀναρπάξας Λυκίης ἐν πίονι δήμωι,
ἦ ἤδη ὑπὸ χερσὶ Μενοιτιάδαο δαμάσσω." Zeus
"εἰ δ' ἄγε νῦν, φίλε Φοῖβε, κελαινεφὲς αἷμα κάθηρον 16.667
ἐλθὼν ἐκ βελέων Σαρπηδόνα, καί μιν ἔπειτα
πολλὸν ἄποπρο φέρων λοῦσον ποταμοῖο ῥοῆισιν
χρῖσόν τ' ἀμβροσίηι, περὶ δ' ἄμβροτα εἵματα ἕσσον.
πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνωι καὶ Θανάτωι διδυμάοσιν, οἵ ῥά μιν ὦκα
θήσουσ' ἐν Λυκίης εὐρείης πίονι δήμωι·
ἔνθά ἑ ταρχύσουσι κασίγνητοί τε ἔται τε
τύμβωι τε στήληι τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων." Zeus
"ἆ δείλ', οὐδέ τί τοι θάνατος καταθύμιός ἐστιν, 17.201
ὃς δή τοι σχεδὸν εἶσι· σὺ δ' ἄμβροτα τεύχεα δύνεις
ἀνδρὸς ἀριστῆος, τόν τε τρομέουσι καὶ ἄλλοι.
τοῦ δὴ ἑταῖρον ἔπεφνες ἐνηέα τε κρατερόν τε,
τεύχεα δ' οὐ κατὰ κόσμον ἀπὸ κρατός τε καὶ ὤμων
εἵλευ. ἀτάρ τοι νῦν γε μέγα κράτος ἐγγυαλίξω,
τῶν ποινὴν ὅ τοι οὔ τι μάχης ἐκ νοστήσαντι
δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα Πηλείωνος." Zeus

17.443 “ἆ δειλώ, τί σφῶϊ δόμεν Πηλῆϊ ἄνακτι
θνητῶι, ὑμεῖς δ' ἐστὸν ἀγήρω τ' ἀθανάτω τε;
ἦ ἵνα δυστήνοισι μετ' ἀνδράσιν ἄλγε' ἔχητον;
οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς
πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
ἀλλ' οὐ μὰν ὑμῖν γε καὶ ἅρμασι δαιδαλέοισιν
Ἕκτωρ Πριαμίδης ἐποχήσεται· οὐ γὰρ ἐάσω.
ἦ οὐχ ἅλις, ὡς καὶ τεύχε' ἔχει καὶ ἐπεύχεται αὔτως;
σφῶϊν δ' ἐν γούνεσσι βάλω μένος ἠδ' ἐνὶ θυμῶι,
ὄφρα καὶ Αὐτομέδοντα σαώσετον ἐκ πολέμοιο
νῆας ἔπι γλαφυράς. ἔτι γάρ σφισι κῦδος ὀρέξω,
κτείνειν, εἰς ὅ κε νῆας ἐϋσσέλμους ἀφίκωνται.
Zeus δύηι τ' ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθηι.”
18.357 “ἔπρηξας καὶ ἔπειτα, βοῶπι πότνια Ἥρη,
ἀνστήσασ' Ἀχιλῆα πόδας ταχύν. ἦ ῥά νυ σεῖο
Zeus ἐξ αὐτῆς ἐγένοντο κάρη κομόωντες Ἀχαιοί.”
19.342 “τέκνον ἐμόν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸς ἑῆος.
ἦ νύ τοι οὐκέτι πάγχυ μετὰ φρεσὶ μέμβλετ' Ἀχιλλεύς;
κεῖνος ὅ γε προπάροιθε νεῶν ὀρθοκραιράων
ἧσται ὀδυρόμενος ἕταρον φίλον· οἱ δὲ δὴ ἄλλοι
οἴχονται μετὰ δεῖπνον, ὁ δ' ἄκμηνος καὶ ἄπαστος.
ἀλλ' ἴθι οἱ νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν
Zeus στάξον ἐνὶ στήθεσσ', ἵνα μή μιν λιμὸς ἵκηται.”
20.20 “ἔγνως, Ἐννοσίγαιε, ἐμὴν ἐν στήθεσι βουλήν,
ὧν ἕνεκα ξυνάγειρα· μέλουσί μοι ὀλλύμενοί περ.
ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
ἥμενος, ἔνθ' ὁρόων φρένα τέρψομαι· οἱ δὲ δὴ ἄλλοι
ἔρχεσθ', ὄφρ' ἂν ἵκησθε μετὰ Τρῶας καὶ Ἀχαιούς,
ἀμφοτέροισι δ' ἀρήγεθ', ὅπηι νοος ἐστὶν ἑκάστου.
εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεσσι μαχεῖται,
οὐδὲ μίνυνθ' ἕξουσι ποδώκεα Πηλεΐωνα.
καὶ δέ τί μιν καὶ πρόσθεν ὑποτρομέεσκον ὁρῶντες·
νῦν δ', ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνῶς,
Zeus δείδω μὴ καὶ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξηι.”
21.509 Zeus “τίς νύ σε τοιάδ' ἔρεξε, φίλον τέκος, Οὐρανιώνων;”
22.168 “ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ
Ἕκτορος, ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηεν
Ἴδης ἐν κορυφῆισι πολυπτύχου, ἄλλοτε δ' αὖτε
ἐν πόλει ἀκροτάτηι· νῦν αὖτέ ἑ δῖος Ἀχιλλεὺς
ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκει.
ἀλλ' ἄγετε φράζεσθε, θεοί, καὶ μητιάασθε,
ἠέ μιν ἐκ θανάτοιο σαώσομεν, ἦέ μιν ἤδη
Zeus Πηλεΐδηι Ἀχιλῆϊ δαμάσσομεν ἐσθλὸν ἐόντα.”
22.183 “θάρσει, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῶι
πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι·
Zeus ἔρξον ὅπηι δή τοι νόος ἔπλετο, μηδ' ἔτ' ἐρώει.”
24.65 “Ἥρη, μὴ δὴ πάμπαν ἀποσκύδμαινε θεοῖσιν·
οὐ μὲν γὰρ τιμή γε μί' ἔσσεται· ἀλλὰ καὶ Ἕκτωρ
φίλτατος ἔσκε θεοῖσι βροτῶν οἳ ἐν Ἰλίωι εἰσίν·
ὣς γὰρ ἐμοί γ', ἐπεὶ οὔ τι φίλων ἡμάρτανε δώρων.
οὐ γάρ μοι ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
λοιβῆς τε κνίσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.
ἀλλ' ἤτοι κλέψαι μὲν ἐάσομεν — οὐδέ πηι ἔστιν
λάθρηι Ἀχιλλῆος — θρασὺν Ἕκτορα· ἦ γάρ οἱ αἰεὶ
μήτηρ παρμέμβλωκεν ὁμῶς νύκτας τε καὶ ἦμαρ·
ἀλλ' εἴ τις καλέσειε θεῶν Θέτιν ἆσσον ἐμεῖο,
ὄφρα τί οἱ εἴπω πυκινὸν ἔπος, ὥς κεν Ἀχιλλεὺς
δώρων ἐκ Πριάμοιο λάχηι ἀπό θ' Ἕκτορα λύσηι.” Zeus
“ἤλυθες Οὔλυμπόνδε, θεὰ Θέτι, κηδομένη περ, ✦ 24.104
πένθος ἄλαστον ἔχουσα μετὰ φρεσίν· οἶδα καὶ αὐτός·
ἀλλὰ καὶ ὣς ἐρέω τοῦ σ' εἵνεκα δεῦρο κάλεσσα.
ἐννῆμαρ δὴ νεῖκος ἐν ἀθανάτοισιν ὄρωρεν
Ἕκτορος ἀμφὶ νέκυι καὶ Ἀχιλλῆϊ πτολιπόρθωι·
κλέψαι δ' ὀτρύνουσιν ἐΰσκοπον Ἀργειφόντην·
αὐτὰρ ἐγὼ τόδε κῦδος Ἀχιλλῆϊ προτιάπτω,
αἰδῶ καὶ φιλότητα τεὴν μετόπισθε φυλάσσων.
αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ καὶ υἱέϊ σῶι ἐπίτειλον.
σκύζεσθαί οἱ εἰπὲ θεούς, ἐμὲ δ' ἔξοχα πάντων
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένηισιν
Ἕκτορ' ἔχει παρὰ νηυσὶ κορωνίσιν οὐδ' ἀπέλυσεν,
αἴ κέν πως ἐμέ τε δείσηι ἀπό θ' Ἕκτορα λύσηι.
αὐτὰρ ἐγὼ Πριάμωι μεγαλήτορι Ἶριν ἐφήσω,
λύσασθαι φίλον υἱὸν ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνηι.” Zeus
“βάσκ' ἴθι, Ἶρι ταχεῖα, λιποῦσ' ἕδος Οὐλύμποιο 24.144
ἄγγειλον Πριάμωι μεγαλήτορι Ἴλιον εἴσω
λύσασθαι φίλον υἱὸν ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνηι,
οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.
κῆρύξ τίς οἱ ἕποιτο γεραίτερος, ὅς κ' ἰθύνοι
ἡμιόνους καὶ ἄμαξαν ἐΰτροχον, ἠδὲ καὶ αὖτις
νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
μηδέ τί οἱ θάνατος μελέτω φρεσὶ μηδέ τι τάρβος·
τοῖον γάρ οἱ πομπὸν ὀπάσσομεν Ἀργειφόντην,
ὃς ἄξει, εἵως κεν ἄγων Ἀχιλῆϊ πελάσσηι.
αὐτὰρ ἐπὴν ἀγάγησιν ἔσω κλισίην Ἀχιλῆος,
οὔτ' αὐτὸς κτενέει ἀπό τ' ἄλλους πάντας ἐρύξει·
οὔτε γάρ ἐστ' ἄφρων οὔτ' ἄσκοπος οὔτ' ἀλιτήμων,
ἀλλὰ μάλ' ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.” Zeus
“Ἑρμεία· σοὶ γάρ τε μάλιστά γε φίλτατόν ἐστιν 24.334
ἀνδρὶ ἑταιρίσσαι, καί τ' ἔκλυες ὧι κ' ἐθέληισθα·
βάσκ' ἴθι, καὶ Πρίαμον κοίλας ἐπὶ νῆας Ἀχαιῶν
ὣς ἄγαγ', ὡς μήτ' ἄρ τις ἴδηι μήτ' ἄρ τε νοήσηι
τῶν ἄλλων Δαναῶν, πρὶν Πηλεΐωνάδ' ἱκέσθαι.” Zeus
“τέκνον ἐμόν, τί με ταῦτα διείρεαι ἠδὲ μεταλλᾶις; 24.478
οὐ γὰρ δὴ τοῦτον μὲν ἐβούλευσας νόον αὐτή,
ὡς ἤτοι κείνους Ὀδυσεὺς ἀποτείσεται ἐλθών;
ἔρξον ὅπως ἐθέλεις· ἐρέω τέ τοι ὡς ἐπέοικεν.
ἐπεὶ δὴ μνηστῆρας ἐτείσατο δῖος Ὀδυσσεύς,

ὅρκια πιστὰ ταμόντες <u>ὁ</u> μὲν βασιλευέτω αἰεὶ,
ἡμεῖς <u>δ'</u> αὖ παίδων τε κασιγνήτων τε φόνοιο
ἔκλησιν θέωμεν· τοί δ' ἀλλήλους φιλεόντων
Zeus ὡς τὸ πάρος, πλοῦτος δὲ καὶ εἰρήνη ἅλις ἔστω."

ALTERNATING: ILIAD ASCENDS FROM START; OD. ASCENDS FROM END

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 404 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF
ZEUS
IN **HOMER**

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.518 “ἦ δὴ λοίγια ἔργ’, ὅ τέ μ’ ἐχθοδοπῆσαι ἐφήσεις
Ἥρηι, ὅτ’ ἄν μ’ ἐρέθησιν ὀνειδείοις ἐπέεσσιν.
ἡ δὲ καὶ αὔτως μ’ αἰεὶ ἐν ἀθανάτοισι θεοῖσιν
νεικεῖ, καί τέ μέ φησι μάχηι Τρώεσσιν ἀρήγειν.
ἀλλὰ σὺ μὲν νῦν αὖτις ἀπόστιχε, μή τι νοήσηι
Ἥρη· ἐμοὶ δέ κε ταῦτα μελήσεται, ὄφρα τελέσσω.
εἰ δ’ ἄγε τοι κεφαλῆι κατανεύσομαι, ὄφρα πεποίθηις·
τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ’ ἀθανάτοισι μέγιστον
τέκμωρ· οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ’ ἀπατηλὸν
Zeus οὐδ’ ἀτελεύτητον, ὅ τί κεν κεφαλῆι κατανεύσω.”
1.545 “Ἥρη, μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους
εἰδήσειν· χαλεποί τοι ἔσοντ’ ἀλόχωι περ ἐούσηι.
ἀλλ’ ὃν μέν κ’ ἐπιεικὲς ἀκουέμεν, οὔ τις ἔπειτα
οὔτε θεῶν πρότερος τόν γ’ εἴσεται οὔτ’ ἀνθρώπων·
Zeus ὃν δέ κ’ ἐγὼν ἀπάνευθε θεῶν ἐθέλωμι νοῆσαι,
μή τι σὺ ταῦτα ἕκαστα διείρεο μηδὲ μετάλλα.”
1.561 “δαιμονίη, αἰεὶ μὲν ὀΐεαι, οὐδέ σε λήθω·
πρῆξαι δ’ ἔμπης οὔ τι δυνήσεαι, ἀλλ’ ἀπὸ θυμοῦ
μᾶλλον ἐμοὶ ἔσεαι· τὸ δέ τοι καὶ ῥίγιον ἔσται.
εἰ δ’ οὕτω τοῦτ’ ἐστίν, ἐμοὶ μέλλει φίλον εἶναι.
ἀλλ’ ἀκέουσα κάθησο, ἐμῶι δ’ ἐπιπείθεο μύθωι,
μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ’ ἐν Ὀλύμπωι
Zeus ἆσσον ἰόνθ’, ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω.”
2.8 “βάσκ’ ἴθι, οὖλε Ὄνειρε, θοὰς ἐπὶ νῆας Ἀχαιῶν·
ἐλθὼν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρεΐδαο
πάντα μάλ’ ἀτρεκέως ἀγορευέμεν ὡς ἐπιτέλλω.
θωρῆξαί ἑ κέλευε κάρη κομόωντας Ἀχαιοὺς
πανσυδίηι· νῦν γάρ κεν ἕλοι πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ’ ἀμφὶς Ὀλύμπια δώματ’ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Zeus Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε’ ἐφῆπται.”
4.7 “δοιαὶ μὲν Μενελάωι ἀρηγόνες εἰσὶ θεάων,
Ἥρη τ’ Ἀργείη καὶ Ἀλαλκομενηῒς Ἀθήνη.
ἀλλ’ ἤτοι ται νόσφι καθήμεναι εἰσορόωσαι
τέρπεσθον· τῶι δ’ αὖτε φιλομμειδὴς Ἀφροδίτη
αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆρας ἀμύνει,
καὶ νῦν ἐξεσάωσεν ὀϊόμενον θανέεσθαι.
ἀλλ’ ἤτοι νίκη μὲν ἀρηϊφίλου Μενελάου·
ἡμεῖς δὲ φραζώμεθ’ ὅπως ἔσται τάδε’ ἔργα,
ἤ ῥ αὖτις πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν
ὄρσομεν, ἦ φιλότητα μετ’ ἀμφοτέροισι βάλωμεν.
εἰ δ’ αὖ πως τόδε πᾶσι φίλον καὶ ἡδὺ γένοιτο,
ἤτοι μὲν οἰκέοιτο πόλις Πριάμοιο ἄνακτος,
Zeus αὖτις δ’ Ἀργείην Ἑλένην Μενέλαος ἄγοιτο.”
4.31 “δαιμονίη, τί νύ σε Πρίαμος Πριάμοιό τε παῖδες
τόσσα κακὰ ῥέζουσιν, ὅ τ’ ἀσπερχὲς μενεαίνεις
Ἰλίου ἐξαλαπάξαι ἐϋκτίμενον πτολίεθρον;
εἰ δὲ σύ γ’ εἰσελθοῦσα πύλας καὶ τείχεα μακρὰ
ὠμὸν βεβρώθοις Πρίαμον Πριάμοιό τε παῖδας
ἄλλους τε Τρῶας, τότε κεν χόλον ἐξακέσαιο.
ἔρξον ὅπως ἐθέλεις· μὴ τοῦτό γε νεῖκος ὀπίσσω
σοὶ καὶ ἐμοὶ μέγ’ ἔρισμα μετ’ ἀμφοτέροισι γένηται.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
ὁππότε κεν καὶ ἐγὼ μεμαὼς πόλιν ἐξαλαπάξαι
τὴν ἐθέλω ὅθι τοι φίλοι ἀνέρες ἐγγεγάασιν,
μή τι διατρίβειν τὸν ἐμὸν χόλον, ἀλλά μ’ ἐᾶσαι·
καὶ γὰρ ἐγὼ σοὶ δῶκα ἑκὼν ἀέκοντί γε θυμῶι.
αἳ γὰρ ὑπ’ ἠελίωι τε καὶ οὐρανῶι ἀστερόεντι
ναιετάουσι πόληες ἐπιχθονίων ἀνθρώπων,
τάων μοι περὶ κῆρι τιέσκετο Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
λοιβῆς τε κνίσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.” Zeus
“αἶψα μάλ’ ἐς στρατὸν ἐλθὲ μετὰ Τρῶας καὶ Ἀχαιούς, 4.70
πειρᾶν δ’ ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς
ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι.” Zeus
“οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήϊα ἔργα, 5.428
ἀλλὰ σύ γ’ ἱμερόεντα μετέρχεο ἔργα γάμοιο,
ταῦτα δ’ Ἄρηϊ θοῶι καὶ Ἀθήνηι πάντα μελήσει.” Zeus
“ἄγρει μάν οἱ ἔπορσον Ἀθηναίην ἀγελείην, 5.765
ἥ ἑ μάλιστ’ εἴωθε κακῆις ὀδύνηισι πελάζειν.” Zeus
“μή τί μοι, ἀλλοπρόσαλλε, παρεζόμενος μινύριζε. 5.889
ἔχθιστος δέ μοί ἐσσι θεῶν οἳ Ὄλυμπον ἔχουσιν·
αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε.
μητρός τοι μένος ἐστὶν ἀάσχετον, οὐκ ἐπιεικτὸν,
Ἥρης· τὴν μὲν ἐγὼ σπουδῆι δάμνημ’ ἐπέεσσιν·
τῶι σ’ ὀΐω κείνης τάδε πάσχειν ἐννεσίηισιν.
ἀλλ’ οὐ μάν σ’ ἔτι δηρὸν ἀνέξομαι ἄλγε’ ἔχοντα·
ἐκ γὰρ ἐμεῦ γένος ἐσσί, ἐμοὶ δέ σε γείνατο μήτηρ.
εἰ δέ τευ ἐξ ἄλλου γε θεῶν γένε’ ὧδ’ ἀΐδηλος,
καί κεν δὴ πάλαι ἦσθα ἐνέρτερος Οὐρανιώνων.” Zeus
“ὢ πόποι, Ἐννοσίγαι’ εὐρυσθενές, οἷον ἔειπες. 7.455
ἄλλός κέν τις τοῦτο θεῶν δείσειε νόημα,
ὃς σέο πολλὸν ἀφαυρότερος χεῖράς τε μένος τε·
σὸν δ’ ἤτοι κλέος ἔσται ὅσον τ’ ἐπικίδναται ἠώς.
ἄγρει μάν, ὅτ’ ἂν αὖτε κάρη κομόωντες Ἀχαιοὶ
οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν,
τεῖχος ἀναρρήξας τὸ μὲν εἰς ἅλα πᾶν καταχεῦαι,
αὖτις δ’ ἠϊόνα μεγάλην ψαμάθοισι καλύψαι,
ὥς κέν τοι μέγα τεῖχος ἀμαλδύνηται Ἀχαιῶν.” Zeus
“κέκλυτέ μοι, πάντές τε θεοὶ πᾶσαί τε θέαιναι, 8.5
ὄφρ’ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
μήτέ τις οὖν θήλεια θεὸς τό γε μήτε τις ἄρσην
πειράτω διακέρσαι ἐμὸν ἔπος, ἀλλ’ ἅμα πάντες
αἰνεῖτ’, ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα.
ὃν δ’ ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω
ἐλθόντ’ ἢ Τρώεσσιν ἀρηγέμεν ἢ Δαναοῖσιν,
πληγεὶς οὐ κατὰ κόσμον ἐλεύσεται Οὔλυμπόνδε·
ἤ μιν ἑλὼν ῥίψω ἐς Τάρταρον ἠερόεντα,
τῆλε μάλ’, ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον,

ἔνθα σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδός,
τόσσον ἔνερθ' Ἀΐδεω ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης·
γνώσετ' ἔπειθ' ὅσον εἰμὶ θεῶν κάρτιστος ἁπάντων.
εἰ δ' ἄγε πειρήσασθε, θεοί, ἵνα εἴδετε πάντες·
σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες
πάντες τ' ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι·
ἀλλ' οὐκ ἂν ἐρύσαιτ' ἐξ οὐρανόθεν πεδίονδε
Ζῆν', ὕπατον μήστωρ', οὐδ' εἰ μάλα πολλὰ κάμοιτε.
ἀλλ' ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι,
αὐτῇι κεν γαίηι ἐρύσαιμ' αὐτῇι τε θαλάσσηι·
σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο
δησαίμην, τὰ δέ κ' αὖτε μετήορα πάντα γένοιτο.
Zeus τόσσον ἐγὼ περί τ' εἰμὶ θεῶν περί τ' εἴμ' ἀνθρώπων."
8.39 "θάρσει, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῶι
Zeus πρόφρονι μυθέομαι· ἐθέλω δέ τοι ἤπιος εἶναι."
8.399 "βάσκ' ἴθι, Ἶρι ταχεῖα, πάλιν τρέπε μηδ' ἔα ἄντην
ἔρχεσθ'· οὐ γὰρ καλὰ συνοισόμεθα πτόλεμόνδε.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
γυιώσω μέν σφωϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
αὐτὰς δ' ἐκ δίφρου βαλέω κατά θ' ἅρματα ἄξω·
οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτοὺς
ἕλκε' ἀπαλθήσεσθον, ἅ κεν μάρπτησι κεραυνός·
ὄφρ' εἰδῆι Γλαυκῶπις, ὅτ' ἂν ὧι πατρὶ μάχηται.
Ἥρηι δ' οὔ τι τόσον νεμεσίζομαι οὐδὲ χολοῦμαι·
Zeus αἰεὶ γάρ μοι ἔωθεν ἐνικλᾶν ὅττι κεν εἴπω."
8.447 "τίφθ' οὕτω τετίησθον, Ἀθηναίη τε καὶ Ἥρη;
οὐ μέν θην κάμετόν γε μάχηι ἔνι κυδιανείρηι
ὀλλῦσαι Τρῶας, τοῖσιν κότον αἰνὸν ἔθεσθε.
πάντως, οἷον ἐμόν γε μένος καὶ χεῖρες ἄαπτοι,
οὐκ ἄν με τρέψειαν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπωι.
σφῶϊν δὲ πρίν περ τρόμος ἔλλαβε φαίδιμα γυῖα,
πρὶν πόλεμόν τε ἰδεῖν πολέμοιό τε μέρμερα ἔργα.
ὧδε γὰρ ἐξερέω, τὸ δέ κεν τετελεσμένον ἦεν·
οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῶι,
Zeus ἂψ ἐς Ὄλυμπον ἵκεσθον, ἵν' ἀθανάτων ἕδος ἐστίν."
8.470 "ἠοῦς δὴ καὶ μᾶλλον ὑπερμενέα Κρονίωνα
ὄψεαι, αἴ κ' ἐθέλῃισθα, βοῶπι πότνια Ἥρη,
ὀλλύντ' Ἀργείων πουλὺν στρατὸν αἰχμητάων·
οὐ γὰρ πρὶν πολέμου ἀποπαύσεται ὄβριμος Ἕκτωρ,
πρὶν ὄρθαι παρὰ ναῦφι ποδώκεα Πηλείωνα.
ἤματι τῶι ὅτ' ἂν οἳ μὲν ἐπὶ πρύμνῃσι μάχωνται,
στείνει ἐν αἰνοτάτωι, περὶ Πατρόκλοιο θανόντος.
ὣς γὰρ θέσφατόν ἐστι· σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω
χωομένης, οὐδ' εἴ κε τὰ νείατα πείραθ' ἵκηαι
γαίης καὶ πόντοιο, ἵν' Ἰαπετός τε Κρόνος τε
ἥμενοι οὔτ' αὐγῇς Ὑπερίονος Ἠελίοιο
τέρποντ' οὔτ' ἀνέμοισι, βαθὺς δέ τε Τάρταρος ἀμφίς·
οὐδ' ἢν ἔνθ' ἀφίκηαι ἀλωμένη, οὔ σε' ἐγὼ γε
Zeus σκυζομένης ἀλέγω, ἐπεὶ οὐ σέο κύντερον ἄλλο."
11.186 "βάσκ' ἴθι, Ἶρι ταχεῖα, τὸν Ἕκτορι μῦθον ἐνίσπες.
ὄφρ' ἂν μὲν κεν ὁρᾶι Ἀγαμέμνονα, ποιμένα λαῶν,
θύνοντ' ἐν προμάχοισιν, ἐναίροντα στίχας ἀνδρῶν,
τόφρ' ἀναχωρείτω, τὸν δ' ἄλλον λαὸν ἀνώχθω
μάρνασθαι δηΐοισι κατὰ κρατερὴν ὑσμίνην.
αὐτὰρ ἐπεί κ' ἢ δουρὶ τυπεὶς ἢ βλήμενος ἰῶι
εἰς ἵππους ἅλεται, τότε οἱ κράτος ἐγγυαλίξω
κτείνειν, εἰς ὅ κε νῆας ἐϋσσέλμους ἀφίκηται
δύηι τ' ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθηι." Zeus
"Ἥρη, πῆι μεμαυῖα κατ' Οὐλύμπου τόδ' ἱκάνεις; 14.298
ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίης." Zeus
"Ἥρη κεῖσε μὲν ἔστι καὶ ὕστερον ὁρμηθῆναι, 14.313
νῶϊ δ' ἄγ' ἐν φιλότητι τραπείομεν εὐνηθέντε.
οὐ γάρ πώ ποτέ μ' ὧδε θεᾶς ἔρος οὐδὲ γυναικὸς
θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν,
οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίης ἀλόχοιο,
ἣ τέκε Πειρίθοον, θεόφιν μήστωρ' ἀτάλαντον·
οὐδ' ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης,
ἣ τέκε Περσῆα, πάντων ἀριδείκετον ἀνδρῶν·
οὐδ' ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
ἣ τέκε μοι Μίνων τε καὶ ἀντίθεον Ῥαδάμανθυν·
οὐδ' ὅτε περ Σεμέλης οὐδ' Ἀλκμήνης ἐνὶ Θήβηι,
ἥ ῥ' Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα·
ἡ δὲ Διώνυσον Σεμέλη τέκε, χάρμα βροτοῖσιν·
οὐδ' ὅτε Δήμητρος καλλιπλοκάμοιο ἀνάσσης,
οὐδ' ὁπότε Λητοῦς ἐρικυδέος, οὐδὲ σέ' αὐτῆς,
ὡς σέο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ." Zeus
"Ἥρη, μήτε θεὸν τό γε δείδιθι μήτε τιν' ἀνδρῶν 14.342
ὄψεσθαι· τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω,
χρύσεον· οὐδ' ἂν νῶϊ διαδράκοι Ἠέλιός περ,
οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι." Zeus
"εἰ μὲν δὴ σύ γ' ἔπειτα, βοῶπι πότνια Ἥρη, 15.49
ἶσον ἐμοὶ φρονέουσα μετ' ἀθανάτοισι καθίζοις,
τῶι κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλλῃ,
αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ.
ἀλλ' εἰ δή ῥ' ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις,
ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον
Ἶρίν τ' ἐλθέμεναι καὶ Ἀπόλλωνα κλυτότοξον
ὄφρ' ἣ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
ἔλθηι καὶ εἴπῃσι Ποσειδάωνι ἄνακτι
παυσάμενον πολέμοιο τὰ ἃ πρὸς δώμαθ' ἱκέσθαι,
Ἕκτορα δ' ὀτρύνῃσι μάχην ἐς Φοῖβος Ἀπόλλων,
αὖτις δ' ἐμπνεύσῃσι μένος, λελάθηι δ' ὀδυνάων
αἳ νῦν μιν τείρουσι κατὰ φρένας, αὐτὰρ Ἀχαιοὺς
αὖτις ἀποστρέψῃσιν, ἀνάλκιδα φύζαν ἐνόρσας,
φεύγοντες δ' ἐν νηυσὶ πολυκλήϊσι πέσωσιν,
Πηλείδεω Ἀχιλῆος. ὁ δ' ἀνστήσει ὃν ἑταῖρον
Πάτροκλον· τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος Ἕκτωρ
Ἰλίου προπάροιθε, πολεῖς ὀλέσαντ' αἰζηοὺς
τοὺς ἄλλους, μετὰ δ' υἱὸν ἐμὸν Σαρπηδόνα δῖον.
τοῦ δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς.

ἐκ τοῦ δ' ἂν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν
αἰὲν ἐγὼ τεύχοιμι διαμπερὲς, εἰς ὅ κ' Ἀχαιοὶ
Ἴλιον αἰπὺ ἕλοιεν Ἀθηναίης διὰ βουλάς.
◆ τὸ πρὶν δ' οὔτ' ἄρ' ἐγὼ παύω χόλον οὔτέ τιν' ἄλλον
ἀθανάτων Δαναοῖσιν ἀμυνέμεν ἐνθάδ' ἐάσω,
πρίν γε τὸ Πηλεΐδαο τελευτηθῆναι ἐέλδωρ,
ὥς οἱ ὑπέστην πρῶτον, ἐμῶι δ' ἐπένευσα κάρητι,
ἤματι τῶι ὅτ' ἐμεῖο θεὰ Θέτις ἥψατο γούνων,
Zeus λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον."
15.158 "βάσκ' ἴθι, Ἶρι ταχεῖα, Ποσειδάωνι ἄνακτι
πάντα τάδ' ἀγγεῖλαι, μηδὲ ψευδάγγελος εἶναι.
παυσάμενόν μιν ἄνωχθι μάχης ἠδὲ πτολέμοιο
ἔρχεσθαι μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα δῖαν.
εἰ δέ μοι οὐκ ἐπέεσσ' ἐπιπείσεται, ἀλλ' ἀλογήσει,
φραζέσθω δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν,
μή μ' οὐδὲ, κρατερός περ ἐὼν, ἐπιόντα ταλάσσηι
μεῖναι, ἐπεί εὖ φημι βίηι πολὺ φέρτερος εἶναι
καὶ γενεῆι πρότερος· τοῦ δ' οὐκ ὄθεται φίλον ἦτορ
Zeus ἶσον ἐμοὶ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι."
15.221 "ἔρχεο νῦν, φίλε Φοῖβε, μεθ' Ἕκτορα χαλκοκορυστήν·
ἤδη μὲν γάρ τοι γαιήοχος Ἐννοσίγαιος
οἴχεται εἰς ἅλα δῖαν, ἀλευάμενος χόλον αἰπὺν
ἡμέτερον· μάλα γάρ κε μάχης ἐπύθοντο καὶ ἄλλοι,
οἵ περ ἐνέρτεροί εἰσι θεοὶ, Κρόνον ἀμφὶς ἐόντες.
ἀλλὰ τόδ' ἠμὲν ἐμοὶ πολὺ κέρδιον ἠδὲ οἷ αὐτῶι
ἔπλετο, ὅττι πάροιθε νεμεσσηθεὶς ὑπόειξεν
χεῖρας ἐμὰς, ἐπεὶ οὔ κεν ἀνιδρωτεί γ' ἐτελέσθη.
ἀλλὰ σύ γ' ἐν χείρεσσι λάβ' αἰγίδα θυσανόεσσαν,
τὴν μάλ' ἐπισσείων φοβέειν ἥρωας Ἀχαιούς·
σοὶ δ' αὐτῶι μελέτω, Ἑκατηβόλε, φαίδιμος Ἕκτωρ·
τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα, ὄφρ' ἂν Ἀχαιοὶ
φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκωνται.
κεῖθεν δ' αὐτὸς ἐγὼ φράσομαι ἔργόν τε ἔπος τε,
Zeus ὥς κε καὶ αὖτις Ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο."
16.433 "ὤ μοι ἐγών, ὅ τέ μοι Σαρπηδόνα, φίλτατον ἀνδρῶν,
μοῖρ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι.
διχθὰ δέ μοι κραδίη μέμονε φρεσὶν ὁρμαίνοντι,
ἤ μιν ζωὸν ἐόντα μάχης ἄπο δακρυοέσσης
θείω ἀναρπάξας Λυκίης ἐν πίονι δήμωι,
Zeus ἦ ἤδη ὑπὸ χερσὶ Μενοιτιάδαο δαμάσσω."
16.667 "εἰ δ' ἄγε νῦν, φίλε Φοῖβε, κελαινεφὲς αἷμα κάθηρον
ἐλθὼν ἐκ βελέων Σαρπηδόνα, καί μιν ἔπειτα
πολλὸν ἄποπρο φέρων λοῦσον ποταμοῖο ῥοῆισιν
χρῖσόν τ' ἀμβροσίηι, περὶ δ' ἄμβροτα εἵματα ἕσσον.
πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνωι καὶ Θανάτωι διδυμάοσιν, οἵ ῥά μιν ὦκα
θησουσ' ἐν Λυκίης εὐρείης πίονι δήμωι·
ἔνθά ἑ ταρχύσουσι κασίγνητοί τε ἔται τε
Zeus τύμβωι τε στήληι τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων."
17.201 "ἆ δείλ', οὐδέ τί τοι θάνατος καταθύμιός ἐστιν,
ὃς δή τοι σχεδὸν εἶσι· σὺ δ' ἄμβροτα τεύχεα δύνεις
ἀνδρὸς ἀριστῆος, τόν τε τρομέουσι καὶ ἄλλοι.
τοῦ δὴ ἑταῖρον ἔπεφνες ἐνηέα τε κρατερόν τε,
τεύχεα δ' οὐ κατὰ κόσμον ἀπὸ κρατός τε καὶ ὤμων
εἵλευ. ἀτάρ τοι νῦν γε μέγα κράτος ἐγγυαλίξω,
τῶν ποινὴν ὅ τοι οὔ τι μάχης ἒκ νοστήσαντι
δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα Πηλεΐωνος." **Zeus**
"ἆ δειλὼ, τί σφῶϊ δόμεν Πηλῆϊ ἄνακτι **17.443**
θνητῶι, ὑμεῖς δ' ἐστὸν ἀγήρω τ' ἀθανάτω τε;
ἦ ἵνα δυστήνοισι μετ' ἀνδράσιν ἄλγε' ἔχητον;
οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς
πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
ἀλλ' οὐ μὰν ὑμῖν γε καὶ ἅρμασι δαιδαλέοισιν
Ἕκτωρ Πριαμίδης ἐποχήσεται· οὐ γὰρ ἐάσω.
ἦ οὐχ ἅλις, ὡς καὶ τεύχε' ἔχει καὶ ἐπεύχεται αὔτως;
σφῶϊν δ' ἐν γούνεσσι βάλω μένος ἠδ' ἐνὶ θυμῶι,
ὄφρα καὶ Αὐτομέδοντα σαώσετον ἐκ πολέμοιο
νῆας ἔπι γλαφυράς. ἔτι γάρ σφισι κῦδος ὀρέξω,
κτείνειν, εἰς ὅ κε νῆας ἐϋσσέλμους ἀφίκωνται.
δύηι τ' ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθηι." **Zeus**
ἔπρηξας καὶ ἔπειτα, βοῶπι πότνια Ἥρη, **18.357**
ἀνστήσασ' Ἀχιλῆα πόδας ταχύν. ἦ ῥά νυ σεῖο
ἐξ αὐτῆς ἐγένοντο κάρη κομόωντες Ἀχαιοί." **Zeus**
"τέκνον ἐμὸν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸς ἑῆος. **19.342**
ἦ νύ τοι οὐκέτι πάγχυ μετὰ φρεσὶ μέμβλετ' Ἀχιλλεύς;
κεῖνος ὅ γε προπάροιθε νεῶν ὀρθοκραιράων
ἧσται ὀδυρόμενος ἕταρον φίλον· οἱ δὲ δὴ ἄλλοι
οἴχονται μετὰ δεῖπνον, ὁ δ' ἄκμηνος καὶ ἄπαστος.
ἀλλ' ἴθι οἱ νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν
στάξον ἐνὶ στήθεσσ', ἵνα μή μιν λιμὸς ἵκηται." **Zeus**
"ἔγνως, Ἐννοσίγαιε, ἐμὴν ἐν στήθεσι βουλὴν, **20.20**
ὧν ἕνεκα ξυνάγειρα· μέλουσί μοι ὀλλύμενοί περ.
ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
ἥμενος, ἔνθ' ὁρόων φρένα τέρψομαι· οἱ δὲ δὴ ἄλλοι
ἔρχεσθ', ὄφρ' ἂν ἵκησθε μετὰ Τρῶας καὶ Ἀχαιοὺς,
ἀμφοτέροισι δ' ἀρήγεθ', ὅπηι νοος ἐστὶν ἑκάστου.
εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεσσι μαχεῖται,
οὐδὲ μίνυνθ' ἕξουσι ποδώκεα Πηλεΐωνα.
καὶ δέ τί μιν καὶ πρόσθεν ὑποτρομέεσκον ὁρῶντες·
νῦν δ', ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνῶς,
δείδω μὴ καὶ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξηι." **Zeus**
"τίς νύ σε τοιάδ' ἔρεξε, φίλον τέκος, Οὐρανιώνων;" **21.509 Zeus**
"τέκνον ἐμόν, τί με ταῦτα διείρεαι ἠδὲ μεταλλᾶις; **24.478**
οὐ γὰρ δὴ τοῦτον μὲν ἐβούλευσας νόον αὐτὴ,
ὡς ἤτοι κείνους Ὀδυσεὺς ἀποτείσεται ἐλθών;
ἕρξον ὅπως ἐθέλεις· ἐρέω τέ τοι ὡς ἐπέοικεν.
ἐπεὶ δὴ μνηστῆρας ἐτείσατο δῖος Ὀδυσσεὺς,
ὅρκια πιστὰ ταμόντες ὁ μὲν βασιλευέτω αἰεὶ,
ἡμεῖς δ' αὖ παίδων τε κασιγνήτων τε φόνοιο
ἔκλησιν θέωμεν· τοὶ δ' ἀλλήλους φιλεόντων

Zeus ὣς τὸ πάρος, πλοῦτος δὲ καὶ εἰρήνη ἅλις ἔστω.”
22.168 “ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ’ ὀλοφύρεται ἦτορ
Ἕκτορος, ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί’ ἔκηεν
Ἴδης ἐν κορυφῆισι πολυπτύχου, ἄλλοτε δ’ αὖτε
ἐν πόλει ἀκροτάτηι· νῦν αὖτέ ἑ δῖος Ἀχιλλεὺς
ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκει.
ἀλλ’ ἄγετε φράζεσθε, θεοί, καὶ μητιάασθε,
ἠέ μιν ἐκ θανάτοιο σαώσομεν, ἦέ μιν ἤδη
Zeus Πηλεΐδηι Ἀχιλῆϊ δαμάσσομεν ἐσθλὸν ἐόντα.”
13.154 “ὦ πέπον, ὡς μὲν ἐμῶι θυμῶι δοκεῖ εἶναι ἄριστα,
ὁππότε κεν δὴ πάντες ἐλαυνομένην προϊδωνται
λαοὶ ἀπὸ πτόλιος, θεῖναι λίθον ἐγγύθι γαίης
νηῒ θοῆι ἴκελον, ἵνα θαυμάζωσιν ἅπαντες
Zeus ἄνθρωποι· μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.”
22.183 “θάρσει, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῶι
πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι·
Zeus ἕρξον ὅπηι δή τοι νόος ἔπλετο, μηδ’ ἔτ’ ἐρώει.”
13.140 “ὢ πόποι, Ἐννοσίγαι’ εὐρυσθενές, οἷον ἔειπες.
οὔ τί σ’ ἀτιμάζουσι θεοί· χαλεπὸν δέ κεν εἴη
πρεσβύτατον καὶ ἄριστον ἀτιμίηισιν ἰάλλειν.
ἀνδρῶν δ’ εἴ πέρ τίς σε βίηι καὶ κάρτεϊ εἴκων
οὔ τι τίει, σοὶ δ’ ἐστὶ καὶ ἐξοπίσω τίσις αἰεί.
Zeus ἕρξον ὅπως ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῶι.”
24.65 “Ἥρη, μὴ δὴ πάμπαν ἀποσκύδμαινε θεοῖσιν·
οὐ μὲν γὰρ τιμή γε μί’ ἔσσεται· ἀλλὰ καὶ Ἕκτωρ
φίλτατος ἔσκε θεοῖσι βροτῶν οἳ ἐν Ἰλίωι εἰσίν·
ὣς γὰρ ἐμοί γ’, ἐπεὶ οὔ τι φίλων ἡμάρτανε δώρων.
οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
λοιβῆς τε κνίσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.
ἀλλ’ ἤτοι κλέψαι μὲν ἐάσομεν — οὐδέ πηι ἔστιν
λάθρηι Ἀχιλλῆος — θρασὺν Ἕκτορα· ἦ γάρ οἱ αἰεὶ
μήτηρ παρμέμβλωκεν ὁμῶς νύκτας τε καὶ ἦμαρ·
ἀλλ’ εἴ τις καλέσειε θεῶν Θέτιν ἆσσον ἐμεῖο,
ὄφρα τί οἱ εἴπω πυκινὸν ἔπος, ὥς κεν Ἀχιλλεὺς
Zeus δώρων ἐκ Πριάμοιο λάχηι ἀπό θ’ Ἕκτορα λύσηι.”
12.385 “Ἠέλι’, ἤτοι μὲν σὺ μετ’ ἀθανάτοισι φάεινε
καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν·
τῶν δέ κ’ ἐγὼ τάχα νῆα θοὴν ἀργῆτι κεραυνῶι
Zeus τυτθὰ βαλὼν κεάσαιμι μέσωι ἐνὶ οἴνοπι πόντωι.”
24.104 “ἤλυθες Οὔλυμπόνδε, θεὰ Θέτι, κηδομένη περ,
πένθος ἄλαστον ἔχουσα μετὰ φρεσίν· οἶδα καὶ αὐτός·
ἀλλὰ καὶ ὧς ἐρέω τοῦ σ’ εἵνεκα δεῦρο κάλεσσα.
ἐννῆμαρ δὴ νεῖκος ἐν ἀθανάτοισιν ὄρωρεν
Ἕκτορος ἀμφὶ νέκυι καὶ Ἀχιλλῆϊ πτολιπόρθωι·
κλέψαι δ’ ὀτρύνουσιν ἐΰσκοπον Ἀργειφόντην·
αὐτὰρ ἐγὼ τόδε κῦδος Ἀχιλλῆϊ προτιάπτω,
αἰδῶ καὶ φιλότητα τεὴν μετόπισθε φυλάσσων.
αἶψα μάλ’ ἐς στρατὸν ἐλθὲ καὶ υἱέϊ σῶι ἐπίτειλον.
σκύζεσθαί οἱ εἰπὲ θεούς, ἐμὲ δ’ ἔξοχα πάντων
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένηισιν
Ἕκτορ’ ἔχει παρὰ νηυσὶ κορωνίσιν οὐδ’ ἀπέλυσεν,
αἴ κέν πως ἐμέ τε δείσηι ἀπό θ’ Ἕκτορα λύσηι.
αὐτὰρ ἐγὼ Πριάμωι μεγαλήτορι Ἶριν ἐφήσω,
λύσασθαι φίλον υἱὸν ἰόντ’ ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ’ Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνηι.” Zeus
“τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων. 1.64
πῶς ἂν ἔπειτ’ Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην,
ὃς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ’ ἱρὰ θεοῖσιν
ἀθανάτοισιν ἔδωκε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
ἀλλὰ Ποσειδάων γαιήοχος ἀσκελὲς αἰεὶ
Κύκλωπος κεχόλωται, ὃν ὀφθαλμοῦ ἀλάωσεν,
ἀντίθεον Πολύφημον, ὅου κράτος ἔσκε μέγιστον
πᾶσιν Κυκλώπεσσι· Θόωσα δέ μιν τέκε νύμφη,
Φόρκυνος θυγάτηρ ἁλὸς ἀτρυγέτοιο μέδοντος,
ἐν σπέεσι γλαφυροῖσι Ποσειδάωνι μιγεῖσα.
ἐκ τοῦ δὴ Ὀδυσῆα Ποσειδάων ἐνοσίχθων
οὔ τι κατακτείνει, πλάζει δ’ ἀπὸ πατρίδος αἴης.
ἀλλ’ ἄγεθ’, ἡμεῖς οἵδε περιφραζώμεθα πάντες
νόστον, ὅπως ἔλθηισι· Ποσειδάων δὲ μεθήσει
ὃν χόλον· οὐ μὲν γάρ τι δυνήσεται ἀντία πάντων
ἀθανάτων ἀέκητι θεῶν ἐριδαινέμεν οἶος.”
“βάσκ’ ἴθι, Ἶρι ταχεῖα, λιποῦσ’ ἕδος Οὐλύμποιο 24.144
ἄγγειλον Πριάμωι μεγαλήτορι Ἴλιον εἴσω
λύσασθαι φίλον υἱὸν ἰόντ’ ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ’ Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνηι,
οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.
κῆρύξ τίς οἱ ἕποιτο γεραίτερος, ὅς κ’ ἰθύνοι
ἡμιόνους καὶ ἅμαξαν εὔτροχον, ἠδὲ καὶ αὖτις
νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
μηδέ τί οἱ θάνατος μελέτω φρεσὶ μηδέ τι τάρβος·
τοῖον γάρ οἱ πομπὸν ὀπάσσομεν Ἀργειφόντην,
ὃς ἄξει, εἵως κεν ἄγων Ἀχιλῆϊ πελάσσηι.
αὐτὰρ ἐπὴν ἀγάγηισιν ἔσω κλισίην Ἀχιλῆος,
οὔτ’ αὐτὸς κτενέει ἀπό τ’ ἄλλους πάντας ἐρύξει·
οὔτε γάρ ἐστ’ ἄφρων οὔτ’ ἄσκοπος οὔτ’ ἀλιτήμων,
ἀλλὰ μάλ’ ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.” Zeus
“Ἑρμεία· σοὶ γάρ τε μάλιστά γε φίλτατόν ἐστιν 24.334
ἀνδρὶ ἑταιρίσσαι, καί τ’ ἔκλυες ὧι κ’ ἐθέληισθα·
βάσκ’ ἴθι, καὶ Πρίαμον κοίλας ἐπὶ νῆας Ἀχαιῶν
ὣς ἄγαγ’, ὡς μήτ’ ἄρ τις ἴδηι μήτ’ ἄρ τε νοήσηι
τῶν ἄλλων Δαναῶν, πρὶν Πηλεΐωνάδ’ ἱκέσθαι.” Zeus
“ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται· 1.32
ἐξ ἡμέων γάρ φασι κάκ’ ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ
σφῆισιν ἀτασθαλίηισιν ὑπὲρ μόρον ἄλγε’ ἔχουσιν,
ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον Ἀτρεΐδαο
γῆμ’ ἄλοχον μνηστήν, τὸν δ’ ἔκτανε νοστήσαντα,
εἰδὼς αἰπὺν ὄλεθρον· ἐπεὶ πρό οἱ εἴπομεν ἡμεῖς,
Ἑρμείαν πέμψαντες, ἐΰσκοπον Ἀργειφόντην,
μήτ’ αὐτὸν κτείνειν μήτε μνάασθαι ἄκοιτιν·

ἐκ γὰρ Ὀρέσταο τίσις ἔσσεται Ἀτρεΐδαο,
ὁππότ᾽ ἂν ἡβήσῃ τε καὶ ἧς ἱμείρεται αἴης.᾽
ὣς ἔφαθ᾽ Ἑρμείας, ἀλλ᾽ οὐ φρένας Αἰγίσθοιο
Zeus πεῖθ᾽ ἀγαθὰ φρονέων· νῦν δ᾽ ἁθρόα πάντ᾽ ἀπέτισεν.”

ALTERNATING: ILIAD ASCENDS FROM START; OD. DESCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 404 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF ZEUS IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.518 “ἦ δὴ λοίγια ἔργ’, ὅ τέ μ’ ἐχθοδοπῆσαι ἐφήσεις
Ἥρηι, ὅτ’ ἄν μ’ ἐρέθησιν ὀνειδείοις ἐπέεσσιν.
ἡ δὲ καὶ αὔτως μ’ αἰεὶ ἐν ἀθανάτοισι θεοῖσιν
νεικεῖ, καί τέ μέ φησι μάχηι Τρώεσσιν ἀρήγειν.
ἀλλὰ σὺ μὲν νῦν αὖτις ἀπόστιχε, μή τι νοήσηι
Ἥρη· ἐμοὶ δέ κε ταῦτα μελήσεται, ὄφρα τελέσσω.
εἰ δ’ ἄγε τοι κεφαλῆι κατανεύσομαι, ὄφρα πεποίθηις·
τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ’ ἀθανάτοισι μέγιστον
τέκμωρ· οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ’ ἀπατηλὸν
Zeus οὐδ’ ἀτελεύτητον, ὅ τί κεν κεφαλῆι κατανεύσω.”
24.478 “τέκνον ἐμόν, τί με ταῦτα διείρεαι ἠδὲ μεταλλᾶις;
οὐ γὰρ δὴ τοῦτον μὲν ἐβούλευσας νόον αὐτή,
ὡς ἤτοι κείνους Ὀδυσεὺς ἀποτείσεται ἐλθών;
ἔρξον ὅπως ἐθέλεις· ἐρέω τέ τοι ὡς ἐπέοικεν.
ἐπεὶ δὴ μνηστῆρας ἐτείσατο δῖος Ὀδυσσεύς,
ὅρκια πιστὰ ταμόντες ὁ μὲν βασιλευέτω αἰεί,
ἡμεῖς δ’ αὖ παίδων τε κασιγνήτων τε φόνοιο
ἔκλησιν θέωμεν· τοί δ’ ἀλλήλους φιλεόντων
Zeus ὡς τὸ πάρος, πλοῦτος δὲ καὶ εἰρήνη ἅλις ἔστω.”
1.545 “Ἥρη, μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους
εἰδήσειν· χαλεποί τοι ἔσοντ’ ἀλόχωι περ ἐούσηι.
ἀλλ’ ὃν μέν κ’ ἐπιεικὲς ἀκουέμεν, οὔ τις ἔπειτα
οὔτε θεῶν πρότερος τόν γ’ εἴσεται οὔτ’ ἀνθρώπων·
Zeus ὃν δέ κ’ ἐγὼν ἀπάνευθε θεῶν ἐθέλωμι νοῆσαι,
μή τι σὺ ταῦτα ἕκαστα διείρεο μηδὲ μετάλλα.”
13.154 “ὦ πέπον, ὡς μὲν ἐμῶι θυμῶι δοκεῖ εἶναι ἄριστα,
ὁππότε κεν δὴ πάντες ἐλαυνομένην προΐδωνται
λαοὶ ἀπὸ πτόλιος, θεῖναι λίθον ἐγγύθι γαίης
νηῒ θοῆι ἴκελον, ἵνα θαυμάζωσιν ἅπαντες
Zeus ἄνθρωποι· μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.”
1.561 “δαιμονίη, αἰεὶ μὲν ὀΐεαι, οὐδέ σε λήθω·
πρῆξαι δ’ ἔμπης οὔ τι δυνήσεαι, ἀλλ’ ἀπὸ θυμοῦ
μᾶλλον ἐμοὶ ἔσεαι· τὸ δέ τοι καὶ ῥίγιον ἔσται.
εἰ δ’ οὕτω τοῦτ’ ἐστιν, ἐμοὶ μέλλει φίλον εἶναι.
ἀλλ’ ἀκέουσα κάθησο, ἐμῶι δ’ ἐπιπείθεο μύθωι,
μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ’ ἐν Ὀλύμπωι
Zeus ἆσσον ἰόνθ’, ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω.”
13.140 “ὢ πόποι, Ἐννοσίγαι’ εὐρυσθενές, οἷον ἔειπες.
οὔ τί σ’ ἀτιμάζουσι θεοί· χαλεπὸν δέ κεν εἴη
πρεσβύτατον καὶ ἄριστον ἀτιμίῃσιν ἰάλλειν.
ἀνδρῶν δ’ εἴ πέρ τίς σε βίηι καὶ κάρτεϊ εἴκων
οὔ τι τίει, σοὶ δ’ ἔστι καὶ ἐξοπίσω τίσις αἰεί.
Zeus ἔρξον ὅπως ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῶι.”
2.8 “βάσκ’ ἴθι, οὖλε Ὄνειρε, θοὰς ἐπὶ νῆας Ἀχαιῶν·
ἐλθὼν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρεΐδαο
πάντα μάλ’ ἀτρεκέως ἀγορευέμεν ὡς ἐπιτέλλω.
θωρῆξαί ἑ κέλευε κάρη κομόωντας Ἀχαιοὺς
πανσυδίηι· νῦν γάρ κεν ἕλοι πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ’ ἀμφὶς Ὀλύμπια δώματ’ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε’ ἐφῆπται.” Zeus
“Ἠέλι’, ἤτοι μὲν σὺ μετ’ ἀθανάτοισι φάεινε 12.385
καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν·
τῶν δέ κ’ ἐγὼ τάχα νῆα θοὴν ἀργῆτι κεραυνῶι
τυτθὰ βαλὼν κεάσαιμι μέσωι ἐνὶ οἴνοπι πόντωι.” Zeus
“δοιαὶ μὲν Μενελάωι ἀρηγόνες εἰσὶ θεάων, 4.7
Ἥρη τ’ Ἀργείη καὶ Ἀλαλκομενηῒς Ἀθήνη.
ἀλλ’ ἤτοι ται νόσφι καθήμεναι εἰσορόωσαι
τέρπεσθον· τῶι δ’ αὖτε φιλομμειδὴς Ἀφροδίτη
αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆρας ἀμύνει,
καὶ νῦν ἐξεσάωσεν ὀϊόμενον θανέεσθαι.
ἀλλ’ ἤτοι νίκη μὲν ἀρηϊφίλου Μενελάου·
ἡμεῖς δὲ φραζώμεθ’ ὅπως ἔσται τάδε ἔργα,
ἤ ῥ αὖτις πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν
ὄρσομεν, ἦ φιλότητα μετ’ ἀμφοτέροισι βάλωμεν.
εἰ δ’ αὖ πως τόδε πᾶσι φίλον καὶ ἡδὺ γένοιτο,
ἤτοι μὲν οἰκέοιτο πόλις Πριάμοιο ἄνακτος,
αὖτις δ’ Ἀργείην Ἑλένην Μενέλαος ἄγοιτο.” Zeus
“τέκνον ἐμὸν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων. 1.64
πῶς ἂν ἔπειτ’ Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην,
ὃς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ’ ἱρὰ θεοῖσιν
ἀθανάτοισιν ἔδωκε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
ἀλλὰ Ποσειδάων γαιήοχος ἀσκελὲς αἰεὶ
Κύκλωπος κεχόλωται, ὃν ὀφθαλμοῦ ἀλάωσεν,
ἀντίθεον Πολύφημον, ὅου κράτος ἔσκε μέγιστον
πᾶσιν Κυκλώπεσσι· Θόωσα δέ μιν τέκε νύμφη,
Φόρκυνος θυγάτηρ ἁλὸς ἀτρυγέτοιο μέδοντος,
ἐν σπέεσι γλαφυροῖσι Ποσειδάωνι μιγεῖσα.
ἐκ τοῦ δὴ Ὀδυσῆα Ποσειδάων ἐνοσίχθων
οὔ τι κατακτείνει, πλάζει δ’ ἀπὸ πατρίδος αἴης.
ἀλλ’ ἄγεθ’, ἡμεῖς οἵδε περιφραζώμεθα πάντες
νόστον, ὅπως ἔλθηισι· Ποσειδάων δὲ μεθήσει
ὃν χόλον· οὐ μὲν γάρ τι δυνήσεται ἀντία πάντων
ἀθανάτων ἀέκητι θεῶν ἐριδαινέμεν οἶος.”
“δαιμονίη, τί νύ σε Πρίαμος Πριάμοιό τε παῖδες 4.31
τόσσα κακὰ ῥέζουσιν, ὅ τ’ ἀσπερχὲς μενεαίνεις
Ἰλίου ἐξαλαπάξαι ἐϋκτίμενον πτολίεθρον;
εἰ δὲ σύ γ’ εἰσελθοῦσα πύλας καὶ τείχεα μακρὰ
ὠμὸν βεβρώθοις Πρίαμον Πριάμοιό τε παῖδας
ἄλλους τε Τρῶας, τότε κεν χόλον ἐξακέσαιο.
ἔρξον ὅπως ἐθέλεις· μὴ τοῦτό γε νεῖκος ὀπίσσω
σοὶ καὶ ἐμοὶ μέγ’ ἔρισμα μετ’ ἀμφοτέροισι γένηται.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
ὁππότε κεν καὶ ἐγὼ μεμαὼς πόλιν ἐξαλαπάξαι
τὴν ἐθέλω ὅθι τοι φίλοι ἀνέρες ἐγγεγάασιν,
μή τι διατρίβειν τὸν ἐμὸν χόλον, ἀλλά μ’ ἐᾶσαι·
καὶ γὰρ ἐγὼ σοὶ δῶκα ἑκὼν ἀέκοντί γε θυμῶι.
αἳ γὰρ ὑπ’ ἠελίωι τε καὶ οὐρανῶι ἀστερόεντι
ναιετάουσι πόληες ἐπιχθονίων ἀνθρώπων,
τάων μοι περὶ κῆρι τιέσκετο Ἴλιος ἱρὴ

καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
Zeus λοιβῆς τε κνίσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς."
1.32 ◆ "ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται·
ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ
σφῆισιν ἀτασθαλίηισιν ὑπὲρ_μόρον ἄλγε' ἔχουσιν,
ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ_μόρον Ἀτρεΐδαο
γῆμ' ἄλοχον μνηστήν, τὸν δ' ἔκτανε νοστήσαντα,
εἰδὼς αἰπὺν ὄλεθρον· ἐπεὶ πρό οἱ εἴπομεν ἡμεῖς,
Ἑρμείαν πέμψαντες, ἐΰσκοπον Ἀργειφόντην,
μήτ' αὐτὸν κτείνειν μήτε μνάασθαι ἄκοιτιν·
ἐκ γὰρ Ὀρέσταο τίσις ἔσσεται Ἀτρεΐδαο,
ὁππότ' ἂν ἡβήσηι τε καὶ ἧς ἱμείρεται αἴης.'
ὣς ἔφαθ' Ἑρμείας, ἀλλ' οὐ φρένας Αἰγίσθοιο
Zeus πεῖθ' ἀγαθὰ φρονέων· νῦν δ' ἁθρόα πάντ' ἀπέτισεν."
4.70 "αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ μετὰ Τρῶας καὶ Ἀχαιούς,
πειρᾶν δ' ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς
Zeus ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι."
5.428 "οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήϊα ἔργα,
ἀλλὰ σύ_γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο,
Zeus ταῦτα δ' Ἄρηϊ θοῶι καὶ Ἀθήνηι πάντα μελήσει."
5.765 "ἄγρει μάν οἱ ἔπορσον Ἀθηναίην ἀγελείην,
Zeus ἥ ἑ μάλιστ' εἴωθε κακῆις ὀδύνηισι πελάζειν."
5.889 "μή τί μοι, ἀλλοπρόσαλλε, παρεζόμενος μινύριζε.
ἔχθιστος δέ μοί ἐσσι θεῶν οἳ Ὄλυμπον ἔχουσιν·
αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε.
μητρός τοι μένος ἐστὶν ἀάσχετον, οὐκ ἐπιεικτόν,
Ἥρης· τὴν μὲν ἐγὼ σπουδῆι δάμνημ' ἐπέεσσιν·
τῶι σ' ὀΐω κείνης τάδε πάσχειν ἐννεσίηισιν.
ἀλλ' οὐ μάν σ' ἔτι δηρὸν ἀνέξομαι ἄλγε' ἔχοντα·
ἐκ γὰρ ἐμεῦ γένος ἐσσί, ἐμοὶ δέ σε γείνατο μήτηρ.
εἰ δέ τευ ἐξ ἄλλου γε θεῶν γένευ ὧδ' ἀΐδηλος,
Zeus καί κεν δὴ πάλαι ἦσθα ἐνέρτερος Οὐρανιώνων."
7.455 "ὢ πόποι, Ἐννοσίγαι' εὐρυσθενές, οἷον ἔειπες.
ἄλλός κέν τις τοῦτο θεῶν δείσειε νόημα,
ὃς σέο πολλὸν ἀφαυρότερος χεῖράς τε μένος τε·
σὸν δ' ἤτοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς.
ἄγρει μάν, ὅτ' ἂν αὖτε κάρη_κομόωντες Ἀχαιοὶ
οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν,
τεῖχος ἀναρρήξας τὸ μὲν εἰς ἅλα πᾶν καταχεῦαι,
αὖτις δ' ἠϊόνα μεγάλην ψαμάθοισι καλύψαι,
Zeus ὥς κέν τοι μέγα τεῖχος ἀμαλδύνηται Ἀχαιῶν."
8.5 "κέκλυτέ μοι, πάντές τε θεοὶ πᾶσαί τε θέαιναι,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
μήτέ τις οὖν θήλεια θεὸς τό_γε μήτε τις ἄρσην
πειράτω διακέρσαι ἐμὸν ἔπος, ἀλλ' ἅμα πάντες
αἰνεῖτ', ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα.
ὃν δ' ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω
ἐλθόντ' ἢ Τρώεσσιν ἀρηγέμεν ἢ Δαναοῖσιν,
πληγεὶς οὐ κατὰ κόσμον ἐλεύσεται Οὔλυμπόνδε·
ἤ μιν ἑλὼν ῥίψω ἐς Τάρταρον ἠερόεντα,
τῆλε μάλ', ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον,
ἔνθα σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδός, ◆
τόσσον ἔνερθ' Ἀΐδεω ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης·
γνώσετ' ἔπειθ' ὅσον εἰμὶ θεῶν κάρτιστος ἁπάντων.
εἰ δ' ἄγε πειρήσασθε, θεοί, ἵνα εἴδετε πάντες·
σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες
πάντες τ' ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι·
ἀλλ' οὐκ ἂν ἐρύσαιτ' ἐξ οὐρανόθεν πεδίονδε
Ζῆν', ὕπατον μήστωρ', οὐδ' εἰ μάλα πολλὰ κάμοιτε.
ἀλλ' ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι,
αὐτῆι κεν γαίηι ἐρύσαιμ' αὐτῆι τε θαλάσσηι·
σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο
δησαίμην, τὰ δέ κ' αὖτε μετήορα πάντα γένοιτο.
τόσσον ἐγὼ περί τ' εἰμι θεῶν περί τ' εἰμ' ἀνθρώπων." Zeus
"θάρσει, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῶι 8.39
πρόφρονι μυθέομαι· ἐθέλω δέ τοι ἤπιος εἶναι." Zeus
"βάσκ' ἴθι, Ἶρι ταχεῖα, πάλιν τρέπε μηδ' ἔα ἄντην 8.399
ἔρχεσθ'· οὐ γὰρ καλὰ συνοισόμεθα πτόλεμόνδε.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
γυιώσω μέν σφωϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
αὐτὰς δ' ἐκ δίφρου βαλέω κατά θ' ἅρματα ἄξω·
οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτοὺς
ἕλκε' ἀπαλθήσεσθον, ἅ κεν μάρπτηισι κεραυνός·
ὄφρ' εἰδῆι Γλαυκῶπις, ὅτ' ἂν ὧι πατρὶ μάχηται.
Ἥρηι δ' οὔ_τι τόσον νεμεσίζομαι οὐδὲ χολοῦμαι·
αἰεὶ γάρ μοι ἔωθεν ἐνικλᾶν ὅττι κεν εἴπω." Zeus
"τίφθ' οὕτω τετίησθον, Ἀθηναίη τε καὶ Ἥρη; 8.447
οὐ μέν θην κάμετόν γε μάχηι ἔνι κυδιανείρηι
ὀλλῦσαι Τρῶας, τοῖσιν κότον αἰνὸν ἔθεσθε.
πάντως, οἷον ἐμόν γε μένος καὶ χεῖρες ἄαπτοι,
οὐκ ἄν με τρέψειαν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπωι.
σφῶϊν δὲ πρίν περ τρόμος ἔλλαβε φαίδιμα γυῖα,
πρὶν πόλεμόν τε ἰδεῖν πολέμοιό τε μέρμερα ἔργα.
ὧδε γὰρ ἐξερέω, τὸ δέ κεν τετελεσμένον ἦεν·
οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῶι,
ἂψ ἐς Ὄλυμπον ἵκεσθον, ἵν' ἀθανάτων ἕδος ἐστίν." Zeus
"ἠοῦς δὴ καὶ μᾶλλον ὑπερμενέα Κρονίωνα 8.470
ὄψεαι, αἴ κ' ἐθέληισθα, βοῶπι πότνια Ἥρη,
ὀλλύντ' Ἀργείων πουλὺν στρατὸν αἰχμητάων·
οὐ γὰρ πρὶν πολέμου ἀποπαύσεται ὄβριμος Ἕκτωρ,
πρὶν ὄρθαι παρὰ ναῦφι ποδώκεα Πηλείωνα.
ἤματι τῶι ὅτ' ἂν οἱ μὲν ἐπὶ πρύμνηισι μάχωνται,
στείνει ἐν αἰνοτάτωι, περὶ Πατρόκλοιο θανόντος.
ὣς γὰρ θέσφατόν ἐστι· σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω
χωομένης, οὐδ' εἴ κε τὰ νείατα πείραθ' ἵκηαι
γαίης καὶ πόντοιο, ἵν' Ἰαπετός τε Κρόνος τε
ἥμενοι οὔτ' αὐγῆις Ὑπερίονος Ἠελίοιο
τέρποντ' οὔτ' ἀνέμοισι, βαθὺς δέ τε Τάρταρος ἀμφίς·
οὐδ' ἢν ἔνθ' ἀφίκηαι ἀλωμένη, οὔ σε_ἐγώ_γε

Zeus σκυζομένης ἀλέγω, ἐπεὶ οὐ σέο κύντερον ἄλλο."
11.186 "βάσκ' ἴθι, Ἶρι ταχεῖα, τὸν Ἕκτορι μῦθον ἐνίσπες.
ὄφρ' ἂν μὲν κεν ὁρᾶι Ἀγαμέμνονα, ποιμένα λαῶν,
θύνοντ' ἐν προμάχοισιν, ἐναίροντα στίχας ἀνδρῶν,
τόφρ' ἀναχωρείτω, τὸν δ' ἄλλον λαὸν ἀνώχθω
μάρνασθαι δηΐοισι κατὰ κρατερὴν ὑσμίνην.
αὐτὰρ ἐπεί κ' ἢ δουρὶ τυπεὶς ἢ βλήμενος ἰῶι
εἰς ἵππους ἅλεται, τότε οἱ κράτος ἐγγυαλίξω
κτείνειν, εἰς ὅ κε νῆας ἐϋσσέλμους ἀφίκηται
δύηι τ' ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθηι."
Zeus
14.298 "Ἥρη, πῆι μεμαυῖα κατ' Οὐλύμπου τόδ' ἱκάνεις;
Zeus ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίης."
14.313 "Ἥρη κεῖσε μὲν ἔστι καὶ ὕστερον ὁρμηθῆναι,
νῶϊ δ' ἄγ' ἐν φιλότητι τραπείομεν εὐνηθέντε.
οὐ γάρ πώ ποτέ μ' ὧδε θεᾶς ἔρος οὐδὲ γυναικὸς
θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν,
οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίης ἀλόχοιο,
ἣ τέκε Πειρίθοον, θεόφιν μήστωρ' ἀτάλαντον·
οὐδ' ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης,
ἣ τέκε Περσῆα, πάντων ἀριδείκετον ἀνδρῶν·
οὐδ' ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
ἣ τέκε μοι Μίνων τε καὶ ἀντίθεον Ῥαδάμανθυν·
οὐδ' ὅτε περ Σεμέλης οὐδ' Ἀλκμήνης ἐνὶ Θήβηι,
ἥ ῥ' Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα·
ἣ δὲ Διώνυσον Σεμέλη τέκε, χάρμα βροτοῖσιν·
οὐδ' ὅτε Δήμητρος καλλιπλοκάμοιο ἀνάσσης,
οὐδ' ὁπότε Λητοῦς ἐρικυδέος, οὐδὲ σέ' αὐτῆς,
ὡς σέο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ."
Zeus
14.342 "Ἥρη, μήτε θεὸν τό γε δείδιθι μήτε τιν' ἀνδρῶν
ὄψεσθαι· τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω,
χρύσεον· οὐδ' ἂν νῶϊ διαδράκοι Ἠέλιός περ,
οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι."
Zeus
15.49 "εἰ μὲν δὴ σύ γ' ἔπειτα, βοῶπι πότνια Ἥρη,
ἶσον ἐμοὶ φρονέουσα μετ' ἀθανάτοισι καθίζοις,
τῶι κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλληι,
αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ.
ἀλλ' εἰ δή ῥ' ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις,
ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον
Ἶρίν τ' ἐλθέμεναι καὶ Ἀπόλλωνα κλυτότοξον
ὄφρ' ἣ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
ἔλθηι καὶ εἴπησι Ποσειδάωνι ἄνακτι
παυσάμενον πολέμοιο τὰ ἃ πρὸς δώμαθ' ἱκέσθαι,
Ἕκτορα δ' ὀτρύνησι μάχην ἐς Φοῖβος Ἀπόλλων,
αὖτις δ' ἐμπνεύσησι μένος, λελάθηι δ' ὀδυνάων
αἳ νῦν μιν τείρουσι κατὰ φρένας, αὐτὰρ Ἀχαιοὺς
αὖτις ἀποστρέψησιν, ἀνάλκιδα φύζαν ἐνόρσας,
φεύγοντες δ' ἐν νηυσὶ πολυκλήϊσι πέσωσιν,
Πηλεΐδεω Ἀχιλῆος. ὁ δ' ἀνστήσει ὃν ἑταῖρον
Πάτροκλον· τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος Ἕκτωρ
Ἰλίου προπάροιθε, πολεῖς ὀλέσαντ' αἰζηοὺς
τοὺς ἄλλους, μετὰ δ' υἱὸν ἐμὸν Σαρπηδόνα δῖον.
τοῦ δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς.
ἐκ τοῦ δ' ἄν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν
αἰὲν ἐγὼ τεύχοιμι διαμπερές, εἰς ὅ κ' Ἀχαιοὶ
Ἴλιον αἰπὺ ἕλοιεν Ἀθηναίης διὰ βουλάς.
τὸ πρὶν δ' οὔτ' ἄρ' ἐγὼ παύω χόλον οὔτέ τιν' ἄλλον
ἀθανάτων Δαναοῖσιν ἀμυνέμεν ἐνθάδ' ἐάσω,
πρίν γε τὸ Πηλεΐδαο τελευτηθῆναι ἐέλδωρ,
ὥς οἱ ὑπέστην πρῶτον, ἐμῶι δ' ἐπένευσα κάρητι,
ἤματι τῶι ὅτ' ἐμεῖο θεὰ Θέτις ἥψατο γούνων,
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον." Zeus
15.158 "βάσκ' ἴθι, Ἶρι ταχεῖα, Ποσειδάωνι ἄνακτι
πάντα τάδ' ἀγγεῖλαι, μηδὲ ψευδάγγελος εἶναι.
παυσάμενόν μιν ἄνωχθι μάχης ἠδὲ πτολέμοιο
ἔρχεσθαι μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα δῖαν.
εἰ δέ μοι οὐκ ἐπέεσσ' ἐπιπείσεται, ἀλλ' ἀλογήσει,
φραζέσθω δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν,
μή μ' οὐδέ, κρατερός περ ἐών, ἐπιόντα ταλάσσηι
μεῖναι, ἐπεί εὑ φημι βίηι πολὺ φέρτερος εἶναι
καὶ γενεῆι πρότερος· τοῦ δ' οὐκ ὄθεται φίλον ἦτορ
ἶσον ἐμοὶ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι." Zeus
15.221 "ἔρχεο νῦν, φίλε Φοῖβε, μεθ' Ἕκτορα χαλκοκορυστήν·
ἤδη μὲν γάρ τοι γαιήοχος Ἐννοσίγαιος
οἴχεται εἰς ἅλα δῖαν, ἀλευάμενος χόλον αἰπὺν
ἡμέτερον· μάλα γάρ κε μάχης ἐπύθοντο καὶ ἄλλοι,
οἵ περ ἐνέρτεροί εἰσι θεοί, Κρόνον ἀμφὶς ἐόντες.
ἀλλὰ τόδ' ἠμὲν ἐμοὶ πολὺ κέρδιον ἠδὲ οἷ αὐτῶι
ἔπλετο, ὅττι πάροιθε νεμεσσηθεὶς ὑπόειξεν
χεῖρας ἐμάς, ἐπεὶ οὔ κεν ἀνιδρωτεί γ' ἐτελέσθη.
ἀλλὰ σύ γ' ἐν χείρεσσι λάβ' αἰγίδα θυσανόεσσαν,
τὴν μάλ' ἐπισσείων φοβέειν ἥρωας Ἀχαιούς·
σοὶ δ' αὐτῶι μελέτω, Ἑκατηβόλε, φαίδιμος Ἕκτωρ·
τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα, ὄφρ' ἂν Ἀχαιοὶ
φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκωνται.
κεῖθεν δ' αὐτὸς ἐγὼ φράσομαι ἔργόν τε ἔπος τε,
ὥς κε καὶ αὖτις Ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο." Zeus
16.433 "ὤ μοι ἐγών, ὅ τέ μοι Σαρπηδόνα, φίλτατον ἀνδρῶν,
μοῖρ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι.
διχθὰ δέ μοι κραδίη μέμονε φρεσὶν ὁρμαίνοντι,
ἤ μιν ζωὸν ἐόντα μάχης ἄπο δακρυοέσσης
θείω ἀναρπάξας Λυκίης ἐν πίονι δήμωι,
ἦ ἤδη ὑπὸ χερσὶ Μενοιτιάδαο δαμάσσω." Zeus
16.667 "εἰ δ' ἄγε νῦν, φίλε Φοῖβε, κελαινεφὲς αἷμα κάθηρον
ἐλθὼν ἐκ βελέων Σαρπηδόνα, καί μιν ἔπειτα
πολλὸν ἄποπρο φέρων λοῦσον ποταμοῖο ῥοῆισιν
χρῖσόν τ' ἀμβροσίηι, περὶ δ' ἄμβροτα εἵματα ἕσσον.
πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνωι καὶ Θανάτωι διδυμάοσιν, οἵ ῥά μιν ὦκα
θήσουσ' ἐν Λυκίης εὐρείης πίονι δήμωι·
ἔνθά ἑ ταρχύσουσι κασίγνητοί τε ἔται τε

Zeus τύμβωι τε στήληι τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων."
17.201 "ἆ δείλ', οὐδέ τί τοι θάνατος καταθύμιός ἐστιν,
ὃς δή τοι σχεδὸν εἶσι· σὺ δ' ἄμβροτα τεύχεα δύνεις
φεύγω πρὸς πεδίον Ἰλήϊον, ὄφρ’ ἂν ἵκωμαι
Ἴδης τε κνημοὺς κατά τε ῥωπήϊα δύω·
ἑσπέριος δ’ ἂν ἔπειτα λοεσσάμενος ποταμοῖο,
ἱδρῶ ἀποψυχθεὶς, προτὶ Ἴλιον ἀπονεοίμην.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
μή μ’ ἀπαειρόμενον πόλιος πεδίονδε νοήσηι
καί με μεταΐξας μάρψηι ταχέεσσι πόδεσσιν.
οὐκέτ’ ἔπειτ’ ἔσται θάνατον καὶ κῆρας ἀλύξαι·
λίην γὰρ κρατερὸς περὶ πάντων ἔστ’ ἀνθρώπων.
εἰ δέ κέν οἱ προπάροιθε πόλιος κατ’ ἐναντίον ἔλθω·
καὶ γάρ θην τούτωι τρωτὸς χρὼς ὀξέϊ χαλκῶι,
ἐν δὲ ἴα ψυχὴ, θνητὸν δέ ἕ φασ’ ἄνθρωποι Agenor or
ἔμμεναι· αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει.” Apollo
“τίπτε με, Πηλέος υἱὲ, ποσὶν ταχέεσσι διώκεις, 22.8
αὐτὸς θνητὸς ἐὼν θεὸν ἄμβροτον; οὐδέ νύ πώ με
ἔγνως ὡς θεός εἰμι, σὺ δ’ ἀσπερχὲς μενεαίνεις.
ἦ νύ τοι οὔ τι μέλει Τρώων πόνος οὓς ἐφόβησας,
οἳ δή τοι εἰς ἄστυ ἄλεν, σὺ δὲ δεῦρο λιάσθης.
οὐ μέν με κτενέεις, ἐπεὶ οὔ τοι μόρσιμός εἰμι.” Apollo

22.287 “ὦ Πολυθερσεΐδη φιλοκέρτομε, μή_ποτε πάμπαν
εἴκων ἀφραδίῃς μέγα εἰπεῖν, ἀλλὰ θεοῖσιν
μῦθον ἐπιτρέψαι, ἐπεὶ_ἦ πολὺ φέρτεροί εἰσιν.
τοῦτό τοι ἀντὶ ποδὸς ξεινήϊον, ὅν ποτ’ ἔδωκας
Philoitios ἀντιθέωι Ὀδυσῆϊ δόμον κάτ’ ἀλητεύοντι.”
24.33 “σχέτλιοί ἐστε, θεοί, δηλήμονες· οὔ νύ ποθ’ ὑμῖν
Ἕκτωρ μηρί’ ἔκηε βοῶν αἰγῶν τε τελείων;
τὸν νῦν οὐκ ἔτλητε, νέκυν περ ἐόντα, σαῶσαι,
ἧι τ’ ἀλόχωι ἰδέειν καὶ μητέρι καὶ τέκεϊ ὧι
καὶ πατέρι Πριάμωι λαοῖσί τε, τοί κέ μιν ὦκα
ἐν πυρὶ κήαιεν καὶ ἐπὶ κτέρεα κτερίσαιεν·
ἀλλ’ ὀλοῶι Ἀχιλῆϊ, θεοί, βούλεσθ’ ἐπαρήγειν,
ὧι οὔτ’ ἄρ φρένες εἰσὶν ἐναίσιμοι οὔτε νόημα
γναμπτὸν ἐνὶ στήθεσσι, λέων δ’ ὣς ἄγρια οἶδεν,
ὅς τ’ ἐπεὶ ἂρ μεγάληι τε βίηι καὶ ἀγήνορι θυμῶι
εἴξας εἶσ’ ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβησιν.
ὣς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδώς
γίγνεται, ἥ_τ’ ἄνδρας μέγα σίνεται ἠδ’ ὀνίνησιν.
μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
ἠὲ κασίγνητον ὁμογάστριον ἠὲ καὶ υἱόν·
ἀλλ’ ἤτοι κλαύσας καὶ ὀδυράμενος μεθέηκεν·
τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.
αὐτὰρ ὅ_γ’ Ἕκτορα δῖον, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
ἵππων ἐξάπτων περὶ σῆμ’ ἑτάροιο φίλοιο
ἕλκει· οὐ μήν οἱ τό_γε κάλλιον οὐδέ τ’ ἄμεινον·
μὴ ἀγαθῶι περ ἐόντι νεμεσσηθῶμέν οἱ ἡμεῖς.
Apollo κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.”
24.354 “φράζεο, Δαρδανίδη· φραδέος νόου ἔργα τέτυκται.
ἄνδρ’ ὁρόω, τάχα δ’ ἄμμε διαρραίσεσθαι ὀΐω.
ἀλλ’ ἄγε δὴ φεύγωμεν ἐφ’ ἵππων, ἤ μιν ἔπειτα
Hermes γούνων ἁψάμενοι λιτανεύσομεν, αἴ κ’ ἐλεήσηι.”
24.362 “πῆι, πάτερ, ὧδ’ ἵππους τε καὶ ἡμιόνους ἰθύνεις
νύκτα δι’ ἀμβροσίην, ὅτε θ’ εὕδουσι βροτοὶ ἄλλοι;
οὐδὲ σύ_γ’ ἔδδεισας μένεα πνείοντας Ἀχαιούς,
οἵ τοι δυσμενέες καὶ ἀνάρσιοι ἐγγὺς ἔασιν;
τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν
τοσσάδ’ ὀνείατ’ ἄγοντα, τίς ἂν δή τοι νόος εἴη;
οὔτ’ αὐτὸς νέος ἐσσί, γέρων δέ τοι οὗτος ὀπηδεῖ,
ἄνδρ’ ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνηι.
ἀλλ’ ἐγὼ οὐδέν σε ῥέξω κακά, καὶ δέ κεν ἄλλον
Hermes σεῦ ἀπαλεξήσαιμι· φίλωι δέ σε πατρὶ ἐΐσκω.”
24.379 “ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπες.
ἀλλ’ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ἠέ πηι ἐκπέμπεις κειμήλια πολλὰ καὶ ἐσθλὰ
ἄνδρας ἐς ἀλλοδαπούς, ἵνα τοι τάδε περ σόα μίμνηι,
ἦ ἤδη πάντες καταλείπετε Ἴλιον ἱρὴν
δειδιότες· τοῖος γὰρ ἀνὴρ ὤριστος ὄλωλεν
Hermes σὸς παῖς· οὐ μὲν γάρ τι μάχης ἐπεδεύετ’ Ἀχαιῶν.”
24.390 “πειρᾶι ἐμεῖο, γεραιέ, καὶ εἴρεαι Ἕκτορα δῖον.
τὸν μὲν ἐγὼ μάλα πολλὰ μάχηι ἔνι κυδιανείρηι
ὀφθαλμοῖσιν ὄπωπα, καὶ εὖτ’ ἐπὶ νηυσὶν ἐλάσσας
Ἀργείους κτείνεσκε, δαΐζων ὀξέϊ χαλκῶι.
ἡμεῖς δ’ ἑσταότες θαυμάζομεν· οὐ γὰρ Ἀχιλλεὺς
εἴα μάρνασθαι, κεχολωμένος Ἀτρεΐωνι.
τοῦ γὰρ ἐγὼ θεράπων, μία δ’ ἤγαγε νηῦς εὐεργής·
Μυρμιδόνων δ’ ἔξ_εἰμι, πατὴρ δέ μοί ἐστι Πολύκτωρ.
ἀφνειὸς μὲν ὅ_γ’ ἐστι, γέρων δὲ δὴ ὡς σύ_περ ὧδε,
ἓξ δέ οἱ υἷες ἔασιν, ἐγὼ δέ οἱ ἕβδομός εἰμι·
τῶν μέτα παλλόμενος κλήρωι λάχον ἐνθάδ’ ἕπεσθαι.
νῦν δ’ ἦλθον πεδίονδ’ ἀπὸ νηῶν· ἠῶθεν γὰρ
θήσονται περὶ ἄστυ μάχην ἑλίκωπες Ἀχαιοί.
ἀσχαλόωσι γὰρ οἵδε καθήμενοι, οὐδὲ δύνανται
ἴσχειν ἐσσυμένους πολέμου βασιλῆες Ἀχαιῶν.” ✦ Hermes
“ὦ γέρον, οὔ_πω τόν_γε κύνες φάγον οὐδ’ οἰωνοί, 24.411
ἀλλ’ ἔτι κεῖνος κεῖται Ἀχιλλῆος παρὰ νηῒ
αὔτως ἐν κλισίηισι. δυωδεκάτη δέ οἱ ἤδη
κειμένωι, οὐδέ τί οἱ χρὼς σήπεται, οὐδέ μιν εὐλαὶ
ἔσθουσ’, αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν.
ἦ μέν μιν περὶ σῆμα ἑοῦ ἑτάροιο φίλοιο
ἕλκει ἀκηδέστως, ἠὼς ὅτε δῖα φανήηι·
οὐδέ μιν αἰσχύνει· θηοῖό κεν αὐτὸς ἐπελθὼν,
οἷον ἐερσήεις κεῖται, περὶ δ’ αἷμα νένιπται,
οὐδέ ποθι μιαρός· σὺν δ’ ἕλκεα πάντα μέμυκεν,
ὅσσ’ ἐτύπη· πολέες γὰρ ἐν αὐτῶι χαλκὸν ἔλασσαν.
ὥς τοι κήδονται μάκαρες θεοὶ υἷος ἑῆος,
καὶ νέκυός περ ἐόντος, ἐπεί σφι φίλος περὶ κῆρι.” Hermes
“πειρᾶι ἐμεῖο, γεραιέ, νεωτέρου, οὐδέ με πείσεις, 24.433
ὅς με κέλεαι σέο δῶρα πάρεξ Ἀχιλῆα δέχεσθαι.
τὸν μὲν ἐγὼ δείδοικα καὶ αἰδέομαι περὶ κῆρι
συλεύειν, μη μοί τι κακὸν μετόπισθε γένηται.
σοὶ δ’ ἂν ἐγὼ πομπὸς καί κε κλυτὸν Ἄργος ἱκοίμην
ἐνδυκέως ἐν νηῒ θοῆι ἢ πεζὸς ὁμαρτέων·
οὐκ ἄν τίς τοι, πομπὸν ὀνοσσάμενος, μαχέσαιτο.” Hermes
“ὦ γέρον, ἤτοι ἐγὼ θεὸς ἄμβροτος εἰλήλουθα, 24.460
Ἑρμείας· σοὶ γάρ με πατὴρ ἅμα πομπὸν ὄπασσεν·
ἀλλ’ ἤτοι μὲν ἐγὼ πάλιν εἴσομαι, οὐδ’ Ἀχιλῆος
ὀφθαλμοὺς εἴσειμι· νεμεσσητὸν δέ κεν εἴη,
ἀθάνατον θεὸν ὧδε βροτοὺς ἀγαπαζέμεν ἄντην·
τύνη δ’ εἰσελθὼν λαβὲ γούνατα Πηλεΐωνος,
καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος ἠϋκόμοιο
λίσσεο καὶ τέκεος, ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς.” Hermes
“ὦ γέρον, οὔ νύ τι σοί γε μέλει κακὸν, οἷον ἔθ’ εὕδεις 24.683
ἀνδράσιν ἐν δηΐοισιν, ἐπεί σ’ εἴασεν Ἀχιλλεύς.
καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ’ ἔδωκας·
σεῖο δέ κε ζωοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα
παῖδες τοι μετόπισθε λελειμμένοι, αἴ κ’ Ἀγαμέμνων
γνώηι σ’ Ἀτρεΐδης, γνώωσι δὲ πάντες Ἀχαιοί.” Hermes
“σύμβολον ἤδη μοι μέγ’ ὀνήσιμον· οὐκ ὀνοτάσω. 30
χαῖρε, φυὴν ἐρόεσσα, χοροιτύπε, δαιτὸς ἑταίρη,
ἀσπασίη προφανεῖσα· πόθεν τόδε καλὸν ἄθυρμα

αἰόλον ὄστρακον ἔσσο χέλυς ὄρεσι ζώουσα;
ἀλλ' οἴσω σ' ἐς δῶμα λαβών· ὄφελός τι μοι ἔσσηι,
οὐδ' ἀποτιμήσω· σὺ δέ με πρώτιστον ὀνήσεις
οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφιν·
ἦ γὰρ ἐπηλυσίης πολυπήμονος ἔσσεαι ἔχμα
Hermes ζώουσ'· ἢν δὲ θάνηις, τότε κεν μάλα καλὸν ἀείδοις."
90 "ὦ γέρον, ὅστε φυτὰ σκάπτεις ἐπικαμπύλος ὤμους,
ἦ πολυοινήσεις, εὖτ' ἂν τάδε πάντα φέρηισι,
καί τε ἰδὼν μὴ ἰδὼν εἶναι καὶ κωφὸς ἀκούσας,
Hermes καὶ σιγᾶν ὅτε μή τι καταβλάπτηι τὸ σὸν αὐτοῦ."
163 "μῆτερ ἐμή, τί με ταῦτα δεδίσκεαι, ἠΰτε τέκνον
νήπιον, ὃς μάλα παῦρα μετὰ φρεσὶν αἴσυλα οἶδε,
ταρβαλέον, καὶ μητρὸς ὑπαιδείδοικεν ἐνιπάς;
αὐτὰρ ἐγὼ τέχνης ἐπιβήσομαι, ἥ τις ἀρίστη,
βουκολέων ἐμὲ καὶ σὲ διαμπερές· οὐδὲ θεοῖσι
νῶι μετ' ἀθανάτοισιν ἀδώρητοι καὶ ἄλιστοι
αὐτοῦ τῆιδε μένοντες ἀνεξόμεθ', ὡς σὺ κελεύεις.
βέλτερον ἤματα πάντα μετ' ἀθανάτοις ὀαρίζειν,
πλούσιον, ἀφνειόν, πολυλήιον, ἢ κατὰ δῶμα
ἄντρωι ἐν ἠερόεντι θαασσέμεν· ἀμφὶ δὲ τιμῆς,
κἀγὼ τῆς ὁσίης ἐπιβήσομαι, ἧς περ Ἀπόλλων.
εἰ δέ κε μὴ δώηισι πατὴρ ἐμός, ἦ τοι ἔγωγε
πειρήσω, δύναμαι, φηλητέων ὄρχαμος εἶναι.
εἰ δέ μ' ἐρευνήσει Λητοῦς ἐρικυδέος υἱός,
ἄλλο τί οἱ καὶ μεῖζον ὀίομαι ἀντιβολήσειν.
εἶμι γὰρ ἐς Πυθῶνα μέγαν δόμον ἀντιτορήσων·
ἔνθεν ἄλις τρίποδας περικαλλέας ἠδὲ λέβητας
πορθήσω καὶ χρυσόν, ἅλις τ' αἴθωνα σίδηρον
Hermes καὶ πολλὴν ἐσθῆτα· σὺ δ' ὄψεαι, αἴ κ' ἐθέληισθα."
190 "ὦ γέρον, Ὀγχηστοῖο βατοδρόπε ποιήεντος,
βοῦς ἀπὸ Πιερίης διζήμενος ἐνθάδ' ἱκάνω,
πάσας θηλείας, πάσας κεράεσσιν ἑλικτάς,
ἐξ ἀγέλης· ὁ δὲ ταῦρος ἐβόσκετο μοῦνος ἀπ' ἄλλων
κυάνεος· χαροποὶ δὲ κύνες κατόπισθεν ἕποντο
τέσσαρες, ἠΰτε φῶτες, ὁμόφρονες· οἳ μὲν ἔλειφθεν,
οἵ τε κύνες ὅ τε ταῦρος· ὃ δὴ περὶ θαῦμα τέτυκται·
ταὶ δ' ἔβαν ἠελίοιο νέον καταδυομένοιο
ἐκ μαλακοῦ λειμῶνος ἀπὸ γλυκεροῖο νομοῖο.
Apollo ταῦτά μοι εἰπέ, γεραιὲ παλαιγενές, εἴ που ὄπωπας
ἀνέρα ταῖσδ' ἐπὶ βουσὶ διαπρήσσοντα κέλευθον."
201 "ὦ φίλος, ἀργαλέον μέν, ὅσ' ὀφθαλμοῖσιν ἴδοιτο,
πάντα λέγειν· πολλοὶ γὰρ ὁδὸν πρήσσουσιν ὁδῖται,
τῶν οἳ μὲν κακὰ πολλὰ μεμαότες, οἳ δὲ μάλ' ἐσθλὰ
φοιτῶσιν· χαλεπὸν δὲ δαήμεναί ἐστιν ἕκαστον·
αὐτὰρ ἐγὼ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἔσκαπτον περὶ γουνὸν ἀλωῆς οἰνοπέδοιο·
παῖδα δ' ἔδοξα, φέριστε, σαφὲς δ' οὐκ οἶδα, νοῆσαι,
ὅς τις ὁ παῖς, ἅμα βουσὶν ἐυκραίρηισιν ὀπήδει
νήπιος, εἶχε δὲ ῥάβδον· ἐπιστροφάδην δ' ἐβάδιζεν.
Hermes ἐξοπίσω δ' ἀνέεργε, κάρη δ' ἔχεν ἀντίον αὐτῶι."

"ὦ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι· 219
ἴχνια μὲν τάδε γ' ἐστὶ βοῶν ὀρθοκραιράων,
ἀλλὰ πάλιν τέτραπται ἐς ἀσφοδελὸν λειμῶνα·
βήματα δ' οὔτ' ἀνδρὸς τάδε γίγνεται οὔτε γυναικὸς
οὔτε λύκων πολιῶν οὔτ' ἄρκτων οὔτε λεόντων·
οὔτε τι Κενταύρου λασιαύχενος ἔλπομαι εἶναι,
ὅς τις τοῖα πέλωρα βιβᾶι ποσὶ καρπαλίμοισιν·
αἰνὰ μὲν ἔνθεν ὁδοῖο, τὰ δ' αἰνότερ' ἔνθεν ὁδοῖο." Apollo
"ὦ παῖ, ὃς ἐν λίκνωι κατάκειαι, μήνυέ μοι βοῦς 254
θᾶσσον· ἐπεὶ τάχα νῶι διοισόμεθ' οὐ κατὰ κόσμον.
ῥίψω γάρ σε λαβὼν ἐς Τάρταρον ἠερόεντα,
ἐς ζόφον αἰνόμορον καὶ ἀμήχανον· οὐδέ σε μήτηρ
ἐς φάος οὐδὲ πατὴρ ἀναλύσεται, ἀλλ' ὑπὸ γαίηι
ἐρρήσεις ὀλίγοισι μετ' ἀνδράσιν ἡγεμονεύων." Apollo
"Λητοΐδη, τίνα τοῦτον ἀπηνέα μῦθον ἔειπας; 261
καὶ βοῦς ἀγραύλους διζήμενος ἐνθάδ' ἱκάνεις;
οὐκ ἴδον, οὐ πυθόμην, οὐκ ἄλλου μῦθον ἄκουσα·
οὐκ ἂν μηνύσαιμ', οὐκ ἂν μήνυτρον ἀροίμην·
οὐδὲ βοῶν ἐλατῆρι, κραταιῶι φωτί, ἔοικα.
οὐκ ἐμὸν ἔργον τοῦτο, πάρος δέ μοι ἄλλα μέμηλεν·
ὕπνος ἐμοί γε μέμηλε καὶ ἡμετέρης γάλα μητρὸς
σπάργανά τ' ἀμφ' ὤμοισιν ἔχειν καὶ θερμὰ λοετρά.
μή τις τοῦτο πύθοιτο, πόθεν τόδε νεῖκος ἐτύχθη·
καί κεν δὴ μέγα θαῦμα μετ' ἀθανάτοισι γένοιτο,
παῖδα νέον γεγαῶτα διὲκ προθύροιο περῆσαι
βουσὶν ἐπ' ἀγραύλοισι· τὸ δ' ἀπρεπέως ἀγορεύεις.
χθὲς γενόμην, ἁπαλοὶ δὲ πόδες, τρηχεῖα δ' ὑπὸ χθών.
εἰ δ' ἐθέλεις, πατρὸς κεφαλὴν μέγαν ὅρκον ὀμοῦμαι·
μὴ μὲν ἐγὼ μήτ' αὐτὸς ὑπίσχομαι αἴτιος εἶναι,
μήτε τιν' ἄλλον ὄπωπα βοῶν κλοπὸν ὑμετεράων,
αἵ τινες αἱ βόες εἰσί· τὸ δὲ κλέος οἶον ἀκούω.
ὣς ἄρ' ἔφη καὶ πυκνὸν ἀπὸ βλεφάρων ἀμαρύσσων
ὀφρῦς ῥιπτάζεσκεν ὁρώμενος ἔνθα καὶ ἔνθα, Hermes
μάκρ' ἀποσυρίζων, ἅλιον τὸν μῦθον ἀκούων."
"ὦ πέπον, ἠπεροπευτά, δολοφραδές, ἦ σε μάλ' οἴω 282
πολλάκις ἀντιτοροῦντα δόμους εὖ ναιετάοντας
ἔννυχον οὐχ ἕνα μοῦνον ἐπ' οὔδεϊ φῶτα καθίσσαι,
σκευάζοντα κατ' οἶκον ἄτερ ψόφου, οἷ' ἀγορεύεις·
πολλοὺς δ' ἀγραύλους ἀκαχήσεις μηλοβοτῆρας
οὔρεος ἐν βήσσηις, ὁπότ' ἂν κρειῶν ἐρατίζων
ἀντᾶις βουκολίοισι καὶ εἰροπόκοις ὀίεσσιν.
ἀλλ' ἄγε, μὴ πύματόν τε καὶ ὕστατον ὕπνον ἰαύσηις,
ἐκ λίκνου κατάβαινε, μελαίνης νυκτὸς ἑταῖρε.
τοῦτο γὰρ οὖν καὶ ἔπειτα μετ' ἀθανάτοις γέρας ἕξεις.
ἀρχὸς φηλητέων κεκλήσεαι ἤματα πάντα." Apollo
"θάρσει, σπαργανιῶτα, Διὸς καὶ Μαιάδος υἱέ· 301
εὑρήσω καὶ ἔπειτα βοῶν ἴφθιμα κάρηνα
τούτοις οἰωνοῖσι· σὺ δ' αὖθ' ὁδὸν ἡγεμονεύσεις." Apollo
"πῆι με φέρεις, Ἑκάεργε, θεῶν ζαμενέστατε πάντων; 307
ἦ με βοῶν ἕνεχ' ὧδε χολούμενος ὀρσολοπεύεις;

ὦ πόποι, εἴθ' ἀπόλοιτο βοῶν γένος· οὐ γὰρ ἐγώ γε
ὑμετέρας ἔκλεψα βόας οὐδ' ἄλλον ὄπωπα,
αἵτινες αἱ βόες εἰσί· τὸ δὲ κλέος οἷον ἀκούω.
Hermes δὸς δὲ δίκην καὶ δέξο παρὰ Ζηνὶ Κρονίωνι."
"ὦ πάτερ, ἦ τάχα μῦθον ἀκούσεαι οὐκ ἀλαπαδνόν,
κερτομέων ὡς οἷος ἐγὼ φιλολήιός εἰμι.
παῖδά τιν' εὗρον τόνδε διαπρύσιον κεραϊστὴν
Κυλλήνης ἐν ὄρεσσι, πολὺν διὰ χῶρον ἀνύσσας,
κέρτομον, οἷον ἐγώ γε θεῶν οὐκ ἄλλον ὄπωπα
οὐδ' ἀνδρῶν, ὁπόσοι λησίμβροτοί εἰσ' ἐπὶ γαίηι.
κλέψας δ' ἐκ λειμῶνος ἐμὰς βοῦς ὤχετ' ἐλαύνων
ἑσπέριος παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης,
εὐθὺ Πύλονδ' ἐλάων· τὰ δ' ἄρ' ἴχνια δοιὰ πέλωρα,
οἷά τ' ἀγάσσασθαι, καὶ ἀγαυοῦ δαίμονος ἔργα.
τῆισιν μὲν γὰρ βουσὶν ἐς ἀσφοδελὸν λειμῶνα
ἀντία βήματ' ἔχουσα κόνις ἀνέφαινε μέλαινα·
αὐτὸς δ' ἐκτὸς ὁδοῦ, τις ἀμήχανος, οὔτ' ἄρα ποσσὶν
οὔτ' ἄρα χερσὶν ἔβαινε διὰ ψαμαθώδεα χῶρον·
ἀλλ' ἄλλην τινὰ μῆτιν ἔχων διέτριβε κέλευθα
τοῖα πέλωρ' ὡς εἴ τις ἀραιῇσι δρυσὶ βαίνοι.
ὄφρα μὲν οὖν ἐδίωκε διὰ ψαμαθώδεα χῶρον,
ῥεῖα μάλ' ἴχνια πάντα διέπρεπεν ἐν κονίῃσιν·
αὐτὰρ ἐπεὶ ψαμάθοιο μέγαν στίβον ἐξεπέρησεν,
ἄφραστος γένετ' ὦκα βοῶν στίβος ἠδὲ καὶ αὐτοῦ
χῶρον ἀνὰ κρατερόν· τὸν δ' ἐφράσατο βροτὸς ἀνὴρ
ἐς Πύλον εὐθὺς ἐλῶντα βοῶν γένος εὐρυμετώπων.
αὐτὰρ ἐπεὶ δὴ τὰς μὲν ἐν ἡσυχίηι κατέερξε
καὶ διαπυρπαλάμησεν ὁδοῦ τὸ μὲν ἔνθα, τὸ δ' ἔνθα,
ἐν λίκνωι κατέκειτο μελαίνηι νυκτὶ ἐοικώς,
ἄντρωι ἐν ἠερόεντι κατὰ ζόφον· οὐδέ κεν αὐτὸν
αἰετὸς ὀξὺ λάων ἐσκέψατο· πολλὰ δὲ χερσὶν
αὐγὰς ὠμόργαζε δολοφροσύνην ἀλεγύνων.
αὐτὸς δ' αὐτίκα μῦθον ἀπηλεγέως ἀγόρευεν·
οὐκ ἴδον, οὐ πυθόμην, οὐκ ἄλλου μῦθον ἄκουσα
Apollo οὐδέ κε μηνύσαιμ', οὐδ' ἂν μήνυτρον ἀροίμην."
"Ζεῦ πάτερ, ἦ τοι ἐγώ σοι ἀληθείην καταλέξω·
νημερτής τε γάρ εἰμι καὶ οὐκ οἶδα ψεύδεσθαι.
ἦλθεν ἐς ἡμετέρου διζήμενος εἰλίποδας βοῦς
σήμερον ἠελίοιο νέον ἐπιτελλομένοιο·
οὐδὲ θεῶν μακάρων ἄγε μάρτυρας οὐδὲ κατόπτας,
μηνύειν δ' ἐκέλευεν ἀναγκαίης ὑπὸ πολλῆς,
πολλὰ δέ μ' ἠπείλησε βαλεῖν ἐς Τάρταρον εὐρύν,
οὕνεχ' ὃ μὲν τέρεν ἄνθος ἔχει φιλοκυδέος ἥβης,
αὐτὰρ ἐγὼ χθιζὸς γενόμην, τὰ δέ τ' οἶδε καὶ αὐτός,
οὔτι βοῶν ἐλατῆρι, κραταιῶι φωτί, ἐοικώς.
πείθεο· καὶ γὰρ ἐμεῖο πατὴρ φίλος εὔχεαι εἶναι,
ὡς οὐκ οἴκαδ' ἔλασσα βόας, ὡς ὄλβιος εἴην,
οὐδ' ὑπὲρ οὐδὸν ἔβην· τὸ δέ τ' ἀτρεκέως ἀγορεύω.
Ἠέλιον δὲ μάλ' αἰδέομαι καὶ δαίμονας ἄλλους,
καὶ σε φιλῶ καὶ τοῦτον ὀπίζομαι· οἶσθα καὶ αὐτός,
ὡς οὐκ αἴτιός εἰμι· μέγαν δ' ἐπιδώσομαι ὅρκον·
οὐ μὰ τάδ' ἀθανάτων εὐκόσμητα προθύραια.
καί που ἐγὼ τούτωι τίσω ποτὲ νηλέα φώρην,
καὶ κρατερῶι περ ἐόντι· σὺ δ' ὁπλοτέροισιν ἄρηγε." Hermes
"πῶς ἐδύνω, δολομῆτα, δύω βόε δειροτομῆσαι,
ὧδε νεογνὸς ἐὼν καὶ νήπιος; αὐτὸς ἐγώ γε
θαυμαίνω κατόπισθε τὸ σὸν κράτος· οὐδέ τί σε χρὴ
μακρὸν ἀέξεσθαι, Κυλλήνιε, Μαιάδος υἱέ." Apollo
"βουφόνε, μηχανιῶτα, πονεύμενε, δαιτὸς ἑταῖρε,
πεντήκοντα βοῶν ἀντάξια ταῦτα μέμηλας.
ἡσυχίως καὶ ἔπειτα διακρινέεσθαι ὀίω·
νῦν δ' ἄγε μοι τόδε εἰπέ, πολύτροπε Μαιάδος υἱέ,
ἦ σοί γ' ἐκ γενετῆς τάδ' ἅμ' ἕσπετο θαυματὰ ἔργα
ἠέ τις ἀθανάτων ἠὲ θνητῶν ἀνθρώπων
δῶρον ἀγαυὸν ἔδωκε καὶ ἔφρασε θέσπιν ἀοιδήν;
θαυμασίην γὰρ τήνδε νεήφατον ὄσσαν ἀκούω,
ἣν οὐ πώ ποτέ φημι δαήμεναι οὔτε τιν' ἀνδρῶν
οὔτε τιν' ἀθανάτων, οἳ Ὀλύμπια δώματ' ἔχουσι,
νόσφι σέθεν, φηλῆτα, Διὸς καὶ Μαιάδος υἱέ.
τίς τέχνη, τίς μοῦσα ἀμηχανέων μελεδώνων,
τίς τρίβος; ἀτρεκέως γὰρ ἅμα τρία πάντα πάρεστιν,
εὐφροσύνην καὶ ἔρωτα καὶ ἥδυμον ὕπνον ἑλέσθαι.
καὶ γὰρ ἐγὼ Μούσῃσιν Ὀλυμπιάδεσσιν ὀπηδός,
τῆισι χοροί τε μέλουσι καὶ ἀγλαὸς οἶμος ἀοιδῆς
καὶ μολπὴ τεθαλυῖα καὶ ἱμερόεις βρόμος αὐλῶν·
ἀλλ' οὔ πω τί μοι ὧδε μετὰ φρεσὶν ἄλλο μέλησεν,
οἷα νέων θαλίηις ἐνδέξια ἔργα πέλονται.
θαυμάζω, Διὸς υἱέ, τάδ', ὡς ἐρατὸν κιθαρίζεις.
νῦν δ' ἐπεὶ οὖν ὀλίγος περ ἐὼν κλυτὰ μήδεα οἶδας,
ἷζε, πέπον, καὶ μῦθον ἐπαίνει πρεσβυτέροισι·
νῦν γάρ τοι κλέος ἔσται ἐν ἀθανάτοισι θεοῖσι
σοί τ' αὐτῶι καὶ μητρί· τὸ δ' ἀτρεκέως ἀγορεύσω·
ναὶ μὰ τόδε κρανέινον ἀκόντιον, ἦ μὲν ἐγώ σε
κυδρὸν ἐν ἀθανάτοισι καὶ ὄλβιον ἡγεμόν' εἴσω
δώσω τ' ἀγλαὰ δῶρα καὶ ἐς τέλος οὐκ ἀπατήσω." Apollo
"εἰρωτᾶις μ', Ἑκάεργε, περιφραδές· αὐτὰρ ἐγώ σοι
τέχνης ἡμετέρης ἐπιβήμεναι οὔ τι μεγαίρω.
σήμερον εἰδήσεις· ἐθέλω δέ τοι ἤπιος εἶναι
βουλῆι καὶ μύθοισι. σὺ δὲ φρεσὶ πάντ' εὖ οἶδας·
πρῶτος γάρ, Διὸς υἱέ, μετ' ἀθανάτοισι θαάσσεις,
ἠΰς τε κρατερός τε· φιλεῖ δέ σε μητίετα Ζεὺς
ἐκ πάσης ὁσίης, ἔπορεν δέ τοι ἀγλαὰ δῶρα.
καὶ τιμάς σέ γέ φασι δαήμεναι ἐκ Διὸς ὀμφῆς
μαντείας θ' Ἑκάεργε, Διὸς παρά, θέσφατα πάντα·
τῶν νῦν αὐτὸς ἐγώ γε παῖδ' ἀφνειὸν δεδάηκα·
σοὶ δ' αὐτάγρετόν ἐστι δαήμεναι, ὅττι μενοινᾶις.
ἀλλ' ἐπεὶ οὖν τοι θυμὸς ἐπιθύει κιθαρίζειν,
μέλπεο καὶ κιθάριζε καὶ ἀγλαΐας ἀλέγυνε
δέγμενος ἐξ ἐμέθεν· σὺ δέ μοι, φίλε, κῦδος ὄπαζε.
εὐμόλπει μετὰ χερσὶν ἔχων λιγύφωνον ἑταίρην,

καλὰ καὶ εὖ κατὰ κόσμον ἐπιστάμενος ἀγορεύειν.
εὔκηλος μὲν ἔπειτα φέρειν ἐς δαῖτα θάλειαν
καὶ χορὸν ἱμερόεντα καὶ ἐς φιλοκυδέα κῶμον
εὐφροσύνην νυκτός τε καὶ ἤματος. ὅς τις ἂν αὐτὴν
τέχνηι καὶ σοφίηι δεδαημένος ἐξερεείνηι,
φθεγγομένη παντοῖα νόωι χαρίεντα διδάσκει
ῥεῖα συνηθείηισιν ἀθυρομένη μαλακῆισιν,
ἐργασίην φεύγουσα δυήπαθον· ὃς δέ κεν αὐτὴν
νῆις ἐὼν τὸ πρῶτον ἐπιζαφελῶς ἐρεείνηι,
μὰψ αὔτως κεν ἔπειτα μετήορά τε θρυλλίζοι.
σοὶ δ' αὐτάγρετόν ἐστι δαήμεναι, ὅττι μενοινᾶις.
καὶ τοι ἐγὼ δώσω ταύτην, Διὸς ἀγλαὲ κοῦρε·
ἡμεῖς δ' αὖτ' ὄρεός τε καὶ ἱπποβότου πεδίοιο
βουσὶ νομούς, Ἑκάεργε, νομεύσομεν ἀγραύλοισιν.
ἔνθεν ἅλις τέξουσι βόες ταύροισι μιγεῖσαι
μίγδην θηλείας τε καὶ ἄρσενας· οὐδέ τί σε χρὴ
Hermes κερδαλέον περ ἐόντα περιζαμενῶς κεχολῶσθαι."
514 "δείδια, Μαιάδος υἱέ, διάκτορε, ποικιλομῆτα,
μή μοι ἅμα κλέψηις κίθαριν καὶ καμπύλα τόξα·
τιμὴν γὰρ πὰρ Ζηνὸς ἔχεις ἐπαμοίβια ἔργα
θήσειν ἀνθρώποισι κατὰ χθόνα πουλυβότειραν.
ἀλλ' εἴ μοι τλαίης γε θεῶν μέγαν ὅρκον ὀμόσσαι,
Apollo ἢ κεφαλῆι νεύσας ἢ ἐπὶ Στυγὸς ὄβριμον ὕδωρ,
πάντ' ἂν ἐμῶι θυμῶι κεχαρισμένα καὶ φίλα ἔρδοις."

Notes

Notes

EUMAEUS THEN KIRKE

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 591 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF SWINEHERDS

EUMAEUS & KIRKE

IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

14.37 “ὦ γέρον, ἦ ὀλίγου σε κύνες διεδηλήσαντο
ἐξαπίνης, καί κέν μοι ἐλεγχείην κατέχευας.
καὶ δέ μοι ἄλλα θεοὶ δόσαν ἄλγεά τε στοναχάς τε·
ἀντιθέου γὰρ ἄνακτος ὀδυρόμενος καὶ ἀχεύων
ἧμαι, ἄλλοισιν δὲ σύας σιάλους ἀτιτάλλω
ἔδμεναι· αὐτὰρ κεῖνος ἐελδόμενός που ἐδωδῆς
πλάζετ᾽ ἐπ᾽ ἀλλοθρόων ἀνδρῶν δῆμόν τε πόλιν τε,
εἴ που ἔτι ζώει καὶ ὁρᾶι φάος ἠελίοιο.
ἀλλ᾽ ἕπεο, κλισίηνδ᾽ ἴομεν, γέρον, ὄφρα καὶ αὐτὸς,
σίτου καὶ οἴνοιο κορεσσάμενος κατὰ θυμὸν,
Eumaeus εἴπηις ὁππόθεν ἐσσὶ καὶ ὁππόσα κήδε᾽ ἀνέτλης.”
14.56 “ξεῖν᾽, οὔ μοι θέμις ἔστ᾽, οὐδ᾽ εἰ κακίων σέθεν ἔλθοι,
ξεῖνον ἀτιμῆσαι· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
ξεῖνοί τε πτωχοί τε· δόσις δ᾽ ὀλίγη τε φίλη τε
γίγνεται ἡμετέρη· ἡ γὰρ δμώων δίκη ἐστὶν
αἰεὶ δειδιότων, ὅτ᾽ ἐπικρατέωσιν ἄνακτες
οἱ νέοι. ἦ γὰρ τοῦ_γε θεοὶ κατὰ νόστον ἔδησαν,
ὅς κεν ἔμ᾽ ἐνδυκέως ἐφίλει καὶ κτῆσιν ὄπασσεν,
οἷά τε ᾧ οἰκῆϊ ἄναξ εὔθυμος ἔδωκεν,
οἶκόν τε κλῆρόν τε πολυμνήστην τε γυναῖκα,
ὅς οἱ πολλὰ κάμησι, θεὸς δ᾽ ἐπὶ ἔργον ἀέξηι,
ὡς καὶ ἐμοὶ τόδε ἔργον ἀέξεται, ὧι ἐπιμίμνω.
τῶι κέ με πόλλ᾽ ὤνησεν ἄναξ, εἰ αὐτόθ᾽ ἐγήρα·
ἀλλ᾽ ὄλεθ᾽ — ὡς ὤφελλ᾽ Ἑλένης ἀπὸ φῦλον ὀλέσθαι
πρόχνυ, ἐπεὶ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ᾽ ἔλυσεν·
καὶ γὰρ κεῖνος ἔβη Ἀγαμέμνονος εἵνεκα τιμῆς
Eumaeus Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο.”
14.80 “ἔσθιε νῦν, ὦ ξεῖνε, τά_τε δμώεσσι πάρεστιν,
χοίρε᾽· ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν,
οὐκ ὄπιδα φρονέοντες ἐνὶ φρεσὶν οὐδ᾽ ἐλεητύν.
οὐ μὲν σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν,
ἀλλὰ δίκην τίουσι καὶ αἴσιμα ἔργ᾽ ἀνθρώπων.
καὶ μὲν δυσμενέες καὶ ἀνάρσιοι, οἵ_τ᾽ ἐπὶ γαίης
ἀλλοτρίης βῶσιν καί σφι Ζεὺς ληΐδα δώηι,
πλησάμενοι δέ τε νῆας ἔβαν οἶκόνδε νέεσθαι,
καὶ μὲν τοῖς ὄπιδος κρατερὸν δέος ἐν φρεσὶ πίπτει.
οἵδε δέ τοι ἴσασι, θεοῦ δέ τιν᾽ ἔκλυον αὐδὴν,
κείνου λυγρὸν ὄλεθρον, ὅ_τ᾽ οὐκ ἐθέλουσι δικαίως
μνᾶσθαι οὐδὲ νέεσθαι ἐπὶ σφέτερ᾽, ἀλλὰ ἕκηλοι
κτήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ᾽ ἔπι φειδώ.
ὅσσαι γὰρ νύκτες τε καὶ ἡμέραι ἐκ Διός εἰσιν,
οὔ_ποθ᾽ ἓν ἱρεύουσ᾽ ἱερήϊον, οὐδὲ δύ᾽ οἴω·
οἶνον δὲ φθινύθουσιν ὑπέρβιον ἐξαφύοντες.
ἦ γάρ οἱ ζωή γ᾽ ἦν ἄσπετος· οὔ_τινι τόσση
ἀνδρῶν ἡρώων, οὔτ᾽ ἠπείροιο μελαίνης
οὔτ᾽ αὐτῆς Ἰθάκης· οὐδὲ ξυνεείκοσι φωτῶν
ἔστ᾽ ἄφενος τοσσοῦτον. ἐγὼ δέ κέ τοι καταλέξω.
δώδεκ᾽ ἐν ἠπείρωι ἀγέλαι· τόσα πώεα οἰῶν,
τόσσα συῶν συβόσια, τόσ᾽ αἰπόλια πλατέ᾽ αἰγῶν
Eumaeus βόσκουσι ξεῖνοί τε καὶ αὐτοῦ βώτορες ἄνδρες.
ἔνθα δὲ τ᾽ αἰπόλια πλατέ᾽ αἰγῶν ἕνδεκα πάντα
ἐσχατιῆι βόσκοντ᾽, ἐπὶ δ᾽ ἀνέρες ἐσθλοὶ ὄρονται.
τῶν αἰεί σφιν ἕκαστος ἐπ᾽ ἤματι μῆλον ἀγινεῖ,
ζατρεφέων αἰγῶν ὅς_τις φαίνηται ἄριστος.
αὐτὰρ ἐγὼ σῦς τάσδε φυλάσσω τε ῥύομαί τε,
καί σφι συῶν τὸν ἄριστον εὖ κρίνας ἀποπέμπω.” Eumaeus
“ὦ γέρον, οὔ_τις κεῖνον ἀνὴρ ἀλαλήμενος ἐλθὼν 14.122
ἀγγέλλων πείσειε γυναῖκά τε καὶ φίλον υἱὸν,
ἀλλ᾽ ἄλλως κομιδῆς κεχρημένοι ἄνδρες ἀλῆται
ψεύδοντ᾽, οὐδ᾽ ἐθέλουσιν ἀληθέα μυθήσασθαι.
ὃς δέ κ᾽ ἀλητεύων Ἰθάκης ἐς δῆμον ἵκηται,
ἐλθὼν ἐς δέσποιναν ἐμὴν ἀπατήλια βάζει·
ἡ δ᾽ εὖ δεξαμένη φιλέει καὶ ἕκαστα μεταλλᾶι,
καί οἱ ὀδυρομένηι βλεφάρων ἄπο δάκρυα πίπτει,
ἣ θέμις ἐστὶ γυναικὸς, ἐπὴν πόσις ἄλλοθ᾽ ὄληται.
αἶψά κε καὶ σὺ, γεραιὲ, ἔπος παρατεκτήναιο.
εἴ τίς τοι χλαῖνάν τε χιτῶνά τε εἵματα δοίη.
τοῦ δ᾽ ἤδη μέλλουσι κύνες ταχέες τ᾽ οἰωνοὶ
ῥινὸν ἀπ᾽ ὀστεόφιν ἐρύσαι, ψυχὴ δὲ λέλοιπεν·
ἢ τόν_γ᾽ ἐν πόντωι φάγον ἰχθύες, ὀστέα δ᾽ αὐτοῦ
κεῖται ἐπ᾽ ἠπείρου ψαμάθωι εἰλυμένα πολλῆι.
ὣς ὁ μὲν ἔνθ᾽ ἀπόλωλε, φίλοισι δὲ κήδε᾽ ὀπίσσω
πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τετεύχαται· οὐ γὰρ ἔτ᾽ ἄλλον
ἤπιον ὧδε ἄνακτα κιχήσομαι, ὁππόσ᾽ ἐπέλθω,
οὐδ᾽ εἴ κεν πατρὸς καὶ μητέρος αὖτις ἵκωμαι
οἶκον, ὅθι πρῶτον γενόμην καί μ᾽ ἔτρεφον αὐτοί.
οὐδέ νυ τῶν ἔτι τόσσον ὀδύρομαι, ἱέμενός περ
ὀφθαλμοῖσιν ἰδέσθαι ἐὼν ἐν πατρίδι γαίηι·
ἀλλά μ᾽ Ὀδυσσῆος πόθος αἴνυται οἰχομένοιο.
τὸν μὲν ἐγὼν, ὦ ξεῖνε, καὶ οὐ παρεόντ᾽ ὀνομάζειν
αἰδέομαι· περὶ γάρ μ᾽ ἐφίλει καὶ κήδετο θυμῶι·
ἀλλά μιν ἠθεῖον καλέω καὶ νόσφιν ἐόντα.” Eumaeus
“ὦ γέρον, οὔτ᾽ ἄρ᾽ ἐγὼν εὐαγγέλιον τόδε τείσω, 14.166
οὔτ᾽ Ὀδυσεὺς ἔτι οἶκον ἐλεύσεται· ἀλλὰ ἕκηλος
πῖνε, καὶ ἄλλα πάρεξ μεμνεώμεθα, μηδέ με τούτων
μίμνησκ᾽· ἦ γὰρ θυμὸς ἐνὶ στήθεσσιν ἐμοῖσιν
ἄχνυται, ὁππότε τις μνήσηι κεδνοῖο ἄνακτος.
ἀλλ᾽ ἦτοι ὅρκον μὲν ἐάσομεν, αὐτὰρ Ὀδυσσεὺς
ἔλθοι ὅπως μιν ἐγώ_γ᾽ ἐθέλω καὶ Πηνελόπεια
Λαέρτης θ᾽ ὁ γέρων καὶ Τηλέμαχος θεοειδής.
νῦν αὖ παιδὸς ἄλαστον ὀδύρομαι, ὃν τέκ᾽ Ὀδυσσεύς,
Τηλεμάχου· τὸν ἐπεὶ θρέψαν θεοὶ ἔρνεϊ ἶσον,
καί μιν ἔφην ἔσσεσθαι ἐν ἀνδράσιν οὔ_τι χέρεια
πατρὸς ἑοῖο φίλοιο φρένας καὶ εἶδος ἀγητὸν,
τοῦ δέ τις ἀθανάτων βλάψε φρένας ἔνδον ἐΐσας
ἠέ τις ἀνθρώπων· ὁ δ᾽ ἔβη μετὰ πατρὸς ἀκουὴν
ἐς Πύλον ἠγαθέην· τὸν δὲ μνηστῆρες ἀγαυοὶ
οἴκαδ᾽ ἰόντα λοχῶσιν, ὅπως ἀπὸ φῦλον ὄληται
νώνυμον ἐξ Ἰθάκης Ἀρκεισίου ἀντιθέοιο.
ἀλλ᾽ ἦτοι κεῖνον μὲν ἐάσομεν, ἤ κεν ἁλοίη

ἤ κε φύγηι καί κέν οἱ ὑπέρσχηι χεῖρα Κρονίων.
ἀλλ' ἄγε μοι σύ, γεραιέ, τὰ σ' αὐτοῦ κήδε' ἐνίσπες,
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ·
τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
ὁπποίης δ' ἐπὶ νηὸς ἀφίκεο; πῶς δέ σε ναῦται
Eumaeus ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι."
14.361 "ἆ δειλὲ ξείνων, ἦ μοι μάλα θυμὸν ὄρινας
ταῦτα ἕκαστα λέγων, ὅσα δὴ πάθες ἠδ' ὅσ' ἀλήθης.
ἀλλὰ τά_γ' οὐ κατὰ κόσμον ὀΐομαι, οὐδέ με πείσεις
εἰπὼν ἀμφ' Ὀδυσῆϊ. τί σε χρὴ τοῖον ἐόντα
μαψιδίως ψεύδεσθαι; ἐγὼ δ' εὖ οἶδα καὶ αὐτὸς
νόστον ἐμοῖο ἄνακτος, ὅ τ' ἤχθετο πᾶσι θεοῖσιν
πάγχυ μάλ', ὅττί μιν οὔ_τι μετὰ Τρώεσσι δάμασσαν
ἠὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσεν·
τῶ κέν οἱ τύμβον μὲν ἐποίησαν Παναχαιοὶ,
ἠδέ κε καὶ ὧι παιδὶ μέγα κλέος ἤρατ' ὀπίσσω.
νῦν δέ μιν ἀκλειῶς Ἅρπυιαι ἀνηρείψαντο.
αὐτὰρ ἐγὼ παρ' ὕεσσιν ἀπότροπος· οὐδὲ πόλινδε
ἔρχομαι, εἰ μή πού τι περίφρων Πηνελόπεια
ἐλθέμεν ὀτρύνησιν, ὅτ' ἀγγελίη ποθὲν ἔλθοι.
ἀλλ' οἱ μὲν τὰ ἕκαστα παρήμενοι ἐξερέουσιν,
ἠμὲν οἳ ἄχνυνται δὴν οἰχομένοιο ἄνακτος,
ἠδ' οἳ χαίρουσιν βίοτον νήποινον ἔδοντες·
ἀλλ' ἐμοὶ οὐ φίλον ἐστὶ μεταλλῆσαι καὶ ἐρέσθαι,
ἐξ οὗ δή μ' Αἰτωλὸς ἀνὴρ ἐξήπαφε μύθωι,
ὅς ῥ' ἄνδρα κτείνας, πολλὴν ἐπὶ γαῖαν ἀληθὶς,
ἤλυθ' ἐμὰ πρὸς δώματ'· ἐγὼ δέ μιν ἀμφαγάπαζον.
φῆ δέ μιν ἐν Κρήτεσσι παρ' Ἰδομενῆϊ ἰδέσθαι
νῆας ἀκειόμενον, τάς οἱ ξυνέαξαν ἄελλαι·
καὶ φάτ' ἐλεύσεσθαι ἢ ἐς θέρος ἢ ἐς ὀπώρην,
πολλὰ χρήματ' ἄγοντα σὺν ἀντιθέοις ἑτάροισιν.
καὶ σύ, γέρον πολυπενθὲς, ἐπεί σέ μοι ἤγαγε δαίμων,
μήτέ τί μοι ψεύδεσσι χαρίζεο μήτε τι θέλγε·
οὐ γὰρ τοὔνεκ' ἐγώ σ' αἰδέσσομαι οὐδὲ φιλήσω,
Eumaeus ἀλλὰ Δία ξένιον δείσας αὐτόν τ' ἐλεαίρων."
14.402 "ξεῖν', οὕτω γάρ κέν μοι ἐϋκλείη τ' ἀρετή τε
εἴη ἐπ' ἀνθρώπους ἅμα τ' αὐτίκα καὶ μετέπειτα,
ὅς σ' ἐπεὶ ἐς κλισίην ἄγαγον καὶ ξείνια δῶκα,
αὖτις δὲ κτείναιμι φίλον τ' ἀπὸ θυμὸν ἑλοίμην·
πρόφρων κεν δὴ ἔπειτα Δία Κρονίωνα λιτοίμην.
νῦν δ' ὥρη δόρποιο· τάχιστά μοι ἔνδον ἑταῖροι
Eumaeus εἶεν, ἵν' ἐν κλισίηι λαρὸν τετυκοίμεθα δόρπον."
14.414 "ἄξεθ' ὑῶν τὸν ἄριστον, ἵνα ξείνωι ἱερεύσω
τηλεδαπῶι· πρὸς δ' αὐτοὶ ὀνησόμεθ', οἵ_περ ὀϊζὺν
δὴν ἔχομεν πάσχοντες ὑῶν ἕνεκ' ἀργιοδόντων·
Eumaeus ἄλλοι δ' ἡμέτερον κάματον νήποινον ἔδουσιν."
14.443 "ἔσθιε, δαιμόνιε ξείνων, καὶ τέρπεο τοῖσδε,
οἷα πάρεστι· θεὸς δὲ τὸ μὲν δώσει, τὸ δ' ἐάσει,
Eumaeus ὅττι κεν ὧι θυμῶι ἐθέληι· δύναται γὰρ ἅπαντα."

"ὦ γέρον, αἶνος μέν τοι ἀμύμων, ὃν κατέλεξας, 14.508
οὐδέ τί πω παρὰ μοῖραν ἔπος νηκερδὲς ἔειπες·
τῶι οὔτ' ἐσθῆτος δευήσεαι οὔτέ τευ ἄλλου,
ὧν ἐπέοιχ' ἱκέτην ταλαπείριον ἀντιάσαντα,
νῦν· ἀτὰρ ἠῶθέν γε τά σὰ ῥάκεα δνοπαλίξεις.
οὐ γὰρ πολλαὶ χλαῖναι ἐπημοιβοί τε χιτῶνες
ἐνθάδε ἕννυσθαι, μία δ' οἴη φωτὶ ἑκάστωι." Eumaeus
"ὤι μοι, ξεῖνε, τίη τοι ἐνὶ φρεσὶ τοῦτο νόημα 15.326
ἔπλετο; ἦ σύ_γε πάγχυ λιλαίεαι αὐτόθ' ὀλέσθαι,
εἰ δὴ μνηστήρων ἐθέλεις καταδῦναι ὅμιλον,
τῶν ὕβρις τε βίη τε σιδήρεον οὐρανὸν ἵκει.
οὔ_τοι τοιοίδ' εἰσὶν ὑποδρηστῆρες ἐκείνων,
ἀλλὰ νέοι, χλαίνας εὖ εἱμένοι ἠδὲ χιτῶνας,
αἰεὶ δὲ λιπαροὶ κεφαλὰς καὶ καλὰ πρόσωπα,
οἵ σφιν ὑποδρώωσιν· ἐΰξεστοι δὲ τράπεζαι
σίτου καὶ κρειῶν ἠδ' οἴνου βεβρίθασιν.
ἀλλὰ μέν'· οὐ γάρ τίς τοι ἀνιᾶται παρεόντι,
οὔτ' ἐγὼ οὔτέ τις ἄλλος ἑταίρων, οἵ μοι ἔασιν.
αὐτὰρ ἐπὴν ἔλθησιν Ὀδυσσῆος φίλος υἱὸς,
κεῖνός σε χλαῖνάν τε χιτῶνά τε εἵματα ἕσσει,
πέμψει δ' ὅππηι σε κραδίη θυμός τε κελεύει." Eumaeus
"τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω. 15.352
Λαέρτης μὲν ἔτι ζώει, Διὶ δ' εὔχεται αἰεὶ
θυμὸν ἀπὸ μελέων φθίσθαι οἷς ἐν μεγάροισιν·
ἐκπάγλως γὰρ παιδὸς ὀδύρεται οἰχομένοιο
κουριδίης τ' ἀλόχοιο δαΐφρονος, ἥ ἑ μάλιστα
ἤκαχ' ἀποφθιμένη καὶ ἐν ὠμῶι γήραϊ θῆκεν.
ἡ δ' ἄχεϊ οὗ παιδὸς ἀπέφθιτο κυδαλίμοιο,
λευγαλέωι θανάτωι, ὡς μὴ θάνοι ὅς_τις ἐμοί_γε
ἐνθάδε ναιετάων φίλος εἴη καὶ φίλα ἔρδοι.
ὄφρα μὲν οὖν δὴ κείνη ἔην, ἀχέουσά περ ἔμπης,
τόφρα τί μοι φίλον ἔσκε μεταλλῆσαι καὶ ἐρέσθαι,
οὕνεκά μ' αὐτὴ θρέψεν ἅμα Κτιμένηι τανυπέπλωι,
θυγατέρ' ἰφθίμηι, τὴν ὁπλοτάτην τέκε παίδων·
τῆι ὁμοῦ ἐτρεφόμην, ὀλίγον δέ τί μ' ἧσσον ἐτίμα.
αὐτὰρ ἐπεί ῥ' ἥβην πολυήρατον ἱκόμεθ' ἄμφω,
τὴν μὲν ἔπειτα Σάμηνδε δόσαν καὶ μυρί' ἕλοντο,
αὐτὰρ ἐμὲ χλαῖνάν τε χιτῶνά τε εἵματ' ἐκείνη
καλὰ μάλ' ἀμφιέσασα, ποσίν θ' ὑποδήματα δοῦσα,
ἀγρόνδε προΐαλλε· φίλει δέ με κηρόθι μᾶλλον.
νῦν δ' ἤδη τούτων ἐπιδεύομαι· ἀλλά μοι αὐτῶι
ἔργον ἀέξουσιν μάκαρες θεοὶ ὧι ἐπιμίμνω·
τῶν ἔφαγόν τ' ἔπιόν τε καὶ αἰδοίοισιν ἔδωκα.
ἐκ δ' ἄρα δεσποίνης οὐ μείλιχον ἔστιν ἀκοῦσαι
οὔτ' ἔπος οὔτέ τι ἔργον, ἐπεὶ κακὸν ἔμπεσεν οἴκωι,
ἄνδρες ὑπερφίαλοι· μέγα δὲ δμῶες χατέουσιν
ἀντία δεσποίνης φάσθαι καὶ ἕκαστα πυθέσθαι
καὶ φαγέμεν πιέμεν τε, ἔπειτα δὲ καί τι φέρεσθαι
ἀγρόνδ', οἷά τε θυμὸν ἀεὶ δμώεσσιν ἰαίνει." Eumaeus
"ξεῖν', ἐπεὶ ἂρ δὴ ταῦτά μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς, 15.390

σιγῆι νῦν ξυνίει καὶ τέρπεο, πῖνέ τε οἶνον
ἥμενος, αἵδε δὲ νύκτες ἀθέσφατοι· ἔστι μὲν εὕδειν,
ἔστι δὲ τερπομένοισιν ἀκούειν· οὐδέ τί σε χρή,
πρὶν ὥρη, καταλέχθαι· ἀνίη καὶ πολὺς ὕπνος.
τῶν δ' ἄλλων ὅτινα κραδίη καὶ θυμὸς ἀνώγει,
εὑδέτω ἐξελθών· ἅμα δ' ἠοῖ φαινομένηφιν
δειπνήσας ἅμ' ὕεσσιν ἀνακτορίῃσιν ἑπέσθω.
νῶϊ δ' ἐνὶ κλισίηι πίνοντέ τε δαινυμένω τε
κήδεσιν ἀλλήλων τερπώμεθα λευγαλέοισιν,
μνωομένω· μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ,
ὅς τις δὴ μάλα πολλὰ πάθηι καὶ πόλλ' ἐπαληθῆι.
τοῦτο δέ τοι ἐρέω ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾶις.
νῆσός τις Συρίη κικλήσκεται, εἴ που ἀκούεις,
Ὀρτυγίης καθύπερθεν, ὅθι τροπαὶ ἠελίοιο,
οὔ τι περιπληθὴς λίην τόσον, ἀλλ' ἀγαθὴ μὲν,
εὔβοτος εὔμηλος, οἰνοπληθὴς, πολύπυρος.
πείνη δ' οὔ ποτε δῆμον ἐσέρχεται, οὐδέ τις ἄλλη
νοῦσος ἐπὶ στυγερὴ πέλεται δειλοῖσι βροτοῖσιν·
ἀλλ' ὅτε γηράσκωσι πόλιν κάτα φῦλ' ἀνθρώπων,
ἐλθὼν ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξὺν
οἷς ἀγανοῖσι βέλεσσιν ἐποιχόμενος κατέπεφνεν.
ἔνθα δύω πόλιες, δίχα δέ σφισι πάντα δέδασται·
τῆισιν δ' ἀμφοτέρηισι πατὴρ ἐμὸς ἐμβασίλευεν,
Κτήσιος Ὀρμενίδης, ἐπιείκελος ἀθανάτοισιν.
ἔνθα δὲ Φοίνικες ναυσικλυτοὶ ἤλυθον ἄνδρες,
τρῶκται, μυρί' ἄγοντες ἀθύρματα νηῒ μελαίνηι.
ἔσκε δὲ πατρὸς ἐμοῖο γυνὴ Φοίνισσ' ἐνὶ οἴκωι,
καλή τε μεγάλη τε καὶ ἀγλαὰ ἔργ' ἰδυῖα·
τὴν δ' ἄρα Φοίνικες πολυπαίπαλοι ἠπερόπευον.
πλυνούσηι τις πρῶτα μίγη κοίληι παρὰ νηῒ
εὐνῆι καὶ φιλότητι, τά τε φρένας ἠπεροπεύει
θηλυτέρηισι γυναιξὶ, καὶ ἥ κ' εὐεργὸς ἔησιν.
εἰρώτα δῆπειτα τίς εἴη καὶ πόθεν ἔλθοι·
ἡ δὲ μάλ' αὐτίκα πατρὸς ἐπέφραδεν ὑψερεφὲς δῶ·
'ἐκ μὲν Σιδῶνος πολυχάλκου εὔχομαι εἶναι,
κούρη δ' εἴμ' Ἀρύβαντος ἐγὼ ῥυδὸν ἀφνειοῖο·
ἀλλά μ' ἀνήρπαξαν Τάφιοι ληΐστορες ἄνδρες
ἀγρόθεν ἐρχομένην, πέρασαν δέ τε δεῦρ' ἀγαγόντες
τοῦδ' ἀνδρὸς πρὸς δώμαθ'· ὁ δ' ἄξιον ὦνον ἔδωκεν.'
τὴν δ' αὖτε προσέειπεν ἀνὴρ, ὃς ἐμίσγετο λάθρηι·
'ἦ ῥά κε νῦν πάλιν αὖτις ἅμ' ἡμῖν οἴκαδ' ἕποιο,
ὄφρα ἴδηι πατρὸς καὶ μητέρος ὑψερεφὲς δῶ
αὐτούς τ'; ἦ γὰρ ἔτ' εἰσὶ καὶ ἀφνειοὶ καλέονται.'
τὸν δ' αὖτε προσέειπε γυνὴ καὶ ἀμείβετο μύθωι·
'εἴη κεν καὶ τοῦτ', εἴ μοι ἐθέλοιτέ γε, ναῦται,
ὅρκωι πιστωθῆναι ἀπήμονά μ' οἴκαδ' ἀπάξειν.'
ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπώμνυον ὡς ἐκέλευεν.
αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,
τοῖς δ' αὖτις μετέειπε γυνὴ καὶ ἀμείβετο μύθωι·
'σιγῆι νῦν, μή τίς με προσαυδάτω ἐπέεσσιν
ὑμετέρων ἑτάρων, ξυμβλήμενος ἢ ἐν ἀγυιῆι,
ἤ που ἐπὶ κρήνηι· μή τις ποτὶ δῶμα γέροντι
ἐλθὼν ἐξείπηι, ὁ δ' ὀϊσάμενος καταδήσηι
δεσμῶι ἐν ἀργαλέωι, ὑμῖν δ' ἐπιφράσσετ' ὄλεθρον.
ἀλλ' ἔχετ' ἐν φρεσὶ μῦθον, ἐπείγετε δ' ὦνον ὁδαίων.
ἀλλ' ὅτε κεν δὴ νηῦς πλείη βιότοιο γένηται,
ἀγγελίη μοι ἔπειτα θοῶς ἐς δώμαθ' ἱκέσθω·
οἴσω γὰρ καὶ χρυσὸν, ὅ τίς χ' ὑποχείριος ἔλθηι·
καὶ δέ κεν ἄλλ' ἐπίβαθρον ἐγὼν ἐθέλουσά γε δοίην·
παῖδα γὰρ ἀνδρὸς ἑῆος ἐνὶ μεγάροις ἀτιτάλλω,
κερδαλέον δὴ τοῖον, ἅμα τροχόωντα θύραζε·
τόν κεν ἄγοιμ' ἐπὶ νηὸς, ὁ δ' ὑμῖν μυρίον ὦνον
ἄλφοι, ὅπηι περάσητε κατ' ἀλλοθρόους ἀνθρώπους.'
ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πρὸς δώματα καλὰ,
οἱ δ' ἐνιαυτὸν ἅπαντα παρ' ἡμῖν αὖθι μένοντες
ἐν νηῒ γλαφυρῆι βίοτον πολὺν ἐμπολόωντο.
ἀλλ' ὅτε δὴ κοίλη νηῦς ἤχθετο τοῖσι νέεσθαι,
καὶ τότ' ἄρ' ἄγγελον ἧκαν, ὃς ἀγγείλειε γυναικί.
ἤλυθ' ἀνὴρ πολυΐδρις ἐμοῦ πρὸς δώματα πατρὸς
χρύσεον ὅρμον ἔχων, μετὰ δ' ἠλέκτροισιν ἔερτο.
τὸν μὲν ἄρ' ἐν μεγάρωι δμωιαὶ καὶ πότνια μήτηρ
χερσίν τ' ἀμφαφόωντο καὶ ὀφθαλμοῖσιν ὁρῶντο,
ὦνον ὑπισχόμεναι· ὁ δὲ τῆι κατένευσε σιωπῆι.
ἤτοι ὁ καννεύσας κοίλην ἐπὶ νῆα βεβήκει,
ἡ δ' ἐμὲ χειρὸς ἑλοῦσα δόμων ἐξῆγε θύραζε.
ηὗρε δ' ἐνὶ προδόμωι ἠμὲν δέπα' ἠδὲ τραπέζας
ἀνδρῶν δαιτυμόνων, οἵ μευ πατέρ' ἀμφεπένοντο·
οἱ μὲν ἄρ' ἐς θῶκον πρόμολον, δήμοιό τε φῆμιν,
ἡ δ' αἶψα τρί' ἄλεισα κατακρύψασ' ὑπὸ κόλπωι
ἔκφερεν· αὐτὰρ ἐγὼν ἑπόμην ἀεσιφροσύνῃσιν.
δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί·
ἡμεῖς δ' ἐς λιμένα κλυτὸν ἤλθομεν ὦκα κιόντες,
ἔνθ' ἄρα Φοινίκων ἀνδρῶν ἦν ὠκύαλος νηῦς.
οἱ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα,
νὼ ἀναβησάμενοι· ἐπὶ δὲ Ζεὺς οὖρον ἴαλλεν.
ἑξῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·
ἀλλ' ὅτε δὴ ἕβδομον ἦμαρ ἐπὶ Ζεὺς θῆκε Κρονίων,
τὴν μὲν ἔπειτα γυναῖκα βάλ' Ἄρτεμις ἰοχέαιρα,
ἄντλωι δ' ἐνδούπησε πεσοῦσ' ὡς εἰναλίη κήξ·
καὶ τὴν μὲν φώκηισι καὶ ἰχθύσι κύρμα γενέσθαι
ἔκβαλον, αὐτὰρ ἐγὼ λιπόμην ἀκαχήμενος ἦτορ·
τοὺς δ' Ἰθάκηι ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ,
ἔνθα με Λαέρτης πρίατο κτεάτεσσιν ἑοῖσιν.
οὕτω τήνδε γε γαῖαν ἐγὼν ἴδον ὀφθαλμοῖσιν." **Eumaeus**
"ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος. οὔ σ' ἔτ' ἐγώ γε **16.23**
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηῒ Πύλονδε.
ἀλλ' ἄγε νῦν εἴσελθε, φίλον τέκος, ὄφρα σε θυμῶι
τέρψομαι εἰσορόων νέον ἄλλοθεν ἔνδον ἐόντα.
οὐ μὲν γάρ τι θάμ' ἀγρὸν ἐπέρχεαι οὐδὲ νομῆας,
ἀλλ' ἐπιδημεύεις· ὣς γάρ νύ τοι εὔαδε θυμῶι,

Eumaeus ἀνδρῶν μνηστήρων ἐσορᾶν ἀΐδηλον ὅμιλον."
16.37 "καὶ λίην κείνη γε μένει τετληότι θυμῶι
σοῖσιν ἐνὶ μεγάροισιν· οἰζυραὶ δέ οἱ αἰεὶ
Eumaeus φθίνουσιν νύκτες τε καὶ ἤματα δακρυ_χεούσηι."
16.61 "τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω.
ἐκ μὲν Κρητάων γένος εὔχεται εὐρειάων,
φησὶ δὲ πολλὰ βροτῶν ἐπὶ ἄστεα δινηθῆναι
πλαζόμενος· ὣς γάρ οἱ ἐπέκλωσεν τά_γε δαίμων.
νῦν αὖ Θεσπρωτῶν ἀνδρῶν παρὰ νηὸς ἀποδρὰς
ἤλυθ' ἐμὸν πρὸς σταθμόν, ἐγὼ δὲ σοὶ ἐγγυαλίξω·
Eumaeus ἔρξον ὅπως ἐθέληις· ἱκέτης δέ τοι εὔχεται εἶναι."
16.136 "γιγνώσκω, φρονέω· τά_γε δὴ νοέοντι κελεύεις.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ἢ καὶ Λαέρτηι αὐτὴν ὁδὸν ἄγγελος ἔλθω
δυσμόρωι, ὃς τείως μὲν Ὀδυσσῆος μέγ' ἀχεύων
ἔργά τ' ἐποπτεύεσκε μετὰ δμώων τ' ἐνὶ οἴκωι
πῖνε καὶ ἦσθ', ὅτε θυμὸς ἐνὶ στήθεσσιν ἀνώγοι·
αὐτὰρ νῦν, ἐξ οὗ σύ_γε ὤιχεο νηῒ Πύλονδε,
οὔ_πώ μίν φασιν φαγέμεν καὶ πιέμεν αὔτως,
οὐδ' ἐπὶ ἔργα ἰδεῖν, ἀλλὰ στοναχῆι τε γόωι τε
Eumaeus ἧσται ὀδυρόμενος, φθινύθει δ' ἀμφ' ὀστεόφι χρώς."
16.465 "οὐκ ἔμελέν μοι ταῦτα μεταλλῆσαι καὶ ἐρέσθαι
ἄστυ κάτα_βλώσκοντα· τάχιστά με θυμὸς ἀνώγει
ἀγγελίην εἰπόντα πάλιν δεῦρ' ἀπονέεσθαι.
ὡμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ὠκύς,
κῆρυξ, ὃς δὴ πρῶτος ἔπος σῆι μητρὶ ἔειπεν.
ἄλλο δέ τοι τόδε οἶδα· τὸ γὰρ ἴδον ὀφθαλμοῖσιν.
ἤδη ὑπὲρ πόλιος, ὅθι Ἕρμαιος λόφος ἐστὶν,
ἦα κιών, ὅτε νῆα θοὴν ἰδόμην κατιοῦσαν
ἐς λιμέν' ἡμέτερον· πολλοὶ δ' ἔσαν ἄνδρες ἐν αὐτῆι,
βεβρίθει δὲ σάκεσσι καὶ ἔγχεσιν ἀμφιγύοισιν·
Eumaeus καί σφεας ὠΐσθην τοὺς ἔμμεναι, οὐδέ τι οἶδα."
17.185 "ξεῖν', ἐπεὶ ἂρ δήπειτα πόλινδ' ἴμεναι μενεαίνεις
σήμερον, ὡς ἐπέτελλεν ἄναξ ἐμός — ἦ σ' ἂν ἐγώ_γε
αὐτοῦ βουλοίμην σταθμῶν ῥυτῆρα λιπέσθαι·
ἀλλὰ τὸν αἰδέομαι καὶ δείδια, μή μοι ὀπίσσω
νεικείηι· χαλεπαὶ δέ τ' ἀνάκτων εἰσιν ὁμοκλαί —
ἀλλ' ἄγε νῦν ἴομεν· δὴ γὰρ μέμβλωκε μάλιστα
Eumaeus ἦμαρ, ἀτὰρ τάχα τοι ποτὶ ἕσπερα ῥίγιον ἔσται."
17.273 "ῥεῖ' ἔγνως, ἐπεὶ οὐδὲ τά τ' ἄλλά πέρ ἐσσ' ἀνοήμων.
ἀλλ' ἄγε δὴ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα.
ἠὲ σὺ πρῶτος ἔσελθε δόμους εὖ_ναιετάοντας,
δύσεο δὲ μνηστῆρας, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ·
εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐγὼ δ' εἶμι προπάροιθεν·
μηδὲ σὺ δηθύνειν, μή τίς σ' ἔκτοσθε νοήσας
Eumaeus ἢ βάληι ἢ ἐλάσηι· τὰ δέ σε φράζεσθαι ἄνωγα."
17.312 "καὶ λίην ἀνδρός γε κύων ὅδε τῆλε θανόντος.
εἰ τοιόσδ' εἴη ἠμὲν δέμας ἠδὲ καὶ ἔργα,
οἷόν μιν Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεὺς,
αἶψά κε θηήσαιο ἰδὼν ταχυτῆτα καὶ ἀλκήν·
οὐ μὲν γάρ τι φύγεσκε βαθείης βένθεσιν ὕλης
κνώδαλον, ὅττι δίοιτο· καὶ ἴχνεσι γὰρ περιῄδει.
νῦν δ' ἔχεται κακότητι, ἄναξ δέ οἱ ἄλλοθι πάτρης
ὤλετο, τὸν δὲ γυναῖκες ἀκηδέες οὐ κομέουσιν.
δμῶες δ', εὖτ' ἂν μηκέτ' ἐπικρατέωσιν ἄνακτες,
οὐκέτ' ἔπειτ' ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι·
ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
ἀνέρος, εὖτ' ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλησιν." Eumaeus
"Τηλέμαχός τοι, ξεῖνε, διδοῖ τάδε, καί σε κελεύει 17.350
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
αἰδῶ δ' οὐκ ἀγαθήν φησ' ἔμμεναι ἀνδρὶ προΐκτηι." Eumaeus
"Ἀντίνο', οὐ μὲν καλὰ καὶ ἐσθλὸς ἐὼν ἀγορεύεις· 17.381
τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν αὐτὸς ἐπελθὼν
ἄλλόν γ', εἰ μὴ τῶν οἳ δημιοεργοὶ ἔασιν,
μάντιν ἢ ἰητῆρα κακῶν ἢ τέκτονα δούρων,
ἢ καὶ θέσπιν ἀοιδόν, ὅ κεν τέρπησιν ἀείδων;
οὗτοι γὰρ κλητοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν·
πτωχὸν δ' οὐκ ἄν τις καλέοι τρύξοντα ἓ αὐτόν.
ἀλλ' αἰεὶ χαλεπὸς περὶ πάντων εἶς μνηστήρων
δμωσὶν Ὀδυσσῆος, περὶ δ' αὖτ' ἐμοί· αὐτὰρ ἐγώ_γε
οὐκ ἀλέγω, εἵως μοι ἐχέφρων Πηνελόπεια
ζώει ἐνὶ μεγάροις καὶ Τηλέμαχος θεοειδής." Eumaeus
"εἰ γάρ τοι, βασίλεια, σιωπήσειαν Ἀχαιοί· 17.513
οἷ' ὅ_γε μυθεῖται, θέλγοιτό κέ τοι φίλον ἦτορ.
τρεῖς γὰρ δή μιν νύκτας ἔχον, τρία δ' ἤματ' ἔρυξα
ἐν κλισίηι· πρῶτον γὰρ ἔμ' ἵκετο νηὸς ἀποδράς·
ἀλλ' οὔ_πω κακότητα διήνυσεν ἣν ἀγορεύων.
ὡς δ' ὅτ' ἀοιδὸν ἀνὴρ ποτιδέρκεται, ὅς_τε θεῶν ἒξ
ἀείδηι δεδαὼς ἔπε' ἱμερόεντα βροτοῖσιν,
τοῦ δ' ἄμοτον μεμάασιν ἀκουέμεν, ὁππότ' ἀείδηι·
ὣς ἐμὲ κεῖνος ἔθελγε παρήμενος ἐν μεγάροισιν.
φησὶ δ' Ὀδυσσῆος ξεῖνος πατρώϊος εἶναι,
Κρήτηι ναιετάων, ὅθι Μίνωος γένος ἐστίν.
ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκετο πήματα πάσχων,
προπροκυλινδόμενος· στεῦται δ' Ὀδυσῆος ἀκοῦσαι,
ἀγχοῦ, Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμωι,
ζωοῦ· πολλὰ δ' ἄγει κειμήλια ὅνδε δόμονδε." Eumaeus
"ξεῖνε πάτερ, καλέει σε περίφρων Πηνελόπεια, 17.553
μήτηρ Τηλεμάχοιο· μεταλλῆσαί τί ἑ θυμὸς
ἀμφὶ πόσει κέλεται, καὶ κήδεά περ πεπαθυίηι.
εἰ δέ κέ σε γνώηι νημερτέα πάντ' ἐνέποντα,
ἕσσει σε χλαῖνάν τε χιτῶνά τε, τῶν σὺ μάλιστα
χρηΐζεις· σῖτον δὲ καὶ αἰτίζων κατὰ δῆμον
γαστέρα βοσκήσεις· δώσει δέ τοι ὅς κ' ἐθέλησιν." Eumaeus
"μυθεῖται κατὰ μοῖραν, ἅ_περ κ' οἴοιτο καὶ ἄλλος, 17.580
ὕβριν ἀλυσκάζων ἀνδρῶν ὑπερηνορεόντων.
ἀλλά σε μεῖναι ἄνωγεν ἐς ἠέλιον καταδύντα.
καὶ δὲ σοί ὧδ' αὐτῆι πολὺ κάλλιον, ὦ βασίλεια,
οἵην πρὸς ξεῖνον φάσθαι ἔπος ἠδ' ἐπακοῦσαι." Eumaeus
"ὦ φίλ', ἐγὼ μὲν ἄπειμι, σύας καὶ κεῖνα φυλάξων, 17.593

σὸν καὶ ἐμὸν βίοτον· σοὶ δ' ἐνθάδε πάντα μελόντων.
αὐτὸν μέν σε πρῶτα σάω, καὶ φράζεο θυμῶι
μή τι πάθηις· πολλοὶ δὲ κακὰ φρονέουσιν Ἀχαιῶν,
Eumaeus τοὺς Ζεὺς ἐξολέσειε πρὶν ἡμῖν πῆμα γενέσθαι."
20.166 "ξεῖν', ἦ ἄρ τί σε μᾶλλον Ἀχαιοὶ εἰσορόωσιν,
Eumaeus ἦέ σ' ἀτιμάζουσι κατὰ μέγαρ', ὡς τὸ πάρος περ;"
22.195 "νῦν μὲν δὴ μάλα πάγχυ, Μελάνθιε, νύκτα φυλάξεις
εὐνῆι ἔνι μαλακῆι καταλέγμενος, ὥς σε ἔοικεν·
οὐδέ σέ γ' Ἠριγένεια παρ' Ὠκεανοῖο ῥοάων
λήσει ἐπερχομένη χρυσόθρονος, ἡνίκ' ἀγινεῖς
Eumaeus αἶγας μνηστήρεσσι δόμον κάτα δαῖτα πένεσθαι."
10.325 "τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
θαῦμά μ' ἔχει ὡς οὔ τι πιὼν τάδε φάρμακ' ἐθέλχθης.
οὐδὲ γὰρ οὐδέ τις ἄλλος ἀνὴρ τάδε φάρμακ' ἀνέτλη,
ὅς κε πίηι καὶ πρῶτον ἀμείψεται ἕρκος ὀδόντων.
σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστίν.
ἦ σύ γ' Ὀδυσσεύς ἐσσι πολύτροπος, ὅν τέ μοι αἰεὶ
φάσκεν ἐλεύσεσθαι χρυσόρραπις Ἀργειφόντης,
ἐκ Τροίης ἀνιόντα θοῆι σὺν νηῒ μελαίνηι.
ἀλλ' ἄγε δὴ κολεῶι μὲν ἄορ θέο, νῶϊ δ' ἔπειτα
εὐνῆς ἡμετέρης ἐπιβήομεν, ὄφρα μιγέντε
Kirke εὐνῆι καὶ φιλότητι πεποίθομεν ἀλλήλοισιν."
10.378 "τίφθ' οὕτως, Ὀδυσεῦ, κατ' ἄρ' ἕζεαι ἶσος ἀναύδωι,
θυμὸν ἔδων, βρώμης δ' οὐχ ἅπτεαι οὐδὲ ποτῆτος;
ἦ τινά που δόλον ἄλλον ὀΐεαι· οὐδὲ τί σε χρὴ
Kirke δειδίμεν· ἤδη γάρ τοι ἀπώμοσα καρτερὸν ὅρκον."
10.401 "διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἔρχεο νῦν ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσατε ἤπειρόνδε,
κτήματα δ' ἐν σπήεσσι πελάσσατε ὅπλα τε πάντα·
Kirke αὐτὸς δ' ἂψ ἰέναι καὶ ἄγειν ἐρίηρας ἑταίρους."
10.456 "διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
μηκέτι νῦν θαλερὸν γόον ὄρνυτε· οἶδα καὶ αὐτή
ἠμὲν ὅσ' ἐν πόντωι πάθετ' ἄλγεα ἰχθυόεντι,
ἠδ' ὅσ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου.
ἀλλ' ἄγετ' ἐσθίετε βρώμην καὶ πίνετε οἶνον,
εἰς ὅ κεν αὖτις θυμὸν ἐνὶ στήθεσσι λάβητε,
οἷον ὅτε πρώτιστον ἐλείπετε πατρίδα γαῖαν
τρηχείης Ἰθάκης. νῦν δ' ἀσκελέες καὶ ἄθυμοι,
αἰεὶ ἄλης χαλεπῆς μεμνημένοι· οὐδέ ποθ' ὕμιν
Kirke θυμὸς ἐν εὐφροσύνηις, ἐπεὶ ἦ μάλα πολλὰ πέπασθε."
10.488 "διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
μηκέτι νῦν ἀέκοντες ἐμῶι ἐνὶ μίμνετε οἴκωι·
ἀλλ' ἄλλην χρὴ πρῶτον ὁδὸν τελέσαι καὶ ἱκέσθαι
εἰς Ἀΐδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης,
ψυχῆι χρησομένους Θηβαίου Τειρεσίαο,
μάντιος ἀλαοῦ, τοῦ τε φρένες ἔμπεδοί εἰσιν·
τῶι καὶ τεθνηῶτι νόον πόρε Περσεφόνεια
οἴωι πεπνῦσθαι· τοὶ δὲ σκιαὶ ἀΐσσουσιν."
10.504 "διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
μή τί τοι ἡγεμόνος γε ποθὴ παρὰ νηῒ μελέσθω,
ἱστὸν δὲ στήσας ἀνά θ' ἱστία λευκὰ πετάσσας
ἧσθαι· τὴν δέ κέ τοι πνοιὴ Βορέαο φέρησιν.
ἀλλ' ὁπότ' ἂν δὴ νηῒ δι' Ὠκεανοῖο περήσηις,
ἔνθ' ἀκτή τε λάχεια καὶ ἄλσεα Περσεφονείης
μακραί τ' αἴγειροι καὶ ἰτέαι ὠλεσίκαρποι,
νῆα μὲν αὐτοῦ κέλσαι ἐπ' Ὠκεανῶι βαθυδίνηι,
αὐτὸς δ' εἰς Ἀΐδεω ἰέναι δόμον εὐρώεντα.
ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσιν
Κώκυτός θ', ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ,
πέτρη τε ξύνεσίς τε δύω ποταμῶν ἐριδούπων.
ἔνθα δ' ἔπειθ', ἥρως, χριμφθεὶς πέλας, ὥς σε κελεύω,
βόθρον ὀρύξαι ὅσον τε πυγούσιον ἔνθα καὶ ἔνθα,
ἀμφ' αὐτῶι δὲ χοὴν χεῖσθαι πᾶσιν νεκύεσσιν,
πρῶτα μελικρήτωι, μετέπειτα δὲ ἡδέϊ οἴνωι,
τὸ τρίτον αὖθ' ὕδατι· ἐπὶ δ' ἄλφιτα λευκὰ παλύνειν.
πολλὰ δὲ γουνοῦσθαι νεκύων ἀμενηνὰ κάρηνα,
ἐλθὼν εἰς Ἰθάκην στεῖραν βοῦν, ἥ τις ἀρίστη,
ῥέξειν ἐν μεγάροισι πυρήν τ' ἐμπλησέμεν ἐσθλῶν,
Τειρεσίηι δ' ἀπάνευθεν ὄϊν ἱερευσέμεν οἴωι
παμμέλαν', ὃς μήλοισι μεταπρέπει ὑμετέροισιν.
αὐτὰρ ἐπὴν εὐχῆισι λίσηι κλυτὰ ἔθνεα νεκρῶν,
ἔνθ' ὄϊν ἀρνειὸν ῥέζειν θῆλύν τε μέλαιναν
εἰς Ἔρεβος στρέψας, αὐτὸς δ' ἀπονόσφι τραπέσθαι
ἱέμενος ποταμοῖο ῥοάων· ἔνθα δὲ πολλαὶ
ψυχαὶ ἐλεύσονται νεκύων κατατεθνηώτων.
δὴ τότ' ἔπειθ' ἑτάροισιν ἐποτρῦναι καὶ ἀνῶξαι
μῆλα, τὰ δὴ κατάκειτ' ἐσφαγμένα νηλέϊ χαλκῶι,
δείραντας κατακῆαι, ἐπεύξασθαι δὲ θεοῖσιν,
ἰφθίμωι τ' Ἀΐδηι καὶ ἐπαινῆι Περσεφονείηι·
αὐτὸς δὲ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
ἧσθαι, μηδὲ ἐᾶν νεκύων ἀμενηνὰ κάρηνα
αἵματος ἆσσον ἴμεν, πρὶν Τειρεσίαο πυθέσθαι.
ἔνθα τοι αὐτίκα μάντις ἐλεύσεται, ὄρχαμε λαῶν,
ὅς κέν τοι εἴπησιν ὁδὸν καὶ μέτρα κελεύθου
νόστόν θ', ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα." Kirke
"σχέτλιοι, οἳ ζώοντες ὑπήλθετε δῶμ' Ἀΐδαο, 12.21
δισθανέες, ὅτε τ' ἄλλοι ἅπαξ θνήισκουσ' ἄνθρωποι.
ἀλλ' ἄγετ' ἐσθίετε βρώμην καὶ πίνετε οἶνον
αὖθι πανημέριοι· ἅμα δ' ἠοῖ φαινομένηφιν
πλεύσεσθ'· αὐτὰρ ἐγὼ δείξω ὁδὸν ἠδὲ ἕκαστα
σημανέω, ἵνα μή τι κακορραφίηι ἀλεγεινῆι
ἢ ἁλὸς ἢ ἐπὶ γῆς ἀλγήσετε πῆμα παθόντες." Kirke
"ταῦτα μὲν οὕτω πάντα πεπείρανται, σὺ δ' ἄκουσον, 12.37
ὥς τοι ἐγὼν ἐρέω, μνήσει δέ σε καὶ θεὸς αὐτός.
Σειρῆνας μὲν πρῶτον ἀφίξεαι, αἵ ῥά τε πάντας
ἀνθρώπους θέλγουσιν, ὅτις σφεας εἰσαφίκηται.
ὅς τις ἀϊδρίηι πελάσηι καὶ φθόγγον ἀκούσηι
Σειρήνων, τῶι δ' οὔ τι γυνὴ καὶ νήπια τέκνα
οἴκαδε νοστήσαντι παρίσταται οὐδὲ γάνυνται,

ἀλλά τε Σειρῆνες λιγυρῆι θέλγουσιν ἀοιδῆι,
ἥμεναι ἐν λειμῶνι· πολὺς δ’ ἀμφ’ ὀστεόφιν θὶς
ἀνδρῶν πυθομένων, περὶ δὲ ῥινοὶ μινύθουσιν.
ἀλλὰ πάρεξ ἐλάαν, ἐπὶ δ’ οὔατ’ ἀλεῖψαι ἑταίρων
κηρὸν δεψήσας μελιηδέα, μή τις ἀκούσηι
τῶν ἄλλων· ἀτάρ αὐτὸς ἀκουέμεν αἴ κ’ ἐθέλησθα,
δησάντων σ’ ἐν νηῒ θοῆι χεῖράς τε πόδας τε
ὀρθὸν ἐν ἱστοπέδηι, ἐκ δ’ αὐτοῦ πείρατ’ ἀνήφθω,
ὄφρα κε τερπόμενος ὄπ’ ἀκούσηις Σειρήνοιϊν.
εἰ δέ κε λίσσηαι ἑτάρους λῦσαί τε κελεύηις,
οἱ δέ σ’ ἔτι πλεόνεσσι τότ’ ἐν δεσμοῖσι διδέντων.
αὐτὰρ ἐπὴν δὴ τάς_γε πάρεξ ἐλάσωσιν ἑταῖροι,
ἔνθα τοι οὐκέτ’ ἔπειτα διηνεκέως ἀγορεύσω,
ὁπποτέρηι δή τοι ὁδὸς ἔσσεται, ἀλλὰ καὶ αὐτὸς
θυμῶι βουλεύειν· ἐρέω δέ τοι ἀμφοτέρωθεν.
ἔνθεν μὲν γὰρ πέτραι ἐπηρεφέες, ποτὶ δ’ αὐτὰς
κῦμα μέγα ῥοχθεῖ κυανώπιδος Ἀμφιτρίτης·
Πλαγκτὰς δ’ ἤτοι τάς γε θεοὶ μάκαρες καλέουσιν.
τῆι μέν τ’ οὐδὲ ποτητὰ παρέρχεται οὐδὲ πέλειαι
τρήρωνες, ταί τ’ ἀμβροσίην Διὶ πατρὶ φέρουσιν,
ἀλλά τε καὶ τῶν αἰεὶ ἀφαιρεῖται λὶς πέτρη·
ἀλλ’ ἄλλην ἐνίησι πατὴρ ἐναρίθμιον εἶναι.
τῆι δ’ οὔ_πώ τις νηῦς φύγεν ἀνδρῶν, ἥ_τις ἵκηται,
ἀλλά θ’ ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
κύμαθ’ ἁλὸς φορέουσι πυρός τ’ ὀλοοῖο θύελλαι.
οἴη δὴ κείνηι γε παρέπλω ποντοπόρος νηῦς
Ἀργὼ πᾶσι μέλουσα, παρ’ Αἰήταο πλέουσα.
καὶ νύ κε τήν ἔνθ’ ὦκα βάλεν μεγάλας ποτὶ πέτρας,
ἀλλ’ Ἥρη παρέπεμψεν, ἐπεὶ φίλος ἦεν Ἰήσων.
οἱ δὲ δύω σκόπελοι ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει
ὀξείηι κορυφῆι, νεφέλη δέ μιν ἀμφιβέβηκεν
κυανέη· τὸ μὲν οὔ_ποτ’ ἐρωεῖ, οὐδέ ποτ’ αἴθρη
κείνου ἔχει κορυφὴν οὔτ’ ἐν θέρει οὔτ’ ἐν ὀπώρηι.
οὐδέ κεν ἀμβαίη βροτὸς ἀνὴρ, οὐ καταβαίη,
οὐδ’ εἴ οἱ χεῖρές γε ἐείκοσι καὶ πόδες εἶεν·
πέτρη γὰρ λίς ἐστι, περιξεστῆι εἰκυῖα.
μέσσωι δ’ ἐν σκοπέλωι ἐστὶ σπέος ἠεροειδὲς,
πρὸς ζόφον εἰς Ἔρεβος τετραμμένον, ἧι_περ ἂν ὑμεῖς
νῆα παρὰ γλαφυρὴν ἰθύνετε, φαίδιμ’ Ὀδυσσεῦ.
οὐδέ κεν ἐκ νηὸς γλαφυρῆς αἰζήϊος ἀνὴρ
τόξωι ὀϊστεύσας κοῖλον σπέος εἰσαφίκοιτο.
ἔνθα δ’ ἐνὶ Σκύλλη ναίει δεινὸν λελακυῖα·
τῆς ἤτοι φωνὴ μὲν ὅση σκύλακος νεογιλλῆς
γίγνεται, αὐτὴ δ’ αὖτε πέλωρ κακόν· οὐδέ κέ τίς μιν
γηθήσειεν ἰδὼν, οὐδ’ εἰ θεὸς ἀντιάσειεν.
τῆς ἤτοι πόδες εἰσὶ δυώδεκα πάντες ἄωροι,
ἓξ δέ τέ οἱ δειραὶ περιμήκεες, ἐν δὲ ἑκάστηι
σμερδαλέη κεφαλὴ, ἐν δὲ τρίστοιχοι ὀδόντες,
πυκνοὶ καὶ θαμέες, πλεῖοι μέλανος θανάτοιο.
μέσση μέν τε κατὰ σπείους κοίλοιο δέδυκεν,
ἔξω δ’ ἐξίσχει κεφαλὰς δεινοῖο βερέθρου,
αὐτοῦ δ’ ἰχθυάαι, σκόπελον περιμαιμώωσα,
δελφῖνάς τε κύνας τε καὶ εἴ ποθι μεῖζον ἕλησιν
κῆτος, ἃ μυρία βόσκει ἀγάστονος Ἀμφιτρίτη.
τῆι δ’ οὔ πώ_ποτε ναῦται ἀκήριοι εὐχετόωνται
παρφυγέειν σὺν νηΐ· φέρει δέ τε κρατὶ ἑκάστωι
φῶτ’ ἐξαρπάξασα νεὸς κυανοπρώιροιο.
τὸν δ’ ἕτερον σκόπελον χθαμαλώτερον ὄψει, Ὀδυσσεῦ,
πλησίον ἀλλήλων· καί κεν διοϊστεύσειας.
τῶι δ’ ἐν ἐρινεός ἐστι μέγας, φύλλοισι τεθηλώς·
τῶι δ’ ὕπο δῖα Χάρυβδις ἀναρρυβδεῖ μέλαν ὕδωρ.
τρὶς μὲν γάρ τ’ ἀνίησιν ἐπ’ ἤματι, τρὶς δ’ ἀναρυβδεῖ,
δεινόν· μὴ σύ_γε κεῖθι τύχοις, ὅτε ῥοιβδήσειεν·
οὐ γάρ κεν ῥύσαιτό σ’ ὕπεκ κακοῦ οὐδ’ Ἐνοσίχθων.
ἀλλὰ μάλα Σκύλλης σκοπέλωι πεπλημένος ὦκα
νῆα πάρεξ ἐλάαν, ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν
ἓξ ἑτάρους ἐν νηῒ ποθήμεναι ἢ ἅμα πάντας.” **Kirke**
“σχέτλιε, καὶ δὴ αὖ τοι πολεμήϊα ἔργα μέμηλεν **12.116**
καὶ πόνος· οὐδὲ θεοῖσιν ὑπείξεαι ἀθανάτοισιν;
ἡ δέ τοι οὐ θνητὴ, ἀλλ’ ἀθάνατον κακόν ἐστιν,
δεινόν τ’ ἀργαλέον τε καὶ ἄγριον οὐδὲ μαχητόν·
οὐδέ τις ἔστ’ ἀλκή· φυγέειν κάρτιστον ἀπ’ αὐτῆς.
ἢν γὰρ δηθύνησθα κορυσσόμενος παρὰ πέτρηι,
δείδω μή σ’ ἐξαῦτις ἐφορμηθεῖσα κίχησιν
τόσσησιν κεφαλῆισι, τόσους δ’ ἐκ φῶτας ἕληται.
ἀλλὰ μάλα σφοδρῶς ἐλάαν, βωστρεῖν δὲ Κράταιϊν,
μητέρα τῆς Σκύλλης, ἥ μιν τέκε πῆμα βροτοῖσιν·
ἥ μιν ἔπειτ’ ἀποπαύσει ἐς ὕστερον ὁρμηθῆναι.
Θρινακίην δ’ ἐς νῆσον ἀφίξεαι· ἔνθα δὲ πολλαὶ
βόσκοντ’ Ἠελίοιο βόες καὶ ἴφια μῆλα,
ἑπτὰ βοῶν ἀγέλαι, τόσα δ’ οἰῶν πώεα καλὰ,
πεντήκοντα δ’ ἕκαστα· γόνος δ’ οὐ γίνεται αὐτῶν,
οὐδέ_ποτε φθινύθουσι. θεαὶ δ’ ἐπὶ_ποιμένες εἰσὶν,
νύμφαι ἐϋπλόκαμοι, Φαέθουσά τε Λαμπετίη τε,
ἃς τέκεν Ἠελίωι Ὑπερίονι δῖα Νέαιρα.
τὰς μὲν ἄρα θρέψασα τεκοῦσά τε πότνια μήτηρ
Θρινακίην ἐς νῆσον ἀπῴκισε τηλόθι ναίειν,
μῆλα φυλασσέμεναι πατρώϊα καὶ ἕλικας βοῦς.
τὰς εἰ μέν κ’ ἀσινέας ἐάαις νόστου τε μέδηαι,
ἦ τ’ ἂν ἔτ’ εἰς Ἰθάκην κακά περ πάσχοντες ἵκοισθε·
εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ’ ὄλεθρον.” **Kirke**

Notes

Notes

INCLUDED

τοξεύειν. “ὃς μὲν κε βάλῃι τρήρωνα πέλειαν, 23.855
πάντας ἀειράμενος πελέκεας οἶκόνδε φερέσθω· Achilles
ὃς δέ κε μηρίνθοιο τύχῃι, ὄρνιθος ἁμαρτών — or Poly-
ἥσσων γὰρ δὴ κεῖνο — ὁ δ’ οἴσεται ἡμιπέλεκκα.” poites

As some way-faring Man, who wanders o’er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

ALTERNATING: ILIAD ASCENDS FROM START; OD. ASCENDS FROM END

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 995 lines 3.0

THE

SPOKEN LINES OF ACHILLES IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.59 “Ἀτρείδη, νῦν ἄμμε πάλιμπλαγχθέντας ὀΐω
ἂψ ἀπονοστήσειν, εἴ κεν θάνατόν γε φύγοιμεν,
εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾶι καὶ λοιμὸς Ἀχαιούς.
ἀλλ’ ἄγε δή τινα μάντιν ἐρείομεν, ἢ ἱερῆα,
ἢ καὶ ὀνειροπόλον — καὶ γάρ τ’ ὄναρ ἐκ Διός ἐστιν —
ὅς κ’ εἴποι ὅ τι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων,
εἴτ’ ἄρ ὅ_γ’ εὐχωλῆς ἐπιμέμφεται εἴθ’ ἑκατόμβης,
αἴ κέν πως ἀρνῶν κνίσης αἰγῶν τε τελείων
Achilles βούλητ’ ἀντιάσας ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι.”
1.85 “θαρσήσας μάλα εἰπὲ θεοπρόπιον ὅ τι οἶσθα.
οὐ μὰ γὰρ Ἀπόλλωνα διίφιλον, ὧι_τε σὺ, Κάλχαν,
εὐχόμενος Δαναοῖσι θεοπροπίας ἀναφαίνεις,
οὔ_τις ἐμεῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο
σοὶ κοίληις παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει
συμπάντων Δαναῶν, οὐδ’ ἢν Ἀγαμέμνονα εἴπηις,
Achilles ὃς νῦν πολλὸν ἄριστος Ἀχαιῶν εὔχεται εἶναι.”
1.122 “Ἀτρείδη κύδιστε, φιλοκτεανώτατε πάντων,
πῶς τάρ τοι δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί;
οὐδέ τί που ἴδμεν ξυνήϊα κείμενα πολλά·
ἀλλὰ τὰ μὲν πολίων ἐξεπράθομεν, τὰ δέδασται,
λαοὺς δ’ οὐκ ἐπέοικε παλίλλογα ταῦτ’ ἐπαγείρειν.
ἀλλὰ σὺ μὲν νῦν τήνδε θεῶι πρόες· αὐτὰρ Ἀχαιοὶ
τριπλῆι τετραπλῆι τ’ ἀποτείσομεν, αἴ κέ ποθι Ζεὺς
Achilles δῶσι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι.”
1.149 “ὤι_μοι, ἀναιδείην ἐπιειμένε, κερδαλεόφρον,
πῶς τίς τοι πρόφρων ἔπεσιν πείθηται Ἀχαιῶν,
ἢ ὁδὸν ἐλθέμεναι, ἢ ἀνδράσιν ἶφι μάχεσθαι;
οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ’ ἤλυθον αἰχμητάων
δεῦρο μαχησόμενος, ἐπεὶ οὔ_τί μοι αἴτιοί εἰσιν·
οὐ γάρ πώ_ποτ’ ἐμὰς βοῦς ἤλασαν οὐδὲ μὲν ἵππους,
οὐδέ ποτ’ ἐν Φθίηι ἐριβώλακι βωτιανείρηι
καρπὸν ἐδηλήσαντ’, ἐπεὶ_ἦ μάλα πολλὰ μεταξὺ
οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα·
ἀλλὰ σοί, ὦ μέγ’ ἀναιδές, ἅμ’ ἑσπόμεθ’, ὄφρα σὺ χαίρηις,
τιμὴν ἀρνύμενοι Μενελάωι σοί τε, κυνῶπα,
πρὸς Τρώων· τῶν οὔ_τι μετατρέπε’ οὐδ’ ἀλεγίζεις·
καὶ δή μοι γέρας αὐτὸς ἀφαιρήσεσθαι ἀπειλεῖς,
ὧι ἔπι πόλλ’ ἐμόγησα, δόσαν δέ μοι υἷες Ἀχαιῶν.
οὐ μὲν σοί ποτε ἶσον ἔχω γέρας, ὁππότ’ Ἀχαιοὶ
Τρώων ἐκπέρσωσ’ εὖ_ναιόμενον πτολίεθρον,
ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο
χεῖρες ἐμαὶ διέπουσ’, ἀτὰρ ἤν ποτε δασμὸς ἵκηται,
σοὶ τὸ γέρας πολὺ μέζον, ἐγὼ δ’ ὀλίγον τε φίλον τε
ἔρχομ’ ἔχων ἐπὶ νῆας, ἐπεί κε κάμω πολεμίζων.
νῦν δ’ εἶμι Φθίηνδ’, ἐπεὶ_ἦ πολὺ φέρτερόν ἐστιν
οἴκαδ’ ἴμεν σὺν νηυσὶ κορωνίσιν, οὐδέ σ’ ὀΐω
Achilles ἐνθάδ’ ἄτιμος ἐὼν ἄφενος καὶ πλοῦτον ἀφύξειν.”
1.202 “τίπτ’ αὖτ’, αἰγιόχοιο Διὸς τέκος, εἰλήλουθας;
ἦ ἵνα ὕβριν ἴδηι Ἀγαμέμνονος Ἀτρείδαο;
ἀλλ’ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τελέεσθαι ὀΐω·
ἧις ὑπεροπλίηισι τάχ’ ἄν ποτε θυμὸν ὀλέσσηι.” Achilles
“χρὴ μὲν σφωΐτερόν γε, θεά, ἔπος εἰρύσσασθαι, 1.216
καὶ μάλα περ θυμῶι κεχολωμένον· ὣς γὰρ ἄμεινον.
ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ’ ἔκλυον αὐτοῦ.” Achilles
“οἰνοβαρές, κυνὸς ὄμματ’ ἔχων, κραδίην δ’ ἐλάφοιο, 1.225
οὔτέ ποτ’ ἐς πόλεμον ἅμα λαῶι θωρηχθῆναι
οὔτε λόχονδ’ ἰέναι σὺν ἀριστήεσσιν Ἀχαιῶν
τέτληκας θυμῶι· τὸ δέ τοι κὴρ εἴδεται εἶναι.
ἦ πολὺ λώϊόν ἐστι κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
δῶρ’ ἀποαιρεῖσθαι, ὅς_τις σέθεν ἀντίον εἴπηι.
δημοβόρος βασιλεὺς, ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις·
ἦ γὰρ ἄν, Ἀτρείδη, νῦν ὕστατα λωβήσαιο.
ἀλλ’ ἔκ τοι ἐρέω, καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι·
ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔ ποτε φύλλα καὶ ὄζους
φύσει, ἐπεὶ_δὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπεν,
οὐδ’ ἀναθηλήσει· περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψεν
φύλλά τε καὶ φλοιόν· νῦν αὖτέ μιν υἷες Ἀχαιῶν
ἐν παλάμηις φορέουσι δικασπόλοι, οἵ_τε θέμιστας
πρὸς Διὸς εἰρύαται· ὁ δέ τοι μέγας ἔσσεται ὅρκος·
ἦ ποτ’ Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν
σύμπαντας· τότε δ’ οὔ_τι δυνήσεαι ἀχνύμενός περ
χραισμεῖν, εὖτ’ ἂν πολλοὶ ὑφ’ Ἕκτορος ἀνδροφόνοιο
θνήισκοντες πίπτωσι· σὺ δ’ ἔνδοθι θυμὸν ἀμύξεις
χωόμενος, ὅ_τ’ ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισας.” Achilles
“ἦ γάρ κεν δειλός τε καὶ οὐτιδανὸς καλεοίμην, 1.293
εἰ δὴ σοὶ πᾶν ἔργον ὑπείξομαι ὅττί κεν εἴπηις.
ἄλλοισιν δὴ ταῦτ’ ἐπιτέλλεο, μὴ γὰρ ἐμοί_γε
σήμαιν’· οὐ γὰρ ἐγώ_γ’ ἔτι σοὶ πείσεσθαι ὀΐω.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
χερσὶ μὲν οὔ_τοι ἐγώ_γε μαχήσομαι εἵνεκα κούρης,
οὔτε σοὶ οὔτε τωι ἄλλωι, ἐπεί μ’ ἀφέλεσθέ γε δόντες·
τῶν δ’ ἄλλων ἅ μοί ἐστι θοῆι παρὰ νηῒ μελαίνηι,
τῶν οὐκ ἄν τι φέροις ἀνελὼν ἀέκοντος ἐμεῖο.
εἰ δ’ ἄγε μὴν, πείρησαι, ἵνα γνώωσι καὶ οἵδε·
αἶψά τοι αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί.” Achilles
“χαίρετε, κήρυκες, Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν, 1.334
ἆσσον ἴτ’· οὔ_τί μοι ὔμμες ἐπαίτιοι, ἀλλ’ Ἀγαμέμνων,
ὃ σφῶϊ προΐει Βρισηΐδος εἵνεκα κούρης.
ἀλλ’ ἄγε, διογενὲς Πατρόκλεις, ἔξαγε κούρην
καί σφωϊν δὸς ἄγειν. τὼ δ’ αὐτὼ μάρτυροι ἔστων
πρός τε θεῶν μακάρων πρός τε θνητῶν ἀνθρώπων
καὶ πρὸς τοῦ βασιλῆος ἀπηνέος, εἴ_ποτε δ’ αὖτε
χρειὼ ἐμεῖο γένηται ἀεικέα λοιγὸν ἀμῦναι
τοῖς ἄλλοις. ἦ γὰρ ὅ_γ’ ὀλοιῆισι φρεσὶ θυίει,
οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω,
ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχεοίατ’ Ἀχαιοί.” Achilles
“μῆτερ, ἐπεί μ’ ἔτεκές γε μινυνθάδιόν περ ἐόντα, 1.352
τιμήν πέρ μοι ὄφελλεν Ὀλύμπιος ἐγγυαλίξαι,
Ζεὺς ὑψιβρεμέτης· νῦν δ’ οὐδέ με τυτθὸν ἔτισεν.
ἦ γάρ μ’ Ἀτρείδης εὐρὺ_κρείων Ἀγαμέμνων

ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀπούρας.”
Achilles 1.365
“οἶσθα· τίη τοι ταῦτα ἰδυίηι πάντ’ ἀγορεύω;
ᾠχόμεθ’ ἐς Θήβην, ἱερὴν πόλιν Ἠετίωνος,
τὴν δὲ διεπράθομέν τε καὶ ἤγομεν ἐνθάδε πάντα.
καὶ τὰ μὲν εὖ δάσσαντο μετὰ σφίσιν υἷες Ἀχαιῶν,
ἐκ δ’ ἕλον Ἀτρείδηι Χρυσηΐδα καλλιπάρηον.
Χρύσης δ’ αὖθ’, ἱερεὺς ἑκατηβόλου Ἀπόλλωνος,
ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν χαλκοχιτώνων
λυσόμενός τε θύγατρα φέρων τ’ ἀπερείσι’ ἄποινα,
στέμματ’ ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος
χρυσέωι ἀνὰ σκήπτρωι, καὶ λίσσετο πάντας Ἀχαιούς,
Ἀτρείδα δὲ μάλιστα δύω, κοσμήτορε λαῶν.
ἔνθ’ ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοὶ
αἰδεῖσθαί θ’ ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα·
ἀλλ’ οὐκ Ἀτρείδηι Ἀγαμέμνονι ἥνδανε θυμῶι,
ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ’ ἐπὶ μῦθον ἔτελλεν.
χωόμενος δ’ ὁ γέρων πάλιν ᾤχετο· τοῖο δ’ Ἀπόλλων
εὐξαμένου ἤκουσεν, ἐπεὶ μάλα οἱ φίλος ἦεν,
ἧκε δ’ ἐπ’ Ἀργείοισι κακὸν βέλος· οἱ δέ νυ λαοὶ
θνῆισκον ἐπασσύτεροι, τὰ δ’ ἐπῴχετο κῆλα θεοῖο
πάντηι ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν· ἄμμι δὲ μάντις
εὖ εἰδὼς ἀγόρευε θεοπροπίας Ἑκάτοιο.
αὐτίκ’ ἐγὼ πρῶτος κελόμην θεὸν ἱλάσκεσθαι·
Ἀτρείωνα δ’ ἔπειτα χόλος λάβεν, αἶψα δ’ ἀναστὰς
ἠπείλησεν μῦθον, ὃ δὴ τετελεσμένος ἐστίν.
τὴν μὲν γὰρ σὺν νηῒ θοῆι ἑλίκωπες Ἀχαιοὶ
ἐς Χρύσην πέμπουσιν, ἄγουσι δὲ δῶρα ἄνακτι·
τὴν δὲ νέον κλισίηθεν ἔβαν κήρυκες ἄγοντες
κούρην Βρισῆος, τήν μοι δόσαν υἷες Ἀχαιῶν.
ἀλλὰ σύ, εἰ δύνασαί γε, περίσχεο παιδὸς ἑῆος·
ἐλθοῦσ’ Οὔλυμπόνδε Δία λίσαι, εἴ ποτε δή τι
ἢ ἔπει ὤνησας κραδίην Διὸς ἠὲ καὶ ἔργωι.
πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα
εὐχομένης, ὅτ’ ἔφησθα κελαινεφέϊ Κρονίωνι
οἴη ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,
ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ’ ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη,
ἀλλὰ σὺ τόν γ’ ἐλθοῦσα, θεά, ὑπελύσαο δεσμῶν,
ὦχ’ ἑκατόγχειρον καλέσασ’ ἐς μακρὸν Ὄλυμπον,
ὃν Βριάρεων καλέουσι θεοί, ἄνδρες δέ τε πάντες
Αἰγαίων’ — ὁ γὰρ αὖτε βίην οὗ πατρὸς ἀμείνων·
ὅς ῥα παρὰ Κρονίωνι καθέζετο κύδεϊ γαίων·
τὸν καὶ ὑπέδδεισαν μάκαρες θεοὶ οὐδέ τ’ ἔδησαν.
τῶν νῦν μιν μνήσασα παρέζεο καὶ λαβὲ γούνων,
αἴ κέν πως ἐθέλησιν ἐπὶ Τρώεσσιν ἀρῆξαι,
τοὺς δὲ κατὰ πρύμνας τε καὶ ἀμφ’ ἅλα ἔλσαι Ἀχαιοὺς
κτεινομένους, ἵνα πάντες ἐπαύρωνται βασιλῆος,
γνῶι δὲ καὶ Ἀτρείδης εὐρὺ κρείων Ἀγαμέμνων
ἣν ἄτην, ὅ τ’ ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν.”
Achilles 9.197
“χαίρετον· ἦ φίλοι ἄνδρες ἱκάνετον· ἦ τι μάλα χρεώ,
οἵ μοι σκυζομένωι περ Ἀχαιῶν φίλτατοί ἐστον.”
Achilles 9.202
“μείζονα δὴ κρητῆρα, Μενοιτίου υἱέ, καθίστα·
ζωρότερον δὲ κέραιε, δέπας δ’ ἔντυνον ἑκάστωι·
οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῶι ὑπέασι μελάθρωι.”
Achilles 9.308
“διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ,
χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποειπεῖν,
ἧι περ δὴ φρονέω τε καὶ ὡς τετελεσμένον ἔσται,
ὡς μή μοι τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος.
ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλησιν
ὅς χ’ ἕτερον μὲν κεύθηι ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπηι.
αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα·
οὔτ’ ἐμέ γ’ Ἀτρείδην Ἀγαμέμνονα πεισέμεν οἴω
οὔτ’ ἄλλους Δαναούς, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
μάρνασθαι δηΐοισιν ἐπ’ ἀνδράσι νωλεμὲς αἰεί.
ἴση μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι·
ἐν δὲ ἰῆι τιμῆι ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός·
κάτθαν’ ὁμῶς ὅ τ’ ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς.
οὐδέ τί μοι περίκειται, ἐπεὶ πάθον ἄλγεα θυμῶι,
αἰὲν ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.
ὡς δ’ ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρησιν
μάστακ’, ἐπεί κε λάβησι, κακῶς δ’ ἄρα οἷ πέλει αὐτῆι,
ὣς καὶ ἐγὼ πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον,
ἤματα δ’ αἱματόεντα διέπρησσον πολεμίζων,
ἀνδράσι μαρνάμενος ὀάρων ἕνεκα σφετεράων.
δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξ’ ἀνθρώπων,
πεζὸς δ’ ἕνδεκά φημι κατὰ Τροίην ἐρίβωλον·
τάων ἐκ πασέων κειμήλια πολλὰ καὶ ἐσθλὰ
ἐξελόμην, καὶ πάντα φέρων Ἀγαμέμνονι δόσκον
Ἀτρείδηι· ὁ δ’ ὄπισθε μένων παρὰ νηυσὶ θοῆισιν
δεξάμενος διὰ παῦρα δασάσκετο, πολλὰ δ’ ἔχεσκεν.
ἄλλα δ’ ἀριστήεσσι δίδου γέρα καὶ βασιλεῦσιν·
τοῖσι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ’ ἀπὸ μούνου Ἀχαιῶν
εἵλετ’, ἔχει δ’ ἄλοχον θυμαρέα· τῆι παριαύων
τερπέσθω. τί δὲ δεῖ πολεμιζέμεναι Τρώεσσιν
Ἀργείους; τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ’ ἀγείρας
Ἀτρείδης; ἦ οὐχ Ἑλένης ἕνεκ’ ἠϋκόμοιο;
ἦ μοῦνοι φιλέουσ’ ἀλόχους μερόπων ἀνθρώπων
Ἀτρεΐδαι; ἐπεὶ ὅς τις ἀνὴρ ἀγαθὸς καὶ ἐχέφρων,
τὴν αὐτοῦ φιλέει καὶ κήδεται, ὡς καὶ ἐγὼ τὴν
ἐκ θυμοῦ φίλεον, δουρικτήτην περ ἐοῦσαν.
νῦν δ’ ἐπεὶ ἐκ χειρῶν γέρας εἵλετο καί μ’ ἀπάτησεν,
μή μευ πειράτω εὖ εἰδότος· οὐδέ με πείσει.
ἀλλ’, Ὀδυσεῦ, σὺν σοί τε καὶ ἄλλοισιν βασιλεῦσιν
φραζέσθω νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ.
ἦ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο,
καὶ δὴ τεῖχος ἔδειμε, καὶ ἤλασε τάφρον ἐπ’ αὐτῶι
εὐρεῖαν, μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξεν·
ἀλλ’ οὐδ’ ὧς δύναται σθένος Ἕκτορος ἀνδροφόνοιο
ἴσχειν. ὄφρα δ’ ἐγὼ μετ’ Ἀχαιοῖσιν πολέμιζον,
οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ,

ἀλλ' ὅσον ἐς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν·
ἔνθά ποτ' οἶον ἔμιμνε, μόγις δέ με_ἔκφυγεν ὁρμήν.
νῦν δ' ἐπεὶ οὐκ ἐθέλω πολεμιζέμεν Ἕκτορι δίωι,
αὔριον ἱρὰ Διὶ ῥέξας καὶ πᾶσι θεοῖσιν,
νηήσας εὖ νῆας, ἐπὴν ἅλαδε προερύσσω,
ὄψεαι, ἢν ἐθέληισθα καὶ αἴ κέν τοι τὰ μεμήληι,
ἦρι μάλ' Ἑλλήσποντον ἐπ' ἰχθυόεντα πλεούσας
νῆας ἐμάς, ἐν δ' ἄνδρας ἐρεσσέμεναι μεμαῶτας·
εἰ δέ κεν εὐπλοΐην δώηι κλυτὸς Ἐννοσίγαιος,
ἤματί κε τριτάτωι Φθίην ἐρίβωλον ἱκοίμην.
ἔστι δέ μοι μάλα πολλά, τὰ κάλλιπον ἐνθάδε ἔρρων·
ἄλλον δ' ἐνθένδε χρυσὸν καὶ χαλκὸν ἐρυθρὸν
ἠδὲ γυναῖκας ἐϋζώνους πολιόν τε σίδηρον
ἄξομαι, ἅσσ' ἔλαχόν γε· γέρας δέ μοι, ὅς_περ ἔδωκεν,
αὖτις ἐφυβρίζων ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρείδης. — τῶι πάντ' ἀγορευέμεν, ὡς ἐπιτέλλω,
ἀμφαδόν, ὄφρα καὶ ἄλλοι ἐπισκύζωνται Ἀχαιοί,
εἴ τινά που Δαναῶν ἔτι ἔλπεται ἐξαπατήσειν,
αἰὲν ἀναιδείην ἐπιειμένος· — οὐδ' ἂν ἐμοί_γε
τετλαίη, κύνεός περ ἐών, εἰς ὦπα ἰδέσθαι·
οὐδέ τί οἱ βουλὰς συμφράσσομαι, οὐδὲ μὲν ἔργον·
ἐκ γὰρ δή μ' ἀπάτησε καὶ ἤλιτεν· οὐδ' ἂν ἔτ' αὖτις
ἐξαπάφοιτ' ἐπέεσσιν· ἅλις δέ οἱ. ἀλλὰ ἕκηλος
ἐρρέτω· ἐκ γάρ εὖ φρένας εἵλετο μητίετα Ζεύς.
ἐχθρὰ δέ μοι τοῦ δῶρα, τίω δέ μιν ἐν καρὸς αἴσηι.
οὐδ' εἴ μοι δεκάκις τε καὶ εἰκοσάκις τόσα δοίη
ὅσσα τέ οἱ νῦν ἐστι, καὶ εἴ ποθεν ἄλλα γένοιτο,
οὐδ' ὅσ' ἐς Ὀρχομενὸν ποτινίσεται, οὐδ' ὅσα Θήβας
Αἰγυπτίας, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται,
αἵ_θ' ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ' ἀν' ἑκάστην
ἀνέρες ἐξοιχνέουσι σὺν ἵπποισιν καὶ ὄχεσφιν·
οὐδ' εἴ μοι τόσα δοίη ὅσα ψάμαθός τε κόνις τε,
οὐδέ κεν ὧς ἔτι θυμὸν ἐμὸν πείσει' Ἀγαμέμνων,
πρίν γ' ἀπὸ πᾶσαν ἐμοὶ δόμεναι θυμαλγέα λώβην.
κούρην δ' οὐ γαμέω Ἀγαμέμνονος Ἀτρείδαο,
οὐδ' εἰ χρυσείηι Ἀφροδίτηι κάλλος ἐρίζοι,
ἔργα δ' Ἀθηναίηι γλαυκώπιδι ἰσοφαρίζοι·
οὐδέ μιν ὧς γαμέω· ὁ δ' Ἀχαιῶν ἄλλον ἑλέσθω,
ὅς_τις οἷ τ' ἐπέοικε καὶ ὃς βασιλεύτερός ἐστιν.
ἢν γὰρ δή με σαῶσι θεοὶ καὶ οἴκαδ' ἵκωμαι,
Πηλεύς θήν μοι ἔπειτα γυναῖκα γαμέσσεται αὐτός.
πολλαὶ Ἀχαιΐδες εἰσὶν ἀν' Ἑλλάδα τε Φθίην τε,
κοῦραι ἀριστήων, οἵ_τε πτολίεθρα ῥύονται·
τάων ἥν κ' ἐθέλωμι φίλην ποιήσομ' ἄκοιτιν.
ἔνθα δέ μοι μάλα πολλὸν ἐπέσσυτο θυμὸς ἀγήνωρ
γήμαντα μνηστὴν ἄλοχον, εἰκυῖαν ἄκοιτιν,
κτήμασι τέρπεσθαι τὰ γέρων ἐκτήσατο Πηλεύς·
οὐ γὰρ ἐμοὶ ψυχῆς ἀντάξιον οὐδ' ὅσα φασὶν
Ἴλιον ἐκτῆσθαι, εὖ_ναιόμενον πτολίεθρον,
τὸ πρὶν ἐπ' εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει,
Φοίβου Ἀπόλλωνος, Πυθοῖ ἔνι πετρηέσσηι.
ληϊστοὶ μὲν γάρ τε βόες καὶ ἴφια μῆλα,
κτητοὶ δὲ τρίποδές τε καὶ ἵππων ξανθὰ κάρηνα·
ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λεϊστὴ
οὔθ' ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.
μήτηρ γάρ τέ μέ φησι θεὰ Θέτις ἀργυρόπεζα
διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλοσδε·
εἰ μέν κ' αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
ὤλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται·
εἰ δέ κεν οἴκαδ' ἵκωμαι φίλην ἐς πατρίδα γαῖαν,
ὤλετό μοι κλέος ἐσθλόν, ἐπὶ δηρὸν δέ μοι αἰὼν
ἔσσεται, οὐδέ κέ μ' ὦκα τέλος θανάτοιο κιχείη.
καὶ δ' ἂν τοῖς ἄλλοισιν ἐγὼ παραμυθησαίμην
οἴκαδ' ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆς· μάλα γάρ ἑθεν εὐρύοπα Ζεὺς
χεῖρα ἑὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
ἀλλ' ὑμεῖς μὲν ἰόντες ἀριστήεσσιν Ἀχαιῶν
ἀγγελίην ἀπόφασθε — τὸ γὰρ γέρας ἐστὶ γερόντων —
ὄφρ' ἄλλην φράζωνται ἐνὶ φρεσὶ μῆτιν ἀμείνω,
ἥ κέ σφιν νῆάς τε σοῶι καὶ λαὸν Ἀχαιῶν
νηυσὶν ἔπι γλαφυρῆις, ἐπεὶ οὔ σφισιν ἥδε γ' ἑτοίμη,
ἣν νῦν ἐφράσσαντο, ἐμεῦ ἀπομηνίσαντος.
Φοίνιξ δ' αὖθι παρ' ἄμμι μένων κατακοιμηθήτω,
ὄφρα μοι ἐν νήεσσι φίλην ἐς πατρίδ' ἕπηται
αὔριον, ἢν ἐθέλησιν· ἀνάγκηι δ' οὔ τί μιν ἄξω." **Achilles**
"Φοίνιξ, ἄττα γεραιὲ, διοτρεφές, οὔ τί με ταύτης **9.607**
χρεὼ τιμῆς· φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσηι,
ἥ μ' ἕξει παρὰ νηυσὶ κορωνίσιν, εἰς_ὅ κ' ἀϋτμὴ
ἐν στήθεσσι μένηι καί μοι φίλα γούνατ' ὀρώρηι.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων,
Ἀτρείδηι ἥρωϊ φέρων χάριν· οὐδὲ τί σε χρὴ
τὸν φιλέειν, ἵνα μή μοι ἀπέχθηαι φιλέοντι.
καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν ὅς κ' ἐμὲ κήδηι.
ἶσον ἐμοὶ βασίλευε, καὶ ἥμισυ μείρεο τιμῆς.
οὗτοι δ' ἀγγελέουσι, σὺ δ' αὐτόθι λέξεο μίμνων
εὐνῆι ἔνι μαλακῆι· ἅμα δ' ἠοῖ φαινομένηφιν
φρασσόμεθ' ἤ κε νεώμεθ' ἐφ' ἡμέτερ', ἦ κε μένωμεν." **Achilles**
"Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν, **9.644**
πάντα τί μοι κατὰ θυμὸν ἐείσω μυθήσασθαι·
ἀλλά μοι οἰδάνεται κραδίη χόλωι, ὁππότ' ἐκείνων
μνήσομαι, ὥς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν
Ἀτρείδης, ὡς_εἴ τιν' ἀτίμητον μετανάστην.
ἀλλ' ὑμεῖς ἔρχεσθε καὶ ἀγγελίην ἀπόφασθε·
οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι αἱματόεντος,
πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι
κτείνοντ' Ἀργείους, κατά τε σμῦξαι πυρὶ νῆας.
ἀμφὶ δέ τοι τῆμῆι κλισίηι καὶ νηῒ μελαίνηι

Achilles ῞Εκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀΐω."
11.608 "δῖε Μενοιτιάδη, τῷμῶι κεχαρισμένε θυμῶι,
νῦν ὀΐω περὶ γούνατ' ἐμὰ στήσεσθαι Ἀχαιοὺς
λισσομένους· χρειὼ γὰρ ἱκάνεται οὐκέτ' ἀνεκτός.
ἀλλ' ἴθι νῦν, Πάτροκλε διίφιλε, Νέστορ' ἐρεῖο
ὅν_τινα τοῦτον ἄγει βεβλημένον ἐκ πολέμοιο.
ἤτοι μὲν τά_γ' ὄπισθε Μαχάονι πάντα ἔοικεν
τῶι Ἀσκληπιάδηι, ἀτὰρ οὐκ ἴδον ὄμματα φωτός·
Achilles ἵπποι γάρ με παρήϊξαν πρόσσω μεμαυῖαι."
16.7 "τίπτε δεδάκρυσαι, Πατρόκλεις, ἠΰτε κούρη
νηπίη, ἥ_θ' ἅμα μητρὶ θέουσ' ἀνελέσθαι ἀνώγει,
εἱανοῦ ἁπτομένη, καί τ' ἐσσυμένην κατερύκει,
δακρυόεσσα δέ μιν ποτιδέρκεται, ὄφρ' ἀνέληται;
τῆι ἴκελος, Πάτροκλε, τέρεν κατὰ δάκρυον εἴβεις.
ἠέ τι Μυρμιδόνεσσι πιφαύσκεαι, ἢ ἐμοὶ αὐτῶι;
ἠέ τιν' ἀγγελίην Φθίης ἒξ ἔκλυες οἶος;
ζώειν μὰν ἔτι φασὶ Μενοίτιον, Ἄκτορος υἱὸν,
ζώει δ' Αἰακίδης Πηλεὺς μετὰ Μυρμιδόνεσσιν,
τῶν κε μάλ' ἀμφοτέρων ἀκαχοίμεθα τεθνηώτων.
✦ ἠὲ σύ_γ' Ἀργείων ὀλοφύρεαι, ὡς ὀλέκονται
νηυσὶν ἔπι γλαφυρῆισιν ὑπερβασίης ἕνεκα σφῆς;
Achilles ἐξαύδα, μὴ κεῦθε νόωι, ἵνα εἴδομεν ἄμφω."
16.49 "ὤι μοι, διογενὲς Πατρόκλεις, οἷον ἔειπες·
οὔτε θεοπροπίης ἐμπάζομαι, ἥν_τινα οἶδα,
οὔτέ τί μοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ·
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλησιν ἀμέρσαι
καὶ γέρας ἂψ ἀφελέσθαι, ὅ τε κράτεϊ προβεβήκηι·
αἰνὸν ἄχος τό μοί ἐστιν, ἐπεὶ πάθον ἄλγεα θυμῶι.
κούρην ἣν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν,
δουρὶ δ' ἐμῶι κτεάτισσα, πόλιν εὐτείχεα πέρσας,
τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρείδης, ὡς_εἴ τιν' ἀτίμητον μετανάστην.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν· οὐδ' ἄρα πως ἦν
ἀσπερχὲς κεχολῶσθαι ἐνὶ φρεσίν· ἤτοι ἔφην γε
οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν, ἀλλ' ὁπότ' ἂν δὴ
νῆας ἐμὰς ἀφίκηται ἀϋτή τε πτόλεμός τε.
τύνη δ' ὤμοιιν μὲν ἐμὰ κλυτὰ τεύχεα δῦθι,
ἄρχε δὲ Μυρμιδόνεσσι φιλοπτολέμοισι μάχεσθαι,
εἰ δὴ κυάνεον Τρώων νέφος ἀμφιβέβηκεν
νηυσὶν ἐπικρατέως, οἱ δὲ ῥηγμῖνι θαλάσσης
κεκλίαται, χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες,
Ἀργεῖοι. Τρώων δὲ πόλις ἐπὶ πᾶσα βέβηκεν
θάρσυνος· οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον
ἐγγύθι λαμπομένης· τάχα κεν φεύγοντες ἐναύλους
πλήσειαν νεκύων, εἴ μοι κρείων Ἀγαμέμνων
ἤπια εἰδείη· νῦν δὲ στρατὸν ἀμφιμάχονται.
οὐ γὰρ Τυδείδεω Διομήδεος ἐν παλάμῃσιν
μαίνεται ἐγχείη Δαναῶν ἀπὸ λοιγὸν ἀμῦναι·
οὐδὲ πω Ἀτρείδεω ὀπὸς ἔκλυον αὐδήσαντος
ἐχθρῆς ἐκ κεφαλῆς· ἀλλ' Ἕκτορος ἀνδροφόνοιο
Τρωσὶ κελεύοντος περιάγνυται, οἱ δ' ἀλαλητῶι
πᾶν πεδίον κατέχουσι, μάχηι νικῶντες Ἀχαιούς.
ἀλλὰ καὶ ὧς, Πάτροκλε, νεῶν ἀπὸ λοιγὸν ἀμύνων
ἔμπεσ' ἐπικρατέως, μὴ δὴ πυρὸς αἰθομένοιο
νῆας ἐνιπρήσωσι, φίλον δ' ἀπὸ νόστον ἕλωνται.
πείθεο δ' ὥς τοι ἐγὼ μύθου τέλος ἐν φρεσὶ θείω,
ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρηαι
πρὸς πάντων Δαναῶν, ἀτὰρ οἱ περικαλλέα κούρην
ἂψ ἀπονάσσωσιν, ποτὶ δ' ἀγλαὰ δῶρα πόρωσιν.
ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν· εἰ δέ κεν αὖ τοι
δώηι κῦδος ἀρέσθαι ἐρίγδουπος πόσις Ἥρης,
μὴ σύ_γ' ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν
Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις·
μηδ' ἐπαγαλλόμενος πολέμωι καὶ δηϊοτῆτι
Τρῶας ἐναιρόμενος, προτὶ Ἴλιον ἡγεμονεύειν,
μή τις ἀπ' Οὐλύμποιο θεῶν αἰειγενετάων
ἐμβήηι· μάλα τούς γε φιλεῖ ἑκάεργος Ἀπόλλων·
ἀλλὰ πάλιν τρωπᾶσθαι, ἐπὴν φάος ἐν νήεσσιν
θήηις, τοὺς δέ τ' ἐᾶν πεδίον κάτα δηριάασθαι.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
μήτέ τις οὖν Τρώων θάνατον φύγοι, ὅσσοι ἔασιν,
μήτε τις Ἀργείων, νῶϊν δ' ἐκδυῖμεν ὄλεθρον, Achilles
ὄφρ' οἶοι Τροίης ἱερὰ κρήδεμνα λύωμεν."
"ὄρσεο, διογενὲς Πατρόκλεις, ἱπποκέλευθε — 16.126
λεύσσω δὴ παρὰ νηυσὶ πυρὸς δηΐοιο ἰωήν —
μὴ δὴ νῆας ἕλωσι καὶ οὐκέτι φυκτὰ πέλωνται·
δύσεο τεύχεα θᾶσσον, ἐγὼ δέ κε λαὸν ἀγείρω." Achilles
"Μυρμιδόνες, μή τίς μοι ἀπειλάων λελαθέσθω, 16.200
ἃς ἐπὶ νηυσὶ θοῇσιν ἀπειλεῖτε Τρώεσσιν
πάνθ' ὑπὸ μηνιθμὸν, καί μ' ἠτιάασθε ἕκαστος·
'σχέτλιε Πηλέος υἱὲ, χόλωι ἄρα σ' ἔτρεφε μήτηρ,
νηλεὲς, ὃς παρὰ νηυσὶν ἔχεις ἀέκοντας ἑταίρους·
οἴκαδέ περ σὺν νηυσὶ νεώμεθα ποντοπόροισιν
αὖτις, ἐπεί ῥά τοι ὧδε κακὸς χόλος ἔμπεσε θυμῶι.'
ταῦτά μ' ἀγειρόμενοι θάμ' ἐβάζετε· νῦν δὲ πέφανται
φυλόπιδος μέγα ἔργον, ἕης τὸ πρίν γ' ἐράασθε.
ἔνθά τις ἄλκιμον ἦτορ ἔχων Τρώεσσι μαχέσθω." Achilles
"Ζεῦ ἄνα, Δωδωναῖε, Πελασγικὲ, τηλόθι ναίων, 16.233
Δωδώνης μεδέων δυσχειμέρου· ἀμφὶ δὲ Σελλοὶ
σοὶ ναίουσ' ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι·
ἠμὲν δή ποτ' ἐμὸν ἔπος ἔκλυες εὐξαμένοιο,
τίμησας μὲν ἐμὲ, μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν,
ἠδ' ἔτι καὶ νῦν μοι τόδ' ἐπικρήηνον ἐέλδωρ·
αὐτὸς μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι,
ἀλλ' ἕταρον πέμπω πολέσιν μετὰ Μυρμιδόνεσσιν
μάρνασθαι· τῶι κῦδος ἅμα πρόες, εὐρύοπα Ζεῦ,
θάρσυνον δέ οἱ ἦτορ ἐνὶ φρεσὶν, ὄφρα καὶ Ἕκτωρ
εἴσεται ἤ ῥα καὶ οἶος ἐπίστηται πολεμίζειν
ἡμέτερος θεράπων, ἦ οἱ τότε χεῖρες ἄαπτοι

μαίνονθ', ὁππότ' ἐγώ περ ἴω μετὰ μῶλον ἄρηος.
αὐτὰρ ἐπεί κ' ἀπὸ ναῦφι μάχην ἐνοπήν τε δίηται,
ἀσκηθής μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἱκέσθω
Achilles τεύχεσί τε ξὺν πᾶσι καὶ ἀγχεμάχοις ἑτάροισιν."
18.6 "ὤ_ μοι ἐγώ, τί τ' ἄρ' αὖτε κάρη_κομόωντες Ἀχαιοὶ
νηυσὶν ἔπι κλονέονται ἀτυζόμενοι πεδίοιο;
μὴ δή μοι τελέσωσι θεοὶ κακὰ κήδεα θυμῶι,
ὥς ποτέ μοι μήτηρ διεπέφραδε, καί μοι ἔειπεν,
Μυρμιδόνων τὸν ἄριστον ἔτι ζώοντος ἐμεῖο
χερσὶν ὕπο Τρώων λείψειν φάος ἠελίοιο.
ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός,
σχέτλιος· ἦ τ' ἐκέλευον ἀπωσάμενον δήϊον πῦρ
Achilles ἂψ ἐπὶ νῆας ἴμεν, μηδ' Ἕκτορι ἶφι μάχεσθαι."
18.79 "μῆτερ ἐμή, τὰ μὲν ἄρ μοι Ὀλύμπιος ἐξετέλεσσεν·
ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλεθ' ἑταῖρος,
Πάτροκλος, τὸν ἐγὼ περὶ πάντων τῖον ἑταίρων,
ἶσον ἐμῆι κεφαλῆι· τὸν ἀπώλεσα, τεύχεα δ' Ἕκτωρ
δηιώσας ἀπέδυσε πελώρια, θαῦμα ἰδέσθαι,
καλά· τὰ μὲν Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
ἤματι τῶι, ὅτε σε βροτοῦ ἀνέρος ἔμβαλον εὐνῆι.
αἴθ' ὄφελες σὺ μὲν αὖθι μετ' ἀθανάτῃς ἁλίῃσιν
ναίειν, Πηλεὺς δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν·
νῦν δ' ἵνα καὶ σοὶ πένθος ἐνὶ φρεσὶ μυρίον εἴη
παιδὸς ἀποφθιμένοιο, τὸν οὐχ ὑποδέξεαι αὖτις
οἴκαδε νοστήσαντ', ἐπεὶ οὐδ' ἐμὲ θυμὸς ἄνωγεν
ζώειν οὐδ' ἄνδρεσσι μετέμμεναι, αἴ κε μὴ Ἕκτωρ
πρῶτος ἐμῶι ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσηι,
Achilles Πατρόκλοιο δ' ἕλωρα Μενοιτιάδεω ἀποτείσηι."
18.98 "αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρωι
κτεινομένωι ἐπαμῦναι· ὁ μὲν μάλα τηλόθι πάτρης
ἔφθιτ', ἐμεῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι.
νῦν δ', ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,
οὐδέ τι Πατρόκλωι γενόμην φάος οὐδ' ἑτάροισιν
τοῖς ἄλλοις, οἳ δὴ πολέες δάμεν Ἕκτορι δίωι,
ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης,
τοῖος ἐὼν οἷος οὔ_τις Ἀχαιῶν χαλκοχιτώνων
ἐν πολέμωι· ἀγορῆι δέ τ' ἀμείνονές εἰσι καὶ ἄλλοι.
ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο,
καὶ χόλος, ὅς_τ' ἐφέηκε πολύφρονά περ χαλεπῆναι,
ὅς_τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο
ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται ἠΰτε καπνός·
ὡς ἐμὲ νῦν ἐχόλωσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ,
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκηι.
νῦν δ εἶμ', ὄφρα φίλης κεφαλῆς ὀλετῆρα κιχείω,
Ἕκτορα· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
Ζεὺς ἐθέληι τελέσαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.
◆ οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος φύγε κῆρα,
ὃς_περ φίλτατος ἔσκε Διὶ Κρονίωνι ἄνακτι·
ἀλλά ἑ Μοῖρ' ἐδάμασσε καὶ ἀργαλέος χόλος Ἥρης.
ὣς καὶ ἐγὼν, εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται,
κείσομ', ἐπεί κε θάνω. νῦν δὲ κλέος ἐσθλὸν ἀροίμην
καί τινα Τρωϊάδων καὶ Δαρδανίδων βαθυκόλπων,
ἀμφοτέρῃσιν χερσὶ παρειάων ἁπαλάων
δάκρυ' ὀμορξαμένην, ἁδινὸν στοναχῆσαι ἐφείην,
γνοῖεν δ' ὡς δὴ δηρὸν ἐγὼ πολέμοιο πέπαυμαι.
μηδέ μ' ἔρυκε μάχης, φιλέουσά περ· οὐδέ με πείσεις." Achilles
"Ἶρι θεά, τίς τάρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκεν;" Ach. 18.182
"πῶς τ' ἄρ ἴω μετὰ μῶλον; ἔχουσι δὲ τεύχεα κεῖνοι· 18.188
μήτηρ δ' οὔ με φίλη πρίν γ' εἴα θωρήσσεσθαι,
πρίν γ' αὐτὴν ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι·
στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν ἔντεα καλά.
ἄλλου δ' οὔ τευ οἶδα τεῦ ἂν κλυτὰ τεύχεα δύω,
εἰ μὴ Αἴαντός γε σάκος Τελαμωνιάδαο.
ἀλλὰ καὶ αὐτὸς ὅ_γ', ἔλπομ', ἐνὶ πρώτοισιν ὁμιλεῖ,
ἔγχεϊ δηϊόων περὶ Πατρόκλοιο θανόντος." Achilles
"ὢ πόποι, ἦ ῥ' ἅλιον ἔπος ἔκβαλον ἤματι κείνωι, 18.324
θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισιν·
φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν
Ἴλιον ἐκπέρσαντα, λαχόντα τε ληΐδος αἶσαν.
ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾶι·
ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεῦσαι
αὐτοῦ ἐνὶ Τροίηι, ἐπεὶ οὐδ' ἐμὲ νοστήσαντα
δέξεται ἐν μεγάροισι γέρων ἱππηλάτα Πηλεὺς
οὐδὲ Θέτις μήτηρ, ἀλλ' αὐτοῦ γαῖα καθέξει.
νῦν δ' ἐπεὶ οὖν, Πάτροκλε, σεῦ ὕστερος εἶμ' ὑπὸ γαῖαν,
οὔ σε πρὶν κτερίω, πρὶν Ἕκτορος ἐνθάδ' ἐνεῖκαι
τεύχεα καὶ κεφαλήν, μεγαθύμου σεῖο φονῆος·
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσω
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.
τόφρα δέ μοι παρὰ νηυσὶ κορωνίσι κείσεαι αὔτως,
ἀμφὶ δέ σε Τρωιαὶ καὶ Δαρδανίδες βαθύκολποι
κλαύσονται νύκτας τε καὶ ἤματα δάκρυ_χέουσαι,
τὰς αὐτοὶ καμόμεσθα βίηφί τε δουρί τε μακρῶι,
πιείρας πέρθοντε πόλις μερόπων ἀνθρώπων." Achilles
"μῆτερ ἐμή, τὰ μὲν ὅπλα θεὸς πόρεν οἷ' ἐπιεικὲς 19.21
ἔργ' ἔμεν ἀθανάτων, μηδὲ βροτὸν ἄνδρα τελέσσαι.
νῦν δ' ἤτοι μὲν ἐγὼ θωρήξομαι· ἀλλὰ μάλ' αἰνῶς
δείδω, μή μοι τόφρα Μενοιτίου ἄλκιμον υἱὸν ◆
μυῖαι καδδῦσαι κατὰ χαλκοτύπους ὠτειλὰς
εὐλὰς ἐγγείνωνται, ἀεικίσσωσι δὲ νεκρόν —
ἐκ δ' αἰὼν πέφαται — κατὰ δὲ χρόα πάντα σαπήηι." Achilles
"Ἀτρεΐδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον 19.56
ἔπλετο, σοὶ καὶ ἐμοί, ὅ_τε νῶϊ περ ἀχνυμένω κῆρ,
θυμοβόρωι ἔριδι μενεήναμεν εἵνεκα κούρης.
τὴν ὄφελ' ἐν νήεσσι κατακτάμεν Ἄρτεμις ἰῶι,
ἤματι τῶι ὅτ' ἐγὼν ἑλόμην Λυρνησσὸν ὀλέσσας·
τῶι κ' οὐ τόσσοι Ἀχαιοὶ ὀδὰξ ἕλον ἄσπετον οὖδας
δυσμενέων ὑπὸ χερσίν, ἐμεῦ ἀπομηνίσαντος.
Ἕκτορι μὲν καὶ Τρωσὶ τὸ κέρδιον· αὐτὰρ Ἀχαιοὺς

δηρὸν ἐμῆς καὶ σῆς ἔριδος μνήσεσθαι ὀΐω.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ,
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκηι.
νῦν δ' ἤτοι μὲν ἐγὼ παύω χόλον, οὐδέ τί με χρὴ
ἀσκελέως αἰεὶ μενεαινέμεν. ἀλλ' ἄγε θᾶσσον
ὄτρυνον πόλεμόνδε κάρη_κομόωντας Ἀχαιούς,
ὄφρ' ἔτι καὶ Τρώων πειρήσομαι ἀντίος ἐλθών,
αἴ κ' ἐθέλωσ' ἐπὶ νηυσὶν ἰαύειν. ἀλλά τιν' οἴω
ἀσπασίως αὐτῶν γόνυ κάμψειν, ὅς κε φύγησιν
Achilles δηΐου ἐκ πολέμοιο ὑπ' ἔγχεος ἡμετέροιο."
19.146 "Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
δῶρα μεν, αἴ κ' ἐθέλῃσθα, παρασχέμεν, ὡς ἐπιεικές,
ἤ_τ' ἐχέμεν· παρὰ σοί. νῦν δὲ μνησώμεθα χάρμης
αἶψα μάλ'· οὐ γὰρ χρὴ κλοτοπεύειν ἐνθάδ' ἐόντας
οὐδὲ διατρίβειν· ἔτι γὰρ μέγα ἔργον ἄρεκτον·
ὥς κέ τις αὖτ' Ἀχιλῆα μετὰ πρώτοισιν ἴδηται
ἔγχεϊ χαλκείωι Τρώων ὀλέκοντα φάλαγγας.
Achilles ὧδέ τις ὑμείων μεμνημένος ἀνδρὶ μαχέσθω."
19.199 "Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
ἄλλοτέ περ καὶ μᾶλλον ὀφέλλετε ταῦτα πένεσθαι,
ὁππότε τις μεταπαυσωλὴ πολέμοιο γένηται
καὶ μένος οὐ τόσον ἦσιν ἐνὶ στήθεσσιν ἐμοῖσιν.
νῦν δ' οἱ μὲν κέαται δεδαϊγμένοι, οὓς ἐδάμασσεν
Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν,
ὑμεῖς δ' ἐς βρωτὺν ὀτρύνετον. ἦ τ' ἂν ἐγώ_γε
νῦν μὲν ἀνώγοιμι πτολεμίζειν υἷας Ἀχαιῶν
νήστιας ἀκμήνους, ἅμα δ' ἠελίωι καταδύντι
τεύξεσθαι μέγα δόρπον, ἐπὴν τισαίμεθα λώβην.
πρὶν δ' οὔ_πως ἂν ἐμοί_γε φίλον κατὰ λαιμὸν ἰείη
οὐ πόσις οὐδὲ βρῶσις, ἑταίρου τεθνηῶτος,
ὅς μοι ἐνὶ κλισίηι δεδαϊγμένος ὀξέϊ χαλκῶι
κεῖται, ἀνὰ πρόθυρον τετραμμένος, ἀμφὶ δ' ἑταῖροι
μύρονται· τό μοι οὔ_τι μετὰ φρεσὶ ταῦτα μέμηλεν,
Achilles ἀλλὰ φόνος τε καὶ αἷμα καὶ ἀργαλέος στόνος ἀνδρῶν."
19.270 "Ζεῦ πάτερ, ἦ μεγάλας ἄτας ἄνδρεσσι διδοῖσθα.
οὐκ ἂν δή_ποτε θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν
Ἀτρεΐδης ὤρινε διαμπερές, οὐδέ κε κούρην
ἦγεν ἐμεῦ ἀέκοντος ἀμήχανος. ἀλλά ποθι Ζεὺς
ἤθελ' Ἀχαιοῖσιν θάνατον πολέεσσι γενέσθαι.
Achilles νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα."
19.305 "λίσσομαι, εἴ τις ἐμοί_γε φίλων ἐπιπείθεθ' ἑταίρων,
μή με πρὶν σίτοιο κελεύετε μηδὲ ποτῆτος
ἄσασθαι φίλον ἦτορ, ἐπεί μ' ἄχος αἰνὸν ἱκάνει,
Achilles δύντα δ' ἐς ἠέλιον μενέω καὶ τλήσομαι ἔμπης."
19.315 "ἦ ῥά νύ μοί ποτε καὶ σύ, δυσάμμορε, φίλταθ' ἑταίρων,
αὐτὸς ἐνὶ κλισίηι λαρὸν παρὰ δεῖπνον ἔθηκας
αἶψα καὶ ὀτραλέως, ὁπότε σπερχοίατ' Ἀχαιοὶ
Τρωσὶν ἔφ' ἱπποδάμοισι φέρειν πολύδακρυν Ἄρηα·
νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένος, αὐτὰρ ἐμὸν κῆρ
ἄκμηνον πόσιος καὶ ἐδητύος, ἔνδον ἐόντων,
σῆι ποθῆι. οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι,
οὐδ' εἴ κεν τοῦ πατρὸς ἀποφθιμένοιο πυθοίμην,
ὃς που νῦν Φθίηφι τέρεν κατὰ δάκρυον εἴβει
χήτεϊ τοιοῦδ' υἷος· ὁ δ' ἀλλοδαπῶι ἐνὶ δήμωι
εἵνεκα ῥιγεδανῆς Ἑλένης Τρωσὶν πολεμίζω·
ἠὲ τόν ὃς Σκύρωι μοι ἐνιτρέφεται φίλος υἱός.
εἴ που ἔτι ζώει γε Νεοπτόλεμος θεοειδής.
πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
οἶον ἐμὲ φθείσεσθαι ἀπ' Ἄργεος ἱπποβότοιο
αὐτοῦ ἐνὶ Τροίηι, σὲ δέ τε Φθίηνδε νέεσθαι,
ὡς ἄν μοι τὸν παῖδα θοῆι σὺν νηῒ μελαίνηι
Σκυρόθεν ἐξαγάγοις καί οἱ δείξειας ἕκαστα,
κτῆσιν ἐμὴν δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα.
ἤδη γὰρ Πηλῆά γ' ὀΐομαι ἢ κατὰ πάμπαν
τεθνάμεν, ἤ που τυτθὸν ἔτι ζώοντ' ἀκάχησθαι
γήραΐ τε στυγερῶι καὶ ἐμὴν ποτιδέγμενον αἰεὶ
λυγρὴν ἀγγελίην, ὅτ' ἀποφθιμένοιο πύθηται." Achilles
"Ξάνθέ τε καὶ Βαλίε, τηλεκλυτὰ τέκνα Ποδάργης, 19.400
ἄλλως δὴ φράζεσθε σαωσέμεν ἡνιοχῆα
ἂψ Δαναῶν ἐς ὅμιλον, ἐπεὶ χ' ἕωμεν πολέμοιο,
μηδ' ὡς Πάτροκλον λίπετ' αὐτόθι τεθνηῶτα." Achilles
"Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί σε χρή. 19.420
ἄλλως δὴ φράζεσθε σαωσέμεν ἡνιοχῆα
ἂψ Δαναῶν ἐς ὅμιλον, ἐπεὶ χ' ἕωμεν πολέμοιο,
μηδ' ὡς Πάτροκλον λίπετ' αὐτόθι τεθνηῶτα." Achilles
"Αἰνεία, τί σὺ τόσσον ὁμίλου πολλὸν ἐπελθὼν 20.178
ἔστης; ἦ σέ_γε θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει
ἐλπόμενον Τρώεσσιν ἀνάξειν ἱπποδάμοισιν
τιμῆς τῆς Πριάμου; ἀτὰρ εἴ κεν ἔμ' ἐξεναρίξῃς,
οὔ τοι τοὔνεκά γε Πρίαμος γέρας ἐν χερὶ θήσει·
εἰσὶν γάρ οἱ παῖδες, ὁ δ' ἔμπεδος οὐδ' ἀεσίφρων.
ἦ νύ τί τοι Τρῶες τέμενος τάμον ἔξοχον ἄλλων,
καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμηαι,
αἴ κεν ἐμὲ κτείνῃς; χαλεπῶς δέ σ' ἔολπα τὸ ῥέξειν.
ἤδη μὲν σέ_γέ φημι καὶ ἄλλοτε δουρὶ φοβῆσαι.
ἦ οὐ μέμνῃ ὅτε πέρ σε βοῶν ἄπο, μοῦνον ἐόντα,
σεῦα κατ' Ἰδαίων ὀρέων ταχέεσσι πόδεσσιν
καρπαλίμως; τότε δ' οὔ_τι μετατροπαλίζεο φεύγων.
ἔνθεν δ' ἐς Λυρνησσὸν ὑπέκφυγες· αὐτὰρ ἐγὼ τὴν
πέρσα, μεθορμηθεὶς σὺν Ἀθήνηι καὶ Διὶ πατρί,
ληϊάδας δὲ γυναῖκας, ἐλεύθερον ἦμαρ ἀπούρας,
ἦγον· ἀτὰρ σὲ Ζεὺς ἐρρύσατο καὶ θεοὶ ἄλλοι.
ἀλλ' οὐ νῦν σε ῥύεσθαι ὀΐομαι, ὡς ἐνὶ θυμῶι
βάλλεαι· ἀλλά σ' ἐγώ_γ' ἀναχωρήσαντα κελεύω
ἐς πληθὺν ἰέναι, μηδ' ἀντίος ἵστασ' ἐμεῖο,
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω." Achilles
"ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι. 20.344
ἔγχος μὲν τόδε κεῖται ἐπὶ χθονός, οὐδέ τι φῶτα
λεύσσω τῶι ἐφέηκα κατακτάμεναι μενεαίνων.
ἦ ῥα καὶ Αἰνείας φίλος ἀθανάτοισι θεοῖσιν

ἦεν· ἀτάρ μιν ἔφην μὰψ αὔτως εὐχετάασθαι.
ἐρρέτω· οὔ οἱ θυμὸς ἐμεῦ ἔτι πειρηθῆναι
ἔσσεται, ὡς καὶ νῦν φύγεν ἄσμενος ἐκ θανάτοιο.
ἀλλ' ἄγε δὴ Δαναοῖσι φιλοπτολέμοισι κελεύσας
Achilles τῶν ἄλλων Τρώων πειρήσομαι ἀντίος ἐλθών."
20.354 "μηκέτι νῦν Τρώων ἑκὰς ἕστατε, δῖοι Ἀχαιοί,
ἀλλ' ἄγ' ἀνὴρ ἄντ' ἀνδρὸς ἴτω, μεμάτω δὲ μάχεσθαι.
ἀργαλέον δέ μοί ἐστι καὶ ἰφθίμωι περ ἐόντι,
τοσσούσδ' ἀνθρώπους ἐφέπειν καὶ πᾶσι μάχεσθαι·
οὐδὲ κ' Ἄρης, ὅς περ θεὸς ἄμβροτος, οὐδὲ κ' Ἀθήνη
τοσσῆσδ' ὑσμίνης ἐφέποι στόμα καὶ πονέοιτο·
ἀλλ' ὅσσον μὲν ἐγὼ δύναμαι χερσίν τε ποσίν τε
καὶ σθένει, οὔ μέ τί φημι μεθησέμεν, οὐδ' ἠβαιόν,
ἀλλὰ μάλα στιχὸς εἶμι διαμπερές, οὐδέ τιν' οἴω
Achilles Τρώων χαιρήσειν, ὅς τις σχεδὸν ἔγχεος ἔλθηι."
20.389 "κεῖσαι, Ὀτρυντεΐδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν·
ἐνθάδε τοι θάνατος, γενεὴ δέ τοί ἐστ' ἐπὶ λίμνηι
Γυγαίηι, ὅθι τοι τέμενος πατρώϊόν ἐστιν,
Achilles Ὕλλωι ἔπ' ἰχθυόεντι καὶ Ἕρμωι δινήεντι."
20.425 "ἐγγὺς ἀνὴρ ὃς ἐμόν γε μάλιστ' ἐσεμάσσατο θυμόν,
ὅς μοι ἑταῖρον ἔπεφνε τετιμένον· οὐδ' ἂν ἔτι δὴν
Achilles ἀλλήλους πτώσσοιμεν ἀνὰ πτολέμοιο γεφύρας."
20.429 "ἆσσον ἴθ' ὥς κεν θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι."
20.449 Ach. "ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον· ἦ τέ τοι ἄγχι
ἦλθε κακόν· νῦν αὖτέ σ' ἐρύσσατο Φοῖβος Ἀπόλλων,
ὧι μέλλεις εὔχεσθαι ἰὼν ἐς δοῦπον ἀκόντων.
ἦ θήν σ' ἐξανύω γε, καὶ ὕστερον ἀντιβολήσας,
εἴ πού τις καὶ ἔμοί γε θεῶν ἐπιτάρροθός ἐστιν.
Achilles νῦν δ' ἄλλους Τρώων ἐπιείσομαι, ὅν κε κιχείω."
21.54 "ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι.
ἦ μάλα δὴ Τρῶες μεγαλήτορες, οὕς περ ἔπεφνον,
αὖτις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος,
οἷον δὴ καὶ ὅδ' ἦλθε φυγὼν ὕπο νηλεὲς ἦμαρ,
Λῆμνον ἐς ἠγαθέην πεπερημένος, οὐδέ μιν ἔσχεν
πόντος ἁλὸς πολιῆς, ὃ πολέας ἀέκοντας ἐρύκει.
ἀλλ' ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο
γεύσεται, ὄφρα ἴδωμαι ἐνὶ φρεσὶν ἠδὲ δαείω,
ἤ ἄρ' ὁμῶς καὶ κεῖθεν ἐλεύσεται, ἤ μιν ἐρύξει
Achilles γῆ φυσίζοος, ἥ τε κατὰ κρατερόν περ ἐρύκει."
21.99 "νήπιε, μή μοι ἄποινα πιφαύσκεο μηδ' ἀγόρευε.
πρὶν μὲν γὰρ Πάτροκλον ἐπισπεῖν αἴσιμον ἦμαρ,
τόφρα τί μοι πεφιδέσθαι ἐνὶ φρεσὶ φίλτερον ἦεν
Τρώων, καὶ πολλοὺς ζωοὺς ἕλον ἠδ' ἐπέρασσα·
νῦν δ' οὐκ ἔσθ' ὅς τις θάνατον φύγηι, ὅν κε θεός γε
Ἰλίου προπάροιθεν ἐμῇς ἐν χερσὶ βάλῃσιν,
καὶ πάντων Τρώων, πέρι δ' αὖ Πριάμοιό γε παίδων.
ἀλλά, φίλος, θάνε καὶ σύ· τίη ὀλοφύρεαι οὕτως;
κάτθανε καὶ Πάτροκλος, ὅ περ σέο πολλὸν ἀμείνων.
οὐχ ὁράαις οἷος καὶ ἐγὼ καλός τε μέγας τε;
πατρὸς δ' εἰμ' ἀγαθοῖο, θεὰ δέ με γείνατο μήτηρ·
ἀλλ' ἔπι τοι καὶ ἐμοὶ θάνατος καὶ μοῖρα κραταιή —
ἔσσεται ἢ ἠὼς ἢ δείελη ἢ μέσον ἦμαρ —
ὁππότε τις καὶ ἐμεῖο Ἄρει ἐκ θυμὸν ἕληται,
ἢ ὅ γε δουρὶ βαλών, ἢ ἀπὸ νευρῆφιν ὀϊστῶι." Achilles
"ἐνταυθοῖ νῦν κεῖσο μετ' ἰχθύσιν, οἵ σ' ὠτειλὴν 21.122
αἷμ' ἀπολιχμήσονται ἀκηδέες· οὐδέ σε μήτηρ
ἐνθεμένη λεχέεσσι γοήσεται, ἀλλὰ Σκάμανδρος
οἴσει δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον.
θρώισκων τις κατὰ κῦμα μέλαιναν φρῖχ' ὑπαΐξει
ἰχθὺς, ὅς κε φάγῃσι Λυκάονος ἀργέτα δημόν.
φθείρεσθ', εἰς ὅ κεν ἄστυ κιχείομεν Ἰλίου ἱρῆς,
ὑμεῖς μὲν φεύγοντες, ἐγὼ δ' ὄπιθεν κεραΐζων.
οὐδ' ὑμῖν ποταμός περ ἐΰρροος ἀργυροδίνης
ἀρκέσει, ὧι δὴ δηθὰ πολεῖς ἱερεύετε ταύρους,
ζωοὺς δ' ἐν δίνῃσι καθίετε μώνυχας ἵππους.
ἀλλὰ καὶ ὧς ὀλέεσθε κακὸν μόρον, εἰς ὅ κε πάντες
τείσετε Πατρόκλοιο φόνον καὶ λοιγὸν Ἀχαιῶν,
οὓς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνετε νόσφιν ἐμεῖο." Achilles
"τίς πόθεν εἶς ἀνδρῶν, ὅ μοι ἔτλης ἀντίος ἐλθεῖν; 21.150
δυστήνων δέ τε παῖδες ἐμῶι μένει ἀντιόωσιν." Achilles
"κεῖσ' οὕτως· χαλεπόν τοι ἐρισθενέος Κρονίωνος 21.184
παισὶν ἐριζέμεναι, ποταμοῖό περ ἐκγεγαῶτι.
φῆσθα σὺ μὲν ποταμοῦ γένος ἔμμεναι εὐρὺ ῥέοντος,
αὐτὰρ ἐγὼ γενεὴν μεγάλου Διὸς εὔχομαι εἶναι.
τίκτε μ' ἀνὴρ πολλοῖσιν ἀνάσσων Μυρμιδόνεσσιν,
Πηλεὺς Αἰακίδης· ὁ δ' ἄρ' Αἰακὸς ἐκ Διὸς ἦεν.
τῶι κρείσσων μὲν Ζεὺς ποταμῶν ἁλιμυρηέντων,
κρείσσων αὖτε Διὸς γενεὴ ποταμοῖο τέτυκται.
καὶ γὰρ σοὶ ποταμός γε πάρα μέγας, εἰ δύναταί τι
χραισμεῖν· ἀλλ' οὐκ ἔστι Διὶ Κρονίωνι μάχεσθαι,
τῶι οὐδὲ κρείων Ἀχελώϊος ἰσοφαρίζει,
οὐδὲ βαθυρρείταο μέγα σθένος Ὠκεανοῖο,
ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
καὶ πᾶσαι κρῆναι καὶ φρείατα μακρὰ νάουσιν·
ἀλλὰ καὶ ὃς δείδοικε Διὸς μεγάλοιο κεραυνὸν
δεινήν τε βροντήν, ὅτ' ἀπ' οὐρανόθεν σμαραγήσηι."
"ἔσται ταῦτα, Σκάμανδρε διοτρεφές, ὡς σὺ κελεύεις.
Τρῶας δ' οὐ πρὶν λήξω ὑπερφιάλους ἐναρίζων,
πρὶν ἔλσαι κατὰ ἄστυ καὶ Ἕκτορι πειρηθῆναι
ἀντιβίην, ἤ κέν με δαμάσσεται, ἤ κεν ἐγὼ τόν." Achilles
"Ζεῦ πάτερ, ὡς οὔ τίς με θεῶν ἐλεεινὸν ὑπέστη 21.273
ἐκ ποταμοῖο σαῶσαι· ἔπειτα δὲ καί τι πάθοιμι.
ἄλλος δ' οὔ τίς μοι τόσον αἴτιος Οὐρανιώνων,
ἀλλὰ φίλη μήτηρ, ἥ με ψεύδεσσιν ἔθελγεν·
ἥ μ' ἔφατο Τρώων ὑπὸ τείχεϊ θωρηκτάων
λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελέεσσιν.
ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε γ' ἔτραφ' ἄριστος·
τῶι κ' ἀγαθὸς μὲν ἔπεφν', ἀγαθὸν δέ κεν ἐξενάριξεν.
νῦν δέ με λευγαλέωι θανάτωι εἵμαρτο ἁλῶναι
ἐρχθέντ' ἐν μεγάλωι ποταμῶι, ὡς παῖδα συφορβόν,

Achilles ὅν ῥά τ᾽ ἔναυλος ἀποέρσηι χειμῶνι περῶντα.”
22.15 “ἔβλαψάς μ᾽, Ἑκάεργε, θεῶν ὀλοώτατε πάντων,
ἐνθάδε νῦν τρέψας ἀπὸ τείχεος· ἦ κ᾽ ἔτι πολλοὶ
γαῖαν ὀδὰξ εἷλον πρὶν Ἴλιον εἰσαφικέσθαι.
νῦν δ᾽ ἐμὲ μὲν μέγα κῦδος ἀφείλεο, τοὺς δ᾽ ἐσάωσας
Achilles ῥηϊδίως, ἐπεὶ οὔ τι τίσιν γ᾽ ἔδδεισας ὀπίσσω.
ἦ σ᾽ ἂν τεισαίμην, εἴ μοι δύναμίς γε παρείη.”
22.261 “Ἕκτορ, μή μοι, ἄλαστε, συνημοσύνας ἀγόρευε.
ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά,
οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν,
ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν,
ὣς οὐκ ἔστ᾽ ἐμὲ καὶ σὲ φιλήμεναι, οὐδέ τι νῶϊν
ὅρκια ἔσσονται, πρὶν γ᾽ ἢ ἕτερόν γε πεσόντα
αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν.
παντοίης ἀρετῆς μιμνήσκεο· νῦν σε μάλα χρὴ
αἰχμητήν τ᾽ ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
οὔ τοι ἔτ᾽ ἔσθ᾽ ὑπάλυξις, ἄφαρ δέ σε Παλλὰς Ἀθήνη
ἔγχει ἐμῶι δαμάαι· νῦν ἀθρόα πάντ᾽ ἀποτείσεις
Achilles κήδε᾽ ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θυίων.”
22.331 “Ἕκτορ, ἀτάρ που ἔφης Πατροκλῆ᾽ ἐξεναρίζων
σῶς ἔσσεσθ᾽, ἐμὲ δ᾽ οὐδὲν ὀπίζεο νόσφιν ἐόντα,
νήπιε· τοῖο δ᾽ ἄνευθεν ἀοσσητὴρ μέγ᾽ ἀμείνων
νηυσὶν ἔπι γλαφυρῆισιν ἐγὼ μετόπισθε λελείμμην,
ὅς τοι γούνατ᾽ ἔλυσα. σὲ μὲν κύνες ἠδ᾽ οἰωνοὶ
Achilles ἑλκησουσ᾽ ἀϊκέως, τὸν δὲ κτερίουσιν Ἀχαιοί.”
22.338 “λίσσομ᾽ ὑπὲρ ψυχῆς καὶ γούνων σῶν τε τοκήων,
μή με ἔα παρὰ νηυσὶ κύνας καταδάψαι Ἀχαιῶν,
ἀλλὰ σὺ μὲν χαλκόν τε ἅλις χρυσόν τε δέδεξο
δῶρα τά τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ,
σῶμα δὲ οἴκαδ᾽ ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
Achilles Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.”
22.345 “μή με, κύον, γούνων γουνάζεο μηδὲ τοκήων·
αἲ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη
ὤμ᾽ ἀποταμνόμενον κρέα ἔδμεναι, οἷά μ᾽ ἔοργας·
ὣς οὐκ ἔσθ᾽ ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι,
οὐδ᾽ εἴ κεν δεκάκις τε καὶ εἰκοσινήριτ᾽ ἄποινα
στήσωσ᾽ ἐνθάδ᾽ ἄγοντες, ὑπόσχωνται δὲ καὶ ἄλλα·
οὐδ᾽ εἴ κέν σ᾽ αὐτὸν χρυσῶι ἐρύσασθαι ἀνώγοι
Δαρδανίδης Πρίαμος· οὐδ᾽ ὣς σέ γε πότνια μήτηρ
ἐνθεμένη λεχέεσσι γοήσεται, ὃν τέκεν αὐτή,
Achilles ἀλλὰ κύνες τε καὶ οἰωνοὶ κατὰ πάντα δάσονται.”
22.365 “τέθναθι· κῆρα δ᾽ ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
Achilles Ζεὺς ἐθέληι τελέσαι ἠδ᾽ ἀθάνατοι θεοὶ ἄλλοι.”
22.378 “ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
ἐπεὶ δὴ τόνδ᾽ ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν,
ὃς κακὰ πόλλ᾽ ἔρρεξεν, ὅσ᾽ οὐ σύμπαντες οἱ ἄλλοι,
εἰ δ᾽ ἄγετ᾽ ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθέωμεν,
ὄφρα κέ τι γνῶμεν Τρώων νόον, ὅν τιν᾽ ἔχουσιν,
ἢ καταλείψουσιν πόλιν ἄκρην τοῦδε πεσόντος,
ἦε μένειν μεμάασι καὶ Ἕκτορος οὐκέτ᾽ ἐόντος.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
κεῖται πὰρ νήεσσι νέκυς ἄκλαυτος ἄθαπτος
Πάτροκλος· τοῦ δ᾽ οὐκ ἐπιλήσομαι, ὄφρ᾽ ἂν ἐγώ γε
ζωοῖσιν μετέω καί μοι φίλα γούνατ᾽ ὀρώρηι.
εἰ δὲ θανόντων περ καταλήθοντ᾽ εἰν Ἀΐδαο,
αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ᾽ ἑταίρου.
νῦν δ᾽ ἄγ᾽ ἀείδοντες παιήονα, κοῦροι Ἀχαιῶν,
νηυσὶν ἔπι γλαφυρῆισι νεώμεθα, τόνδε δ᾽ ἄγωμεν.
ἠράμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,
ὧι Τρῶες κατὰ ἄστυ θεῶι ὣς ηὐχετόωντο.” Achilles
“Μυρμιδόνες ταχύπωλοι, ἐμοὶ ἐρίηρες ἑταῖροι, 23.6
μὴ δή πω ὑπ᾽ ὄχεσφι λυώμεθα μώνυχας ἵππους,
ἀλλ᾽ αὐτοῖς ἵπποισι καὶ ἅρμασιν ἆσσον ἰόντες
Πάτροκλον κλαίωμεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων.
αὐτὰρ ἐπεί κ᾽ ὀλοοῖο τεταρπώμεσθα γόοιο,
ἵππους λυσάμενοι δορπήσομεν ἐνθάδε πάντες.” Achilles
“χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν Ἀΐδαο δόμοισιν· 23.19
πάντα γὰρ ἤδη τοι τελέω τὰ πάροιθεν ὑπέστην,
Ἕκτορα δεῦρ᾽ ἐρύσας δώσειν κυσὶν ὠμὰ δάσασθαι,
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσειν
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.” Achilles
“οὐ μὰ Ζῆν᾽, ὅς τίς τε θεῶν ὕπατος καὶ ἄριστος, 23.43
οὐ θέμις ἐστὶ λοετρὰ καρήατος ἆσσον ἱκέσθαι,
πρίν γ᾽ ἐνὶ Πάτροκλον θέμεναι πυρὶ σῆμά τε χεῦαι
κείρασθαί τε κόμην, ἐπεὶ οὔ μ᾽ ἔτι δεύτερον ὧδε
ἵξετ᾽ ἄχος κραδίην, ὄφρα ζωοῖσι μετείω.
ἀλλ᾽ ἤτοι νῦν μὲν στυγερῆι πειθώμεθα δαιτί·
ἠῶθεν δ᾽ ὄτρυνε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
ὕλην τ᾽ ἀξέμεναι παρά τε σχεῖν ὅσσ᾽ ἐπιεικὲς
νεκρὸν ἔχοντα νέεσθαι ὑπὸ ζόφον ἠερόεντα,
ὄφρ᾽ ἤτοι τοῦτον μὲν ἐπιφλέγηι ἀκάματον πῦρ
θᾶσσον ἀπ᾽ ὀφθαλμῶν, λαοὶ δ᾽ ἐπὶ ἔργα τράπωνται.” Achilles
“τίπτε μοι, ἠθείη κεφαλή, δεῦρ᾽ εἰλήλουθας 23.94
καί μοι ταῦτα ἕκαστ᾽ ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι
πάντα μάλ᾽ ἐκτελέω καὶ πείσομαι, ὡς σὺ κελεύεις.
ἀλλά μοι ἆσσον στῆθι· μίνυνθά περ ἀμφιβαλόντε
ἀλλήλους, ὀλοοῖο τεταρπώμεσθα γόοιο.” Achilles
“ὢ πόποι, ἦ ῥά τίς ἐστι καὶ εἰν Ἀΐδαο δόμοισιν 23.103
ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν·
παννυχίη γάρ μοι Πατροκλῆος δειλοῖο
ψυχὴ ἐφεστήκει γοόωσά τε μυρομένη τε,
καί μοι ἕκαστ᾽ ἐπέτελλεν, ἔϊκτο δὲ θέσκελον αὐτῶι.” Achilles
“Σπερχεί᾽, ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς, 23.144
κεῖσέ με νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν
σοί τε κόμην κερέειν ῥέξειν θ᾽ ἱερὴν ἑκατόμβην,
πεντήκοντα δ᾽ ἔνορχα παρ᾽ αὐτόθι μῆλ᾽ ἱερεύσειν
ἐς πηγάς, ὅθι τοι τέμενος βωμός τε θυήεις.
ὣς ἠρᾶθ᾽ ὁ γέρων, σὺ δέ οἱ νόον οὐκ ἐτέλεσσας.
νῦν δ᾽ ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,
Πατρόκλωι ἥρωϊ κόμην ὀπάσαιμι φέρεσθαι.” Achilles

23.156 “Ἀτρείδη — σοὶ γάρ τε μάλιστά γε λαὸς Ἀχαιῶν
πείσονται μύθοισι — γόοιο μὲν ἔστι καὶ ἆσαι.
νῦν δ’ ἀπὸ πυρκαϊῆς σκέδασον καὶ δεῖπνον ἄνωχθι
Achilles ὅπλεσθαι· τάδε δ’ ἀμφὶ_πονησόμεθ’ οἷσι μάλιστα
κήδεός ἐστι νέκυς· παρὰ δ’ οἵ τ’ ἀγοὶ ἄμμι μενόντων.”
23.179 “χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν Ἀΐδαο δόμοισιν·
πάντα γὰρ ἤδη τοι τελέω τὰ πάροιθεν ὑπέστην.
δώδεκα μὲν Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς,
τοὺς ἅμα σοὶ πάντας πῦρ ἐσθίει· Ἕκτορα δ’ οὔ_τι
Achilles δώσω Πριαμίδην πυρὶ δαπτέμεν, ἀλλὰ κύνεσσιν.”
23.236 “Ἀτρείδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσατ’ αἴθοπι οἴνωι
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
ὀστέα Πατρόκλοιο Μενοιτιάδαο λέγωμεν
εὖ διαγιγνώσκοντες· ἀριφραδέα δὲ τέτυκται·
ἐν μέσσηι γὰρ ἔκειτο πυρῆι, τοὶ δ’ ἄλλοι ἄνευθεν
ἐσχατιῆι καίοντ’ ἐπιμὶξ, ἵπποι τε καὶ ἄνδρες.
καὶ τὰ μὲν ἐν χρυσέηι φιάληι καὶ δίπλακι δημῶι
θείομεν, εἰς_ὅ κεν αὐτὸς ἐγὼν Ἄϊδι κλεύθωμαι·
τύμβον δ’ οὐ μάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα,
ἀλλ’ ἐπιεικέα τοῖον· ἔπειτα δὲ καὶ τὸν Ἀχαιοὶ
◆ εὐρύν θ’ ὑψηλόν τε τιθήμεναι, οἵ κεν ἐμεῖο
Achilles δεύτεροι ἐν νήεσσι πολυκλήϊσι λίπησθε.”
23.492 “μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθον ἐπέεσσιν,
Αἶαν Ἰδομενεῦ τε, κακοῖς, ἐπεὶ οὐδὲ ἔοικεν·
καὶ δ’ ἄλλωι νεμεσᾶτον, ὅτις τοιαῦτά γε ῥέζοι.
ἀλλ’ ὑμεῖς ἐν ἀγῶνι καθήμενοι εἰσοράασθε
ἵππους· οἱ δὲ τάχ’ αὐτοὶ ἐπειγόμενοι περὶ νίκης
ἐνθάδ’ ἐλεύσονται· τότε δὲ γνώσεσθε ἕκαστος
Achilles ἵππους Ἀργείων, οἳ δεύτεροι οἵ τε πάροιθεν.”
23.536 “λοῖσθος ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους.
ἀλλ’ ἄγε δή οἱ δῶμεν ἀέθλιον, ὡς ἐπιεικὲς,
Achilles δεύτερ’· ἀτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός.”
23.558 “Ἀντίλοχ’, εἰ μὲν δή με κελεύεις οἴκοθεν ἄλλο
Εὐμήλωι ἐπιδοῦναι, ἐγὼ δέ κε καὶ τὸ τελέσσω.
δώσω οἱ θώρηκα, τὸν Ἀστεροπαῖον ἀπηύρων,
χάλκεον, ὧι πέρι χεῦμα φαεινοῦ κασσιτέροιο
Achilles ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιος ἔσται.”
23.618 “τῆ νῦν, καὶ σοὶ τοῦτο, γέρον, κειμήλιον ἔστω,
Πατρόκλοιο τάφου μνῆμ’ ἔμμεναι· οὐ γὰρ ἔτ’ αὐτὸν
ὄψει ἐν Ἀργείοισι· δίδωμι δέ τοι τόδ’ ἄεθλον
αὔτως· οὐ γὰρ πύξ γε μαχήσεαι, οὐδὲ παλαίσεις,
οὐδέ τ’ ἀκοντιστὺν ἐσδύσεαι, οὐδὲ πόδεσσιν
Achilles θεύσεαι· ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἐπείγει.”
23.658 “Ἀτρείδη τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ,
ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ_περ ἀρίστω,
πὺξ μάλ’ ἀνασχομένω πεπληγέμεν. ὧι δέ κ’ Ἀπόλλων
δώηι καμμονίην, γνώωσι δὲ πάντες Ἀχαιοὶ,
ἡμίονον ταλαεργὸν ἄγων κλισίηνδε νεέσθω·
Achilles αὐτὰρ ὁ νικηθεὶς δέπας οἴσεται ἀμφικύπελλον.”

“ὄρνυσθ’ οἳ καὶ τούτου ἀέθλου πειρήσεσθον.” 23.707
“μηκέτ’ ἐρείδεσθον, μηδὲ τρίβεσθε κακοῖσιν· Ach. 23.735
νίκη δ’ ἀμφοτέροισιν· ἀέθλια δ’ ἶσ’ ἀνελόντες
ἔρχεσθ’, ὄφρα καὶ ἄλλοι ἀεθλεύωσιν Ἀχαιοί.” Achilles
“ὄρνυσθ’ οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε.” 23.753
“Ἀντίλοχ’, οὐ μέν τοι μέλεος εἰρήσεται αἶνος, Ach. 23.795
ἀλλά τοι ἡμιτάλαντον ἐγὼ χρυσοῦ ἐπιθήσω.” Achilles
“ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ_περ ἀρίστω, 23.802
τεύχεα ἑσσαμένω, ταμεσίχροα χαλκὸν ἑλόντε,
ἀλλήλων προπάροιθεν ὁμίλου πειρηθῆναι.
ὁππότερός κε φθῆσιν ὀρεξάμενος χρόα καλὸν,
ψαύσηι δ’ ἐνδίνων διά τ’ ἔντεα καὶ μέλαν αἷμα,
τῶι μὲν ἐγὼ δώσω τόδε φάσγανον ἀργυρόηλον,
καλὸν Θρηΐκιον, τὸ μὲν Ἀστεροπαῖον ἀπηύρων·
τεύχεα δ’ ἀμφότεροι ξυνήια ταῦτα φερέσθων, Achilles
καί σφιν δαῖτ’ ἀγαθὴν παραθήσομεν ἐν κλισίηισιν.”
“ὄρνυσθ’, οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε· 23.831
εἴ οἱ καὶ μάλα πολλὸν ἀπόπροθι πίονες ἀγροὶ,
ἕξει μιν καὶ πέντε περιπλομένους ἐνιαυτοὺς
χρεώμενος· οὐ μὲν γάρ οἱ ἀτεμβόμενός γε σιδήρου
ποιμὴν οὐδ’ ἀροτὴρ εἶσ’ ἐς πόλιν, ἀλλὰ παρέξει.” Achilles
τοξεύειν. “ὃς μέν κε βάληι τρήρωνα πέλειαν, 23.855
πάντας ἀειράμενος πελέκεας οἴκονδε φερέσθω· Achilles
ὃς δέ κε μηρίνθοιο τύχηι, ὄρνιθος ἁμαρτών — or Poly-
ἥσσων γὰρ δὴ κεῖνο — ὁ δ’ οἴσεται ἡμιπέλεκκα.” poites
“Ἀτρείδη· ἴδμεν γὰρ ὅσον προβέβηκας ἁπάντων 23.890
ἠδ’ ὅσσον δυνάμει τε καὶ ἥμασιν ἔπλευ ἄριστος·
ἀλλὰ σὺ μὲν τόδ’ ἄεθλον ἔχων κοίλας ἐπὶ νῆας
ἔρχευ, ἀτὰρ δόρυ Μηριόνηι ἥρωϊ πόρωμεν,
εἰ σύ_γε σῶι θυμῶι ἐθέλοις· κέλομαι γὰρ ἐγώ_γε.” Achilles
“τῆιδ’ εἴη· ὃς ἄποινα φέροι, καὶ νεκρὸν ἄγοιτο, 24.139
εἰ δὴ πρόφρονι θυμῶι Ὀλύμπιος αὐτὸς ἀνώγει.” Ach.
“ἆ δείλ’, ἦ δὴ πολλὰ κάκ’ ἄνσχεο σὸν κατὰ θυμόν. 24.518
πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
ἀνδρὸς ἐς ὀφθαλμοὺς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
υἱέας ἐξενάριξα; σιδήρειόν νύ τοι ἦτορ.
ἀλλ’ ἄγε δὴ κατ’ ἄρ’ ἕζευ ἐπὶ θρόνου, ἄλγεα δ’ ἔμπης
ἐν θυμῶι κατακεῖσθαι ἐάσομεν, ἀχνύμενοί περ.
οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.
ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσιν,
ζώειν ἀχνυμένοις· αὐτοὶ δέ τ’ ἀκηδέες εἰσίν.
δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει
δώρων οἷα δίδωσι, κακῶν, ἕτερος δὲ ἑάων·
ὧι μέν κ’ ἀμμείξας δώηι Ζεὺς τερπικέραυνος,
ἄλλοτε μέν τε κακῶι ὅ_γε κύρεται, ἄλλοτε δ’ ἐσθλῶι·
ὧι δέ κε τῶν λυγρῶν δώηι, λωβητὸν ἔθηκεν·
καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει,
φοιτᾶι δ’ οὔτε θεοῖσι τετιμένος οὔτε βροτοῖσιν.
ὡς μὲν καὶ Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
ἐκ γενετῆς· πάντας γὰρ ἐπ’ ἀνθρώπους ἐκέκαστο

ὄλβωι τε πλούτωι τε, ἄνασσε δὲ Μυρμιδόνεσσιν,
καί οἱ θνητῶι ἐόντι θεὰν ποίησαν ἄκοιτιν.
ἀλλ' ἐπὶ καὶ τῶι θῆκε θεὸς κακόν, ὅττί οἱ οὔ_τι
παίδων ἐν μεγάροισι γονὴ γένετο κρειόντων,
ἀλλ' ἕνα παῖδα τέκεν παναώριον· οὐδὲ νυ τόν_γε
γηράσκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρης
ἧμαι ἐνὶ Τροίηι, σε τε κήδων ἠδὲ σὰ τέκνα.
καὶ σέ, γέρον, τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι·
ὅσσον Λέσβος ἄνω, Μάκαρος ἕδος, ἐντὸς ἐέργει
καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήσποντος ἀπείρων,
τῶν σε, γέρον, πλούτωι τε καὶ υἱάσι φασὶ κεκάσθαι.
αὐτὰρ ἐπεί τοι πῆμα τόδ' ἤγαγον Οὐρανίωνες,
αἰεί τοι περὶ ἄστυ μάχαι τ' ἀνδροκτασίαι τε·
ἄνσχεο, μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν.
οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος ἑῆος,
Achilles οὐδὲ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθηισθα."
24.560 "μηκέτι νῦν μ' ἐρέθιζε, γέρον· νοέω δὲ καὶ αὐτὸς
Ἕκτορά τοι λῦσαι· Διόθεν δέ μοι ἄγγελος ἦλθεν
μήτηρ, ἥ μ' ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντος.
καὶ δὲ σὲ γιγνώσκω, Πρίαμε, φρεσὶν, οὐδέ με λήθεις,
ὅττι θεῶν τίς σ' ἦγε θοὰς ἐπὶ νῆας Ἀχαιῶν·
οὐ γάρ κε τλαίη βροτὸς ἐλθέμεν, οὐδὲ μάλ' ἡβῶν,
ἐς στρατόν· οὔτε γὰρ ἂν φυλακοὺς λάθοι, οὐδέ κ' ὀχῆα
ῥεῖα μετοχλίσσειε θυράων ἡμετεράων.
τῶι νῦν μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνηις,
Achilles μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίηισιν ἐάσω
καὶ ἱκέτην περ ἐόντα, Διὸς δ' ἀλίτωμαι ἐφετμάς."
24.592 "μή μοι, Πάτροκλε, σκυδμαινέμεν, αἴ κε πύθηαι
εἰν Ἄϊδός περ ἐὼν ὅτι Ἕκτορα δῖον ἔλυσα
πατρὶ φίλωι, ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα.
Achilles σοὶ δ' αὖ ἐγὼ καὶ τῶνδ' ἀποδάσσομαι ὅσσ' ἐπέοικεν."
24.599 "υἱὸς μὲν δή τοι λέλυται, γέρον, ὡς ἐκέλευες,
κεῖται δ' ἐν λεχέεσσ'· ἅμα δ' ἠοῖ φαινομένηφιν
ὄψεαι αὐτὸς ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.
καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,
τῆι_περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
✦ ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.
τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο
χωόμενος Νιόβηι, τὰς δ' Ἄρτεμις ἰοχέαιρα,
οὕνεκ' ἄρα Λητοῖ ἰσάσκετο καλλιπαρήωι·
φῆ δοιὼ τεκέειν, ἡ δ' αὐτὴ γείνατο πολλούς·
τὼ δ' ἄρα, καὶ δοιώ περ ἐόντ', ἀπὸ πάντας ὄλεσσαν.
οἱ μὲν ἄρ' ἐννῆμαρ κέατ' ἐν φόνωι, οὐδέ τις ἦεν
κατθάψαι, λαοὺς δὲ λίθους ποίησε Κρονίων·
τοὺς δ' ἄρα τῆι δεκάτηι θάψαν θεοὶ Οὐρανίωνες.
ἡ δ' ἄρα σίτου μνήσατ', ἐπεὶ κάμε δάκρυ_χέουσα.
νῦν δέ που ἐν πέτρηισιν, ἐν οὔρεσιν οἰοπόλοισιν,
ἐν Σιπύλωι, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς
νυμφάων, αἵ_τ' ἀμφ' Ἀχελώϊον ἐρρώσαντο,
ἔνθα λίθος περ ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει.
ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα, δῖε γεραιέ,
σίτου, ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοισθα, **Achilles**
Ἴλιον εἰσαγαγών· πολυδάκρυτος δέ τοι ἔσται."
"Ἀτρείδη, περὶ μέν σε φάμεν Διὶ τερπικεραύνωι **24.24**
ἀνδρῶν ἡρώων φίλον ἔμμεναι ἤματα πάντα,
οὕνεκα πολλοῖσίν τε καὶ ἰφθίμοισιν ἄνασσες
δήμωι ἔνι Τρώων, ὅθι πάσχομεν ἄλγε' Ἀχαιοί.
ἦ τ' ἄρα καὶ σοὶ πρῶϊ παραστήσεσθαι ἔμελλεν
Μοῖρ' ὀλοή, τὴν οὔτις ἀλεύεται ὅς κε γένηται.
ὡς ὄφελες τιμῆς ἀπονήμενος, ἧς_περ ἄνασσες,
δήμωι ἔνι Τρώων θάνατον καὶ πότμον ἐπισπεῖν·
τῶι κέν τοι τύμβον μὲν ἐποίησαν Παναχαιοί,
ἠδέ κε καὶ σῶι παιδὶ μέγα κλέος ἤρα' ὀπίσσω·
νῦν δ' ἄρα σ' οἰκτίστωι θανάτωι εἵμαρτο ἁλῶναι." **Achilles**
"ἐκτὸς μὲν δὴ λέξο, γέρον φίλε, μή τις Ἀχαιῶν **24.650**
ἐνθάδ' ἐπέλθησιν βουληφόρος, οἵ_τέ μοι αἰεὶ
βουλὰς βουλεύουσι παρήμενοι, ἣ θέμις ἐστίν·
τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,
αὐτίκ' ἂν ἐξείποι Ἀγαμέμνονι ποιμένι λαῶν,
καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένοιτο.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον,
ὄφρα τέως αὐτός τε μένω καὶ λαὸν ἐρύκω." **Achilles**
"μὴ δή μοι θάνατόν γε παραύδα, φαίδιμ' Ὀδυσσεῦ. **11.488**
βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλωι,
ἀνδρὶ πάρ' ἀκλήρωι, ὧι μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.
ἀλλ' ἄγε μοι τοῦ παιδὸς ἀγαυοῦ μῦθον ἐνίσπες,
ἢ ἔπετ' ἐς πόλεμον πρόμος ἔμμεναι ἠὲ καὶ οὐκί.
εἰπὲ δέ μοι, Πηλῆος ἀμύμονος εἴ τι πέπυσσαι,
ἢ ἔτ' ἔχει τιμὴν πολέσιν μετὰ Μυρμιδόνεσσιν,
ἦ μιν ἀτιμάζουσιν ἀν' Ἑλλάδα τε Φθίην τε,
οὕνεκά μιν κατὰ γῆρας ἔχει χεῖράς τε πόδας τε.
οὐ γὰρ ἐγὼν ἐπαρωγὸς ὑπ' αὐγὰς ἠελίοιο,
τοῖος ἐὼν οἷός ποτ' ἐνὶ Τροίηι εὐρείηι,
πέφνον λαὸν ἄριστον ἀμύνων Ἀργείοισιν.
εἰ τοιόσδ' ἔλθοιμι μίνυνθά περ ἐς πατέρος δῶ,
τῶι κέ τεωι στύξαιμι μένος καὶ χεῖρας ἀάπτους,
οἳ κεῖνον βιόωνται ἐέργουσίν τ' ἀπὸ τιμῆς." **Achilles**
"ἔσται τοι καὶ ταῦτα, γέρον Πρίαμ', ὡς σὺ κελεύεις· **24.669**
σχήσω γὰρ πόλεμον τόσσον χρόνον ὅσσον ἄνωγας."
"διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, **11.473**
σχέτλιε, τίπτ' ἔτι μεῖζον ἐνὶ φρεσὶ μήσεαι ἔργον;
πῶς ἔτλης Ἀϊδόσδε κατελθέμεν, ἔνθά τε νεκροὶ
ἀφραδέες ναίουσι, βροτῶν εἴδωλα καμόντων;" **Achilles**

Notes

Notes

INCLUDED

τοξεύειν. “ὃς μὲν κε βάληι τρήρωνα πέλειαν, 23.855
πάντας ἀειράμενος πελέκεας οἶκόνδε φερέσθω· Achilles
ὃς δέ κε μηρίνθοιο τύχηι, ὄρνιθος ἁμαρτών — or Poly-
ἥσσων γὰρ δὴ κεῖνο — ὁ δ’ οἴσεται ἡμιπέλεκκα.” poites

ILIAD THEN
ODYSSEY ASSCEND
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 995 lines 3.0

As some way-faring Man, who wanders o’er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF
ACHILLES
IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.59 “Ἀτρεΐδη, νῦν ἄμμε πάλιμπλαγχθέντας ὀΐω
ἂψ ἀπονοστήσειν, εἴ κεν θάνατόν γε φύγοιμεν,
εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς.
ἀλλ’ ἄγε δή τινα μάντιν ἐρείομεν, ἢ ἱερῆα,
ἢ καὶ ὀνειροπόλον — καὶ γάρ τ’ ὄναρ ἐκ Διός ἐστιν —
ὅς κ’ εἴποι ὅ τι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων,
εἴτ’ ἄρ ὅ γ’ εὐχωλῆς ἐπιμέμφεται εἴθ’ ἑκατόμβης,
αἴ κέν πως ἀρνῶν κνίσης αἰγῶν τε τελείων
Achilles βούλητ’ ἀντιάσας ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι.”
1.85 “θαρσήσας μάλα εἰπὲ θεοπρόπιον ὅ τι οἶσθα.
οὐ μὰ γὰρ Ἀπόλλωνα διίφιλον, ᾧ τε σύ, Κάλχαν,
εὐχόμενος Δαναοῖσι θεοπροπίας ἀναφαίνεις,
οὔ τις ἐμεῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο
σοὶ κοίλῃς παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει
συμπάντων Δαναῶν, οὐδ’ ἢν Ἀγαμέμνονα εἴπῃς,
Achilles ὃς νῦν πολλὸν ἄριστος Ἀχαιῶν εὔχεται εἶναι.”
1.122 “Ἀτρεΐδη κύδιστε, φιλοκτεανώτατε πάντων,
πῶς τάρ τοι δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί;
οὐδέ τί που ἴδμεν ξυνήϊα κείμενα πολλά·
ἀλλὰ τὰ μὲν πολίων ἐξεπράθομεν, τὰ δέδασται,
λαοὺς δ’ οὐκ ἐπέοικε παλίλλογα ταῦτ’ ἐπαγείρειν.
ἀλλὰ σὺ μὲν νῦν τήνδε θεῷ πρόες· αὐτὰρ Ἀχαιοὶ
τριπλῇ τετραπλῇ τ’ ἀποτείσομεν, αἴ κέ ποθι Ζεὺς
Achilles δῷσι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι.”
1.149 “ὤ μοι, ἀναιδείην ἐπιειμένε, κερδαλεόφρον,
πῶς τίς τοι πρόφρων ἔπεσιν πείθηται Ἀχαιῶν,
ἢ ὁδὸν ἐλθέμεναι, ἢ ἀνδράσιν ἶφι μάχεσθαι;
οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ’ ἤλυθον αἰχμητάων
δεῦρο μαχησόμενος, ἐπεὶ οὔ τί μοι αἴτιοί εἰσιν·
οὐ γάρ πώ ποτ’ ἐμὰς βοῦς ἤλασαν οὐδὲ μὲν ἵππους,
οὐδέ ποτ’ ἐν Φθίῃ ἐριβώλακι βωτιανείρῃ
καρπὸν ἐδηλήσαντ’, ἐπεὶ ἦ μάλα πολλὰ μεταξὺ
οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα·
ἀλλὰ σοί, ὦ μέγ’ ἀναιδές, ἅμ’ ἑσπόμεθ’, ὄφρα σὺ χαίρῃς,
τιμὴν ἀρνύμενοι Μενελάῳ σοί τε, κυνῶπα,
πρὸς Τρώων· τῶν οὔ τι μετατρέπε’ οὐδ’ ἀλεγίζεις·
καὶ δή μοι γέρας αὐτὸς ἀφαιρήσεσθαι ἀπειλεῖς,
ᾧ ἔπι πόλλ’ ἐμόγησα, δόσαν δέ μοι υἷες Ἀχαιῶν.
οὐ μὲν σοί ποτε ἶσον ἔχω γέρας, ὁππότ’ Ἀχαιοὶ
Τρώων ἐκπέρσωσ’ εὖ ναιόμενον πτολίεθρον,
ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο
χεῖρες ἐμαὶ διέπουσ’, ἀτὰρ ἤν ποτε δασμὸς ἵκηται,
σοὶ τὸ γέρας πολὺ μέζον, ἐγὼ δ’ ὀλίγον τε φίλον τε
ἔρχομ’ ἔχων ἐπὶ νῆας, ἐπεί κε κάμω πολεμίζων.
νῦν δ’ εἶμι Φθίηνδ’, ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν
οἴκαδ’ ἴμεν σὺν νηυσὶ κορωνίσιν, οὐδέ σ’ ὀΐω
Achilles ἐνθάδ’ ἄτιμος ἐὼν ἄφενος καὶ πλοῦτον ἀφύξειν.”
1.202 “τίπτ’ αὖτ’, αἰγιόχοιο Διὸς τέκος, εἰλήλουθας;
ἦ ἵνα ὕβριν ἴδῃ Ἀγαμέμνονος Ἀτρεΐδαο;
ἀλλ’ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τελέεσθαι ὀΐω·
ᾗς ὑπεροπλίῃσι τάχ’ ἄν ποτε θυμὸν ὀλέσσῃ.” Achilles
“χρὴ μὲν σφωΐτερόν γε, θεά, ἔπος εἰρύσσασθαι, 1.216
καὶ μάλα περ θυμῷ κεχολωμένον· ὣς γὰρ ἄμεινον.
ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ’ ἔκλυον αὐτοῦ.” Achilles
“οἰνοβαρές, κυνὸς ὄμματ’ ἔχων, κραδίην δ’ ἐλάφοιο, 1.225
οὔτέ ποτ’ ἐς πόλεμον ἅμα λαῷ θωρηχθῆναι
οὔτε λόχονδ’ ἰέναι σὺν ἀριστήεσσιν Ἀχαιῶν
τέτληκας θυμῷ· τὸ δέ τοι κὴρ εἴδεται εἶναι.
ἦ πολὺ λώϊόν ἐστι κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
δῶρ’ ἀποαιρεῖσθαι, ὅς τις σέθεν ἀντίον εἴπῃ.
δημοβόρος βασιλεύς, ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις·
ἦ γὰρ ἄν, Ἀτρεΐδη, νῦν ὕστατα λωβήσαιο.
ἀλλ’ ἔκ τοι ἐρέω, καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι·
ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔ ποτε φύλλα καὶ ὄζους
φύσει, ἐπεὶ δὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπεν,
οὐδ’ ἀναθηλήσει· περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψεν
φύλλά τε καὶ φλοιόν· νῦν αὖτέ μιν υἷες Ἀχαιῶν
ἐν παλάμῃς φορέουσι δικασπόλοι, οἵ τε θέμιστας
πρὸς Διὸς εἰρύαται· ὁ δέ τοι μέγας ἔσσεται ὅρκος·
ἦ ποτ’ Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν
σύμπαντας· τότε δ’ οὔ τι δυνήσεαι ἀχνύμενός περ
χραισμεῖν, εὖτ’ ἂν πολλοὶ ὑφ’ Ἕκτορος ἀνδροφόνοιο
θνήσκοντες πίπτωσι· σὺ δ’ ἔνδοθι θυμὸν ἀμύξεις
χωόμενος, ὅ τ’ ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισας.” Achilles
“ἦ γάρ κεν δειλός τε καὶ οὐτιδανὸς καλεοίμην, 1.293
εἰ δὴ σοὶ πᾶν ἔργον ὑπείξομαι ὅττί κεν εἴπῃς.
ἄλλοισιν δὴ ταῦτ’ ἐπιτέλλεο, μὴ γὰρ ἐμοί γε
σήμαιν’· οὐ γὰρ ἐγώ γ’ ἔτι σοὶ πείσεσθαι ὀΐω.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
χερσὶ μὲν οὔ τοι ἐγώ γε μαχήσομαι εἵνεκα κούρης,
οὔτε σοὶ οὔτε τῳ ἄλλῳ, ἐπεί μ’ ἀφέλεσθέ γε δόντες·
τῶν δ’ ἄλλων ἅ μοί ἐστι θοῇ παρὰ νηῒ μελαίνῃ,
τῶν οὐκ ἄν τι φέροις ἀνελὼν ἀέκοντος ἐμεῖο.
εἰ δ’ ἄγε μήν, πείρησαι, ἵνα γνώωσι καὶ οἵδε·
αἶψά τοι αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί.” Achilles
“χαίρετε, κήρυκες, Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν, 1.334
ἆσσον ἴτ’· οὔ τί μοι ὔμμες ἐπαίτιοι, ἀλλ’ Ἀγαμέμνων,
ὃ σφῶϊ προΐει Βρισηΐδος εἵνεκα κούρης.
ἀλλ’ ἄγε, διογενὲς Πατρόκλεις, ἔξαγε κούρην
καί σφωϊν δὸς ἄγειν. τὼ δ’ αὐτὼ μάρτυροι ἔστων
πρός τε θεῶν μακάρων πρός τε θνητῶν ἀνθρώπων
καὶ πρὸς τοῦ βασιλῆος ἀπηνέος, εἴ ποτε δ’ αὖτε
χρειὼ ἐμεῖο γένηται ἀεικέα λοιγὸν ἀμῦναι
τοῖς ἄλλοις. ἦ γὰρ ὅ γ’ ὀλοιῇσι φρεσὶ θυίει,
οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω,
ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχεοίατ’ Ἀχαιοί.” Achilles
“μῆτερ, ἐπεί μ’ ἔτεκές γε μινυνθάδιόν περ ἐόντα, 1.352
τιμήν πέρ μοι ὄφελλεν Ὀλύμπιος ἐγγυαλίξαι,
Ζεὺς ὑψιβρεμέτης· νῦν δ’ οὐδέ με τυτθὸν ἔτισεν.
ἦ γάρ μ’ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων

Achilles ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀπούρας."
1.365 "οἶσθα· τίη τοι ταῦτα ἰδυίηι πάντ' ἀγορεύω;
ᾠχόμεθ' ἐς Θήβην, ἱερὴν πόλιν Ἠετίωνος,
τὴν δὲ διεπράθομέν τε καὶ ἤγομεν ἐνθάδε πάντα.
καὶ τὰ μὲν εὖ δάσσαντο μετὰ σφίσιν υἷες Ἀχαιῶν,
ἐκ δ' ἕλον Ἀτρείδηι Χρυσηΐδα καλλιπάρῃον.
Χρύσης δ' αὖθ', ἱερεὺς ἑκατηβόλου Ἀπόλλωνος,
ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν χαλκοχιτώνων
λυσόμενός τε θύγατρα φέρων τ' ἀπερείσι' ἄποινα,
στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος
χρυσέωι ἀνὰ σκήπτρωι, καὶ‿λίσσετο πάντας Ἀχαιούς,
Ἀτρείδα δὲ μάλιστα δύω, κοσμήτορε λαῶν.
ἔνθ' ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοὶ
αἰδεῖσθαί θ' ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα·
ἀλλ' οὐκ Ἀτρείδηι Ἀγαμέμνονι ἥνδανε θυμῶι,
ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν.
χωόμενος δ' ὁ γέρων πάλιν ᾤχετο· τοῖο δ' Ἀπόλλων
εὐξαμένου ἤκουσεν, ἐπεὶ μάλα οἱ φίλος ἦεν,
ἧκε δ' ἐπ' Ἀργείοισι κακὸν βέλος· οἱ δέ νυ λαοὶ
θνῆισκον ἐπασσύτεροι, τὰ δ' ἐπῴχετο κῆλα θεοῖο
πάντηι ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν· ἄμμι δὲ μάντις
εὖ εἰδὼς ἀγόρευε θεοπροπίας Ἑκάτοιο.
αὐτίκ' ἐγὼ πρῶτος κελόμην θεὸν ἱλάσκεσθαι·
Ἀτρείωνα δ' ἔπειτα χόλος λάβεν, αἶψα δ' ἀναστὰς
ἠπείλησεν μῦθον, ὃ δὴ τετελεσμένος ἐστίν.
τὴν μὲν γὰρ σὺν νηῒ θοῆι ἑλίκωπες Ἀχαιοὶ
ἐς Χρύσην πέμπουσιν, ἄγουσι δὲ δῶρα ἄνακτι·
τὴν δὲ νέον κλισίηθεν ἔβαν κήρυκες ἄγοντες
κούρην Βρισῆος, τήν μοι δόσαν υἷες Ἀχαιῶν.
ἀλλὰ σύ, εἰ δύνασαί γε, περίσχεο παιδὸς ἑῆος·
ἐλθοῦσ' Οὔλυμπόνδε Δία λίσαι, εἴ‿ποτε δή τι
ἢ ἔπει ὤνησας κραδίην Διὸς ἠὲ καὶ ἔργωι.
πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα
εὐχομένης, ὅτ' ἔφησθα κελαινεφέϊ Κρονίωνι
οἴη ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,
ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη,
ἀλλὰ σὺ τόν‿γ' ἐλθοῦσα, θεά, ὑπελύσαο δεσμῶν,
ὦχ' ἑκατόγχειρον καλέσασ' ἐς μακρὸν Ὄλυμπον,
ὃν Βριάρεων καλέουσι θεοί, ἄνδρες δέ τε πάντες
Αἰγαίων' — ὁ γὰρ αὖτε βίην οὗ πατρὸς ἀμείνων·
ὅς ῥα παρὰ Κρονίωνι καθέζετο κύδεϊ γαίων·
τὸν καὶ ὑπέδδεισαν μάκαρες θεοὶ οὐδέ τ' ἔδησαν.
τῶν νῦν μιν μνήσασα παρέζεο καὶ λαβὲ γούνων,
αἴ κέν πως ἐθέλησιν ἐπὶ Τρώεσσιν ἀρῆξαι,
τοὺς δὲ κατὰ πρύμνας τε καὶ ἀμφ' ἅλα ἔλσαι Ἀχαιοὺς
κτεινομένους, ἵνα πάντες ἐπαύρωνται βασιλῆος,
◆ γνῶι δὲ καὶ Ἀτρείδης εὐρὺ‿κρείων Ἀγαμέμνων
Achilles ἣν ἄτην, ὅ‿τ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν."
9.197 "χαίρετον· ἦ φίλοι ἄνδρες ἱκάνετον· ἦ τι μάλα χρεώ,

οἵ μοι σκυζομένωι περ Ἀχαιῶν φίλτατοί ἐστον." Achilles
"μείζονα δὴ κρητῆρα, Μενοιτίου υἱέ, καθίστα· 9.202
ζωρότερον δὲ κέραιε, δέπας δ' ἔντυνον ἑκάστωι·
οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῶι ὑπέασι μελάθρωι." Achilles
"διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, 9.308
χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποειπεῖν,
ἧι‿περ δὴ φρονέω τε καὶ ὡς τετελεσμένον ἔσται,
ὡς μή μοι τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος.
ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν
ὅς χ' ἕτερον μὲν κεύθηι ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπηι. ◆
αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα·
οὔτ' ἐμέ‿γ' Ἀτρείδην Ἀγαμέμνονα πεισέμεν οἴω
οὔτ' ἄλλους Δαναούς, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
μάρνασθαι δηΐοισιν ἐπ' ἀνδράσι νωλεμὲς αἰεί.
ἴση μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι·
ἐν δὲ ἰῆι τιμῆι ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός·
κάτθαν' ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς.
οὐδέ τί μοι περίκειται, ἐπεὶ πάθον ἄλγεα θυμῶι,
αἰὲν ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.
ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσιν
μάστακ', ἐπεί κε λάβῃσι, κακῶς δ' ἄρα οἱ πέλει αὐτῆι,
ὣς καὶ ἐγὼ πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον,
ἤματα δ' αἱματόεντα διέπρησσον πολεμίζων,
ἀνδράσι μαρνάμενος ὀάρων ἕνεκα σφετεράων.
δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων,
πεζὸς δ' ἕνδεκά φημι κατὰ Τροίην ἐρίβωλον·
τάων ἐκ πασέων κειμήλια πολλὰ καὶ ἐσθλὰ
ἐξελόμην, καὶ πάντα φέρων Ἀγαμέμνονι δόσκον
Ἀτρείδηι· ὁ δ' ὄπισθε μένων παρὰ νηυσὶ θοῆισιν
δεξάμενος διὰ παῦρα δασάσκετο, πολλὰ δ' ἔχεσκεν.
ἄλλα δ' ἀριστήεσσι δίδου γέρα καὶ βασιλεῦσιν·
τοῖσι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν
εἵλετ', ἔχει δ' ἄλοχον θυμαρέα· τῆι παριαύων
τερπέσθω. τί δὲ δεῖ πολεμιζέμεναι Τρώεσσιν
τὸ πρὶν ἐπ᾽ εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
οὐδ᾽ ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει,
Φοίβου Ἀπόλλωνος, Πυθοῖ ἔνι πετρηέσσηι.
ληϊστοὶ μὲν γάρ τε βόες καὶ ἴφια μῆλα,
κτητοὶ δὲ τρίποδές τε καὶ ἵππων ξανθὰ κάρηνα·
ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λεϊστὴ
οὔθ᾽ ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.
μήτηρ γάρ τέ μέ φησι θεὰ Θέτις ἀργυρόπεζα
διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλοσδε·
εἰ μέν κ᾽ αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
ὤλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται·
εἰ δέ κεν οἴκαδ᾽ ἵκωμαι φίλην ἐς πατρίδα γαῖαν,
ὤλετό μοι κλέος ἐσθλόν, ἐπὶ δηρὸν δέ μοι αἰὼν
ἔσσεται, οὐδέ κέ μ᾽ ὦκα τέλος θανάτοιο κιχείη.
καὶ δ᾽ ἂν τοῖς ἄλλοισιν ἐγὼ παραμυθησαίμην
οἴκαδ᾽ ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆς· μάλα γάρ ἑθεν εὐρύοπα Ζεὺς
χεῖρα ἑὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
ἀλλ᾽ ὑμεῖς μὲν ἰόντες ἀριστήεσσιν Ἀχαιῶν
ἀγγελίην ἀπόφασθε — τὸ γὰρ γέρας ἐστὶ γερόντων —
ὄφρ᾽ ἄλλην φράζωνται ἐνὶ φρεσὶ μῆτιν ἀμείνω,
ἥ κέ σφιν νῆάς τε σοῶι καὶ λαὸν Ἀχαιῶν
νηυσὶν ἔπι γλαφυρῇς, ἐπεὶ οὔ σφισιν ἥδε γ᾽ ἑτοίμη,
ἣν νῦν ἐφράσσαντο, ἐμεῦ ἀπομηνίσαντος.
Φοῖνιξ δ᾽ αὖθι παρ᾽ ἄμμι μένων κατακοιμηθήτω,
ὄφρα μοι ἐν νήεσσι φίλην ἐς πατρίδ᾽ ἕπηται
αὔριον, ἢν ἐθέλησιν· ἀνάγκηι δ᾽ οὔ τί μιν ἄξω." **Achilles**
"Φοῖνιξ, ἄττα γεραιὲ, διοτρεφὲς, οὔ τί με ταύτης **9.607**
χρεὼ τιμῆς· φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσηι,
ἥ μ᾽ ἕξει παρὰ νηυσὶ κορωνίσιν, εἰς ὅ κ᾽ ἀϋτμὴ
ἐν στήθεσσι μένηι καί μοι φίλα γούνατ᾽ ὀρώρηι.
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων,
Ἀτρεΐδηι ἥρωϊ φέρων χάριν· οὐδὲ τί σε χρὴ
τὸν φιλέειν, ἵνα μή μοι ἀπέχθηαι φιλέοντι.
καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν ὅς κ᾽ ἐμὲ κήδηι.
ἶσον ἐμοὶ βασίλευε, καὶ ἥμισυ μείρεο τιμῆς.
οὗτοι δ᾽ ἀγγελέουσι, σὺ δ᾽ αὐτόθι λέξεο μίμνων
εὐνῆι ἔνι μαλακῆι· ἅμα δ᾽ ἠοῖ φαινομένηφιν
φρασσόμεθ᾽ ἤ κε νεώμεθ᾽ ἐφ᾽ ἡμέτερ᾽, ἦ κε μένωμεν." **Achilles**
"Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν, **9.644**
πάντά τί μοι κατὰ θυμὸν ἐείσω μυθήσασθαι·
ἀλλά μοι οἰδάνεται κραδίη χόλωι, ὁππότ᾽ ἐκείνων
μνήσομαι, ὥς μ᾽ ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν
Ἀτρεΐδης, ὡς εἴ τιν᾽ ἀτίμητον μετανάστην.
ἀλλ᾽ ὑμεῖς ἔρχεσθε καὶ ἀγγελίην ἀπόφασθε·
οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι αἱματόεντος,
πρίν γ᾽ υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι
κτείνοντ᾽ Ἀργείους, κατά τε σμῦξαι πυρὶ νῆας.
ἀμφὶ δέ τοι τῇμῇι κλισίηι καὶ νηΐ μελαίνηι

Achilles Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀΐω."
11.473 "διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
σχέτλιε, τίπτ' ἔτι μεῖζον ἐνὶ φρεσὶ μήσεαι ἔργον;
πῶς ἔτλης Ἀϊδόσδε κατελθέμεν, ἔνθά τε νεκροὶ
Achilles ἀφραδέες ναίουσι, βροτῶν εἴδωλα καμόντων;"
11.488 "μὴ δή μοι θάνατόν γε παραύδα, φαίδιμ' Ὀδυσσεῦ.
βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλωι,
ἀνδρὶ πάρ' ἀκλήρωι, ὧι μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.
ἀλλ' ἄγε μοι τοῦ παιδὸς ἀγαυοῦ μῦθον ἐνίσπες,
ἢ ἕπετ' ἐς πόλεμον πρόμος ἔμμεναι ἦε καὶ οὐκί.
εἰπὲ δέ μοι, Πηλῆος ἀμύμονος εἴ τι πέπυσσαι,
ἢ ἔτ' ἔχει τιμὴν πολέσιν μετὰ Μυρμιδόνεσσιν,
ἦ μιν ἀτιμάζουσιν ἀν' Ἑλλάδα τε Φθίην τε,
οὕνεκά μιν κατὰ γῆρας ἔχει χεῖράς τε πόδας τε.
οὐ γὰρ ἐγὼν ἐπαρωγὸς ὑπ' αὐγὰς ἠελίοιο,
τοῖος ἐὼν οἷός ποτ' ἐνὶ Τροίηι εὐρείηι,
πέφνον λαὸν ἄριστον ἀμύνων Ἀργείοισιν.
εἰ τοιόσδ' ἔλθοιμι μίνυνθά περ ἐς πατέρος δῶ,
τῶι κέ τεωι στύξαιμι μένος καὶ χεῖρας ἀάπτους,
Achilles οἳ κεῖνον βιόωνται ἐέργουσίν τ' ἀπὸ τιμῆς."
11.608 "δῖε Μενοιτιάδη, τῶμῶι κεχαρισμένε θυμῶι,
νῦν ὀΐω περὶ γούνατ' ἐμὰ στήσεσθαι Ἀχαιοὺς
λισσομένους· χρειὼ γὰρ ἱκάνεται οὐκέτ' ἀνεκτός.
ἀλλ' ἴθι νῦν, Πάτροκλε διίφιλε, Νέστορ' ἔρειο
ὅν_τινα τοῦτον ἄγει βεβλημένον ἐκ πολέμοιο.
ἤτοι μὲν τά_γ' ὄπισθε Μαχάονι πάντα ἔοικεν
τῶι Ἀσκληπιάδηι, ἀτὰρ οὐκ ἴδον ὄμματα φωτός·
Achilles ἵπποι γάρ με παρήϊξαν πρόσσω μεμαυῖαι."
16.7 "τίπτε δεδάκρυσαι, Πατρόκλεις, ἠΰτε κούρη
νηπίη, ἥ_θ' ἅμα μητρὶ θέουσ' ἀνελέσθαι ἀνώγει,
εἱανοῦ ἁπτομένη, καί τ' ἐσσυμένην κατερύκει,
δακρυόεσσα δέ μιν ποτιδέρκεται, ὄφρ' ἀνέληται;
τῆι ἴκελος, Πάτροκλε, τέρεν κατὰ δάκρυον εἴβεις.
ἠέ τι Μυρμιδόνεσσι πιφαύσκεαι, ἢ ἐμοὶ αὐτῶι;
ἠέ τιν' ἀγγελίην Φθίης ἒξ ἔκλυες οἶος;
ζώειν μὰν ἔτι φασὶ Μενοίτιον, Ἄκτορος υἱόν,
ζώει δ' Αἰακίδης Πηλεὺς μετὰ Μυρμιδόνεσσιν,
τῶν κε μάλ' ἀμφοτέρων ἀκαχοίμεθα τεθνηώτων.
◆ ἦε σύ_γ' Ἀργείων ὀλοφύρεαι, ὡς ὀλέκονται
νηυσὶν ἔπι γλαφυρῆισιν ὑπερβασίης ἕνεκα σφῆς;
Achilles ἐξαύδα, μὴ κεῦθε νόωι, ἵνα εἴδομεν ἄμφω."
16.49 "ὤι μοι, διογενὲς Πατρόκλεις, οἷον ἔειπες·
οὔτε θεοπροπίης ἐμπάζομαι, ἥν_τινα οἶδα,
οὔτέ τί μοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ·
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλησιν ἀμέρσαι
καὶ γέρας ἂψ ἀφελέσθαι, ὅ τε κράτεϊ προβεβήκηι·
αἰνόν ἄχος τό μοί ἐστιν, ἐπεὶ πάθον ἄλγεα θυμῶι.
κούρην ἣν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν,
δουρὶ δ' ἐμῶι κτεάτισσα, πόλιν εὐτείχεα πέρσας,
τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρείδης, ὡς_εἴ τιν' ἀτίμητον μετανάστην.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν· οὐδ' ἄρα πως ἦν
ἀσπερχὲς κεχολῶσθαι ἐνὶ φρεσίν· ἤτοι ἔφην γε
οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν, ἀλλ' ὁπότ' ἂν δὴ
νῆας ἐμὰς ἀφίκηται ἀϋτή τε πτόλεμός τε.
τύνη δ' ὤμοιιν μὲν ἐμὰ κλυτὰ τεύχεα δῦθι,
ἄρχε δὲ Μυρμιδόνεσσι φιλοπτολέμοισι μάχεσθαι,
εἰ δὴ κυάνεον Τρώων νέφος ἀμφιβέβηκεν
νηυσὶν ἐπικρατέως, οἱ δὲ ῥηγμῖνι θαλάσσης
κεκλίαται, χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες,
Ἀργεῖοι. Τρώων δὲ πόλις ἐπὶ πᾶσα βέβηκεν
θάρσυνος· οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον
ἐγγύθι λαμπομένης· τάχα κεν φεύγοντες ἐναύλους
πλήσειαν νεκύων, εἴ μοι κρείων Ἀγαμέμνων
ἤπια εἰδείη· νῦν δὲ στρατὸν ἀμφιμάχονται.
οὐ γὰρ Τυδείδεω Διομήδεος ἐν παλάμηισιν
μαίνεται ἐγχείη Δαναῶν ἀπὸ λοιγὸν ἀμῦναι·
οὐδέ πω Ἀτρείδεω ὀπὸς ἔκλυον αὐδήσαντος
ἐχθρῆς ἐκ κεφαλῆς· ἀλλ' Ἕκτορος ἀνδροφόνοιο
Τρωσὶ κελεύοντος περιάγνυται, οἱ δ' ἀλαλητῶι
πᾶν πεδίον κατέχουσι, μάχηι νικῶντες Ἀχαιούς.
ἀλλὰ καὶ ὧς, Πάτροκλε, νεῶν ἀπὸ λοιγὸν ἀμύνων
ἔμπεσ' ἐπικρατέως, μὴ δὴ πυρὸς αἰθομένοιο
νῆας ἐνιπρήσωσι, φίλον δ' ἀπὸ νόστον ἕλωνται.
πείθεο δ' ὥς τοι ἐγὼ μύθου τέλος ἐν φρεσὶ θείω,
ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρηαι
πρὸς πάντων Δαναῶν, ἀτὰρ οἱ περικαλλέα κούρην
ἂψ απονάσσωσιν, ποτὶ δ' ἀγλαὰ δῶρα πόρωσιν.
ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν· εἰ δέ κεν αὖ τοι
δώηι κῦδος ἀρέσθαι ἐρίγδουπος πόσις Ἥρης,
μὴ σύ_γ' ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν
Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις·
μηδ' ἐπαγαλλόμενος πολέμωι καὶ δηϊοτῆτι
Τρῶας ἐναιρόμενος, προτὶ Ἴλιον ἡγεμονεύειν,
μή τις ἀπ' Οὐλύμποιο θεῶν αἰειγενετάων
ἐμβήηι· μάλα τούς γε φιλεῖ ἑκάεργος Ἀπόλλων·
ἀλλὰ πάλιν τρωπᾶσθαι, ἐπὴν φάος ἐν νήεσσιν
θήηις, τοὺς δέ τ' ἐᾶν πεδίον κάτα δηριάασθαι.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
μήτέ τις οὖν Τρώων θάνατον φύγοι, ὅσσοι ἔασιν,
μήτε τις Ἀργείων, νῶϊν δ' ἐκδῦμεν ὄλεθρον, Achilles
ὄφρ' οἶοι Τροίης ἱερὰ κρήδεμνα λύωμεν."
"ὄρσεο, διογενὲς Πατρόκλεις, ἱπποκέλευθε — 16.126
λεύσσω δὴ παρὰ νηυσὶ πυρὸς δηΐοιο ἰωήν —
μὴ δὴ νῆας ἕλωσι καὶ οὐκέτι φυκτὰ πέλωνται·
δύσεο τεύχεα θᾶσσον, ἐγὼ δέ κε λαὸν ἀγείρω." Achilles
"Μυρμιδόνες, μή τίς μοι ἀπειλάων λελαθέσθω, 16.200
ἃς ἐπὶ νηυσὶ θοῇσιν ἀπειλεῖτε Τρώεσσιν

πάνθ' ὑπὸ μηνιθμόν, καί μ' ἠιτιάασθε ἕκαστος·
'σχέτλιε Πηλέος υἱέ, χόλωι ἄρα σ' ἔτρεφε μήτηρ,
νηλεές, ὃς παρὰ νηυσὶν ἔχεις ἀέκοντας ἑταίρους·
οἴκαδέ περ σὺν νηυσὶ νεώμεθα ποντοπόροισιν
αὖτις, ἐπεί ῥά τοι ὧδε κακὸς χόλος ἔμπεσε θυμῶι.'
ταῦτά μ' ἀγειρόμενοι θάμ' ἐβάζετε· νῦν δὲ πέφανται
φυλόπιδος μέγα ἔργον, ἕης τὸ πρίν γ' ἐράασθε.
Achilles ἔνθά τις ἄλκιμον ἦτορ ἔχων Τρώεσσι μαχέσθω."
16.233 "Ζεῦ ἄνα, Δωδωναῖε, Πελασγικέ, τηλόθι ναίων,
Δωδώνης μεδέων δυσχειμέρου· ἀμφὶ δὲ Σελλοὶ
σοὶ ναίουσ' ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι·
ἠμὲν δή ποτ' ἐμὸν ἔπος ἔκλυες εὐξαμένοιο,
τίμησας μὲν ἐμέ, μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν,
ἠδ' ἔτι καὶ νῦν μοι τόδ' ἐπικρήηνον ἐέλδωρ·
αὐτὸς μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι,
ἀλλ' ἕταρον πέμπω πολέσιν μετὰ Μυρμιδόνεσσιν
μάρνασθαι· τῶι κῦδος ἅμα πρόες, εὐρύοπα Ζεῦ,
θάρσυνον δέ οἱ ἦτορ ἐνὶ φρεσίν, ὄφρα καὶ Ἕκτωρ
εἴσεται ἤ ῥα καὶ οἶος ἐπίστηται πολεμίζειν
ἡμέτερος θεράπων, ἦ οἱ τότε χεῖρες ἄαπτοι
μαίνονθ', ὁππότ' ἐγώ περ ἴω μετὰ μῶλον ἄρηος.
αὐτὰρ ἐπεί κ' ἀπὸ ναῦφι μάχην ἐνοπήν τε δίηται,
ἀσκηθής μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἱκέσθω
Achilles τεύχεσί τε ξὺν πᾶσι καὶ ἀγχεμάχοις ἑτάροισιν."
18.6 "ὤ μοι ἐγώ, τί τ' ἄρ' αὖτε κάρη κομόωντες Ἀχαιοὶ
νηυσὶν ἔπι κλονέονται ἀτυζόμενοι πεδίοιο;
μὴ δή μοι τελέσωσι θεοὶ κακὰ κήδεα θυμῶι,
ὥς ποτέ μοι μήτηρ διεπέφραδε, καί μοι ἔειπεν,
Μυρμιδόνων τὸν ἄριστον ἔτι ζώοντος ἐμεῖο
χερσὶν ὕπο Τρώων λείψειν φάος ἠελίοιο.
ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός,
σχέτλιος· ἦ τ' ἐκέλευον ἀπωσάμενον δήϊον πῦρ
Achilles ἂψ ἐπὶ νῆας ἴμεν, μηδ' Ἕκτορι ἶφι μάχεσθαι."
18.79 "μῆτερ ἐμή, τὰ μὲν ἄρ μοι Ὀλύμπιος ἐξετέλεσσεν·
ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλεθ' ἑταῖρος,
Πάτροκλος, τὸν ἐγὼ περὶ πάντων τῖον ἑταίρων,
ἶσον ἐμῆι κεφαλῆι· τὸν ἀπώλεσα, τεύχεα δ' Ἕκτωρ
δηιώσας ἀπέδυσε πελώρια, θαῦμα ἰδέσθαι,
καλά· τὰ μὲν Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
ἤματι τῶι, ὅτε σε βροτοῦ ἀνέρος ἔμβαλον εὐνῆι.
αἴθ' ὄφελες σὺ μὲν αὖθι μετ' ἀθανάτηις ἁλίηισιν
ναίειν, Πηλεὺς δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν·
νῦν δ' ἵνα καὶ σοὶ πένθος ἐνὶ φρεσὶ μυρίον εἴη
παιδὸς ἀποφθιμένοιο, τὸν οὐχ ὑποδέξεαι αὖτις
οἴκαδε νοστήσαντ', ἐπεὶ οὐδ' ἐμὲ θυμὸς ἄνωγεν
ζώειν οὐδ' ἄνδρεσσι μετέμμεναι, αἴ κε μὴ Ἕκτωρ
πρῶτος ἐμῶι ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσηι,
Achilles Πατρόκλοιο δ' ἕλωρα Μενοιτιάδεω ἀποτείσηι."
18.98 "αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρωι
κτεινομένωι ἐπαμῦναι· ὁ μὲν μάλα τηλόθι πάτρης
ἔφθιτ', ἐμεῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι.
νῦν δ', ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,
οὐδέ τι Πατρόκλωι γενόμην φάος οὐδ' ἑτάροισιν
τοῖς ἄλλοις, οἳ δὴ πολέες δάμεν Ἕκτορι δίωι,
ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης,
τοῖος ἐὼν οἷος οὔ τις Ἀχαιῶν χαλκοχιτώνων
ἐν πολέμωι· ἀγορῆι δέ τ' ἀμείνονές εἰσι καὶ ἄλλοι.
ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο,
καὶ χόλος, ὅς τ' ἐφέηκε πολύφρονά περ χαλεπῆναι,
ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο
ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται ἠΰτε καπνός·
ὡς ἐμὲ νῦν ἐχόλωσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ,
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκηι.
νῦν δ εἶμ', ὄφρα φίλης κεφαλῆς ὀλετῆρα κιχείω,
Ἕκτορα· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
Ζεὺς ἐθέληι τελέσαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.
οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος φύγε κῆρα,
ὅς περ φίλτατος ἔσκε Διὶ Κρονίωνι ἄνακτι·
ἀλλά ἑ Μοῖρ' ἐδάμασσε καὶ ἀργαλέος χόλος Ἥρης.
ὣς καὶ ἐγών, εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται,
κείσομ', ἐπεί κε θάνω. νῦν δὲ κλέος ἐσθλὸν ἀροίμην
καί τινα Τρωϊάδων καὶ Δαρδανίδων βαθυκόλπων,
ἀμφοτέρηισιν χερσὶ παρειάων ἁπαλάων
δάκρυ' ὀμορξαμένην, ἁδινὸν στοναχῆσαι ἐφείην,
γνοῖεν δ' ὡς δὴ δηρὸν ἐγὼ πολέμοιο πέπαυμαι.
μηδέ μ' ἔρυκε μάχης, φιλέουσά περ· οὐδέ με πείσεις." Achilles
"Ἶρι θεά, τίς τάρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκεν;" Ach. 18.182
"πῶς τ' ἄρ ἴω μετὰ μῶλον; ἔχουσι δὲ τεύχεα κεῖνοι· 18.188
μήτηρ δ' οὔ με φίλη πρίν γ' εἴα θωρήσσεσθαι,
πρίν γ' αὐτὴν ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι·
στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν ἔντεα καλά.
ἄλλου δ' οὔ τευ οἶδα τεῦ ἂν κλυτὰ τεύχεα δύω,
εἰ μὴ Αἴαντός γε σάκος Τελαμωνιάδαο.
ἀλλὰ καὶ αὐτὸς ὅ γ', ἔλπομ', ἐνὶ πρώτοισιν ὁμιλεῖ,
ἔγχεϊ δηϊόων περὶ Πατρόκλοιο θανόντος." Achilles
"ὢ πόποι, ἦ ῥ' ἅλιον ἔπος ἔκβαλον ἤματι κείνωι, 18.324
θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισιν·
φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν
Ἴλιον ἐκπέρσαντα, λαχόντα τε ληΐδος αἶσαν.
ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾶι·
ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεῦσαι
αὐτοῦ ἐνὶ Τροίηι, ἐπεὶ οὐδ' ἐμὲ νοστήσαντα
δέξεται ἐν μεγάροισι γέρων ἱππηλάτα Πηλεὺς
οὐδὲ Θέτις μήτηρ, ἀλλ' αὐτοῦ γαῖα καθέξει.
νῦν δ' ἐπεὶ οὖν, Πάτροκλε, σεῦ ὕστερος εἶμ' ὑπὸ γαῖαν,
οὔ σε πρὶν κτερίω, πρὶν Ἕκτορος ἐνθάδ' ἐνεῖκαι
τεύχεα καὶ κεφαλήν, μεγαθύμου σεῖο φονῆος·
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσω
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.

τόφρα δέ μοι παρὰ νηυσὶ κορωνίσι κείσεαι αὔτως,
ἀμφὶ δέ σε Τρωιαὶ καὶ Δαρδανίδες βαθύκολποι
κλαύσονται νύκτας τε καὶ ἤματα δάκρυ_χέουσαι,
τὰς αὐτοὶ καμόμεσθα βίηφί τε δουρί τε μακρῶι,
Achilles πιείρας πέρθοντε πόλις μερόπων ἀνθρώπων."
19.21 "μῆτερ ἐμή, τὰ μὲν ὅπλα θεὸς πόρεν οἷ᾽ ἐπιεικὲς
ἔργ᾽ ἔμεν ἀθανάτων, μηδὲ βροτὸν ἄνδρα τελέσσαι.
νῦν δ᾽ ἤτοι μὲν ἐγὼ θωρήξομαι· ἀλλὰ μάλ᾽ αἰνῶς
δείδω, μή μοι τόφρα Μενοιτίου ἄλκιμον υἱὸν
μυῖαι καδδῦσαι κατὰ χαλκοτύπους ὠτειλὰς
εὐλὰς ἐγγείνωνται, ἀεικίσσωσι δὲ νεκρόν —
Achilles ἐκ δ᾽ αἰὼν πέφαται — κατὰ δὲ χρόα πάντα σαπήηι."
19.56 "Ἀτρεΐδη, ἦ ἄρ τι τόδ᾽ ἀμφοτέροισιν ἄρειον
ἔπλετο, σοὶ καὶ ἐμοί, ὅ_τε νῶϊ περ ἀχνυμένω κῆρ,
θυμοβόρωι ἔριδι μενεήναμεν εἵνεκα κούρης.
τὴν ὄφελ᾽ ἐν νήεσσι κατακτάμεν Ἄρτεμις ἰῶι,
ἤματι τῶι ὅτ᾽ ἐγὼν ἑλόμην Λυρνησσὸν ὀλέσσας·
τῶι κ᾽ οὐ τόσσοι Ἀχαιοὶ ὀδὰξ ἕλον ἄσπετον οὖδας
δυσμενέων ὑπὸ χερσὶν, ἐμεῦ ἀπομηνίσαντος.
Ἕκτορι μὲν καὶ Τρωσὶ τὸ κερδιον· αὐτὰρ Ἀχαιοὺς
δηρὸν ἐμῆς καὶ σῆς ἔριδος μνήσεσθαι ὀΐω.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ,
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκηι.
νῦν δ᾽ ἤτοι μὲν ἐγὼ παύω χόλον, οὐδέ τί με χρὴ
ἀσκελέως αἰεὶ μενεαινέμεν. ἀλλ᾽ ἄγε θᾶσσον
ὄτρυνον πόλεμόνδε κάρη_κομόωντας Ἀχαιούς,
ὄφρ᾽ ἔτι καὶ Τρώων πειρήσομαι ἀντίος ἐλθὼν,
αἴ κ᾽ ἐθέλωσ᾽ ἐπὶ νηυσὶν ἰαύειν. ἀλλά τιν᾽ οἴω
ἀσπασίως αὐτῶν γόνυ κάμψειν, ὅς κε φύγησιν
Achilles δηΐου ἐκ πολέμοιο ὑπ᾽ ἔγχεος ἡμετέροιο."
19.146 "Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
δῶρα μεν, αἴ κ᾽ ἐθέλῃσθα, παρασχέμεν, ὡς ἐπιεικὲς,
ἦ_τ᾽ ἐχέμεν· παρὰ σοί. νῦν δὲ μνησώμεθα χάρμης
αἶψα μάλ᾽· οὐ γὰρ χρὴ κλοτοπεύειν ἐνθάδ᾽ ἐόντας
οὐδὲ διατρίβειν· ἔτι γὰρ μέγα ἔργον ἄρεκτον·
ὥς κέ τις αὖτ᾽ Ἀχιλῆα μετὰ πρώτοισιν ἴδηται
ἔγχεϊ χαλκείωι Τρώων ὀλέκοντα φάλαγγας.
Achilles ὧδέ τις ὑμείων μεμνημένος ἀνδρὶ μαχέσθω."
19.199 "Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
ἄλλοτέ περ καὶ μᾶλλον ὀφέλλετε ταῦτα πένεσθαι,
ὁππότε τις μεταπαυσωλὴ πολέμοιο γένηται
καὶ μένος οὐ τόσον ἦσιν ἐνὶ στήθεσσιν ἐμοῖσιν.
νῦν δ᾽ οἱ μὲν κέαται δεδαϊγμένοι, οὓς ἐδάμασσεν
Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν,
ὑμεῖς δ᾽ ἐς βρωτὺν ὀτρύνετον. ἦ τ᾽ ἂν ἐγώ_γε
νῦν μὲν ἀνώγοιμι πτολεμίζειν υἷας Ἀχαιῶν
νήστιας ἀκμήνους, ἅμα δ᾽ ἠελίωι καταδύντι
τεύξεσθαι μέγα δόρπον, ἐπὴν τισαίμεθα λώβην.
πρὶν δ᾽ οὔ_πως ἂν ἐμοί_γε φίλον κατὰ λαιμὸν ἰείη
οὐ πόσις οὐδὲ βρῶσις, ἑταίρου τεθνηῶτος,
ὅς μοι ἐνὶ κλισίηι δεδαϊγμένος ὀξέϊ χαλκῶι
κεῖται, ἀνὰ πρόθυρον τετραμμένος, ἀμφὶ δ᾽ ἑταῖροι
μύρονται· τό μοι οὔ_τι μετὰ φρεσὶ ταῦτα μέμηλεν,
ἀλλὰ φόνος τε καὶ αἷμα καὶ ἀργαλέος στόνος ἀνδρῶν." Achilles
"Ζεῦ πάτερ, ἦ μεγάλας ἄτας ἄνδρεσσι διδοῖσθα. 19.270
οὐκ ἂν δή_ποτε θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν
Ἀτρεΐδης ὤρινε διαμπερὲς, οὐδέ κε κούρην
ἦγεν ἐμεῦ ἀέκοντος ἀμήχανος. ἀλλά ποθι Ζεὺς
ἤθελ᾽ Ἀχαιοῖσιν θάνατον πολέεσσι γενέσθαι.
νῦν δ᾽ ἔρχεσθ᾽ ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα." Achilles
"λίσσομαι, εἴ τις ἐμοί_γε φίλων ἐπιπείθεθ᾽ ἑταίρων, 19.305
μή με πρὶν σίτοιο κελεύετε μηδὲ ποτῆτος
ἄσασθαι φίλον ἦτορ, ἐπεί μ᾽ ἄχος αἰνὸν ἱκάνει,
δύντα δ᾽ ἐς ἠέλιον μενέω καὶ τλήσομαι ἔμπης." Achilles
"ἦ ῥά νύ μοί ποτε καὶ σὺ, δυσάμμορε, φίλταθ᾽ ἑταίρων, 19.315
αὐτὸς ἐνὶ κλισίηι λαρὸν παρὰ δεῖπνον ἔθηκας
αἶψα καὶ ὀτραλέως, ὁπότε σπερχοίατ᾽ Ἀχαιοὶ
Τρωσὶν ἐφ᾽ ἱπποδάμοισι φέρειν πολύδακρυν Ἄρηα·
νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένος, αὐτὰρ ἐμὸν κῆρ
ἄκμηνον πόσιος καὶ ἐδητύος, ἔνδον ἐόντων,
σῆι ποθῆι. οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι,
οὐδ᾽ εἴ κεν τοῦ πατρὸς ἀποφθιμένοιο πυθοίμην,
ὃς που νῦν Φθίηφι τέρεν κατὰ δάκρυον εἴβει
χήτεϊ τοιοῦδ᾽ υἷος· ὁ δ᾽ ἀλλοδαπῶι ἐνὶ δήμωι
εἵνεκα ῥιγεδανῆς Ἑλένης Τρωσὶν πολεμίζω·
ἠὲ τὸν ὃς Σκύρωι μοι ἐνιτρέφεται φίλος υἱός.
εἴ που ἔτι ζώει γε Νεοπτόλεμος θεοειδής.
πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
οἶον ἐμὲ φθείσεσθαι ἀπ᾽ Ἄργεος ἱπποβότοιο
αὐτοῦ ἐνὶ Τροίηι, σὲ δέ τε Φθίηνδε νέεσθαι,
ὡς ἄν μοι τὸν παῖδα θοῆι σὺν νηῒ μελαίνηι
Σκυρόθεν ἐξαγάγοις καί οἱ δείξειας ἕκαστα,
κτῆσιν ἐμὴν δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα.
ἤδη γὰρ Πηλῆά γ᾽ ὀΐομαι ἢ κατὰ πάμπαν
τεθνάμεν, ἤ που τυτθὸν ἔτι ζώοντ᾽ ἀκάχησθαι
γήραΐ τε στυγερῶι καὶ ἐμὴν ποτιδέγμενον αἰεὶ
λυγρὴν ἀγγελίην, ὅτ᾽ ἀποφθιμένοιο πύθηται." Achilles
"Ξάνθέ τε καὶ Βαλίε, τηλεκλυτὰ τέκνα Ποδάργης, 19.400
ἄλλως δὴ φράζεσθε σαωσέμεν ἡνιοχῆα
ἂψ Δαναῶν ἐς ὅμιλον, ἐπεὶ χ᾽ ἕωμεν πολέμοιο,
μηδ᾽ ὡς Πάτροκλον λίπετ᾽ αὐτόθι τεθνηῶτα." Achilles
"Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί σε χρή. 19.420
ἄλλως δὴ φράζεσθε σαωσέμεν ἡνιοχῆα
ἂψ Δαναῶν ἐς ὅμιλον, ἐπεὶ χ᾽ ἕωμεν πολέμοιο,
μηδ᾽ ὡς Πάτροκλον λίπετ᾽ αὐτόθι τεθνηῶτα." Achilles
"Αἰνεία, τί σὺ τόσσον ὁμίλου πολλὸν ἐπελθὼν 20.178
ἔστης; ἦ σέ_γε θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει
ἐλπόμενον Τρώεσσιν ἀνάξειν ἱπποδάμοισιν
τιμῆς τῆς Πριάμου; ἀτὰρ εἴ κεν ἔμ᾽ ἐξεναρίξῃς,
οὔ τοι τοὔνεκά γε Πρίαμος γέρας ἐν χερὶ θήσει·

εἰσὶν γάρ οἱ παῖδες, ὁ δ' ἔμπεδος οὐδ' ἀεσίφρων.
ἦ νύ τί τοι Τρῶες τέμενος τάμον ἔξοχον ἄλλων,
καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμηαι,
αἴ κεν ἐμὲ κτείνηις; χαλεπῶς δέ σ' ἔολπα τὸ ῥέξειν.
ἤδη μὲν σέ_γέ φημι καὶ ἄλλοτε δουρὶ φοβῆσαι.
ἦ οὐ μέμνηι ὅτε πέρ σε βοῶν ἄπο, μοῦνον ἐόντα,
σεῦα κατ' Ἰδαίων ὀρέων ταχέεσσι πόδεσσιν
καρπαλίμως; τότε δ' οὔ_τι μετατροπαλίζεο φεύγων.
ἔνθεν δ' ἐς Λυρνησσὸν ὑπέκφυγες· αὐτὰρ ἐγὼ τὴν
πέρσα, μεθορμηθεὶς σὺν Ἀθήνηι καὶ Διὶ πατρί,
ληϊάδας δὲ γυναῖκας, ἐλεύθερον ἦμαρ ἀπούρας,
ἦγον· ἀτὰρ σὲ Ζεὺς ἐρρύσατο καὶ θεοὶ ἄλλοι.
ἀλλ' οὐ νῦν σε ῥύεσθαι ὀΐομαι, ὡς ἐνὶ θυμῶι
βάλλεαι· ἀλλά σ' ἐγώ_γ' ἀναχωρήσαντα κελεύω
ἐς πληθὺν ἰέναι, μηδ' ἀντίος ἵστασ' ἐμεῖο,
Achilles πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω."
20.344 "ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι.
ἔγχος μὲν τόδε κεῖται ἐπὶ χθονός, οὐδέ τι φῶτα
λεύσσω τῶι ἐφέηκα κατακτάμεναι μενεαίνων.
ἦ ῥα καὶ Αἰνείας φίλος ἀθανάτοισι θεοῖσιν
ἦεν· ἀτάρ μιν ἔφην μὰψ αὔτως εὐχετάασθαι.
ἐρρέτω· οὔ οἱ θυμὸς ἐμεῦ ἔτι πειρηθῆναι
ἔσσεται, ὡς καὶ νῦν φύγεν ἄσμενος ἐκ θανάτοιο.
ἀλλ' ἄγε δὴ Δαναοῖσι φιλοπτολέμοισι κελεύσας
Achilles τῶν ἄλλων Τρώων πειρήσομαι ἀντίος ἐλθών."
20.354 "μηκέτι νῦν Τρώων ἑκὰς ἕστατε, δῖοι Ἀχαιοί,
ἀλλ' ἄγ' ἀνὴρ ἄντ' ἀνδρὸς ἴτω, μεμάτω δὲ μάχεσθαι.
ἀργαλέον δέ μοί ἐστι καὶ ἰφθίμωι περ ἐόντι,
τοσσούσδ' ἀνθρώπους ἐφέπειν καὶ πᾶσι μάχεσθαι·
οὐδὲ κ' Ἄρης, ὅς_περ θεὸς ἄμβροτος, οὐδὲ κ' Ἀθήνη
τοσσῆσδ' ὑσμίνης ἐφέποι στόμα καὶ πονέοιτο·
ἀλλ' ὅσσον μὲν ἐγὼ δύναμαι χερσίν τε ποσίν τε
καὶ σθένει, οὔ μέ τί φημι μεθησέμεν, οὐδ' ἠβαιόν,
ἀλλὰ μάλα στιχὸς εἶμι διαμπερές, οὐδέ τιν' οἴω
Achilles Τρώων χαιρήσειν, ὅς_τις σχεδὸν ἔγχεος ἔλθηι."
20.389 "κεῖσαι, Ὀτρυντεΐδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν·
ἐνθάδε τοι θάνατος, γενεὴ δέ τοί ἐστ' ἐπὶ λίμνηι
Γυγαίηι, ὅθι τοι τέμενος πατρώϊόν ἐστιν,
Achilles Ὕλλωι ἐπ' ἰχθυόεντι καὶ Ἕρμωι δινήεντι."
20.425 "ἐγγὺς ἀνὴρ ὃς ἐμόν γε μάλιστ' ἐσεμάσσατο θυμόν,
ὅς μοι ἑταῖρον ἔπεφνε τετιμένον· οὐδ' ἂν ἔτι δὴν
Achilles ἀλλήλους πτώσσοιμεν ἀνὰ πτολέμοιο γεφύρας."
20.429 "ἆσσον ἴθ' ὥς κεν θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι."
20.449 Ach. "ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον· ἦ τέ τοι ἄγχι
ἦλθε κακόν· νῦν αὖτέ σ' ἐρύσσατο Φοῖβος Ἀπόλλων,
ὧι μέλλεις εὔχεσθαι ἰὼν ἐς δοῦπον ἀκόντων.
ἦ θήν σ' ἐξανύω γε, καὶ ὕστερον ἀντιβολήσας,
εἴ πού τις καὶ ἔμοι_γε θεῶν ἐπιτάρροθός ἐστιν.
Achilles νῦν δ' ἄλλους Τρώων ἐπιείσομαι, ὅν κε κιχείω."
21.54 "ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι.
ἦ μάλα δὴ Τρῶες μεγαλήτορες, οὕς_περ ἔπεφνον,
αὖτις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος,
οἷον δὴ καὶ ὅδ' ἦλθε φυγὼν ὕπο νηλεὲς ἦμαρ,
Λῆμνον ἐς ἠγαθέην πεπερημένος, οὐδέ μιν ἔσχεν
πόντος ἁλὸς πολιῆς, ὃ πολέας ἀέκοντας ἐρύκει.
ἀλλ' ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο
γεύσεται, ὄφρα ἴδωμαι ἐνὶ φρεσὶν ἠδὲ δαείω,
ἢ ἄρ' ὁμῶς καὶ κεῖθεν ἐλεύσεται, ἦ μιν ἐρύξει
γῆ φυσίζοος, ἥ_τε κατὰ κρατερόν περ ἐρύκει." Achilles
"νήπιε, μή μοι ἄποινα πιφαύσκεο μηδ' ἀγόρευε. 21.99
πρὶν μὲν γὰρ Πάτροκλον ἐπισπεῖν αἴσιμον ἦμαρ,
τόφρα τί μοι πεφιδέσθαι ἐνὶ φρεσὶ φίλτερον ἦεν
Τρώων, καὶ πολλοὺς ζωοὺς ἕλον ἠδ' ἐπέρασσα·
νῦν δ' οὐκ ἔσθ' ὅς_τις θάνατον φύγηι, ὅν κε θεός γε
Ἰλίου προπάροιθεν ἐμῆις ἐν χερσὶ βάλησιν,
καὶ πάντων Τρώων, πέρι δ' αὖ Πριάμοιό γε παίδων.
ἀλλά, φίλος, θάνε καὶ σύ· τίη ὀλοφύρεαι οὕτως;
κάτθανε καὶ Πάτροκλος, ὅ_περ σέο πολλὸν ἀμείνων.
οὐχ ὁράαις οἷος καὶ ἐγὼ καλός τε μέγας τε;
πατρὸς δ' εἰμ' ἀγαθοῖο, θεὰ δέ με γείνατο μήτηρ·
ἀλλ' ἔπι τοι καὶ ἐμοὶ θάνατος καὶ μοῖρα κραταιή —
ἔσσεται ἢ ἠὼς ἢ δειέλη ἢ μέσον ἦμαρ —
ὁππότε τις καὶ ἐμεῖο Ἄρει ἐκ θυμὸν ἕληται,
ἢ ὅ_γε δουρὶ βαλών, ἢ ἀπὸ νευρῆφιν ὀϊστῶι." Achilles
"ἐνταυθοῖ νῦν κεῖσο μετ' ἰχθύσιν, οἵ σ' ὠτειλὴν 21.122
αἷμ' ἀπολιχμήσονται ἀκηδέες· οὐδέ σε μήτηρ
ἐνθεμένη λεχέεσσι γοήσεται, ἀλλὰ Σκάμανδρος
οἴσει δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον.
θρώισκων τις κατὰ κῦμα μέλαιναν φρῖχ' ὑπαΐξει
ἰχθύς, ὅς κε φάγηισι Λυκάονος ἀργέτα δημόν.
φθείρεσθ', εἰς ὅ κεν ἄστυ κιχείομεν Ἰλίου ἱρῆς,
ὑμεῖς μὲν φεύγοντες, ἐγὼ δ' ὄπιθεν κεραΐζων.
οὐδ' ὑμῖν ποταμός περ ἐΰρροος ἀργυροδίνης
ἀρκέσει, ὧι δὴ δηθὰ πολεῖς ἱερεύετε ταύρους,
ζωοὺς δ' ἐν δίνηισι καθίετε μώνυχας ἵππους.
ἀλλὰ καὶ ὣς ὀλέεσθε κακὸν μόρον, εἰς ὅ κε πάντες
τείσετε Πατρόκλοιο φόνον καὶ λοιγὸν Ἀχαιῶν,
οὓς ἐπὶ νηυσὶ θοῆισιν ἐπέφνετε νόσφιν ἐμεῖο." Achilles
"τίς πόθεν εἶς ἀνδρῶν, ὅ μοι ἔτλης ἀντίος ἐλθεῖν; 21.150
δυστήνων δέ τε παῖδες ἐμῶι μένει ἀντιόωσιν." Achilles
"κεῖσ' οὕτως· χαλεπόν τοι ἐρισθενέος Κρονίωνος 21.184
παισὶν ἐριζέμεναι, ποταμοῖό περ ἐκγεγαῶτι.
φῆσθα σὺ μὲν ποταμοῦ γένος ἔμμεναι εὐρὺ ῥέοντος,
αὐτὰρ ἐγὼ γενεὴν μεγάλου Διὸς εὔχομαι εἶναι.
τίκτε μ' ἀνὴρ πολλοῖσιν ἀνάσσων Μυρμιδόνεσσιν,
Πηλεὺς Αἰακίδης· ὁ δ' ἄρ' Αἰακὸς ἐκ Διὸς ἦεν.
τῶι κρείσσων μὲν Ζεὺς ποταμῶν ἁλιμυρηέντων,
κρείσσων αὖτε Διὸς γενεὴ ποταμοῖο τέτυκται.
καὶ γὰρ σοὶ ποταμός γε πάρα μέγας, εἰ δύναταί τι
χραισμεῖν· ἀλλ' οὐκ ἔστι Διὶ Κρονίωνι μάχεσθαι,

τῶι οὐδὲ κρείων Ἀχελώϊος ἰσοφαρίζει,
οὐδὲ βαθυρρείταο μέγα σθένος Ὠκεανοῖο,
ἐξ οὗ_περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
καὶ πᾶσαι κρῆναι καὶ φρείατα μακρὰ νάουσιν·
ἀλλὰ καὶ ὃς δείδοικε Διὸς μεγάλοιο κεραυνὸν
δεινήν τε βροντήν, ὅτ' ἀπ' οὐρανόθεν σμαραγῆσηι."
"ἔσται ταῦτα, Σκάμανδρε διοτρεφές, ὡς σὺ κελεύεις.
Τρῶας δ' οὐ πρὶν λήξω ὑπερφιάλους ἐναρίζων,
πρὶν ἔλσαι κατὰ ἄστυ καὶ Ἕκτορι πειρηθῆναι
Achilles ἀντιβίην, ἤ κέν με δαμάσσεται, ἦ κεν ἐγὼ τόν."
21.273 "Ζεῦ πάτερ, ὡς οὔ_τίς με θεῶν ἐλεεινὸν ὑπέστη
ἐκ ποταμοῖο σαῶσαι· ἔπειτα δὲ καί τι πάθοιμι.
ἄλλος δ' οὔ_τίς μοι τόσον αἴτιος Οὐρανιώνων,
ἀλλὰ φίλη μήτηρ, ἥ με ψεύδεσσιν ἔθελγεν·
ἥ μ' ἔφατο Τρώων ὑπὸ τείχεϊ θωρηκτάων
λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελέεσσιν.
ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε γ' ἔτραφ' ἄριστος·
τῶι κ' ἀγαθὸς μὲν ἔπεφν', ἀγαθὸν δέ κεν ἐξενάριξεν.
νῦν δέ με λευγαλέωι θανάτωι εἵμαρτο ἁλῶναι
ἐρχθέντ' ἐν μεγάλωι ποταμῶι, ὡς παῖδα συφορβόν,
Achilles ὅν ῥά τ' ἔναυλος ἀποέρσηι χειμῶνι περῶντα."
22.15 ◆ "ἔβλαψάς μ', Ἑκάεργε, θεῶν ὀλοώτατε πάντων,
ἐνθάδε νῦν τρέψας ἀπὸ τείχεος· ἦ κ' ἔτι πολλοὶ
γαῖαν ὀδὰξ εἷλον πρὶν Ἴλιον εἰσαφικέσθαι.
νῦν δ' ἐμὲ μὲν μέγα κῦδος ἀφείλεο, τοὺς δ' ἐσάωσας
Achilles ῥηϊδίως, ἐπεὶ οὔ_τι τίσιν γ' ἔδδεισας ὀπίσσω.
ἦ σ' ἂν τεισαίμην, εἴ μοι δύναμίς γε παρείη."
22.261 "Ἕκτορ, μή μοι, ἄλαστε, συνημοσύνας ἀγόρευε.
ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά,
οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν,
ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν,
ὣς οὐκ ἔστ' ἐμὲ καὶ σὲ φιλήμεναι, οὐδέ τι νῶϊν
ὅρκια ἔσσονται, πρίν γ' ἢ ἕτερόν γε πεσόντα
αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν.
παντοίης ἀρετῆς μιμνήσκεο· νῦν σε μάλα χρὴ
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
οὔ τοι ἔτ' ἔσθ' ὑπάλυξις, ἄφαρ δέ σε Παλλὰς Ἀθήνη
ἔγχει ἐμῶι δαμάαι· νῦν ἀθρόα πάντ' ἀποτείσεις
Achilles κήδε' ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θυίων."
22.331 "Ἕκτορ, ἀτάρ που ἔφης Πατροκλῆ' ἐξεναρίζων
σῶς ἔσσεσθ', ἐμὲ δ' οὐδὲν ὀπίζεο νόσφιν ἐόντα,
νήπιε· τοῖο δ' ἄνευθεν ἀοσσητὴρ μέγ' ἀμείνων
νηυσὶν ἔπι γλαφυρῆισιν ἐγὼ μετόπισθε λελείμμην,
ὅς τοι γούνατ' ἔλυσα. σὲ μὲν κύνες ἠδ' οἰωνοὶ
Achilles ἑλκησουσ' ἀϊκέως, τὸν δὲ κτερίουσιν Ἀχαιοί."
22.338 "λίσσομ' ὑπὲρ ψυχῆς καὶ γούνων σῶν τε τοκήων,
μή με ἔα παρὰ νηυσὶ κύνας καταδάψαι Ἀχαιῶν,
ἀλλὰ σὺ μὲν χαλκόν τε ἅλις χρυσόν τε δέδεξο
δῶρα τά τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ,
σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα." Achilles
"μή με, κύον, γούνων γουνάζεο μηδὲ τοκήων· 22.345
αἲ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη
ὤμ' ἀποταμνόμενον κρέα ἔδμεναι, οἷά μ' ἔοργας·
ὣς οὐκ ἔσθ' ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι,
οὐδ' εἴ κεν δεκάκις τε καὶ εἰκοσινήριτ' ἄποινα
στήσωσ' ἐνθάδ' ἄγοντες, ὑπόσχωνται δὲ καὶ ἄλλα·
οὐδ' εἴ κέν σ' αὐτὸν χρυσῶι ἐρύσασθαι ἀνώγοι
Δαρδανίδης Πρίαμος· οὐδ' ὣς σέ_γε πότνια μήτηρ
ἐνθεμένη λεχέεσσι γοήσεται, ὃν τέκεν αὐτή,
ἀλλὰ κύνες τε καὶ οἰωνοὶ κατὰ πάντα δάσονται." Achilles
"τέθναθι· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ 22.365
Ζεὺς ἐθέλῃ τελέσαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι." Achilles
"ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες, 22.378
ἐπεὶ_δὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν,
ὃς κακὰ πόλλ' ἔρρεξεν, ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι,
εἰ δ' ἄγετ' ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθέωμεν,
ὄφρα κέ_τι γνῶμεν Τρώων νόον, ὅν_τιν' ἔχουσιν,
ἢ καταλείψουσιν πόλιν ἄκρην τοῦδε πεσόντος,
ἦε μένειν μεμάασι καὶ Ἕκτορος οὐκέτ' ἐόντος.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
κεῖται πὰρ νήεσσι νέκυς ἄκλαυτος ἄθαπτος
Πάτροκλος· τοῦ δ' οὐκ ἐπιλήσομαι, ὄφρ' ἂν ἐγώ_γε
ζωοῖσιν μετέω καί μοι φίλα γούνατ' ὀρώρηι.
εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἀΐδαο,
αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου.
νῦν δ' ἄγ' ἀείδοντες παιήονα, κοῦροι Ἀχαιῶν,
νηυσὶν ἔπι γλαφυρῆισι νεώμεθα, τόνδε δ' ἄγωμεν.
ἠράμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,
ὧι Τρῶες κατὰ ἄστυ θεῶι ὣς ηὐχετόωντο." Achilles
"Μυρμιδόνες ταχύπωλοι, ἐμοὶ ἐρίηρες ἑταῖροι, 23.6
μὴ δή πω ὑπ' ὄχεσφι λυώμεθα μώνυχας ἵππους,
ἀλλ' αὐτοῖς ἵπποισι καὶ ἅρμασιν ἆσσον ἰόντες
Πάτροκλον κλαίωμεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων.
αὐτὰρ ἐπεί κ' ὀλοοῖο τεταρπώμεσθα γόοιο,
ἵππους λυσάμενοι δορπήσομεν ἐνθάδε πάντες." Achilles
"χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν Ἀΐδαο δόμοισιν· 23.19
πάντα γὰρ ἤδη τοι τελέω τὰ πάροιθεν ὑπέστην,
Ἕκτορα δεῦρ' ἐρύσας δώσειν κυσὶν ὠμὰ δάσασθαι,
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσειν
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς." Achilles
"οὐ μὰ Ζῆν', ὅς_τίς τε θεῶν ὕπατος καὶ ἄριστος, 23.43
οὐ θέμις ἐστὶ λοετρὰ καρήατος ἆσσον ἱκέσθαι,
πρίν γ' ἐνὶ Πάτροκλον θέμεναι πυρὶ σῆμά τε χεῦαι
κείρασθαί τε κόμην, ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε
ἵξετ' ἄχος κραδίην, ὄφρα ζωοῖσι μετείω. ◆
ἀλλ' ἤτοι νῦν μὲν στυγερῆι πειθώμεθα δαιτί·
ἠῶθεν δ' ὄτρυνε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
ὕλην τ' ἀξέμεναι παρά τε σχεῖν ὅσσ' ἐπιεικὲς
νεκρὸν ἔχοντα νέεσθαι ὑπὸ ζόφον ἠερόεντα,

ὄφρ' ἤτοι τοῦτον μὲν ἐπιφλέγηι ἀκάματον πῦρ
Achilles θᾶσσον ἀπ' ὀφθαλμῶν, λαοὶ δ' ἐπὶ ἔργα τράπωνται."
23.94 "τίπτε μοι, ἠθείη κεφαλή, δεῦρ' εἰλήλουθας
καί μοι ταῦτα ἕκαστ' ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι
πάντα μάλ' ἐκτελέω καὶ πείσομαι, ὡς σὺ κελεύεις.
ἀλλά μοι ἆσσον στῆθι· μίνυνθά περ ἀμφιβαλόντε
Achilles ἀλλήλους, ὀλοοῖο τεταρπώμεσθα γόοιο."
23.103 "ὢ πόποι, ἦ ῥά τίς ἐστι καὶ εἰν Ἀΐδαο δόμοισιν
ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν·
παννυχίη γάρ μοι Πατροκλῆος δειλοῖο
ψυχὴ ἐφεστήκει γοόωσά τε μυρομένη τε,
Achilles καί μοι ἕκαστ' ἐπέτελλεν, ἔϊκτο δὲ θέσκελον αὐτῶι."
23.144 "Σπερχεί', ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς,
κεῖσέ με νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν
σοί τε κόμην κερέειν ῥέξειν θ' ἱερὴν ἑκατόμβην,
◆ πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι μῆλ' ἱερεύσειν
ἐς πηγάς, ὅθι τοι τέμενος βωμός τε θυήεις.
ὣς ἠρᾶθ' ὁ γέρων, σὺ δέ οἱ νόον οὐκ ἐτέλεσσας.
νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,
Achilles Πατρόκλωι ἥρωϊ κόμην ὀπάσαιμι φέρεσθαι."
23.156 "Ἀτρείδη — σοὶ γάρ τε μάλιστά γε λαὸς Ἀχαιῶν
πείσονται μύθοισι — γόοιο μὲν ἔστι καὶ ἆσαι.
νῦν δ' ἀπὸ πυρκαϊῆς σκέδασον καὶ δεῖπνον ἄνωχθι
Achilles ὅπλεσθαι· τάδε δ' ἀμφὶ πονησόμεθ' οἷσι μάλιστα
κήδεός ἐστι νέκυς· παρὰ δ' οἵ τ' ἀγοὶ ἄμμι μενόντων."
23.179 "χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν Ἀΐδαο δόμοισιν·
πάντα γὰρ ἤδη τοι τελέω τὰ πάροιθεν ὑπέστην.
δώδεκα μὲν Τρώων μεγαθύμων υἱέας ἐσθλούς,
τοὺς ἅμα σοὶ πάντας πῦρ ἐσθίει· Ἕκτορα δ' οὔ τι
Achilles δώσω Πριαμίδην πυρὶ δαπτέμεν, ἀλλὰ κύνεσσιν."
23.236 "Ἀτρείδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσατ' αἴθοπι οἴνωι
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
ὀστέα Πατρόκλοιο Μενοιτιάδαο λέγωμεν
εὖ διαγιγνώσκοντες· ἀριφραδέα δὲ τέτυκται·
ἐν μέσσηι γὰρ ἔκειτο πυρῆι, τοὶ δ' ἄλλοι ἄνευθεν
ἐσχατιῆι καίοντ' ἐπιμὶξ, ἵπποι τε καὶ ἄνδρες.
καὶ τὰ μὲν ἐν χρυσέηι φιάληι καὶ δίπλακι δημῶι
θείομεν, εἰς ὅ κεν αὐτὸς ἐγὼν Ἄϊδι κλεύθωμαι·
τύμβον δ' οὐ μάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα,
ἀλλ' ἐπιεικέα τοῖον· ἔπειτα δὲ καὶ τὸν Ἀχαιοὶ
◆ εὐρύν θ' ὑψηλόν τε τιθήμεναι, οἵ κεν ἐμεῖο
Achilles δεύτεροι ἐν νήεσσι πολυκλήϊσι λίπησθε."
23.492 "μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθον ἐπέεσσιν,
Αἶαν Ἰδομενεῦ τε, κακοῖς, ἐπεὶ οὐδὲ ἔοικεν·
καὶ δ' ἄλλωι νεμεσᾶτον, ὅτις τοιαῦτά γε ῥέζοι.
ἀλλ' ὑμεῖς ἐν ἀγῶνι καθήμενοι εἰσοράασθε
ἵππους· οἱ δὲ τάχ' αὐτοὶ ἐπειγόμενοι περὶ νίκης
ἐνθάδ' ἐλεύσονται· τότε δὲ γνώσεσθε ἕκαστος
Achilles ἵππους Ἀργείων, οἳ δεύτεροι οἵ τε πάροιθεν."

"λοῖσθος ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους. 23.536
ἀλλ' ἄγε δή οἱ δῶμεν ἀέθλιον, ὡς ἐπιεικές,
δεύτερ'· ἀτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός." Achilles
"Ἀντίλοχ', εἰ μὲν δή με κελεύεις οἴκοθεν ἄλλο 23.558
Εὐμήλωι ἐπιδοῦναι, ἐγὼ δέ κε καὶ τὸ τελέσσω.
δώσω οἱ θώρηκα, τὸν Ἀστεροπαῖον ἀπηύρων,
χάλκεον, ὧι πέρι χεῦμα φαεινοῦ κασσιτέροιο
ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιος ἔσται." Achilles
"τῆ νῦν, καὶ σοὶ τοῦτο, γέρον, κειμήλιον ἔστω, 23.618
Πατρόκλοιο τάφου μνῆμ' ἔμμεναι· οὐ γὰρ ἔτ' αὐτὸν
ὄψει ἐν Ἀργείοισι· δίδωμι δέ τοι τόδ' ἄεθλον
αὔτως· οὐ γὰρ πύξ γε μαχήσεαι, οὐδὲ παλαίσεις,
οὐδέ τ' ἀκοντιστὺν ἐσδύσεαι, οὐδὲ πόδεσσιν
θεύσεαι· ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἐπείγει." Achilles
"Ἀτρείδη τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί, 23.658
ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω,
πὺξ μάλ' ἀνασχομένω πεπληγέμεν. ὧι δέ κ' Ἀπόλλων
δώηι καμμονίην, γνώωσι δὲ πάντες Ἀχαιοί,
ἡμίονον ταλαεργὸν ἄγων κλισίηνδε νεέσθω·
αὐτὰρ ὁ νικηθεὶς δέπας οἴσεται ἀμφικύπελλον." Achilles
"ὄρνυσθ' οἳ καὶ τούτου ἀέθλου πειρήσεσθον." 23.707
"μηκέτ' ἐρείδεσθον, μηδὲ τρίβεσθε κακοῖσιν· Ach. 23.735
νίκη δ' ἀμφοτέροισιν· ἀέθλια δ' ἶσ' ἀνελόντες
ἔρχεσθ', ὄφρα καὶ ἄλλοι ἀεθλεύωσιν Ἀχαιοί." Achilles
"ὄρνυσθ' οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε." 23.753
"Ἀντίλοχ', οὐ μέν τοι μέλεος εἰρήσεται αἶνος, Ach. 23.795
ἀλλά τοι ἡμιτάλαντον ἐγὼ χρυσοῦ ἐπιθήσω." Achilles
"ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω, 23.802
τεύχεα ἑσσαμένω, ταμεσίχροα χαλκὸν ἑλόντε,
ἀλλήλων προπάροιθεν ὁμίλου πειρηθῆναι.
ὁππότερός κε φθῆσιν ὀρεξάμενος χρόα καλόν,
ψαύσηι δ' ἐνδίνων διά τ' ἔντεα καὶ μέλαν αἷμα,
τῶι μὲν ἐγὼ δώσω τόδε φάσγανον ἀργυρόηλον,
καλὸν Θρηΐκιον, τὸ μὲν Ἀστεροπαῖον ἀπηύρων·
τεύχεα δ' ἀμφότεροι ξυνήια ταῦτα φερέσθων, Achilles
καί σφιν δαῖτ' ἀγαθὴν παραθήσομεν ἐν κλισίηισιν."
"ὄρνυσθ', οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε· 23.831
εἴ οἱ καὶ μάλα πολλὸν ἀπόπροθι πίονες ἀγροί,
ἕξει μιν καὶ πέντε περιπλομένους ἐνιαυτοὺς
χρεώμενος· οὐ μὲν γάρ οἱ ἀτεμβόμενός γε σιδήρου
ποιμὴν οὐδ' ἀροτὴρ εἶσ' ἐς πόλιν, ἀλλὰ παρέξει." Achilles
"Ἀτρείδη· ἴδμεν γὰρ ὅσον προβέβηκας ἁπάντων 23.890
ἠδ' ὅσσον δυνάμει τε καὶ ἥμασιν ἔπλευ ἄριστος·
ἀλλὰ σὺ μὲν τόδ' ἄεθλον ἔχων κοίλας ἐπὶ νῆας
ἔρχευ, ἀτὰρ δόρυ Μηριόνηι ἥρωϊ πόρωμεν,
εἰ σύ γε σῶι θυμῶι ἐθέλοις· κέλομαι γὰρ ἐγώ γε." Achilles
"Ἀτρείδη, περὶ μέν σε φάμεν Διὶ τερπικεραύνωι 24.24
ἀνδρῶν ἡρώων φίλον ἔμμεναι ἤματα πάντα,
οὕνεκα πολλοῖσίν τε καὶ ἰφθίμοισιν ἄνασσες
δήμωι ἔνι Τρώων, ὅθι πάσχομεν ἄλγε' Ἀχαιοί.

ἦ τ’ ἄρα καὶ σοὶ πρῶϊ παραστήσεσθαι ἔμελλεν
Μοῖρ’ ὀλοή, τὴν οὔ τις ἀλεύεται ὅς κε γένηται.
ὡς ὄφελες τιμῆς ἀπονήμενος, ἧς περ ἄνασσες,
δήμωι ἔνι Τρώων θάνατον καὶ πότμον ἐπισπεῖν·
τῶι κέν τοι τύμβον μὲν ἐποίησαν Παναχαιοί,
ἠδέ κε καὶ σῶι παιδὶ μέγα κλέος ἤρα’ ὀπίσσω·
Achilles νῦν δ’ ἄρα σ’ οἰκτίστωι θανάτωι εἵμαρτο ἁλῶναι.”
24.139 “τῆιδ’ εἴη· ὃς ἄποινα φέροι, καὶ νεκρὸν ἄγοιτο,
Ach. εἰ δὴ πρόφρονι θυμῶι Ὀλύμπιος αὐτὸς ἀνώγει.”
24.518 “ἆ δειλ’, ἦ δὴ πολλὰ κάκ’ ἄνσχεο σὸν κατὰ θυμόν.
πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
ἀνδρὸς ἐς ὀφθαλμοὺς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
υἱέας ἐξενάριξα; σιδήρειόν νύ τοι ἦτορ.
ἀλλ’ ἄγε δὴ κατ’ ἄρ’ ἕζευ ἐπὶ θρόνου, ἄλγεα δ’ ἔμπης
ἐν θυμῶι κατακεῖσθαι ἐάσομεν, ἀχνύμενοί περ.
οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.
ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσιν,
ζώειν ἀχνυμένοις· αὐτοὶ δέ τ’ ἀκηδέες εἰσίν.
δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει
δώρων οἷα δίδωσι, κακῶν, ἕτερος δὲ ἑάων·
ὧι μέν κ’ ἀμμείξας δώηι Ζεὺς τερπικέραυνος,
ἄλλοτε μέν τε κακῶι ὅ γε κύρεται, ἄλλοτε δ’ ἐσθλῶι·
ὧι δέ κε τῶν λυγρῶν δώηι, λωβητὸν ἔθηκεν·
καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει,
φοιτᾶι δ’ οὔτε θεοῖσι τετιμένος οὔτε βροτοῖσιν.
ὣς μὲν καὶ Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
ἐκ γενετῆς· πάντας γὰρ ἐπ’ ἀνθρώπους ἐκέκαστο
ὄλβωι τε πλούτωι τε, ἄνασσε δὲ Μυρμιδόνεσσιν,
καί οἱ θνητῶι ἐόντι θεὰν ποίησαν ἄκοιτιν.
ἀλλ’ ἐπὶ καὶ τῶι θῆκε θεὸς κακόν, ὅττί οἱ οὔ τι
παίδων ἐν μεγάροισι γονὴ γένετο κρειόντων,
ἀλλ’ ἕνα παῖδα τέκεν παναώριον· οὐδέ νυ τόν γε
γηράσκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρης
ἧμαι ἐνὶ Τροίηι, σέ τε κήδων ἠδὲ σὰ τέκνα.
καὶ σέ, γέρον, τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι·
ὅσσον Λέσβος ἄνω, Μάκαρος ἕδος, ἐντὸς ἐέργει
καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήσποντος ἀπείρων,
τῶν σε, γέρον, πλούτωι τε καὶ υἱάσι φασὶ κεκάσθαι.
αὐτὰρ ἐπεί τοι πῆμα τόδ’ ἤγαγον Οὐρανίωνες,
αἰεί τοι περὶ ἄστυ μάχαι τ’ ἀνδροκτασίαι τε·
ἄνσχεο, μηδ’ ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν.
οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος ἑῆος,
Achilles οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθηισθα.”
24.560 “μηκέτι νῦν μ’ ἐρέθιζε, γέρον· νοέω δὲ καὶ αὐτὸς
Ἕκτορά τοι λῦσαι· Διόθεν δέ μοι ἄγγελος ἦλθεν
μήτηρ, ἥ μ’ ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντος.
καὶ δὲ σὲ γιγνώσκω, Πρίαμε, φρεσίν, οὐδέ με λήθεις,
ὅττι θεῶν τίς σ’ ἦγε θοὰς ἐπὶ νῆας Ἀχαιῶν·
οὐ γάρ κε τλαίη βροτὸς ἐλθέμεν, οὐδὲ μάλ’ ἡβῶν,
ἐς στρατόν· οὔτε γὰρ ἂν φυλακοὺς λάθοι, οὐδέ κ’ ὀχῆα
ῥεῖα μετοχλίσσειε θυράων ἡμετεράων.
τῶι νῦν μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνηις,
μή σε, γέρον, οὐδ’ αὐτὸν ἐνὶ κλισίηισιν ἐάσω Achilles
καὶ ἱκέτην περ ἐόντα, Διὸς δ’ ἀλίτωμαι ἐφετμάς.”
“μή μοι, Πάτροκλε, σκυδμαινέμεν, αἴ κε πύθηαι 24.592
εἰν Ἄϊδός περ ἐὼν ὅτι Ἕκτορα δῖον ἔλυσα
πατρὶ φίλωι, ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα.
σοὶ δ’ αὖ ἐγὼ καὶ τῶνδ’ ἀποδάσσομαι ὅσσ’ ἐπέοικεν.” Achilles
“υἱὸς μὲν δή τοι λέλυται, γέρον, ὡς ἐκέλευες, 24.599
κεῖται δ’ ἐν λεχέεσσ’· ἅμα δ’ ἠοῖ φαινομένηφιν
ὄψεαι αὐτὸς ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.
καὶ γάρ τ’ ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,
τῆι περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
ἓξ μὲν θυγατέρες, ἓξ δ’ υἱέες ἡβώοντες.
τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ’ ἀργυρέοιο βιοῖο
χωόμενος Νιόβηι, τὰς δ’ Ἄρτεμις ἰοχέαιρα,
οὕνεκ’ ἄρα Λητοῖ ἰσάσκετο καλλιπαρήωι·
φῆ δοιὼ τεκέειν, ἡ δ’ αὐτὴ γείνατο πολλούς·
τὼ δ’ ἄρα, καὶ δοιώ περ ἐόντ’, ἀπὸ πάντας ὄλεσσαν.
οἱ μὲν ἄρ’ ἐννῆμαρ κέατ’ ἐν φόνωι, οὐδέ τις ἦεν
κατθάψαι, λαοὺς δὲ λίθους ποίησε Κρονίων·
τοὺς δ’ ἄρα τῆι δεκάτηι θάψαν θεοὶ Οὐρανίωνες.
ἡ δ’ ἄρα σίτου μνήσατ’, ἐπεὶ κάμε δάκρυ χέουσα.
νῦν δέ που ἐν πέτρηισιν, ἐν οὔρεσιν οἰοπόλοισιν,
ἐν Σιπύλωι, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς
νυμφάων, αἵ τ’ ἀμφ’ Ἀχελώϊον ἐρρώσαντο,
ἔνθα λίθος περ ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει.
ἀλλ’ ἄγε δὴ καὶ νῶϊ μεδώμεθα, δῖε γεραιέ,
σίτου, ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοισθα, Achilles
Ἴλιον εἰσαγαγών· πολυδάκρυτος δέ τοι ἔσται.”
“ἐκτὸς μὲν δὴ λέξο, γέρον φίλε, μή τις Ἀχαιῶν 24.650
ἐνθάδ’ ἐπέλθηισιν βουληφόρος, οἵ τέ μοι αἰεὶ
βουλὰς βουλεύουσι παρήμενοι, ἣ θέμις ἐστίν·
τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,
αὐτίκ’ ἂν ἐξείποι Ἀγαμέμνονι ποιμένι λαῶν,
καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένοιτο.
ἀλλ’ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον,
ὄφρα τέως αὐτός τε μένω καὶ λαὸν ἐρύκω.” Achilles
“ἔσται τοι καὶ ταῦτα, γέρον Πρίαμ’, ὡς σὺ κελεύεις· 24.669
σχήσω γὰρ πόλεμον τόσσον χρόνον ὅσσον ἄνωγας.”

Notes

Notes

EXCLUDED:

τοξεύειν. “ὃς μὲν κε βάλῃ τρήρωνα πέλειαν, 23.855
πάντας ἀειράμενος πελέκεας οἶκόνδε φερέσθω· Achilles
ὃς δέ κε μηρίνθοιο τύχῃ, ὄρνιθος ἁμαρτών — or Poly-
ἥσσων γὰρ δὴ κεῖνο — ὁ δ’ οἴσεται ἡμιπέλεκκα.” poites

As some way-faring Man, who wanders o’er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

ILIAD THEN ODYSSEY ASSCEND FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 991 lines 3.0

THE
SPOKEN LINES
OF
ACHILLES
IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.59 “Ἀτρεΐδη, νῦν ἄμμε πάλιμπλαγχθέντας ὀΐω
ἂψ ἀπονοστήσειν, εἴ κεν θάνατόν γε φύγοιμεν,
εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς.
ἀλλ᾽ ἄγε δή τινα μάντιν ἐρείομεν, ἢ ἱερῆα,
ἢ καὶ ὀνειροπόλον — καὶ γάρ τ᾽ ὄναρ ἐκ Διός ἐστιν —
ὅς κ᾽ εἴποι ὅ τι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων,
εἴτ᾽ ἄρ ὅ_γ᾽ εὐχωλῆς ἐπιμέμφεται εἴθ᾽ ἑκατόμβης,
αἴ κέν πως ἀρνῶν κνίσης αἰγῶν τε τελείων
Achilles βούλητ᾽ ἀντιάσας ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι.”
1.85 “θαρσήσας μάλα εἰπὲ θεοπρόπιον ὅ τι οἶσθα.
οὐ μὰ γὰρ Ἀπόλλωνα διίφιλον, ᾧ_τε σὺ, Κάλχαν,
εὐχόμενος Δαναοῖσι θεοπροπίας ἀναφαίνεις,
οὔ_τις ἐμεῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο
σοὶ κοίλῃς παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει
συμπάντων Δαναῶν, οὐδ᾽ ἢν Ἀγαμέμνονα εἴπῃς,
Achilles ὃς νῦν πολλὸν ἄριστος Ἀχαιῶν εὔχεται εἶναι.”
1.122 “Ἀτρεΐδη κύδιστε, φιλοκτεανώτατε πάντων,
πῶς τάρ τοι δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί;
οὐδέ τί που ἴδμεν ξυνήϊα κείμενα πολλά·
ἀλλὰ τὰ μὲν πολίων ἐξεπράθομεν, τὰ δέδασται,
λαοὺς δ᾽ οὐκ ἐπέοικε παλίλλογα ταῦτ᾽ ἐπαγείρειν.
ἀλλὰ σὺ μὲν νῦν τήνδε θεῷ πρόες· αὐτὰρ Ἀχαιοὶ
τριπλῇ τετραπλῇ τ᾽ ἀποτείσομεν, αἴ κέ ποθι Ζεὺς
Achilles δῷσι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι.”
1.149 “ὤ_μοι, ἀναιδείην ἐπιειμένε, κερδαλεόφρον,
πῶς τίς τοι πρόφρων ἔπεσιν πείθηται Ἀχαιῶν,
ἢ ὁδὸν ἐλθέμεναι, ἢ ἀνδράσιν ἶφι μάχεσθαι;
οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ᾽ ἤλυθον αἰχμητάων
δεῦρο μαχησόμενος, ἐπεὶ οὔ_τί μοι αἴτιοί εἰσιν·
οὐ γάρ πώ_ποτ᾽ ἐμὰς βοῦς ἤλασαν οὐδὲ μὲν ἵππους,
οὐδέ ποτ᾽ ἐν Φθίῃ ἐριβώλακι βωτιανείρῃ
καρπὸν ἐδηλήσαντ᾽, ἐπεὶ_ἦ μάλα πολλὰ μεταξὺ
οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα·
ἀλλὰ σοὶ, ὦ μέγ᾽ ἀναιδὲς, ἅμ᾽ ἑσπόμεθ᾽, ὄφρα σὺ χαίρῃς,
τιμὴν ἀρνύμενοι Μενελάῳ σοί τε, κυνῶπα,
πρὸς Τρώων· τῶν οὔ_τι μετατρέπε᾽ οὐδ᾽ ἀλεγίζεις·
καὶ δή μοι γέρας αὐτὸς ἀφαιρήσεσθαι ἀπειλεῖς,
ᾧ ἔπι πόλλ᾽ ἐμόγησα, δόσαν δέ μοι υἷες Ἀχαιῶν.
οὐ μὲν σοί ποτε ἶσον ἔχω γέρας, ὁππότ᾽ Ἀχαιοὶ
Τρώων ἐκπέρσωσ᾽ εὖ_ναιόμενον πτολίεθρον,
ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο
χεῖρες ἐμαὶ διέπουσ᾽, ἀτὰρ ἤν ποτε δασμὸς ἵκηται,
σοὶ τὸ γέρας πολὺ μέζον, ἐγὼ δ᾽ ὀλίγον τε φίλον τε
ἔρχομ᾽ ἔχων ἐπὶ νῆας, ἐπεί κε κάμω πολεμίζων.
νῦν δ᾽ εἶμι Φθίηνδ᾽, ἐπεὶ_ἦ πολὺ φέρτερόν ἐστιν
οἴκαδ᾽ ἴμεν σὺν νηυσὶ κορωνίσιν, οὐδέ σ᾽ ὀΐω
Achilles ἐνθάδ᾽ ἄτιμος ἐὼν ἄφενος καὶ πλοῦτον ἀφύξειν.”
1.202 “τίπτ᾽ αὖτ᾽, αἰγιόχοιο Διὸς τέκος, εἰλήλουθας;
ἦ ἵνα ὕβριν ἴδῃ Ἀγαμέμνονος Ἀτρεΐδαο;
ἀλλ᾽ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τελέεσθαι ὀΐω·
ᾗς ὑπεροπλίῃσι τάχ᾽ ἄν ποτε θυμὸν ὀλέσσῃ.” Achilles
“χρὴ μὲν σφωΐτερόν γε, θεά, ἔπος εἰρύσσασθαι, 1.216
καὶ μάλα περ θυμῷ κεχολωμένον· ὣς γὰρ ἄμεινον.
ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ᾽ ἔκλυον αὐτοῦ.” Achilles
“οἰνοβαρές, κυνὸς ὄμματ᾽ ἔχων, κραδίην δ᾽ ἐλάφοιο, 1.225
οὔτέ ποτ᾽ ἐς πόλεμον ἅμα λαῷ θωρηχθῆναι
οὔτε λόχονδ᾽ ἰέναι σὺν ἀριστήεσσιν Ἀχαιῶν
τέτληκας θυμῷ· τὸ δέ τοι κὴρ εἴδεται εἶναι.
ἦ πολὺ λώϊόν ἐστι κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
δῶρ᾽ ἀποαιρεῖσθαι, ὅς_τις σέθεν ἀντίον εἴπῃ.
δημοβόρος βασιλεὺς, ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις·
ἦ γὰρ ἂν, Ἀτρεΐδη, νῦν ὕστατα λωβήσαιο.
ἀλλ᾽ ἔκ τοι ἐρέω, καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι·
ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔ ποτε φύλλα καὶ ὄζους
φύσει, ἐπεὶ_δὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπεν,
οὐδ᾽ ἀναθηλήσει· περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψεν
φύλλά τε καὶ φλοιόν· νῦν αὖτέ μιν υἷες Ἀχαιῶν
ἐν παλάμῃς φορέουσι δικασπόλοι, οἵ_τε θέμιστας
πρὸς Διὸς εἰρύαται· ὁ δέ τοι μέγας ἔσσεται ὅρκος·
ἦ ποτ᾽ Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν
σύμπαντας· τότε δ᾽ οὔ_τι δυνήσεαι ἀχνύμενός περ
χραισμεῖν, εὖτ᾽ ἂν πολλοὶ ὑφ᾽ Ἕκτορος ἀνδροφόνοιο
θνήσκοντες πίπτωσι· σὺ δ᾽ ἔνδοθι θυμὸν ἀμύξεις
χωόμενος, ὅ_τ᾽ ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισας.” Achilles
“ἦ γάρ κεν δειλός τε καὶ οὐτιδανὸς καλεοίμην, 1.293
εἰ δὴ σοὶ πᾶν ἔργον ὑπείξομαι ὅττί κεν εἴπῃς.
ἄλλοισιν δὴ ταῦτ᾽ ἐπιτέλλεο, μὴ γὰρ ἐμοί_γε
σήμαιν᾽· οὐ γὰρ ἐγώ_γ᾽ ἔτι σοὶ πείσεσθαι ὀΐω.
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
χερσὶ μὲν οὔ_τοι ἐγώ_γε μαχήσομαι εἵνεκα κούρης,
οὔτε σοὶ οὔτε τῳ ἄλλῳ, ἐπεί μ᾽ ἀφέλεσθέ γε δόντες·
τῶν δ᾽ ἄλλων ἅ μοί ἐστι θοῇ παρὰ νηῒ μελαίνῃ,
τῶν οὐκ ἄν τι φέροις ἀνελὼν ἀέκοντος ἐμεῖο.
εἰ δ᾽ ἄγε μὴν, πείρησαι, ἵνα γνώωσι καὶ οἵδε·
αἶψά τοι αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί.” Achilles
“χαίρετε, κήρυκες, Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν, 1.334
ἆσσον ἴτ᾽· οὔ_τί μοι ὔμμες ἐπαίτιοι, ἀλλ᾽ Ἀγαμέμνων,
ὃ σφῶϊ προΐει Βρισηΐδος εἵνεκα κούρης.
ἀλλ᾽ ἄγε, διογενὲς Πατρόκλεις, ἔξαγε κούρην
καί σφωϊν δὸς ἄγειν. τὼ δ᾽ αὐτὼ μάρτυροι ἔστων
πρός τε θεῶν μακάρων πρός τε θνητῶν ἀνθρώπων
καὶ πρὸς τοῦ βασιλῆος ἀπηνέος, εἴ_ποτε δ᾽ αὖτε
χρειὼ ἐμεῖο γένηται ἀεικέα λοιγὸν ἀμῦναι
τοῖς ἄλλοις. ἦ γὰρ ὅ_γ᾽ ὀλοιῇσι φρεσὶ θύει,
οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω,
ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχεοίατ᾽ Ἀχαιοί.” Achilles
“μῆτερ, ἐπεί μ᾽ ἔτεκές γε μινυνθάδιόν περ ἐόντα, 1.352
τιμήν πέρ μοι ὄφελλεν Ὀλύμπιος ἐγγυαλίξαι,
Ζεὺς ὑψιβρεμέτης· νῦν δ᾽ οὐδέ με τυτθὸν ἔτισεν.
ἦ γάρ μ᾽ Ἀτρεΐδης εὐρὺ_κρείων Ἀγαμέμνων

Achilles 1.365

ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀπούρας."
"οἶσθα· τίη τοι ταῦτα ἰδυίηι πάντ' ἀγορεύω;
ᾠχόμεθ' ἐς Θήβην, ἱερὴν πόλιν Ἠετίωνος,
τὴν δὲ διεπράθομέν τε καὶ ἤγομεν ἐνθάδε πάντα.
καὶ τὰ μὲν εὖ δάσσαντο μετὰ σφίσιν υἷες Ἀχαιῶν,
ἐκ δ' ἕλον Ἀτρεΐδηι Χρυσηΐδα καλλιπάρῃον.
Χρύσης δ' αὖθ', ἱερεὺς ἑκατηβόλου Ἀπόλλωνος,
ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν χαλκοχιτώνων
λυσόμενός τε θύγατρα φέρων τ' ἀπερείσι' ἄποινα,
στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος
χρυσέωι ἀνὰ σκήπτρωι, καὶ λίσσετο πάντας Ἀχαιούς,
Ἀτρεΐδα δὲ μάλιστα δύω, κοσμήτορε λαῶν.
ἔνθ' ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοὶ
αἰδεῖσθαί θ' ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα·
ἀλλ' οὐκ Ἀτρεΐδηι Ἀγαμέμνονι ἥνδανε θυμῶι,
ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν.
χωόμενος δ' ὁ γέρων πάλιν ᾤχετο· τοῖο δ' Ἀπόλλων
εὐξαμένου ἤκουσεν, ἐπεὶ μάλα οἱ φίλος ἦεν,
ἧκε δ' ἐπ' Ἀργείοισι κακὸν βέλος· οἱ δέ νυ λαοὶ
θνῆισκον ἐπασσύτεροι, τὰ δ' ἐπῴχετο κῆλα θεοῖο
πάντηι ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν· ἄμμι δὲ μάντις
εὖ εἰδὼς ἀγόρευε θεοπροπίας Ἑκάτοιο.
αὐτίκ' ἐγὼ πρῶτος κελόμην θεὸν ἱλάσκεσθαι·
Ἀτρεΐωνα δ' ἔπειτα χόλος λάβεν, αἶψα δ' ἀναστὰς
ἠπείλησεν μῦθον, ὃ δὴ τετελεσμένος ἐστίν.
τὴν μὲν γὰρ σὺν νηῒ θοῆι ἑλίκωπες Ἀχαιοὶ
ἐς Χρύσην πέμπουσιν, ἄγουσι δὲ δῶρα ἄνακτι·
τὴν δὲ νέον κλισίηθεν ἔβαν κήρυκες ἄγοντες
κούρην Βρισῆος, τήν μοι δόσαν υἷες Ἀχαιῶν.
ἀλλὰ σύ, εἰ δύνασαί γε, περίσχεο παιδὸς ἑῆος·
ἐλθοῦσ' Οὔλυμπόνδε Δία λίσαι, εἴ ποτε δή τι
ἢ ἔπει ὤνησας κραδίην Διὸς ἠὲ καὶ ἔργωι.
πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα
εὐχομένης, ὅτ' ἔφησθα κελαινεφέϊ Κρονίωνι
οἴη ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,
ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη,
ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα, θεά, ὑπελύσαο δεσμῶν,
ὦχ' ἑκατόγχειρον καλέσασ' ἐς μακρὸν Ὄλυμπον,
ὃν Βριάρεων καλέουσι θεοί, ἄνδρες δέ τε πάντες
Αἰγαίων' — ὁ γὰρ αὖτε βίην οὗ πατρὸς ἀμείνων·
ὅς ῥα παρὰ Κρονίωνι καθέζετο κύδεϊ γαίων·
τὸν καὶ ὑπέδδεισαν μάκαρες θεοὶ οὐδέ τ' ἔδησαν.
τῶν νῦν μιν μνήσασα παρέζεο καὶ λαβὲ γούνων,
αἴ κέν πως ἐθέλησιν ἐπὶ Τρώεσσιν ἀρῆξαι,
τοὺς δὲ κατὰ πρύμνας τε καὶ ἀμφ' ἅλα ἔλσαι Ἀχαιοὺς
κτεινομένους, ἵνα πάντες ἐπαύρωνται βασιλῆος,
γνῶι δὲ καὶ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
ἣν ἄτην, ὅ τ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν."

Achilles 9.197

"χαίρετον· ἦ φίλοι ἄνδρες ἱκάνετον· ἦ τι μάλα χρεώ,
οἵ μοι σκυζομένωι περ Ἀχαιῶν φίλτατοί ἐστον."

Achilles 9.202

"μείζονα δὴ κρητῆρα, Μενοιτίου υἱέ, καθίστα·
ζωρότερον δὲ κέραιε, δέπας δ' ἔντυνον ἑκάστωι·
οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῶι ὑπέασι μελάθρωι."

Achilles 9.308

"διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποειπεῖν,
ἧι περ δὴ φρονέω τε καὶ ὡς τετελεσμένον ἔσται,
ὡς μή μοι τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος.
ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν
ὅς χ' ἕτερον μὲν κεύθηι ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπηι.
αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα·
οὔτ' ἐμέ γ' Ἀτρεΐδην Ἀγαμέμνονα πεισέμεν οἴω
οὔτ' ἄλλους Δαναούς, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
μάρνασθαι δηΐοισιν ἐπ' ἀνδράσι νωλεμὲς αἰεί.
ἴση μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι·
ἐν δὲ ἰῆι τιμῆι ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός·
κάτθαν' ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς.
οὐδέ τί μοι περίκειται, ἐπεὶ πάθον ἄλγεα θυμῶι,
αἰὲν ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.
ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσιν
μάστακ', ἐπεί κε λάβῃσι, κακῶς δ' ἄρα οἱ πέλει αὐτῆι,
ὣς καὶ ἐγὼ πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον,
ἤματα δ' αἱματόεντα διέπρησσον πολεμίζων,
ἀνδράσι μαρνάμενος ὀάρων ἕνεκα σφετεράων.
δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων,
πεζὸς δ' ἕνδεκά φημι κατὰ Τροίην ἐρίβωλον·
τάων ἐκ πασέων κειμήλια πολλὰ καὶ ἐσθλὰ
ἐξελόμην, καὶ πάντα φέρων Ἀγαμέμνονι δόσκον
Ἀτρεΐδηι· ὁ δ' ὄπισθε μένων παρὰ νηυσὶ θοῆισιν
δεξάμενος διὰ παῦρα δασάσκετο, πολλὰ δ' ἔχεσκεν.
ἄλλα δ' ἀριστήεσσι δίδου γέρα καὶ βασιλεῦσιν·
τοῖσι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν
εἵλετ', ἔχει δ' ἄλοχον θυμαρέα· τῆι παριαύων
τερπέσθω. τί δὲ δεῖ πολεμιζέμεναι Τρώεσσιν
Ἀργείους; τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας
Ἀτρεΐδης; ἦ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο;
ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων
Ἀτρεΐδαι; ἐπεὶ ὅς τις ἀνὴρ ἀγαθὸς καὶ ἐχέφρων,
τὴν αὐτοῦ φιλέει καὶ κήδεται, ὡς καὶ ἐγὼ τὴν
ἐκ θυμοῦ φίλεον, δουρικτήτην περ ἐοῦσαν.
νῦν δ' ἐπεὶ ἐκ χειρῶν γέρας εἵλετο καί μ' ἀπάτησεν,
μή μευ πειράτω εὖ εἰδότος· οὐδέ με πείσει.
ἀλλ', Ὀδυσεῦ, σὺν σοί τε καὶ ἄλλοισιν βασιλεῦσιν
φραζέσθω νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ.
ἦ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο,
καὶ δὴ τεῖχος ἔδειμε, καὶ ἤλασε τάφρον ἐπ' αὐτῶι
εὐρεῖαν, μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξεν·
ἀλλ' οὐδ' ὧς δύναται σθένος Ἕκτορος ἀνδροφόνοιο
ἴσχειν. ὄφρα δ' ἐγὼ μετ' Ἀχαιοῖσιν πολέμιζον,
οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ,

ἀλλ’ ὅσον ἐς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν·
ἔνθά ποτ’ οἶον ἔμιμνε, μόγις δέ με ἔκφυγεν ὁρμήν.
νῦν δ’ ἐπεὶ οὐκ ἐθέλω πολεμιζέμεν Ἕκτορι δίωι,
αὔριον ἱρὰ Διὶ ῥέξας καὶ πᾶσι θεοῖσιν,
νηήσας εὖ νῆας, ἐπὴν ἅλαδε προερύσσω,
ὄψεαι, ἢν ἐθέληισθα καὶ αἴ κέν τοι τὰ μεμήληι,
ἦρι μάλ’ Ἑλλήσποντον ἐπ’ ἰχθυόεντα πλεούσας
νῆας ἐμάς, ἐν δ’ ἄνδρας ἐρεσσέμεναι μεμαῶτας·
εἰ δέ κεν εὐπλοΐην δώηι κλυτὸς Ἐννοσίγαιος,
ἤματί κε τριτάτωι Φθίην ἐρίβωλον ἱκοίμην.
ἔστι δέ μοι μάλα πολλά, τὰ κάλλιπον ἐνθάδε ἔρρων·
ἄλλον δ’ ἐνθένδε χρυσὸν καὶ χαλκὸν ἐρυθρὸν
ἠδὲ γυναῖκας ἐϋζώνους πολιόν τε σίδηρον
ἄξομαι, ἅσσ’ ἔλαχόν γε· γέρας δέ μοι, ὅς περ ἔδωκεν,
αὖτις ἐφυβρίζων ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρεΐδης. — τῶι πάντ’ ἀγορευέμεν, ὡς ἐπιτέλλω,
ἀμφαδόν, ὄφρα καὶ ἄλλοι ἐπισκύζωνται Ἀχαιοί,
εἴ τινά που Δαναῶν ἔτι ἔλπεται ἐξαπατήσειν,
αἰὲν ἀναιδείην ἐπιειμένος· — οὐδ’ ἂν ἐμοί γε
τετλαίη, κύνεός περ ἐών, εἰς ὦπα ἰδέσθαι·
οὐδέ τί οἱ βουλὰς συμφράσσομαι, οὐδὲ μὲν ἔργον·
ἐκ γὰρ δή μ’ ἀπάτησε καὶ ἤλιτεν· οὐδ’ ἂν ἔτ’ αὖτις
ἐξαπάφοιτ’ ἐπέεσσιν· ἅλις δέ οἱ. ἀλλὰ ἕκηλος
ἐρρέτω· ἐκ γάρ εὖ φρένας εἵλετο μητίετα Ζεύς.
ἐχθρὰ δέ μοι τοῦ δῶρα, τίω δέ μιν ἐν καρὸς αἴσηι.
οὐδ’ εἴ μοι δεκάκις τε καὶ εἰκοσάκις τόσα δοίη
ὅσσα τέ οἱ νῦν ἐστι, καὶ εἴ ποθεν ἄλλα γένοιτο,
οὐδ’ ὅσ’ ἐς Ὀρχομενὸν ποτινίσεται, οὐδ’ ὅσα Θήβας
Αἰγυπτίας, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται,
αἵ θ’ ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ’ ἀν’ ἑκάστην
ἀνέρες ἐξοιχνέουσι σὺν ἵπποισιν καὶ ὄχεσφιν·
οὐδ’ εἴ μοι τόσα δοίη ὅσα ψάμαθός τε κόνις τε,
οὐδέ κεν ὣς ἔτι θυμὸν ἐμὸν πείσει’ Ἀγαμέμνων,
πρίν γ’ ἀπὸ πᾶσαν ἐμοὶ δόμεναι θυμαλγέα λώβην.
κούρην δ’ οὐ γαμέω Ἀγαμέμνονος Ἀτρεΐδαο,
οὐδ’ εἰ χρυσείηι Ἀφροδίτηι κάλλος ἐρίζοι,
ἔργα δ’ Ἀθηναίηι γλαυκώπιδι ἰσοφαρίζοι·
οὐδέ μιν ὣς γαμέω· ὁ δ’ Ἀχαιῶν ἄλλον ἑλέσθω,
ὅς τις οἷ τ’ ἐπέοικε καὶ ὃς βασιλεύτερός ἐστιν.
ἢν γὰρ δή με σαῶσι θεοὶ καὶ οἴκαδ’ ἵκωμαι,
Πηλεύς θήν μοι ἔπειτα γυναῖκα γαμέσσεται αὐτός.
πολλαὶ Ἀχαιΐδες εἰσὶν ἀν’ Ἑλλάδα τε Φθίην τε,
κοῦραι ἀριστήων, οἵ τε πτολίεθρα ῥύονται·
τάων ἥν κ’ ἐθέλωμι φίλην ποιήσομ’ ἄκοιτιν.
ἔνθα δέ μοι μάλα πολλὸν ἐπέσσυτο θυμὸς ἀγήνωρ
γήμαντα μνηστὴν ἄλοχον, εἰκυῖαν ἄκοιτιν,
κτήμασι τέρπεσθαι τὰ γέρων ἐκτήσατο Πηλεύς·
οὐ γὰρ ἐμοὶ ψυχῆς ἀντάξιον οὐδ’ ὅσα φασὶν
Ἴλιον ἐκτῆσθαι, εὖ ναιόμενον πτολίεθρον,
τὸ πρὶν ἐπ’ εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
οὐδ’ ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει,
Φοίβου Ἀπόλλωνος, Πυθοῖ ἔνι πετρηέσσηι.
ληϊστοὶ μὲν γάρ τε βόες καὶ ἴφια μῆλα,
κτητοὶ δὲ τρίποδές τε καὶ ἵππων ξανθὰ κάρηνα·
ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λεϊστὴ
οὔθ’ ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.
μήτηρ γάρ τέ μέ φησι θεὰ Θέτις ἀργυρόπεζα
διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλοσδε·
εἰ μέν κ’ αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
ὤλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται·
εἰ δέ κεν οἴκαδ’ ἵκωμαι φίλην ἐς πατρίδα γαῖαν,
ὤλετό μοι κλέος ἐσθλόν, ἐπὶ δηρὸν δέ μοι αἰὼν
ἔσσεται, οὐδέ κέ μ’ ὦκα τέλος θανάτοιο κιχείη.
καὶ δ’ ἂν τοῖς ἄλλοισιν ἐγὼ παραμυθησαίμην
οἴκαδ’ ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆς· μάλα γάρ ἑθεν εὐρύοπα Ζεὺς
χεῖρα ἑὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
ἀλλ’ ὑμεῖς μὲν ἰόντες ἀριστήεσσιν Ἀχαιῶν
ἀγγελίην ἀπόφασθε — τὸ γὰρ γέρας ἐστὶ γερόντων —
ὄφρ’ ἄλλην φράζωνται ἐνὶ φρεσὶ μῆτιν ἀμείνω,
ἥ κέ σφιν νῆάς τε σαῶι καὶ λαὸν Ἀχαιῶν
νηυσὶν ἔπι γλαφυρῆις, ἐπεὶ οὔ σφισιν ἥδε γ’ ἑτοίμη,
ἣν νῦν ἐφράσσαντο, ἐμεῦ ἀπομηνίσαντος.
Φοῖνιξ δ’ αὖθι παρ’ ἄμμι μένων κατακοιμηθήτω,
ὄφρα μοι ἐν νήεσσι φίλην ἐς πατρίδ’ ἕπηται
αὔριον, ἢν ἐθέλησιν· ἀνάγκηι δ’ οὔ τί μιν ἄξω.” **Achilles**
“Φοῖνιξ, ἄττα γεραιὲ, διοτρεφὲς, οὔ τί με ταύτης **9.607**
χρεὼ τιμῆς· φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσηι,
ἥ μ’ ἕξει παρὰ νηυσὶ κορωνίσιν, εἰς ὅ κ’ ἀϋτμὴ
ἐν στήθεσσι μένηι καί μοι φίλα γούνατ’ ὀρώρηι.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων,
Ἀτρεΐδηι ἥρωϊ φέρων χάριν· οὐδὲ τί σε χρὴ
τὸν φιλέειν, ἵνα μή μοι ἀπέχθηαι φιλέοντι.
καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν ὅς κ’ ἐμὲ κήδηι.
ἶσον ἐμοὶ βασίλευε, καὶ ἥμισυ μείρεο τιμῆς.
οὗτοι δ’ ἀγγελέουσι, σὺ δ’ αὐτόθι λέξεο μίμνων
εὐνῆι ἔνι μαλακῆι· ἅμα δ’ ἠοῖ φαινομένηφιν
φρασσόμεθ’ ἤ κε νεώμεθ’ ἐφ’ ἡμέτερ’, ἦ κε μένωμεν.” **Achilles**
“Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν, **9.644**
πάντά τί μοι κατὰ θυμὸν ἐείσω μυθήσασθαι·
ἀλλά μοι οἰδάνεται κραδίη χόλωι, ὁππότ’ ἐκείνων
μνήσομαι, ὥς μ’ ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν
Ἀτρεΐδης, ὡς εἴ τιν’ ἀτίμητον μετανάστην.
ἀλλ’ ὑμεῖς ἔρχεσθε καὶ ἀγγελίην ἀπόφασθε·
οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι αἱματόεντος,
πρίν γ’ υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι
κτείνοντ’ Ἀργείους, κατά τε σμῦξαι πυρὶ νῆας.
ἀμφὶ δέ τοι τῆμῆι κλισίηι καὶ νηῒ μελαίνηι

Achilles ῞Εκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀΐω."
11.608 "δῖε Μενοιτιάδη, τῶμῶι κεχαρισμένε θυμῶι,
νῦν ὀΐω περὶ γούνατ' ἐμὰ στήσεσθαι Ἀχαιοὺς
λισσομένους· χρειὼ γὰρ ἱκάνεται οὐκέτ' ἀνεκτός.
ἀλλ' ἴθι νῦν, Πάτροκλε διΐφιλε, Νέστορ' ἐρεῖο
ὅν_τινα τοῦτον ἄγει βεβλημένον ἐκ πολέμοιο.
ἤτοι μὲν τά_γ' ὄπισθε Μαχάονι πάντα ἔοικεν
τῶι Ἀσκληπιάδηι, ἀτὰρ οὐκ ἴδον ὄμματα φωτός·
Achilles ἵπποι γάρ με παρήϊξαν πρόσσω μεμαυῖαι."
16.7 "τίπτε δεδάκρυσαι, Πατρόκλεις, ἠΰτε κούρη
νηπίη, ἥ_θ' ἅμα μητρὶ θέουσ' ἀνελέσθαι ἀνώγει,
εἱανοῦ ἁπτομένη, καί τ' ἐσσυμένην κατερύκει,
δακρυόεσσα δέ μιν ποτιδέρκεται, ὄφρ' ἀνέληται;
τῆι ἴκελος, Πάτροκλε, τέρεν κατὰ δάκρυον εἴβεις.
ἠέ τι Μυρμιδόνεσσι πιφαύσκεαι, ἦ ἐμοὶ αὐτῶι;
ἠέ τιν' ἀγγελίην Φθίης ἒξ ἔκλυες οἶος;
ζώειν μὰν ἔτι φασὶ Μενοίτιον, Ἄκτορος υἱὸν,
ζώει δ' Αἰακίδης Πηλεὺς μετὰ Μυρμιδόνεσσιν,
τῶν κε μάλ' ἀμφοτέρων ἀκαχοίμεθα τεθνηώτων.
Αἰγύπτωι μ' ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
ἔσχον, ἐπεὶ οὔ σφιν ἔρεξα τεληέσσας ἑκατόμβας·
οἱ δ' αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων.
νῆσος ἔπειτά τίς ἐστι πολυκλύστωι ἐνὶ πόντωι
Αἰγύπτου προπάροιθε, Φάρον δέ ἑ κικλήσκουσιν,
τόσσον ἄνευθ' ὅσσον τε πανημερίη γλαφυρὴ νηῦς
ἤνυσεν, ἧι λιγὺς οὖρος ἐπιπνείηισιν ὄπισθεν·
ἐν δὲ λιμὴν εὔορμος, ὅθεν τ' ἀπὸ νῆας ἐΐσας
ἐς πόντον βάλλουσιν, ἀφυσσάμενοι μέλαν ὕδωρ.
ἔνθά μ' ἐείκοσιν ἤματ' ἔχον θεοί, οὐδέ ποτ' οὖροι
πνείοντες φαίνονθ' ἁλιαέες, οἵ ῥά τε νηῶν
πομπῆες γίγνονται ἐπ' εὐρέα νῶτα θαλάσσης.
καί νύ κεν ἤϊα πάντα κατέφθιτο καὶ μένε' ἀνδρῶν,
εἰ μή_τίς με θεῶν ὀλοφύρατο καί μ' ἐσάωσεν,
Πρωτέος ἰφθίμου θυγάτηρ, ἁλίοιο γέροντος,
Εἰδοθέη· τῆι γάρ ῥα μάλιστά γε θυμὸν ὄρινα,
ἥ μ' οἴωι ἔρροντι συνήντετο νόσφιν ἑταίρων·
αἰεὶ γὰρ περὶ νῆσον ἀλώμενοι ἰχθυάασκον
γναμπτοῖς ἀγκίστροισιν, ἔτειρε δὲ γαστέρα λιμός.
ἡ δ' ἐμεῦ ἄγχι στᾶσα ἔπος φάτο φώνησέν τε·
'νήπιός εἰς, ὦ ξεῖνε, λίην τόσον ἠδὲ χαλίφρων,
ἠὲ ἑκὼν μεθίεις καὶ τέρπεαι ἄλγεα πάσχων;
ὡς δὴ δήθ' ἐνὶ νήσωι ἐρύκεαι, οὐδέ τι τέκμωρ
εὑρέμεναι δύνασαι, μινύθει δέ τοι ἦτορ ἑταίρων.'
ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
'ἐκ μέν τοι ἐρέω, ἥ_τις σύ πέρ ἐσσι θεάων,
ὡς ἐγὼ οὔ_τι ἑκὼν κατερύκομαι, ἀλλά νυ μέλλω
ἀθανάτους ἀλιτέσθαι, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.
ἀλλὰ σύ πέρ μοι εἰπέ — θεοὶ δέ τε πάντα ἴσασιν —
ὅς_τίς μ' ἀθανάτων πεδάαι καὶ ἔδησε κελεύθου,
νόστόν θ', ὡς ἐπὶ πόντον ἐλεύσομαι ἰχθυόεντα.'
ὣς ἐφάμην, ἡ δ' αὐτίκ' ἀμείβετο, δῖα θεάων,
'τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω.
πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτής,
ἀθάνατος Πρωτεὺς Αἰγύπτιος, ὅς_τε θαλάσσης
πάσης βένθεα οἶδε, Ποσειδάωνος ὑποδμώς·
τὸν δέ τ' ἐμόν φασιν πατέρ' ἔμμεναι ἠδὲ τεκέσθαι.
τόν_γ' εἴ πως σὺ δύναιο λοχησάμενος λελαβέσθαι,
ὅς κέν τοι εἴπηισιν ὁδὸν καὶ μέτρα κελεύθου
νόστόν θ', ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.
καὶ δέ κέ τοι εἴπηισι, διοτρεφές, αἴ κ' ἐθέληισθα,
ὅττί τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται,
οἰχομένοιο σέθεν δολιχὴν ὁδὸν ἀργαλέην τε.'
ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
'αὐτὴ νῦν φράζευ σὺ λόχον θείοιο γέροντος,
μή πώς με προϊδὼν ἠὲ προδαεὶς ἀλέηται·
ἀργαλέος γάρ τ' ἐστὶ θεὸς βροτῶι ἀνδρὶ δαμῆναι.'
ὣς ἐφάμην, ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων·
'τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω.

ἦμος δ’ ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκηι,
τῆμος ἄρ’ ἐξ ἁλὸς εἶσι γέρων ἅλιος νημερτὴς
πνοιῆι ὕπο Ζεφύροιο, μελαίνηι φρικὶ καλυφθείς,
ἐκ δ’ ἐλθὼν κοιμᾶται ὑπὸ σπέεσι γλαφυροῖσιν·
ἀμφὶ δέ μιν φῶκαι νέποδες καλῆς Ἁλοσύδνης
ἁθρόαι εὕδουσιν, πολιῆς ἁλὸς ἐξαναδῦσαι,
πικρὸν ἀποπνείουσαι ἁλὸς πολυβενθέος ὀδμήν.
ἔνθά σ’ ἐγὼν ἀγαγοῦσα ἅμ’ ἠοῖ φαινομένηφιν,
εὐνάσω ἑξείης· σὺ δ’ ἐῢ κρίνασθαι ἑταίρους
τρεῖς, οἵ τοι παρὰ νηυσὶν ἐϋσσέλμοισιν ἄριστοι.
πάντα δέ τοι ἐρέω ὀλοφώϊα τοῖο γέροντος.
φώκας μέν τοι πρῶτον ἀριθμήσει καὶ ἔπεισιν·
αὐτὰρ ἐπὴν πάσας πεμπάσσεται ἠδὲ ἴδηται,
λέξεται ἐν μέσσηισι, νομεὺς ὣς πώεσι μήλων.
τὸν μὲν ἐπὴν δὴ πρῶτα κατευνηθέντα ἴδησθε,
καὶ τότ’ ἔπειθ’ ὑμῖν μελέτω κάρτος τε βίη τε,
αὖθι δ’ ἔχειν μεμαῶτα καὶ ἐσσύμενόν περ ἀλύξαι.
πάντα δὲ γιγνόμενος πειρήσεται, ὅσσ’ ἐπὶ γαῖαν
ἑρπετὰ γίγνονται καὶ ὕδωρ καὶ θεσπιδαὲς πῦρ·
ὑμεῖς δ’ ἀστεμφέως ἐχέμεν μᾶλλόν τε πιέζειν.
ἀλλ’ ὅτε κεν δή σ’ αὐτὸς ἀνείρηται ἐπέεσσιν,
τοῖος ἐὼν οἷόν κε κατευνηθέντα ἴδησθε,
καὶ τότε δὴ σχέσθαί τε βίης λῦσαί τε γέροντα,
ἥρως, εἴρεσθαι δὲ θεῶν ὅς τίς σε χαλέπτει,
νόστον θ’, ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.’
ὣς εἰποῦσ’ ὑπὸ πόντον ἐδύσετο κυμαίνοντα.
αὐτὰρ ἐγὼν ἐπὶ νῆας, ὅθ’ ἕστασαν ἐν ψαμάθοισιν,
ἤϊα· πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
αὐτὰρ ἐπεί ῥ’ ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
δόρπον θ’ ὁπλισάμεσθ’, ἐπί τ’ ἤλυθεν ἀμβροσίη νύξ·
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἦμος δ’ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
καὶ τότε δὴ παρὰ θῖνα θαλάσσης εὐρυπόροιο
ἤϊα πολλὰ θεοὺς γουνούμενος· αὐτὰρ ἑταίρους
τρεῖς ἄγον, οἷσι μάλιστα πεποίθεα πᾶσαν ἐπ’ ἰθύν.
τόφρα δ’ ἄρ’ ἥ γ’ ὑποδῦσα θαλάσσης εὐρέα κόλπον,
τέσσαρα φωκάων ἐκ πόντου δέρματ’ ἔνεικεν·
πάντα δ’ ἔσαν νεόδαρτα· δόλον δ’ ἐπεμήδετο πατρί.
εὐνὰς δ’ ἐν ψαμάθοισι διαγλάψασ’ ἁλίῃσιν
ἧστο μένουσ’· ἡμεῖς δὲ μάλα σχεδὸν ἤλθομεν αὐτῆς·
ἑξείης δ’ ηὔνησε, βάλεν δ’ ἐπὶ δέρμα ἑκάστωι.
ἔνθα κεν αἰνότατος λόχος ἔπλετο· τεῖρε γὰρ αἰνῶς
φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή·
τίς γάρ κ’ εἰναλίωι παρὰ κήτεϊ κοιμηθείη;
ἀλλ’ αὐτὴ ἐσάωσε καὶ ἐφράσατο μέγ’ ὄνειαρ·
ἀμβροσίην ὑπὸ ῥῖνα ἑκάστωι θῆκε φέρουσα
ἡδὺ μάλα πνείουσαν, ὄλεσσε δὲ κήτεος ὀδμήν.
πᾶσαν δ’ ἠοίην μένομεν τετληότι θυμῶι·
φῶκαι δ’ ἐξ ἁλὸς ἦλθον ἀολλέες. αἱ μὲν ἔπειτα
ἑξῆς ηὐνάζοντο παρὰ ῥηγμῖνι θαλάσσης·
ἔνδιος δ’ ὁ γέρων ἦλθ’ ἐξ ἁλός, ηὗρε δὲ φώκας
ζατρεφέας, πάσας δ’ ἄρ’ ἐπῴχετο, λέκτο δ’ ἀριθμόν·
ἐν δ’ ἡμέας πρώτους λέγε κήτεσιν, οὐδέ τι θυμῶι
ὠΐσθη δόλον εἶναι· ἔπειτα δὲ λέκτο καὶ αὐτός.
ἡμεῖς δὲ ἰάχοντες ἐπεσσύμεθ’, ἀμφὶ δὲ χεῖρας
βάλλομεν· οὐδ’ ὁ γέρων δολίης ἐπελήθετο τέχνης,
ἀλλ’ ἤτοι πρώτιστα λέων γένετ’, ἠϋγένειος,
αὐτὰρ ἔπειτα δράκων καὶ πάρδαλις ἠδὲ μέγας σῦς·
γίγνετο δ’ ὑγρὸν ὕδωρ καὶ δένδρεον ὑψιπέτηλον.
ἡμεῖς δ’ ἀστεμφέως ἔχομεν τετληότι θυμῶι.
ἀλλ’ ὅτε δή ῥ’ ἀνίαζ’ ὁ γέρων ὀλοφώϊα εἰδώς,
καὶ τότε δή μ’ ἐπέεσσιν ἀνειρόμενος προσέειπεν·
‘τίς νύ τοι, Ἀτρέος υἱέ, θεῶν συμφράσσατο βουλάς,
ὄφρα μ’ ἕλοις ἀέκοντα λοχησάμενος; τέο σε χρή;’
ὣς ἔφατ’, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
‘οἶσθα, γέρον — τί με ταῦτα παρατροπέων ἐρεείνεις; —
ὡς δὴ δηθ’ ἐνὶ νήσωι ἐρύκομαι, οὐδέ τι τέκμωρ
εὑρέμεναι δύναμαι, μινύθει δέ μοι ἔνδοθεν ἦτορ.
ἀλλὰ σύ πέρ μοι εἰπὲ — θεοὶ δέ τε πάντα ἴσασιν —
ὅς τίς μ’ ἀθανάτων πεδάαι καὶ ἔδησε κελεύθου,
νόστον θ’, ὡς ἐπὶ πόντον ἐλεύσομαι ἰχθυόεντα.’
ὣς ἔφαμεν, ὁ δέ μ’ αὐτίκ’ ἀμειβόμενος πρεσέειπεν,
‘ἀλλὰ μάλ’ ὤφελλες Διί τ’ ἄλλοισίν τε θεοῖσιν
ῥέξας ἱερὰ κάλ’ ἀναβαινέμεν, ὄφρα τάχιστα
σὴν ἐς πατρίδ’ ἵκοιο πλέων ἐπὶ οἴνοπα πόντον.
οὐ γάρ τοι πρὶν μοῖρα φίλους τ’ ἰδέειν καὶ ἱκέσθαι
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν,
πρίν γ’ ὅτ’ ἂν Αἰγύπτοιο, διιπετέος ποταμοῖο,
αὖτις ὕδωρ ἔλθηις ῥέξηις θ’ ἱερὰς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν·
καὶ τότε τοι δώσουσιν ὁδὸν θεοί, ἣν σὺ μενοινᾶις.’
ὣς ἔφατ’, αὐτὰρ ἐμοί γε κατεκλάσθη φίλον ἦτορ,
οὕνεκά μ’ αὖτις ἄνωγεν ἐπ’ ἠεροειδέα πόντον
Αἴγυπτόνδ’ ἰέναι, δολιχὴν ὁδὸν ἀργαλέην τε.
ἀλλὰ καὶ ὥς μιν ἔπεσσιν ἀμειβόμενος προσέειπον·
‘ταῦτα μὲν οὕτω δὴ τελέω, γέρον, ὡς σὺ κελεύεις.
ἀλλ’ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ἦ πάντες σὺν νηυσὶν ἀπήμονες ἦλθον Ἀχαιοί,
οὓς Νέστωρ καὶ ἐγὼ λίπομεν Τροίηθεν ἰόντες,
ἦέ τις ὤλετ’ ὀλέθρωι ἀδευκέϊ ἧς ἐπὶ νηός,
ἠὲ φίλων ἐν χερσίν, ἐπεὶ πόλεμον τολύπευσεν.’
ὣς ἐφάμην, ὁ δέ μ’ αὐτίκ’ ἀμειβόμενος προσέειπεν·
‘Ἀτρείδη, τί με ταῦτα διείρεαι; οὐδέ τί σε χρὴ
ἴδμεναι, οὐδὲ δαῆναι ἐμὸν νόον· οὐδέ σέ φημι
δὴν ἄκλαυτον ἔσεσθαι, ἐπεί κ’ εὖ πάντα πύθηαι.
πολλοὶ μὲν γὰρ τῶν γε δάμεν, πολλοὶ δὲ λίποντο·
ἀρχοὶ δ’ αὖ δύο μοῦνοι Ἀχαιῶν χαλκοχιτώνων
ἐν νόστωι ἀπόλοντο· μάχηι δέ τε καὶ σὺ παρῆσθα.
εἷς δ’ ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντωι.
Αἴας μὲν μετὰ νηυσὶ δάμη δολιχηρέτμοισιν·

Γυρῇσίν μιν πρῶτα Ποσειδάων ἐπέλασσεν
πέτρῃσιν μεγάλῃσι καὶ ἐξεσάωσε θαλάσσης·
καί νύ κεν ἔκφυγε κῆρα, καὶ ἐχθόμενός περ Ἀθήνῃ,
εἰ μὴ ὑπερφίαλον ἔπος ἔκβαλε καὶ μέγ' ἀάσθη·
φῆ ῥ' ἀέκητι θεῶν φυγέειν μέγα λαῖτμα θαλάσσης.
τοῦ δὲ Ποσειδάων μεγάλ' ἔκλυεν αὐδήσαντος·
αὐτίκ' ἔπειτα τρίαιναν ἑλὼν χερσὶ στιβαρῇσιν
ἤλασε Γυραίην πέτρην, ἀπὸ δ' ἔσχισεν αὐτήν·
καὶ τὸ μὲν αὐτόθι μεῖνε, τὸ δὲ τρύφος ἔμπεσε πόντωι,
τῶι ῥ' Αἴας τὸ πρῶτον ἐφεζόμενος μέγ' ἀάσθη·
τὸν δ' ἐφόρει κατὰ πόντον ἀπείρονα κυμαίνοντα.
ὣς ὁ μὲν ἔνθ' ἀπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ.
σὸς δέ που ἔκφυγε κῆρας ἀδελφεὸς ἠδ' ὑπάλυξεν
ἐν νηυσὶ γλαφυρῇσι· σάωσε δὲ πότνια Ἥρη.
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλε Μαλειάων ὄρος αἰπὺ
ἵξεσθαι, τότε δή μιν ἀναρπάξασα θύελλα
πόντον ἔπ' ἰχθυόεντα φέρεν βαρέα στενάχοντα,
ἀγροῦ ἐπ' ἐσχατιὴν, ὅθι δώματα ναῖε Θυέστης
τὸ πρὶν, ἀτὰρ τότ' ἔναιε Θυεστιάδης Αἴγισθος.
ἀλλ' ὅτε δὴ καὶ κεῖθεν ἐφαίνετο νόστος ἀπήμων,
ἂψ δὲ θεοὶ οὖρον στρέψαν, καὶ οἴκαδ' ἵκοντο,
ἤτοι ὁ μὲν χαίρων ἐπεβήσετο πατρίδος αἴης,
καὶ κύνει ἁπτόμενος ἣν πατρίδα· πολλὰ δ' ἀπ' αὐτοῦ
δάκρυα θερμὰ χέοντ', ἐπεὶ ἀσπασίως ἴδε γαῖαν.
τὸν δ' ἄρ' ἀπὸ σκοπιῆς εἶδε σκοπὸς, ὅν ῥα καθεῖσεν
Αἴγισθος δολόμητις ἄγων, ὑπὸ δ' ἔσχετο μισθὸν
χρυσοῦ δοιὰ τάλαντα· φύλασσε δ' ὅ_γ' εἰς ἐνιαυτὸν,
μή ἑ λάθοι παριὼν, μνήσαιτο δὲ θούριδος ἀλκῆς.
βῆ δ' ἴμεν ἀγγελέων πρὸς δώματα ποιμένι λαῶν.
αὐτίκα δ' Αἴγισθος δολίην ἐφράσσατο τέχνην·
κρινάμενος κατὰ δῆμον ἐείκοσι φῶτας ἀρίστους
εἷσε λόχον, ἑτέρωθι δ' ἀνώγει δαῖτα πένεσθαι.
αὐτὰρ ὁ βῆ καλέων Ἀγαμέμνονα, ποιμένα λαῶν,
ἵπποισιν καὶ ὄχεσφιν, ἀεικέα μερμηρίζων.
τὸν δ' οὐκ εἰδότ' ὄλεθρον ἀνήγαγε, καὶ κατέπεφνεν
δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.
οὐδέ τις Ἀτρείδεω ἑτάρων λίπεθ' οἵ οἱ ἕποντο,
οὐδέ τις Αἰγίσθου, ἀλλ' ἔκταθεν ἐν μεγάροισιν.'
ὣς ἔφατ', αὐτὰρ ἐμοί_γε κατεκλάσθη φίλον ἦτορ,
κλαῖον δ' ἐν ψαμάθοισι καθήμενος, οὐδέ νύ μοι κῆρ
ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τ' ἐκορέσθην,
δὴ τότε με προσέειπε γέρων ἅλιος νημερτὴς·
'μηκέτι, Ἀτρέος υἱὲ, πολὺν χρόνον ἀσκελὲς οὕτω
κλαῖ', ἐπεὶ οὐκ ἄνυσίν τινα δήομεν· ἀλλὰ τάχιστα
πείρα, ὅπως κεν δὴ σὴν πατρίδα γαῖαν ἵκηαι.
ἢ γάρ μιν ζωόν γε κιχήσεαι, ἤ κεν Ὀρέστης
κτεῖναι ὑποφθάμενος· σὺ δέ κεν τάφου ἀντιβολήσαις.'
ὣς ἔφατ', αὐτὰρ ἐμοὶ κραδίη καὶ θυμὸς ἀγήνωρ
αὖτις ἐνὶ στήθεσσι, καὶ ἀχνυμένωι περ, ἰάνθη·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
'τούτους μὲν δὴ οἶδα· σὺ δὲ τρίτον ἄνδρ' ὀνόμαζε,
ὅς_τις ἔτι ζωὸς κατερύκεται εὐρέϊ πόντωι
ἠὲ θανών· ἐθέλω δὲ, καὶ ἀχνύμενός περ, ἀκοῦσαι.'
ὣς ἐφάμην, ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπεν·
'υἱὸς Λαέρτεω, Ἰθάκῃ ἔνι οἰκία ναίων·
τὸν ἴδον ἐν νήσωι θαλερὸν κατὰ δάκρυ χέοντα,
νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκῃ
ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι·
οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
σοὶ δ' οὐ θέσφατόν ἐστι, διοτρεφὲς ὦ Μενέλαε,
Ἄργει ἐν ἱπποβότωι θανέειν καὶ πότμον ἐπισπεῖν,
ἀλλά σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης
ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς,
τῆι_περ ῥηΐστη βιοτὴ πέλει ἀνθρώποισιν·
οὐ νιφετὸς, οὔτ' ἂρ χειμὼν πολὺς οὔτέ ποτ' ὄμβρος,
ἀλλ' αἰεὶ Ζεφύροιο λιγὺ πνείοντος ἀήτας
Ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους,
οὕνεκ' ἔχεις Ἑλένην καί σφιν γαμβρὸς Διός ἐσσι.'
ὣς εἰπὼν ὑπὸ πόντον ἐδύσετο κυμαίνοντα.
αὐτὰρ ἐγὼν ἐπὶ νῆας ἅμ' ἀντιθέοις ἑτάροισιν
ἤϊα, πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλθομεν ἠδὲ θάλασσαν,
δόρπόν θ' ὁπλισάμεσθ', ἐπί τ' ἤλυθεν ἀμβροσίη νύξ·
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠὼς,
νῆας μὲν πάμπρωτον ἐρύσσαμεν εἰς ἅλα δῖαν,
ἐν δ' ἱστοὺς τιθέμεσθα καὶ ἱστία νηυσὶν ἐΐσῃς·
ἂν δὲ καὶ αὐτοὶ βάντες ἐπὶ κληῗσι καθῖζον·
ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
ἂψ δ' εἰς Αἰγύπτοιο, διιπετέος ποταμοῖο,
στῆσα νέας, καὶ ἔρεξα τεληέσσας ἑκατόμβας,
αὐτὰρ ἐπεὶ κατέπαυσα θεῶν χόλον αἰὲν ἐόντων,
χεῦ' Ἀγαμέμνονι τύμβον, ἵν' ἄσβεστον κλέος εἴη.
ταῦτα τελευτήσας νεόμην, δίδοσαν δέ μοι οὖρον
ἀθάνατοι, τοί μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν.
ἀλλ ἄγε νῦν ἐπίμεινον ἐνὶ μεγάροισιν ἐμοῖσιν,
ὄφρα κεν ἑνδεκάτη τε δυωδεκάτη τε γένηται·
καὶ τότε σ' εὖ πέμψω, δώσω δέ τοι ἀγλαὰ δῶρα,
τρεῖς ἵππους καὶ δίφρον ἐΰξοον· αὐτὰρ ἔπειτα
δώσω καλὸν ἄλεισον, ἵνα σπένδῃσθα θεοῖσιν **Ag. as**
ἀθανάτοις, ἐμέθεν μεμνημένος ἤματα πάντα." **Men.**
"ὦ υἱὲ Πετεῶιο, διοτρεφέος βασιλῆος, **4.338**
καὶ σὺ, κακοῖσι δόλοισι κεκασμένε, κερδαλεόφρον,
τίπτε καταπτώσσοντες ἀφέστατε, μίμνετε δ' ἄλλους; see N134
σφῶϊν μέν τ' ἐπέοικε μετὰ πρώτοισιν ἐόντας.
ἑστάμεν ἠδὲ μάχης καυστειρῆς ἀντιβολῆσαι.
πρώτω γὰρ καὶ δαιτὸς ἀκουάζεσθον ἐμεῖο,
ὁππότε δαῖτα γέρουσιν ἐφοπλίζωμεν Ἀχαιοί.

ἔνθα φίλ' ὀπταλέα κρέα ἔδμεναι ἠδὲ κύπελλα
οἴνου πινέμεναι μελιηδέος, ὄφρ' ἐθέλητον·
νῦν δὲ φίλως χ' ὁρόωιτε, καὶ εἰ δέκα πύργοι Ἀχαιῶν
Ag. ὑμείων προπάροιθε μαχοίατο νηλέϊ χαλκῶι."
4.358 "διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
οὔτέ σε νεικείω περιώσιον οὔτε κελεύω·
οἶδα γάρ ὥς τοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ἤπια δήνεα οἶδε· τὰ γὰρ φρονέεις ἅ_τ' ἐγώ περ.
ἀλλ' ἴθι — ταῦτα δ' ὄπισθεν ἀρεσσόμεθ' — εἴ τι κακὸν νῦν
Ag. εἴρηται, τὰ δὲ πάντα θεοὶ μεταμώνια θεῖεν."
4.370 "ὤ_ μοι, Τυδέος υἱὲ δαΐφρονος ἱπποδάμοιο,
τί πτώσσεις, τί δ' ὀπιπτεύεις πολέμοιο γεφύρας;
οὐ μὲν Τυδέϊ γ' ὧδε φίλον πτωσκαζέμεν ἦεν,
ἀλλὰ πολὺ πρὸ φίλων ἑτάρων δηΐοισι μάχεσθαι,
ὡς φάσαν οἵ μιν ἴδοντο πονεόμενον· οὐ γὰρ ἐγώ_γε
ἤντησ' οὐδὲ ἴδον· περὶ δ' ἄλλων φασὶ γενέσθαι.
ἤτοι μὲν γὰρ ἄτερ πολέμου εἰσῆλθε Μυκήνας
ξεῖνος ἅμ' ἀντιθέωι Πολυνείκεϊ, λαὸν ἀγείρων,
οἵ ῥα τότ' ἐστρατόωνθ' ἱερὰ πρὸς τείχεα Θήβης·
καί ῥα μάλα λίσσοντο δόμεν κλειτοὺς ἐπικούρους.
οἱ δ' ἔθελον δόμεναι καὶ ἐπήινεον ὡς ἐκέλευον·
ἀλλὰ Ζεὺς ἔτρεψε παραίσια σήματα φαίνων.
οἱ δ' ἐπεὶ οὖν ᾤχοντο ἰδὲ πρὸ ὁδοῦ ἐγένοντο,
Ἀσωπὸν δ' ἵκοντο βαθύσχοινον λεχεποίην,
ἔνθ' αὖτ' ἀγγελίην ἐπὶ Τυδῆ στεῖλαν Ἀχαιοί.
αὐτὰρ ὁ βῆ, πολέας δὲ κιχήσατο Καδμείωνας
δαινυμένους κατὰ δῶμα βίης Ἐτεοκληείης.
ἔνθ' οὐδὲ ξεῖνός περ ἐών, ἱππηλάτα Τυδεὺς
τάρβει, μοῦνος ἐὼν πολέσιν μετὰ Καδμείοισιν,
ἀλλ' ὅ_γ' ἀεθλεύειν προκαλίζετο, πάντα δ' ἐνίκα
ῥηϊδίως· τοίη οἱ ἐπίρροθος ἦεν Ἀθήνη.
οἱ δὲ χολωσάμενοι Καδμεῖοι, κέντορες ἵππων,
ἂψ ἀναερχομένωι πυκινὸν λόχον εἷσαν ἄγοντες,
κούρους πεντήκοντα· δύω δ' ἡγήτορες ἦσαν,
Μαίων Αἱμονίδης, ἐπιείκελος ἀθανάτοισιν,
υἱός τ' Αὐτοφόνοιο, μενεπτόλεμος Πολυφόντης.
Τυδεὺς μὲν καὶ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν·
πάντας ἔπεφν', ἕνα δ' οἶον ἵει οἶκόνδε νέεσθαι·
Μαίον' ἄρα προέηκε, θεῶν τεράεσσι πιθήσας.
Ag. τοῖος ἔην Τυδεὺς Αἰτώλιος· ἀλλὰ τὸν υἱὸν
γείνατο εἷο χέρεια μάχηι, ἀγορῆι δέ τ' ἀμείνων."
4.611 "αἵματός εἰς ἀγαθοῖο, φίλον τέκος, οἷ' ἀγορεύεις·
τοιγὰρ ἐγώ τοι ταῦτα μεταστήσω· δύναμαι γάρ.
δώρων δ' ὅσσ' ἐν ἐμῶι οἴκωι κειμήλια κεῖται
δώσω ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστιν.
δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ
ἔστιν ἅπας, χρυσῶι δ' ἐπὶ χείλεα κεκράανται·
ἔργον δ' Ἡφαίστοιο· πόρεν δέ ἑ Φαίδιμος ἥρως,
Ag. as Σιδονίων βασιλεύς, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψεν
Men. κεῖσέ με νοστήσαντα· τεῒν δ' ἐθέλω τόδ' ὀπάσσαι."

"ὦ φίλοι, ἀνέρες ἔστε καὶ ἄλκιμον ἦτορ ἕλεσθε, 5.529
ἀλλήλους τ' αἴδεισθε κατὰ κρατερὰς ὑσμίνας·
αἰδομένων ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται·
φευγόντων δ' οὔτ' ἂρ κλέος ὄρνυται οὔτε τις ἀλκή." Ag.
"ὦ πέπον, ὦ Μενέλαε, τίη δὲ σὺ κήδεαι οὕτως 6.55
ἀνδρῶν; ἦ σοὶ ἄριστα πεποίηται κατὰ οἶκον
πρὸς Τρώων· τῶν μή_τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον
χεῖράς θ' ἡμετέρας, μηδ' ὅν_τινα γαστέρι μήτηρ
κοῦρον ἐόντα φέροι, μηδ' ὃς φύγοι, ἀλλ' ἅμα πάντες
Ἰλίου ἐξαπολοίατ' ἀκήδεστοι καὶ ἄφαντοι." Ag.
"ἀφραίνεις, Μενέλαε διοτρεφές, οὐδέ τί σε χρὴ 7.109
ταύτης ἀφροσύνης. ἀνὰ δ' ἴσχεο, κηδόμενός περ,
μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι,
Ἕκτορι Πριαμίδηι, τόν_τε στυγέουσι καὶ ἄλλοι.
καὶ δ' Ἀχιλεὺς τούτωι γε μάχηι ἔνι κυδιανείρηι
ἔρριγ' ἀντιβολῆσαι, ὅ_περ σέο πολλὸν ἀμείνων.
ἀλλὰ σὺ μὲν νῦν ἵζευ ἰὼν μετὰ ἔθνος ἑταίρων,
τούτωι δὲ πρόμον ἄλλον ἀναστήσουσιν Ἀχαιοί.
εἴ_περ ἀδειής τ' ἐστὶ καὶ εἰ μόθου ἔστ' ἀκόρητος,
φημί μιν ἀσπασίως γόνυ κάμψειν, αἴ κε φύγησιν
δηΐου ἐκ πολέμοιο καὶ αἰνῆς δηϊοτῆτος." Ag.
"Ἰδαῖ', ἦτοι μῦθον Ἀχαιῶν αὐτὸς ἀκούεις, 7.406
ὥς τοι ὑποκρίνονται· ἐμοὶ δ' ἐπιανδάνει οὕτως.
ἀμφὶ δὲ νεκροῖσιν κατακαιέμεν οὔ_τι μεγαίρω·
οὐ γάρ τις φειδὼ νεκύων κατατεθνηώτων
γίγνετ', ἐπεί κε θάνωσι, πυρὸς μειλισσέμεν ὦκα.
ὅρκια δὲ Ζεὺς ἴστω, ἐρίγδουπος πόσις Ἥρης." Ag.
"Τεῦκρε, φίλη κεφαλή, Τελαμώνιε, κοίρανε λαῶν, 8.281
βάλλ' οὕτως, αἴ κέν τι φόως Δαναοῖσι γένηαι
πατρί τε σῶι Τελαμῶνι, ὅ σ' ἔτρεφε τυτθὸν ἐόντα
καί σε νόθον περ ἐόντα κομίσσατο ὧι ἐνὶ οἴκωι·
τὸν καὶ τηλόθ' ἐόντα ἐϋκλείης ἐπίβησον.
σοὶ δ' ἐγὼ ἐξερέω, ὡς καὶ τετελεσμένον ἔσται·
αἴ κέν μοι δώηι Ζεύς τ' αἰγίοχος καὶ Ἀθήνη
Ἰλίου ἐξαλαπάξαι ἐϋκτίμενον πτολίεθρον,
πρώτωι τοι μετ' ἐμὲ πρεσβήϊον ἐν χερὶ θήσω,
ἢ τρίποδ' ἠὲ δύω ἵππους αὐτοῖσιν ὄχεσφιν
ἠὲ γυναῖχ', ἥ κέν τοι ὁμὸν λέχος εἰσαναβαίνοι." Ag.
"ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες, 9.17
Ζεύς με μέγα Κρονίδης ἄτηι ἐνέδησε βαρείηι,
σχέτλιος, ὃς τότε μέν μοι ὑπέσχετο καὶ κατένευσεν
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι,
νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
ἠδ' ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν." Ag.

9.115 “ὦ γέρον, οὔ τι ψεῦδος ἐμὰς ἄτας κατέλεξας.
ἀασάμην, οὐδ’ αὐτὸς ἀναίνομαι. ἀντί νυ πολλῶν
λαῶν ἐστὶν ἀνὴρ ὅν τε Ζεὺς κῆρι φιλήσηι·
ὡς νῦν τοῦτον ἔτισε, δάμασσε δὲ λαὸν Ἀχαιῶν.
ἀλλ’ ἐπεὶ ἀασάμην φρεσὶ λευγαλέηισι πιθήσας,
ἂψ ἐθέλω ἀρέσαι δόμεναί τ’ ἀπερείσι’ ἄποινα.
ὑμῖν δ’ ἐν πάντεσσι περικλυτὰ δῶρ’ ὀνομήνω,
ἕπτ’ ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,
αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ’ ἵππους
πηγοὺς ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.
οὔ κεν ἀλήϊος εἴη ἀνὴρ ὧι τόσσα γένοιτο,
οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,
ὅσσα μοι ἠνείκαντο ἀέθλια μώνυχες ἵπποι.
δώσω δ’ ἑπτὰ γυναῖκας, ἀμύμονα ἔργ’ εἰδυίας,
Λεσβίδας, ἃς, ὅτε Λέσβον ἐϋκτιμένην ἕλεν αὐτὸς
ἐξελόμην, αἳ κάλλει ἐνίκων φῦλα γυναικῶν·
τὰς μέν οἱ δώσω, μετὰ δ’ ἔσσεται ἣν τότ’ ἀπηύρων,
κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι,
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι,
ἣ θέμις ἀνθρώπων πέλει, ἀνδρῶν ἠδὲ γυναικῶν.
ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε
ἄστυ μέγα Πριάμοιο θεοὶ δώωσ’ ἀλαπάξαι,
νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ νηησάσθω
εἰσελθών, ὅτε κεν δατεώμεθα ληΐδ’ Ἀχαιοί,
Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθω,
αἵ κε μετ’ Ἀργείην Ἑλένην κάλλισται ἔωσιν.
εἰ δέ κεν Ἄργος ἱκοίμεθ’ Ἀχαιϊκὸν, οὖθαρ ἀρούρης,
γαμβρός κέν μοι ἔοι· τίσω δέ μιν ἶσον Ὀρέστηι,
ὅς μοι τηλύγετος τρέφεται θαλίηι ἔνι πολλῆι.
τρεῖς δέ μοί εἰσι θύγατρες ἐνὶ μεγάρωι εὐπήκτωι,
Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα·
τάων ἥν κ’ ἐθέλησι φίλην ἀνάεδνον ἀγέσθω
πρὸς οἶκον Πηλῆος· ἐγὼ δ’ ἐπὶ μείλια δώσω
πολλὰ μάλ’, ὅσσ’ οὔ πώ τις ἑῆι ἐπέδωκε θυγατρί.
ἑπτὰ δέ οἱ δώσω εὖ ναιόμενα πτολίεθρα,
Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν
Φηράς τε ζαθέας ἠδ’ Ἄνθειαν βαθύλειμον
καλήν τ’ Αἴπειαν καὶ Πήδασον ἀμπελόεσσαν.
πᾶσαι δ’ ἐγγὺς ἁλός, νέαται Πύλου ἠμαθόεντος
ἐν δ’ ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται,
οἵ κέ ἑ δωτίνηισι θεὸν ὣς τιμήσουσιν
καί οἱ ὑπὸ σκήπτρωι λιπαρὰς τελέουσι θέμιστας.
ταῦτά κέ οἱ τελέσαιμι μεταλλήξαντι χόλοιο.
δμηθήτω — Ἀΐδης τοι ἀμείλιχος ἠδ’ ἀδάμαστος·
τοὔνεκα καί τε βροτοῖσι θεῶν ἔχθιστος ἁπάντων —
καί μοι ὑποστήτω, ὅσσον βασιλεύτερός εἰμι
Ag. ἠδ’ ὅσσον γενεῆι προγενέστερος εὔχομαι εἶναι.”
9.673 “εἴπ’ ἄγε μ’, ὦ πολύαιν’ Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
ἤ ῥ’ ἐθέλει νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ,
Ag. ἦ ἀπέειπε, χόλος δ’ ἔτ’ ἔχει μεγαλήτορα θυμόν;”

“χρεὼ βουλῆς ἐμὲ καὶ σέ, διοτρεφὲς ὦ Μενέλαε, 10.43
κερδαλέης, ἥ τίς κεν ἐρύσσεται ἠδὲ σαώσει
Ἀργείους καὶ νῆας, ἐπεὶ Διὸς ἐτράπετο φρήν.
Ἑκτορέοις ἄρα μᾶλλον ἐπὶ φρένα θῆχ’ ἱεροῖσιν.
οὐ γάρ πω ἰδόμην, οὐδ’ ἔκλυον αὐδήσαντος,
ἄνδρ’ ἕνα τοσσάδε μέρμερ’ ἐπ’ ἤματι μητίσασθαι,
ὅσσ’ Ἕκτωρ ἔρρεξε διίφιλος υἷας Ἀχαιῶν,
αὔτως, οὔτε θεᾶς υἱὸς φίλος οὔτε θεοῖο.
ἔργα δ’ ἔρεξ’ ὅσα φημὶ μελησέμεν Ἀργείοισιν
δηθά τε καὶ δολιχόν· τόσα γὰρ κακὰ μήσατ’ Ἀχαιούς.
ἀλλ’ ἴθι νῦν, Αἴαντα καὶ Ἰδομενῆα κάλεσσον,
ῥίμφα θέων παρὰ νῆας· ἐγὼ δ’ ἐπὶ Νέστορα δῖον
εἶμι, καὶ ὀτρυνέω ἀνστήμεναι, αἴ κ’ ἐθέλησιν
ἐλθεῖν ἐς φυλάκων ἱερὸν τέλος ἠδ’ ἐπιτεῖλαι.
κείνου γάρ κε μάλιστα πιθοίατο· τοῖο γὰρ υἱὸς
σημαίνει φυλάκεσσι, καὶ Ἰδομενῆος ὀπάων
Μηριόνης· τοῖσιν γὰρ ἐπετράπομέν γε μάλιστα.” Ag.
“αὖθι μένειν, μή πως ἀβροτάξομεν ἀλλήλοιιν 10.65
ἐρχομένω· πολλαὶ γὰρ ἀνὰ στρατόν εἰσι κέλευθοι.
φθέγγεο δ’ ἧι κεν ἴησθα, καὶ ἐγρήγορθαι ἄνωχθι,
πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρα ἕκαστον,
πάντας κυδαίνων· μηδὲ μεγαλίζεο θυμῶι,
ἀλλὰ καὶ αὐτοί περ πονεώμεθα· ὧδέ που ἄμμιν
Ζεὺς ἐπὶ γεινομένοισιν ἵει κακότητα βαρεῖαν.” Ag.
“ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν, 10.87
γνώσεαι Ἀτρεΐδην Ἀγαμέμνονα, τὸν περὶ πάντων
Ζεὺς ἐνέηκε πόνοισι διαμπερὲς, εἰς ὅ κ’ ἀϋτμὴ
ἐν στήθεσσι μένηι καί μοι φίλα γούνατ’ ὀρώρηι.
πλάζομαι ὧδ’, ἐπεὶ οὔ μοι ἐπ’ ὄμμασι νήδυμος ὕπνος
ἱζάνει, ἀλλὰ μέλει πόλεμος καὶ κήδε’ Ἀχαιῶν.
αἰνῶς γὰρ Δαναῶν περιδείδια, οὐδέ μοι ἦτορ
ἔμπεδον, ἀλλ’ ἀλαλύκτημαι, κραδίη δέ μοι ἔξω
στηθέων ἐκθρώισκει, τρομέει δ’ ὑπὸ φαίδιμα γυῖα.
ἀλλ’ εἴ τι δραίνεις, ἐπεὶ οὐδὲ σέ γ’ ὕπνος ἱκάνει,
δεῦρ’ ἐς τοὺς φύλακας καταβείομεν, ὄφρα ἴδωμεν,
μὴ τοὶ μὲν καμάτωι ἀδηκότες ἠδὲ καὶ ὕπνωι
κοιμήσωνται, ἀτὰρ φυλακῆς ἐπὶ πάγχυ λάθωνται·
δυσμενέες δ’ ἄνδρες σχεδὸν εἵαται· οὐδέ τι ἴδμεν,
μή πως καὶ διὰ νύκτα μενοινήσωσι μάχεσθαι.” Ag.
“ὦ γέρον, ἄλλοτε μέν σε καὶ αἰτιάασθαι ἄνωγα· 10.120
πολλάκι γὰρ μεθίει τε καὶ οὐκ ἐθέλει πονέεσθαι,
οὔτ’ ὄκνωι εἴκων οὔτ’ ἀφραδίηισι νόοιο,
ἀλλ’ ἐμέ τ’ εἰσορόων καὶ ἐμὴν ποτιδέγμενος ὁρμήν.
νῦν δ’ ἐμέο πρότερος μάλ’ ἐπέγρετο καί μοι ἐπέστη·
τὸν μὲν ἐγὼ προέηκα καλήμεναι οὓς σὺ μεταλλᾷς.
ἀλλ’ ἴομεν· κείνους δὲ κιχησόμεθα πρὸ πυλάων
ἐν φυλάκεσσ’· ἵνα γάρ σφιν ἐπέφραδον ἠγερέεσθαι.” Ag.
“Τυδείδη Διόμηδες, ἐμῶι κεχαρισμένε θυμῶι, 10.234
τὸν μὲν δὴ ἕταρόν γ’ αἱρήσεαι, ὅν κ’ ἐθέλῃσθα,
φαινομένων τὸν ἄριστον, ἐπεὶ μεμάασί γε πολλοί.

μηδὲ σύ_γ' αἰδόμενος σῆισι φρεσὶ τὸν μὲν ἀρείω
καλλείπειν, σὺ δὲ χείρον' ὀπάσσεαι αἰδοῖ εἴκων,
Ag. ἐς γενεὴν ὁρόων, μηδ' εἰ βασιλεύτερός ἐστιν."
11.138 "εἰ μὲν δὴ Ἀντιμάχοιο δαΐφρονος υἱέες ἐστὸν,
ὅς ποτ' ἐνὶ Τρώων ἀγορῆι Μενέλαον ἄνωγεν,
ἀγγελίην ἐλθόντα σὺν ἀντιθέωι Ὀδυσῆϊ,
αὖθι κατακτεῖναι μηδ' ἐξέμεν ἂψ ἐς Ἀχαιοὺς,
Ag. νῦν μὲν δὴ τοῦ πατρὸς ἀεικέα τείσετε λώβην."
11.276 "ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
ὑμεῖς περ νῦν νηυσὶν ἀμύνετε ποντοπόροισιν
φύλοπιν ἀργαλέην, ἐπεὶ οὐκ ἐμὲ μητίετα Ζεὺς
Ag. εἴασε Τρώεσσι πανημέριον πολεμίζειν."
14.42 "ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
τίπτε λιπὼν πόλεμον φθεισήνορα δεῦρ' ἀφικάνεις;
δείδω μὴ δή μοι τελέσηι ἔπος ὄβριμος Ἕκτωρ,
ὥς ποτ' ἐπηπείλησεν ἐνὶ Τρώεσσ' ἀγορεύων,
μὴ πρὶν πὰρ νηῶν προτὶ Ἴλιον ἀπονέεσθαι,
πρὶν πυρὶ νῆας ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούς.
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
ὢ πόποι, ἦ ῥα καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ
ἐν θυμῶι βάλλονται ἐμοὶ χόλον, ὥς_περ Ἀχιλλεὺς,
Ag. οὐδ' ἐθέλουσι μάχεσθαι ἐπὶ πρυμνῆισι νέεσσιν."
14.65 "Νέστορ, ἐπεὶ_δὴ νηυσὶν ἔπι πρυμνῆισι μάχονται,
τεῖχος δ' οὐκ ἔχραισμε τετυγμένον, οὐδέ τι τάφρος,
ἧι ἔπι πόλλ' ἔπαθον Δαναοὶ, ἔλποντο δὲ θυμῶι
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι,
οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.
ἤιδεα μὲν γὰρ ὅτε πρόφρων Δαναοῖσιν ἄμυνεν,
οἶδα δὲ νῦν ὅτε τοὺς μὲν ὁμῶς μακάρεσσι θεοῖσιν
κυδάνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδησεν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
νῆες ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης,
ἕλκωμεν, πάσας δὲ ἐρύσσομεν εἰς ἅλα δῖαν,
ὕψι δ' ἐπ' εὐνάων ὁρμίσσομεν, εἰς_ὅ κεν ἔλθηι
νὺξ ἀβρότη, ἣν καὶ τῆι ἀπόσχωνται πολέμοιο
Τρῶες· ἔπειτα δέ κεν ἐρυσαίμεθα νῆας ἁπάσας.
οὐ γάρ τις νέμεσις φυγέειν κακὸν, οὐδ' ἀνὰ νύκτα.
Ag. βέλτερον ὃς φεύγων προφύγηι κακὸν ἠὲ ἁλώηι."
14.104 "ὦ Ὀδυσεῦ, μάλα πώς με καθίκεο θυμὸν ἐνιπῆι
ἀργαλέηι· ἀτὰρ οὐ μὲν ἐγὼν ἀέκοντας ἄνωγα
νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν υἷας Ἀχαιῶν.
νῦν δ' εἴη ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι,
Ag. ἢ νέος ἠὲ παλαιός· ἐμοὶ δέ κεν ἀσμένωι εἴη."
15.68 "Τηλέμαχ', οὔ_τί σ' ἐγώ_γε πολὺν χρόνον ἐνθάδ' ἐρύξω
ἱέμενον νόστοιο· νεμεσσῶμαι δὲ καὶ ἄλλωι
ἀνδρὶ ξεινοδόκωι, ὅς κ' ἔξοχα μὲν φιλέηισιν,
ἔξοχα δ' ἐχθαίρησιν· ἀμείνω δ' αἴσιμα πάντα.
ἶσόν τοι κακόν ἐσθ', ὅς τ' οὐκ ἐθέλοντα νέεσθαι
ξεῖνον ἐποτρύνηι καὶ ὃς ἐσσύμενον κατερύκηι.
χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.
ἀλλὰ μέν', εἰς_ὅ κε δῶρα φέρων ἐπιδίφρια θείω
καλὰ, σὺ δ' ὀφθαλμοῖσιν ἴδηις, εἴπω δὲ γυναιξὶν
δεῖπνον ἐνὶ μεγάροις τετυκεῖν ἅλις ἔνδον ἐόντων.
ἀμφότερον, κῦδός τε καὶ ἀγλαΐη καὶ ὄνειαρ,
δειπνήσαντας ἴμεν πολλὴν ἐπ' ἀπείρονα γαῖαν·
εἰ δ' ἐθέλεις, τραφθῆναι ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος,
ὄφρα τοι αὐτὸς ἕπωμαι, ὑποζεύξω δέ τοι ἵππους,
ἄστεα δ' ἀνθρώπων ἡγήσομαι· οὐδέ τις ἥμεας
αὔτως ἀππέμψει, δώσει δέ τι ἕν γε φέρεσθαι,
ἠέ τινα τριπόδων εὐχάλκων ἠὲ λεβήτων, Ag. as
ἠὲ δύ' ἡμιόνους, ἠὲ χρύσειον ἄλεισον." Men.
"Τηλέμαχ', ἤτοι νόστον, ὅπως φρεσὶ σῆισι μενοινᾶις, 15.111
ὥς τοι Ζεὺς τελέσειεν, ἐρίγδουπος πόσις Ἥρης.
δώρων δ', ὅσσ' ἐν ἐμῶι οἴκωι κειμήλια κεῖται,
δώσω ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστιν·
δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ
ἔστιν ἅπας, χρυσῶι δ' ἐπὶ χείλεα κεκράανται,
ἔργον δ' Ἡφαίστοιο· πόρεν δέ ἑ Φαίδιμος ἥρως,
Σιδονίων βασιλεὺς, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψεν
κεῖσέ με νοστήσαντα· τεῒν δ' ἐθέλω τόδ' ὀπάσσαι."
"χαίρετον, ὦ κούρω, καὶ Νέστορι ποιμένι λαῶν 15.151
εἰπεῖν· ἦ γὰρ ἐμοί_γε πατὴρ ὣς ἤπιος ἦεν, Ag. as
εἷος ἐνὶ Τροίηι πολεμίζομεν υἷες Ἀχαιῶν." Men.
"ὦ φίλοι, ἥρωες Δαναοὶ, θεράποντες Ἄρηος, 19.78
ἑσταότος μὲν καλὸν ἀκουέμεν, οὐδὲ ἔοικεν
ὑββάλλειν· χαλεπὸν γὰρ, ἐπισταμένωι περ ἐόντι.
ἀνδρῶν δ' ἐν πολλῶι ὁμάδωι πῶς κέν τις ἀκούσαι
ἢ εἴποι; βλάβεται δὲ λιγύς περ ἐὼν ἀγορητής.
Πηλείδηι μὲν ἐγὼν ἐνδείξομαι· αὐτὰρ οἱ ἄλλοι
σύνθεσθ' Ἀργεῖοι, μῦθόν τ' εὖ γνῶτε ἕκαστος.
πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔειπον,
καί τέ με νεικείεσκον· ἐγὼ δ' οὐκ αἴτιός εἰμι,
ἀλλὰ Ζεὺς καὶ Μοῖρα καὶ ἠεροφοῖτις Ἐρινὺς,
οἵ_τέ μοι εἰν ἀγορῆι φρεσὶν ἔμβαλον ἄγριον ἄτην
ἤματι τῶι, ὅτ' Ἀχιλλῆος γέρας αὐτὸς ἀπηύρων.
ἀλλὰ τί κε ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾶι.
πρέσβα Διὸς θυγάτηρ Ἄτη, ἣ πάντας ἀᾶται,
οὐλομένη. τῆι μέν θ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' οὔδει
πίλναται, ἀλλ' ἄρα ἥ_γε κατ' ἀνδρῶν κράατα βαίνει
βλάπτουσ' ἀνθρώπους· κατὰ δ' οὖν ἕτερόν γε_πέδησεν.
καὶ γὰρ δή νύ ποτε Ζεὺς ἄσατο, τόν_περ ἄριστον
ἀνδρῶν ἠδὲ θεῶν φασ' ἔμμεναι· ἀλλ' ἄρα καὶ τὸν
Ἥρη θῆλυς ἐοῦσα δολοφροσύνηις ἀπάτησεν,
ἤματι τῶι, ὅτ' ἔμελλε βίην Ἡρακληείην
Ἀλκμήνη τέξεσθαι ἐϋστεφάνωι ἐνὶ Θήβηι.
ἤτοι ὅ_γ' εὐχόμενος μετέφη πάντεσσι θεοῖσιν·
'κέκλυτέ μευ, πάντες τε θεοὶ πᾶσαί τε θέαιναι,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσιν ἀνώγει.
σήμερον ἄνδρα φόωσδε μογοστόκος Εἰλείθυια

ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσιν ἀνάξει,
τῶν ἀνδρῶν γενεῆς, οἵ_θ' αἵματος ἐξ ἐμοῦ εἰσιν.'
τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
'ψεύστης εἶς, οὐδ' αὖτε τέλος μύθωι ἐπιθήσεις.
εἰ δ' ἄγε νῦν μοι ὄμοσσον, Ὀλύμπιε, καρτερὸν ὅρκον,
ἦ μὲν τὸν πάντεσσι περικτιόνεσσιν ἀνάξειν,
ὅς κεν ἐπ' ἤματι τῶιδε πέσηι μετὰ ποσσὶ γυναικὸς
τῶν ἀνδρῶν οἳ σῆς ἐξ αἵματός εἰσι γενέθλης.'
ὣς ἔφατο· Ζεὺς δ' οὔ_τι δολοφροσύνην ἐνόησεν,
ἀλλ' ὄμοσεν μέγαν ὅρκον, ἔπειτα δὲ πολλὸν ἀάσθη.
Ἥρη δ' ἀΐξασα λίπε ῥίον Οὐλύμποιο,
καρπαλίμως δ' ἵκετ' Ἄργος Ἀχαιϊκόν, ἔνθ' ἄρα εἴδη
ἰφθίμην ἄλοχον Σθενέλου Περσηϊάδαο·
ἡ δ' ἐκύει φίλον υἱόν, ὁ δ' ἕβδομος ἑστήκει μείς,
ἐκ δ' ἄγαγε πρὸ φόωσδε καὶ ἠλιτόμηνον ἐόντα,
Ἀλκμήνης δ' ἀπέπαυσε τόκον, σχέθε δ' Εἰλειθυίας.
αὐτὴ δ' ἀγγελέουσα Δία Κρονίωνα προσηύδα·
'Ζεῦ πάτερ ἀργικέραυνε, ἔπος τί τοι ἐν φρεσὶ θήσω.
ἤδη ἀνὴρ γέγον' ἐσθλός, ὃς Ἀργείοισιν ἀνάξει,
Εὐρυσθεύς, Σθενέλοιο πάϊς Περσηϊάδαο,
σὸν γένος· οὔ οἱ ἀεικὲς ἀνασσέμεν Ἀργείοισιν.'
ὣς φάτο, τὸν δ' ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν.
αὐτίκα δ' εἷλ' Ἄτην κεφαλῆς λιπαροπλοκάμοιο
χωόμενος φρεσὶν ᾗσι, καὶ ὤμοσε καρτερὸν ὅρκον,
μή_ποτ' ἐς Οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα
αὖτις ἐλεύσεσθαι Ἄτην, ἣ πάντας ἀᾶται.
ὣς εἰπὼν ἔρριψεν ἀπ' οὐρανοῦ ἀστερόεντος
χειρὶ περιστρέψας· τάχα δ' ἵκετο ἔργ' ἀνθρώπων.
τὴν αἰεὶ στενάχεσχ', ὅθ' ἑὸν φίλον υἱὸν ὁρῶιτο
ἔργον ἀεικὲς ἔχοντα ὑπ' Εὐρυσθῆος ἀέθλων.
ὣς καὶ ἐγών, ὅτε δὴ αὖτε μέγας κορυθαιόλος Ἕκτωρ
Ἀργείους ὀλέκεσκεν ἐπὶ πρυμνῆισι νέεσσιν,
οὐ δυνάμην λελαθέσθ' Ἄτης, ἧι πρῶτον ἀάσθην.
ἀλλ' ἐπεὶ ἀασάμην καί μοι φρένας ἐξέλετο Ζεύς,
ἂψ ἐθέλω ἀρέσαι δόμεναί τ' ἀπερείσι' ἄποινα·
ἀλλ' ὄρσεο πόλεμόνδε, καὶ ἄλλους ὄρνυθι λαούς.
δῶρα δ' ἐγὼν ὅδε πάντα παρασχέμεν, ὅσσα τοι ἐλθὼν
χθιζὸς ἐνὶ κλισίηισιν ὑπέσχετο δῖος Ὀδυσσεύς.
εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐπειγόμενός περ ἄρηος·
δῶρα δέ τοι θεράποντες ἐμῆς παρὰ νηὸς ἑλόντες
Ag. οἴσουσ', ὄφρα ἴδηαι ὅ τοι μενοεικέα δώσω."
19.185 "χαίρω σεῦ, Λαερτιάδη, τὸν μῦθον ἀκούσας·
ἐν μοίρηι γὰρ πάντα διίκεο καὶ κατέλεξας.
ταῦτα δ' ἐγὼν ἐθέλω ὀμόσαι, κέλεται δέ με θυμός,
οὐδ' ἐπιορκήσω πρὸς δαίμονος. αὐτὰρ Ἀχιλλεὺς
μιμνέτω αὖθι τέως περ, ἐπειγόμενός περ Ἄρηος,
μίμνετε δ' ἄλλοι πάντες ἀολλέες, ὄφρα κε δῶρα
ἐκ κλισίης ἔλθησι καὶ ὅρκια πιστὰ τάμωμεν.
σοὶ δ' αὐτῶι τόδ' ἐγὼν ἐπιτέλλομαι ἠδὲ κελεύω·
κρινάμενος κούρητας ἀριστῆας Παναχαιῶν
δῶρα ἐμῆς παρὰ νηὸς ἐνεικέμεν, ὅσσ' Ἀχιλῆϊ
χθιζὸν ὑπέστημεν δώσειν, ἀγέμεν τε γυναῖκας.
Ταλθύβιος δέ μοι ὦκα κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
κάπρον ἑτοιμασάτω ταμέειν Διί τ' Ἠελίωι τε." Ag.
"ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος, 19.258
Γῆ τε καὶ Ἠέλιος καὶ Ἐρινύες, αἵ_θ' ὑπὸ γαῖαν
ἀνθρώπους τείνυνται, ὅτις κ' ἐπίορκον ὀμόσσηι,
μὴ μὲν ἐγὼ κούρηι Βρισηΐδι χεῖρ' ἐπένεικα,
οὔτ' εὐνῆς πρόφασιν κεχρημένος οὔτέ τευ ἄλλου·
ἀλλ' ἔμεν' ἀπροτίμαστος ἐνὶ κλισίηισιν ἐμῆισιν. Ag.
εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν (or Men.
πολλὰ μάλ', ὅσσα διδοῦσιν, ὅτις σφ' ἀλίτηται ὀμόσσας." as Ag.?)

Notes

Notes

VERSION:
Ag. and Men. are identical twins.
Men. agrees to swap wives with
his brother after Ag. returns Briseis
to Ach., and they assume each other's
identities after the war.

Klytemnenstra and Aegisthos kill Men. as
Ag., and Men as Ag.. continues the charade
in Hades.

Tel. | Od. parallels Orestes | Ag.:
a warrior father thought dead is in fact alive,
but has assumed a false identity in order to
win a Spartan bride with many suitors
(Od. to win back Pen.; Ag. to win Helen).

INCLUDES **2.56** ff.
(which may be spoken by Men.,
if Dream approached Men.
instead of Ag. by mistake).

INCLUDES **2.190** ff

EXCLUDES oath at **19.258** ff.

ALTERNATING: ILIAD ASCENDS AND OD. DECENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 974 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES ATTRIBUTED TO AGAMEMNON IN THE ILIAD AND TO MENELAUS IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.26 “μή σε, γέρον, κοίλῃσιν ἐγὼ παρὰ νηυσὶ κιχείω
ἢ νῦν δηθύνοντ’ ἢ’ ὕστερον αὖτις ἰόντα,
μή νύ τοι οὐ χραῖσμηι σκῆπτρον καὶ στέμμα θεοῖο.
τὴν δ’ ἐγὼ οὐ λύσω· πρίν μιν καὶ γῆρας ἔπεισιν
ἡμετέρωι ἐνὶ οἴκωι, ἐν Ἄργεϊ, τηλόθι πάτρης,
ἱστὸν ἐποιχομένην καὶ ἐμὸν λέχος ἀντιόωσαν.
Ag. ἀλλ’ ἴθι, μή μ’ ἐρέθιζε, σαώτερος ὥς κε νέηαι.”
15.151 “χαίρετον, ὦ κούρω, καὶ Νέστορι ποιμένι λαῶν
Ag. as εἰπεῖν· ἦ γὰρ ἐμοί γε πατὴρ ὣς ἤπιος ἦεν,
Men. εἷος ἐνὶ Τροίηι πολεμίζομεν υἷες Ἀχαιῶν.”
1.106 “μάντι κακῶν, οὔ πώ ποτέ μοι τὸ κρήγυον εἶπες.
αἰεί τοι τὰ κάκ’ ἐστὶ φίλα φρεσὶ μαντεύεσθαι,
ἐσθλὸν δ’ οὔτέ τί πω εἶπας ἔπος οὔτ’ ἐτέλεσσας·
καὶ νῦν ἐν Δαναοῖσι θεοπροπέων ἀγορεύεις
ὡς δὴ τοῦδ’ ἕνεκά σφιν Ἑκηβόλος ἄλγεα τεύχει,
◆ οὕνεκ’ ἐγὼ κούρης Χρυσηΐδος ἀγλά’ ἄποινα
οὐκ ἔθελον δέξασθαι, ἐπεὶ πολὺ βούλομαι αὐτὴν
οἴκοι ἔχειν· καὶ γάρ ῥα Κλυταιμήστρης προβέβουλα,
κουριδίης ἀλόχου, ἐπεὶ οὔ ἑθέν ἐστι χερείων,
οὐ δέμας οὐδὲ φυήν, οὔτ’ ἂρ φρένας οὔτε τι ἔργα.
ἀλλὰ καὶ ὣς ἐθέλω δόμεναι πάλιν, εἰ τό γ’ ἄμεινον·
βούλομ’ ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι.
αὐτὰρ ἐμοὶ γέρας αὐτίχ’ ἑτοιμάσατ’, ὄφρα μὴ οἶος
Ἀργείων ἀγέραστος ἔω, ἐπεὶ οὐδὲ ἔοικεν.
Ag. λεύσσετε γὰρ τό γε πάντες, ὅ μοι γέρας ἔρχεται ἄλληι.”
15.68 “Τηλέμαχ’, οὔ τί σ’ ἐγώ γε πολὺν χρόνον ἐνθάδ’ ἐρύξω
ἱέμενον νόστοιο· νεμεσσῶμαι δὲ καὶ ἄλλωι
ἀνδρὶ ξεινοδόκωι, ὅς κ’ ἔξοχα μὲν φιλέῃσιν,
ἔξοχα δ’ ἐχθαίρῃσιν· ἀμείνω δ’ αἴσιμα πάντα.
ἶσόν τοι κακόν ἐσθ’, ὅς τ’ οὐκ ἐθέλοντα νέεσθαι
ξεῖνον ἐποτρύνηι καὶ ὃς ἐσσύμενον κατερύκηι.
χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.
ἀλλὰ μέν’, εἰς ὅ κε δῶρα φέρων ἐπιδίφρια θείω
καλά, σὺ δ’ ὀφθαλμοῖσιν ἴδηις, εἴπω δὲ γυναιξὶν
δεῖπνον ἐνὶ μεγάροις τετυκεῖν ἅλις ἔνδον ἐόντων.
ἀμφότερον, κῦδός τε καὶ ἀγλαΐη καὶ ὄνειαρ,
δειπνήσαντας ἴμεν πολλὴν ἐπ’ ἀπείρονα γαῖαν·
εἰ δ’ ἐθέλεις, τραφθῆναι ἀν’ Ἑλλάδα καὶ μέσον Ἄργος,
ὄφρα τοι αὐτὸς ἕπωμαι, ὑποζεύξω δέ τοι ἵππους,
ἄστεα δ’ ἀνθρώπων ἡγήσομαι· οὐδέ τις ἥμεας
αὔτως ἀππέμψει, δώσει δέ τι ἕν γε φέρεσθαι,
Ag. as ἠέ τινα τριπόδων εὐχάλκων ἠὲ λεβήτων,
Men. ἠὲ δύ’ ἡμιόνους, ἠὲ χρύσειον ἄλεισον.”
1.131 “μὴ δὴ οὕτως, ἀγαθός περ ἐών, θεοείκελ’ Ἀχιλλεῦ,
κλέπτε νόωι, ἐπεὶ οὐ παρελεύσεαι οὐδέ με πείσεις.
ἦ ἐθέλεις, ὄφρ’ αὐτὸς ἔχηις γέρας, αὐτὰρ ἔμ’ αὔτως
ἧσθαι δευόμενον, κέλεαι δέ με τήνδ’ ἀποδοῦναι;
ἀλλ’ εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί,
ἄρσαντες κατὰ θυμόν, ὅπως ἀντάξιον ἔσται·
εἰ δέ κε μὴ δώωσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας, ἢ Ὀδυσῆος
ἄξω ἑλών· ὁ δέ κεν κεχολώσεται ὅν κεν ἵκωμαι.
ἀλλ’ ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖτις.
νῦν δ’ ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν,
ἐν δ’ ἐρέτας ἐπιτηδὲς ἀγείρομεν, ἐς δ’ ἑκατόμβην
θείομεν, ἂν δ’ αὐτὴν Χρυσηΐδα καλλιπάρηον
βήσομεν· εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω,
ἢ Αἴας, ἢ Ἰδομενεύς, ἢ δῖος Ὀδυσσεύς,
ἠὲ σύ, Πηλεΐδη, πάντων ἐκπαγλότατ’ ἀνδρῶν,
ὄφρ’ ἥμιν Ἑκάεργον ἱλάσσεαι ἱερὰ ῥέξας.” Ag.
“Τηλέμαχ’, ἤτοι νόστον, ὅπως φρεσὶ σῇσι μενοινᾷς, 15.111
ὥς τοι Ζεὺς τελέσειεν, ἐρίγδουπος πόσις Ἥρης.
δώρων δ’, ὅσσ’ ἐν ἐμῶι οἴκωι κειμήλια κεῖται,
δώσω ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστιν·
δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ
ἔστιν ἅπας, χρυσῶι δ’ ἐπὶ χείλεα κεκράανται,
ἔργον δ’ Ἡφαίστοιο· πόρεν δέ ἑ Φαίδιμος ἥρως,
Σιδονίων βασιλεύς, ὅθ’ ἑὸς δόμος ἀμφεκάλυψεν
κεῖσέ με νοστήσαντα· τεῒν δ’ ἐθέλω τόδ’ ὀπάσσαι.”
“φεῦγε μάλ’, εἴ τοι θυμὸς ἐπέσσυται, οὐδέ σ’ ἐγώ γε 1.173
λίσσομαι εἵνεκ’ ἐμεῖο μένειν· πάρ’ ἐμοί γε καὶ ἄλλοι
οἵ κέ με τιμήσουσι, μάλιστα δὲ μητίετα Ζεύς.
ἔχθιστος δέ μοί ἐσσι διοτρεφέων βασιλήων·
αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε.
εἰ μάλα καρτερός ἐσσι, θεός που σοὶ τό γ’ ἔδωκεν.
οἴκαδ’ ἰὼν σὺν νηυσί τε σῇις καὶ σοῖς ἑτάροισιν
Μυρμιδόνεσσιν ἄνασσε, σέθεν δ’ ἐγὼ οὐκ ἀλεγίζω
οὐδ’ ὄθομαι κοτέοντος. ἀπειλήσω δέ τοι ὧδε·
ὡς ἔμ’ ἀφαιρεῖται Χρυσηΐδα Φοῖβος Ἀπόλλων,
τὴν μὲν ἐγὼ σὺν νηΐ τ’ ἐμῇι καὶ ἐμοῖς ἑτάροισιν
πέμψω, ἐγὼ δέ κ’ ἄγω Βρισηΐδα καλλιπάρῃον
αὐτὸς ἰὼν κλισίηνδε, τὸ σὸν γέρας, ὄφρ’ εὖ εἰδῆις
ὅσσον φέρτερός εἰμι σέθεν, στυγέηι δὲ καὶ ἄλλος
ἶσον ἐμοὶ φάσθαι καὶ ὁμοιωθήμεναι ἄντην.” Ag.
“αἵματός εἰς ἀγαθοῖο, φίλον τέκος, οἷ’ ἀγορεύεις· 4.611
τοιγὰρ ἐγώ τοι ταῦτα μεταστήσω· δύναμαι γάρ.
δώρων δ’ ὅσσ’ ἐν ἐμῶι οἴκωι κειμήλια κεῖται
δώσω ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστιν.
δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ
ἔστιν ἅπας, χρυσῶι δ’ ἐπὶ χείλεα κεκράανται·
ἔργον δ’ Ἡφαίστοιο· πόρεν δέ ἑ Φαίδιμος ἥρως,
Σιδονίων βασιλεύς, ὅθ’ ἑὸς δόμος ἀμφεκάλυψεν Ag. as
κεῖσέ με νοστήσαντα· τεῒν δ’ ἐθέλω τόδ’ ὀπάσσαι.” Men.
“ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπες· 1.286
ἀλλ’ ὅδ’ ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων·
πάντων μὲν κρατέειν ἐθέλει, πάντεσσι δ’ ἀνάσσειν,
πᾶσι δὲ σημαίνειν, ἅ τιν’ οὐ πείσεσθαι ὀΐω.
εἰ δέ μιν αἰχμητὴν ἔθεσαν θεοὶ αἰὲν ἐόντες,
τοὔνεκά οἱ προθέουσιν ὀνείδεα μυθήσασθαι;”
“ὢ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῇι 4.333

ἤθελον εὐνηθῆναι ἀνάλκιδες αὐτοὶ ἐόντες.
ὡς δ᾽ ὁπότ᾽ ἐν ξυλόχωι ἔλαφος κρατεροῖο λέοντος
νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνοὺς
κνημοὺς ἐξερέησι καὶ ἄγκεα ποιήεντα
βοσκομένη, ὁ δέ τ᾽ ἔπειτα ἑὴν εἰσήλυθεν εὐνὴν,
ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν,
ὣς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοῖος ἐὼν οἷός ποτ᾽ ἐϋκτιμένηι ἐνὶ Λέσβωι
ἐξ ἔριδος Φιλομηλείδηι ἐπάλαισεν ἀναστὰς,
κὰδ δ᾽ ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοὶ,
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
πάντές κ᾽ ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
ταῦτα δ᾽ ἅ μ᾽ εἰρωτᾶις καὶ λίσσεαι, οὐκ ἂν ἐγώ γε
ἄλλα πάρεξ εἴποιμι παρακλιδὸν, οὐδ᾽ ἀπατήσω·
ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἅλιος νημερτὴς,
τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος οὐδ᾽ ἐπικεύσω.
  Αἰγύπτωι μ᾽ ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
ἔσχον, ἐπεὶ οὔ σφιν ἔρεξα τεληέσσας ἑκατόμβας·
οἱ δ᾽ αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων.
νῆσος ἔπειτά τίς ἐστι πολυκλύστωι ἐνὶ πόντωι
Αἰγύπτου προπάροιθε, Φάρον δέ ἑ κικλήσκουσιν,
τόσσον ἄνευθ᾽ ὅσσον τε πανημερίη γλαφυρὴ νηῦς
ἤνυσεν, ἧι λιγὺς οὖρος ἐπιπνείησιν ὄπισθεν·
ἐν δὲ λιμὴν εὔορμος, ὅθεν τ᾽ ἀπὸ νῆας ἐΐσας
ἐς πόντον βάλλουσιν, ἀφυσσάμενοι μέλαν ὕδωρ.
ἔνθά μ᾽ ἐείκοσιν ἤματ᾽ ἔχον θεοὶ, οὐδέ ποτ᾽ οὖροι
πνείοντες φαίνονθ᾽ ἁλιαέες, οἵ ῥά τε νηῶν
πομπῆες γίγνονται ἐπ᾽ εὐρέα νῶτα θαλάσσης.
καί νύ κεν ἤϊα πάντα κατέφθιτο καὶ μένε᾽ ἀνδρῶν,
εἰ μή τίς με θεῶν ὀλοφύρατο καί μ᾽ ἐσάωσεν,
Πρωτέος ἰφθίμου θυγάτηρ, ἁλίοιο γέροντος,
Εἰδοθέη· τῆι γάρ ῥα μάλιστά γε θυμὸν ὄρινα,
ἥ μ᾽ οἴωι ἔρροντι συνήντετο νόσφιν ἑταίρων·
αἰεὶ γὰρ περὶ νῆσον ἀλώμενοι ἰχθυάασκον
γναμπτοῖς ἀγκίστροισιν, ἔτειρε δὲ γαστέρα λιμός.
ἡ δ᾽ ἐμεῦ ἄγχι στᾶσα ἔπος φάτο φώνησέν τε·
‘νήπιός εἰς, ὦ ξεῖνε, λίην τόσον ἠδὲ χαλίφρων,
ἦε ἑκὼν μεθίεις καὶ τέρπεαι ἄλγεα πάσχων;
ὡς δὴ δήθ᾽ ἐνὶ νήσωι ἐρύκεαι, οὐδέ τι τέκμωρ
εὑρέμεναι δύνασαι, μινύθει δέ τοι ἦτορ ἑταίρων.’
  ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
‘ἐκ μέν τοι ἐρέω, ἥ τις σύ πέρ ἐσσι θεάων,
ὡς ἐγὼ οὔ τι ἑκὼν κατερύκομαι, ἀλλά νυ μέλλω
ἀθανάτους ἀλιτέσθαι, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.
ἀλλὰ σύ πέρ μοι εἰπέ — θεοὶ δέ τε πάντα ἴσασιν —
ὅς τίς μ᾽ ἀθανάτων πεδάαι καὶ ἔδησε κελεύθου,
νόστον θ᾽, ὡς ἐπὶ πόντον ἐλεύσομαι ἰχθυόεντα.’
ὣς ἐφάμην, ἡ δ᾽ αὐτίκ᾽ ἀμείβετο, δῖα θεάων,
‘τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ᾽ ἀτρεκέως ἀγορεύσω.
πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτὴς,
ἀθάνατος Πρωτεὺς Αἰγύπτιος, ὅς τε θαλάσσης
πάσης βένθεα οἶδε, Ποσειδάωνος ὑποδμώς·
τὸν δέ τ᾽ ἐμόν φασιν πατέρ᾽ ἔμμεναι ἠδὲ τεκέσθαι.
τόν γ᾽ εἴ πως σὺ δύναιο λοχησάμενος λελαβέσθαι,
ὅς κέν τοι εἴπησιν ὁδὸν καὶ μέτρα κελεύθου
νόστόν θ᾽, ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.
καὶ δέ κέ τοι εἴπησι, διοτρεφὲς, αἴ κ᾽ ἐθέλησθα,
ὅττί τοι ἐν μεγάροισι κακόν τ᾽ ἀγαθόν τε τέτυκται,
οἰχομένοιο σέθεν δολιχὴν ὁδὸν ἀργαλέην τε.’
ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
‘αὐτὴ νῦν φράζευ σὺ λόχον θείοιο γέροντος,
μή πώς με προϊδὼν ἠὲ προδαεὶς ἀλέηται·
ἀργαλέος γάρ τ᾽ ἐστὶ θεὸς βροτῶι ἀνδρὶ δαμῆναι.’
ὣς ἐφάμην, ἡ δ᾽ αὐτίκ᾽ ἀμείβετο δῖα θεάων·
‘τοιγὰρ ἐγώ τοι ταῦτα μάλ᾽ ἀτρεκέως ἀγορεύσω.
ἦμος δ᾽ ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκηι,
τῆμος ἄρ᾽ ἐξ ἁλὸς εἶσι γέρων ἅλιος νημερτὴς
πνοιῆι ὕπο Ζεφύροιο, μελαίνηι φρικὶ καλυφθεὶς,
ἐκ δ᾽ ἐλθὼν κοιμᾶται ὑπὸ σπέεσι γλαφυροῖσιν·
ἀμφὶ δέ μιν φῶκαι νέποδες καλῆς Ἁλοσύδνης
ἁθρόαι εὕδουσιν, πολιῆς ἁλὸς ἐξαναδῦσαι,
πικρὸν ἀποπνείουσαι ἁλὸς πολυβενθέος ὀδμήν.
ἔνθά σ᾽ ἐγὼν ἀγαγοῦσα ἅμ᾽ ἠοῖ φαινομένηφιν,
εὐνάσω ἑξείης· σὺ δ᾽ ἔϋ κρίνασθαι ἑταίρους
τρεῖς, οἵ τοι παρὰ νηυσὶν ἐϋσσέλμοισιν ἄριστοι.
πάντα δέ τοι ἐρέω ὀλοφώϊα τοῖο γέροντος.
φώκας μέν τοι πρῶτον ἀριθμήσει καὶ ἔπεισιν·
αὐτὰρ ἐπὴν πάσας πεμπάσσεται ἠδὲ ἴδηται,
λέξεται ἐν μέσσηισι, νομεὺς ὣς πώεσι μήλων.
τὸν μὲν ἐπὴν δὴ πρῶτα κατευνηθέντα ἴδησθε,
καὶ τότ᾽ ἔπειθ᾽ ὑμῖν μελέτω κάρτος τε βίη τε,
αὖθι δ᾽ ἔχειν μεμαῶτα καὶ ἐσσύμενόν περ ἀλύξαι.
πάντα δὲ γιγνόμενος πειρήσεται, ὅσσ᾽ ἐπὶ γαῖαν
ἑρπετὰ γίγνονται καὶ ὕδωρ καὶ θεσπιδαὲς πῦρ·
ὑμεῖς δ᾽ ἀστεμφέως ἐχέμεν μᾶλλόν τε πιέζειν.
ἀλλ᾽ ὅτε κεν δή σ᾽ αὐτὸς ἀνείρηται ἐπέεσσιν,
τοῖος ἐὼν οἷόν κε κατευνηθέντα ἴδησθε,
καὶ τότε δὴ σχέσθαί τε βίης λῦσαί τε γέροντα,
ἥρως, εἴρεσθαι δὲ θεῶν ὅς τίς σε χαλέπτει,
νόστόν θ᾽, ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.’
ὣς εἰποῦσ᾽ ὑπὸ πόντον ἐδύσετο κυμαίνοντα.
αὐτὰρ ἐγὼν ἐπὶ νῆας, ὅθ᾽ ἕστασαν ἐν ψαμάθοισιν,
ἤϊα· πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
αὐτὰρ ἐπεί ῥ᾽ ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
δόρπον θ᾽ ὁπλισάμεσθ᾽, ἐπί τ᾽ ἤλυθεν ἀμβροσίη νύξ·
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
καὶ τότε δὴ παρὰ θῖνα θαλάσσης εὐρυπόροιο
ἤϊα πολλὰ θεοὺς γουνούμενος· αὐτὰρ ἑταίρους

τρεῖς ἄγον, οἷσι μάλιστα πεποίθεα πᾶσαν ἐπ' ἰθύν.
τόφρα δ' ἄρ' ἥ_γ' ὑποδῦσα θαλάσσης εὐρέα κόλπον,
τέσσαρα φωκάων ἐκ πόντου δέρματ' ἔνεικεν·
πάντα δ' ἔσαν νεόδαρτα· δόλον δ' ἐπεμήδετο πατρί.
εὐνὰς δ' ἐν ψαμάθοισι διαγλάψασ' ἁλίῃσιν
ἧστο μένουσ'· ἡμεῖς δὲ μάλα σχεδὸν ἤλθομεν αὐτῆς·
ἑξείης δ' ηὔνησε, βάλεν δ' ἐπὶ δέρμα ἑκάστωι.
ἔνθα κεν αἰνότατος λόχος ἔπλετο· τεῖρε γὰρ αἰνῶς
φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή·
τίς γάρ κ' εἰναλίωι παρὰ κήτεϊ κοιμηθείη;
ἀλλ' αὐτὴ ἐσάωσε καὶ ἐφράσατο μέγ' ὄνειαρ·
ἀμβροσίην ὑπὸ ῥῖνα ἑκάστωι θῆκε φέρουσα
ἡδὺ μάλα πνείουσαν, ὄλεσσε δὲ κήτεος ὀδμήν.
πᾶσαν δ' ἠοίην μένομεν τετληότι θυμῶι·
φῶκαι δ' ἐξ ἁλὸς ἦλθον ἀολλέες. αἱ μὲν ἔπειτα
ἑξῆς ηὐνάζοντο παρὰ ῥηγμῖνι θαλάσσης·
ἔνδιος δ' ὁ γέρων ἦλθ' ἐξ ἁλός, ηὗρε δὲ φώκας
ζατρεφέας, πάσας δ' ἄρ' ἐπῴχετο, λέκτο δ' ἀριθμόν·
ἐν δ' ἡμέας πρώτους λέγε κήτεσιν, οὐδέ τι θυμῶι
ὠΐσθη δόλον εἶναι· ἔπειτα δὲ λέκτο καὶ αὐτός.
ἡμεῖς δὲ ἰάχοντες ἐπεσσύμεθ', ἀμφὶ δὲ χεῖρας
βάλλομεν· οὐδ' ὁ γέρων δολίης ἐπελήθετο τέχνης,
ἀλλ' ἤτοι πρώτιστα λέων γένετ', ἠϋγένειος,
αὐτὰρ ἔπειτα δράκων καὶ πάρδαλις ἠδὲ μέγας σῦς·
γίγνετο δ' ὑγρὸν ὕδωρ καὶ δένδρεον ὑψιπέτηλον.
ἡμεῖς δ' ἀστεμφέως ἔχομεν τετληότι θυμῶι.
ἀλλ' ὅτε δή ῥ' ἀνίαζ' ὁ γέρων ὀλοφώϊα εἰδώς,
καὶ τότε δή μ' ἐπέεσσιν ἀνειρόμενος προσέειπεν·
'τίς νύ τοι, Ἀτρέος υἱὲ, θεῶν συμφράσσατο βουλὰς,
ὄφρα μ' ἕλοις ἀέκοντα λοχησάμενος; τέο σε χρή;'
ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
'οἶσθα, γέρον — τί με ταῦτα παρατροπέων ἐρεείνεις; —
ὡς δὴ δήθ' ἐνὶ νήσωι ἐρύκομαι, οὐδέ τι τέκμωρ
εὑρέμεναι δύναμαι, μινύθει δέ μοι ἔνδοθεν ἦτορ.
ἀλλὰ σύ πέρ μοι εἰπὲ — θεοὶ δέ τε πάντα ἴσασιν —
ὅς_τίς μ' ἀθανάτων πεδάαι καὶ ἔδησε κελεύθου,
νόστόν θ', ὡς ἐπὶ πόντον ἐλεύσομαι ἰχθυόεντα.'
ὣς ἔφαμεν, ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος πρεσέειπεν,
'ἀλλὰ μάλ' ὤφελλες Διί τ' ἄλλοισίν τε θεοῖσιν
ῥέξας ἱερὰ κάλ' ἀναβαινέμεν, ὄφρα τάχιστα
σὴν ἐς πατρίδ' ἵκοιο πλέων ἐπὶ οἴνοπα πόντον.
οὐ γάρ τοι πρὶν μοῖρα φίλους τ' ἰδέειν καὶ ἱκέσθαι
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν,
πρίν γ' ὅτ' ἂν Αἰγύπτοιο, διιπετέος ποταμοῖο,
αὖτις ὕδωρ ἔλθῃς ῥέξῃς θ' ἱερὰς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν·
καὶ τότε τοι δώσουσιν ὁδὸν θεοί, ἣν σὺ μενοινᾶις.'
ὣς ἔφατ', αὐτὰρ ἐμοί_γε κατεκλάσθη φίλον ἦτορ,
οὕνεκά μ' αὖτις ἄνωγεν ἐπ' ἠεροειδέα πόντον
Αἴγυπτόνδ' ἰέναι, δολιχὴν ὁδὸν ἀργαλέην τε.
ἀλλὰ καὶ ὥς μιν ἔπεσσιν ἀμειβόμενος προσέειπον·
'ταῦτα μὲν οὕτω δὴ τελέω, γέρον, ὡς σὺ κελεύεις.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ἦ πάντες σὺν νηυσὶν ἀπήμονες ἦλθον Ἀχαιοί,
οὓς Νέστωρ καὶ ἐγὼ λίπομεν Τροίηθεν ἰόντες,
ἦέ τις ὤλετ' ὀλέθρωι ἀδευκέϊ ἧς ἐπὶ νηός,
ἠὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσεν.'
ὣς ἐφάμην, ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπεν·
'Ἀτρεΐδη, τί με ταῦτα διείρεαι; οὐδέ τί σε χρὴ
ἴδμεναι, οὐδὲ δαῆναι ἐμὸν νόον· οὐδέ σέ φημι
δὴν ἄκλαυτον ἔσεσθαι, ἐπεί κ' εὖ πάντα πύθηαι.
πολλοὶ μὲν γὰρ τῶν_γε δάμεν, πολλοὶ δὲ λίποντο·
ἀρχοὶ δ' αὖ δύο μοῦνοι Ἀχαιῶν χαλκοχιτώνων
ἐν νόστωι ἀπόλοντο· μάχηι δέ τε καὶ σὺ παρῆσθα.
εἷς δ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντωι.
Αἴας μὲν μετὰ νηυσὶ δάμη δολιχηρέτμοισιν·
Γυρῇσίν μιν πρῶτα Ποσειδάων ἐπέλασσεν
πέτρῃσιν μεγάλῃσι καὶ ἐξεσάωσε θαλάσσης·
καί νύ κεν ἔκφυγε κῆρα, καὶ ἐχθόμενός περ Ἀθήνηι,
εἰ μὴ ὑπερφίαλον ἔπος ἔκβαλε καὶ μέγ' ἀάσθη·
φῆ ῥ' ἀέκητι θεῶν φυγέειν μέγα λαῖτμα θαλάσσης.
τοῦ δὲ Ποσειδάων μεγάλ' ἔκλυεν αὐδήσαντος·
αὐτίκ' ἔπειτα τρίαιναν ἑλὼν χερσὶ στιβαρῇσιν
ἤλασε Γυραίην πέτρην, ἀπὸ δ' ἔσχισεν αὐτήν·
καὶ τὸ μὲν αὐτόθι μεῖνε, τὸ δὲ τρύφος ἔμπεσε πόντωι,
τῶι ῥ' Αἴας τὸ πρῶτον ἐφεζόμενος μέγ' ἀάσθη·
τὸν δ' ἐφόρει κατὰ πόντον ἀπείρονα κυμαίνοντα.
ὣς ὁ μὲν ἔνθ' ἀπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ.
σὸς δέ που ἔκφυγε κῆρας ἀδελφεὸς ἠδ' ὑπάλυξεν
ἐν νηυσὶ γλαφυρῇσι· σάωσε δὲ πότνια Ἥρη.
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλε Μαλειάων ὄρος αἰπὺ
ἵξεσθαι, τότε δή μιν ἀναρπάξασα θύελλα
πόντον ἔπ' ἰχθυόεντα φέρεν βαρέα στενάχοντα,
ἀγροῦ ἐπ' ἐσχατιὴν, ὅθι δώματα ναῖε Θυέστης
τὸ πρὶν, ἀτὰρ τότ' ἔναιε Θυεστιάδης Αἴγισθος.
ἀλλ' ὅτε δὴ καὶ κεῖθεν ἐφαίνετο νόστος ἀπήμων,
ἂψ δὲ θεοὶ οὖρον στρέψαν, καὶ οἴκαδ' ἵκοντο,
ἤτοι ὁ μὲν χαίρων ἐπεβήσετο πατρίδος αἴης,
καὶ κύνει ἁπτόμενος ἣν πατρίδα· πολλὰ δ' ἀπ' αὐτοῦ
δάκρυα θερμὰ χέοντ', ἐπεὶ ἀσπασίως ἴδε γαῖαν.
τὸν δ' ἄρ' ἀπὸ σκοπιῆς εἶδε σκοπὸς, ὅν ῥα καθεῖσεν
Αἴγισθος δολόμητις ἄγων, ὑπὸ δ' ἔσχετο μισθὸν
χρυσοῦ δοιὰ τάλαντα· φύλασσε δ' ὅ_γ' εἰς ἐνιαυτὸν,
μή ἑ λάθοι παριὼν, μνήσαιτο δὲ θούριδος ἀλκῆς.
βῆ δ' ἴμεν ἀγγελέων πρὸς δώματα ποιμένι λαῶν.
αὐτίκα δ' Αἴγισθος δολίην ἐφράσσατο τέχνην·
κρινάμενος κατὰ δῆμον ἐείκοσι φῶτας ἀρίστους
εἷσε λόχον, ἑτέρωθι δ' ἀνώγει δαῖτα πένεσθαι.
αὐτὰρ ὁ βῆ καλέων Ἀγαμέμνονα, ποιμένα λαῶν,
ἵπποισιν καὶ ὄχεσφιν, ἀεικέα μερμηρίζων.

τὸν δ' οὐκ εἰδότ' ὄλεθρον ἀνήγαγε, καὶ κατέπεφνεν
δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνηι.
οὐδέ τις Ἀτρείδεω ἑτάρων λίπεθ' οἵ οἱ ἕποντο,
οὐδέ τις Αἰγίσθου, ἀλλ' ἔκταθεν ἐν μεγάροισιν.'
ὣς ἔφατ', αὐτὰρ ἐμοί_γε κατεκλάσθη φίλον ἦτορ,
κλαῖον δ' ἐν ψαμάθοισι καθήμενος, οὐδέ νύ μοι κῆρ
ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τ' ἐκορέσθην,
δὴ τότε με προσέειπε γέρων ἅλιος νημερτής·
'μηκέτι, Ἀτρέος υἱέ, πολὺν χρόνον ἀσκελὲς οὕτω
κλαῖ', ἐπεὶ οὐκ ἄνυσίν τινα δήομεν· ἀλλὰ τάχιστα
πείρα, ὅπως κεν δὴ σὴν πατρίδα γαῖαν ἵκηαι.
ἢ γάρ μιν ζωόν γε κιχήσεαι, ἤ κεν Ὀρέστης
κτεῖναι ὑποφθάμενος· σὺ δέ κεν τάφου ἀντιβολήσαις.'
ὣς ἔφατ', αὐτὰρ ἐμοὶ κραδίη καὶ θυμὸς ἀγήνωρ
αὖτις ἐνὶ στήθεσσι, καὶ ἀχνυμένωι περ, ἰάνθη·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
'τούτους μὲν δὴ οἶδα· σὺ δὲ τρίτον ἄνδρ' ὀνόμαζε,
ὅς_τις ἔτι ζωὸς κατερύκεται εὐρέϊ πόντωι
ἠὲ θανών· ἐθέλω δὲ, καὶ ἀχνύμενός περ, ἀκοῦσαι.'
ὣς ἐφάμην, ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπεν·
'υἱὸς Λαέρτεω, Ἰθάκηι ἔνι οἰκία ναίων·
τὸν ἴδον ἐν νήσωι θαλερὸν κατὰ δάκρυ χέοντα,
νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκηι
ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι·
οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
σοὶ δ' οὐ θέσφατόν ἐστι, διοτρεφὲς ὦ Μενέλαε,
Ἄργει ἐν ἱπποβότωι θανέειν καὶ πότμον ἐπισπεῖν,
ἀλλά σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης
ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς,
τῆι_περ ῥηΐστη βιοτὴ πέλει ἀνθρώποισιν·
οὐ νιφετὸς, οὔτ' ἂρ χειμὼν πολὺς οὔτέ ποτ' ὄμβρος,
ἀλλ' αἰεὶ Ζεφύροιο λιγὺ πνείοντος ἀήτας
Ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους,
οὕνεκ' ἔχεις Ἑλένην καί σφιν γαμβρὸς Διός ἐσσι.'
ὣς εἰπὼν ὑπὸ πόντον ἐδύσετο κυμαίνοντα.
αὐτὰρ ἐγὼν ἐπὶ νῆας ἅμ' ἀντιθέοις ἑτάροισιν
ἤϊα, πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλθομεν ἠδὲ θάλασσαν,
δόρπόν θ' ὁπλισάμεσθ', ἐπί τ' ἤλυθεν ἀμβροσίη νύξ·
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
νῆας μὲν πάμπρωτον ἐρύσσαμεν εἰς ἅλα δῖαν,
ἐν δ' ἱστοὺς τιθέμεσθα καὶ ἱστία νηυσὶν ἐΐσηις·
ἂν δὲ καὶ αὐτοὶ βάντες ἐπὶ κληῖσι καθῖζον·
ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
ἂψ δ' εἰς Αἰγύπτοιο, διιπετέος ποταμοῖο,
στῆσα νέας, καὶ ἔρεξα τελεήσσας ἑκατόμβας,
αὐτὰρ ἐπεὶ κατέπαυσα θεῶν χόλον αἰὲν ἐόντων,
χεῦ' Ἀγαμέμνονι τύμβον, ἵν' ἄσβεστον κλέος εἴη.
ταῦτα τελευτήσας νεόμην, δίδοσαν δέ μοι οὖρον
ἀθάνατοι, τοί μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν.
ἀλλ' ἄγε νῦν ἐπίμεινον ἐνὶ μεγάροισιν ἐμοῖσιν,
ὄφρα κεν ἑνδεκάτη τε δυωδεκάτη τε γένηται·
καὶ τότε σ' εὖ πέμψω, δώσω δέ τοι ἀγλαὰ δῶρα,
τρεῖς ἵππους καὶ δίφρον ἐΰξοον· αὐτὰρ ἔπειτα
δώσω καλὸν ἄλεισον, ἵνα σπένδησθα θεοῖσιν Ag. as
ἀθανάτοις, ἐμέθεν μεμνημένος ἤματα πάντα." Men.
"ἔρχεσθον κλισίην Πηληϊάδεω Ἀχιλῆος· 1.322
χειρὸς ἑλόντ' ἀγέμεν Βρισηΐδα καλλιπάρηον·
εἰ δέ κε μὴ δώηισιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
ἐλθὼν σὺν πλεόνεσσι· τό οἱ καὶ ῥίγιον ἔσται." Ag.
"τίπτε δέ σε χρειὼ δεῦρ' ἤγαγε, Τηλέμαχ' ἥρως, 4.312
ἐς Λακεδαίμονα δῖαν, ἐπ' εὐρέα νῶτα θαλάσσης; Ag. as
δήμιον, ἦ ἴδιον; τόδε μοι νημερτὲς ἐνίσπες." Men.
"κλῦτε φίλοι· θεῖός μοι ἐνύπνιον ἦλθεν Ὄνειρος 2.56
ἀμβροσίην διὰ νύκτα· μάλιστα δὲ Νέστορι δίωι
εἶδός τε μέγεθός τε φυήν τ' ἄγχιστα ἐώικει.
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί με πρὸς μῦθον ἔειπεν·
'εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο;
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ὧι λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.
νῦν δ' ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ' ἐλεαίρει.
θωρῆξαί σε_κέλευσε κάρη_κομόωντας Ἀχαιοὺς
πανσυδίηι· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ' ἀμφὶς Ὀλύμπια δώματ' ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε' ἐφῆπται
ἐκ Διός. ἀλλὰ σὺ σῆισιν ἔχε φρεσίν.' ὣς ὁ μὲν εἰπὼν
ὤιχετ' ἀποπτάμενος, ἐμὲ δὲ γλυκὺς ὕπνος ἀνῆκεν.
ἀλλ' ἄγετ', αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.
πρῶτα δ' ἐγὼν ἔπεσιν πειρήσομαι, ἣ θέμις ἐστὶν,
καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύσω·
ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν." Ag. or Men.?
"ναὶ δὴ ταῦτά γε πάντα, γύναι, κατὰ μοῖραν ἔειπες. 4.266
ἤδη μὲν πολέων ἐδάην βουλήν τε νόον τε
ἀνδρῶν ἡρώων, πολλὴν δ' ἐπελήλυθα γαῖαν·
ἀλλ' οὔ_πω τοιοῦτον ἐγὼν ἴδον ὀφθαλμοῖσιν,
οἷον Ὀδυσσῆος ταλασίφρονος ἔσκε φίλον κῆρ.
οἷον καὶ τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ
ἵππωι ἔνι ξεστῶι, ἵν' ἐνήμεθα πάντες ἄριστοι
Ἀργείων Τρώεσσι φόνον καὶ κῆρα φέροντες.
ἦλθες ἔπειτα σὺ κεῖσε· κελευσέμεναι δέ σ' ἔμελλεν
δαίμων, ὃς Τρώεσσιν ἐβούλετο κῦδος ὀρέξαι.
καί τοι Δηΐφοβος θεοείκελος ἕσπετ' ἰούσηι.
τρὶς δὲ περίστειξας κοῖλον λόχον ἀμφαφόωσα,
ἐκ δ' ὀνομακλήδην Δαναῶν ὀνόμαζες ἀρίστους,
πάντων Ἀργείων φωνὴν ἴσκουσ' ἀλόχοισιν.

αὐτὰρ ἐγὼ καὶ Τυδεΐδης καὶ δῖος Ὀδυσσεὺς
ἥμενοι ἐν μέσσοισιν ἀκούσαμεν ὡς ἐβόησας·
νῶϊ μὲν ἀμφοτέρω μενεήναμεν ὁρμηθέντε
ἢ ἐξελθέμεναι, ἢ ἔνδοθεν αἶψ' ὑπακοῦσαι·
ἀλλ' Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθεν ἱεμένω περ.
ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν υἷες Ἀχαιῶν,
Ἄντικλος δὲ σέ_γ' οἶος ἀμείψασθαι ἐπέεσσιν
ἤθελεν· ἀλλ' Ὀδυσεὺς ἐπὶ μάστακα χερσὶ πίεζεν
Ag. as νωλεμέως κρατερῇσι, σάωσε δὲ πάντας Ἀχαιούς,
Men. τόφρα δ' ἔχ' ὄφρα σε νόσφιν ἀπήγαγε Παλλὰς Ἀθήνη."
2.110 "ὦ φίλοι, ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
Ζεύς με μέγα Κρονίδης ἄτηι ἐνέδησε βαρείηι,
σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι,
νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
ἠδ' ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.
αἰσχρὸν γὰρ τόδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι,
μὰψ οὕτω τοιόνδε τοσόνδέ τε λαὸν Ἀχαιῶν
ἄπρηκτον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
ἀνδράσι παυροτέροισι, τέλος δ' οὔ_πώ τι πέφανται.
εἴ_περ γάρ κ' ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε,
ὅρκια πιστὰ ταμόντες ἀριθμηθήμεναι ἄμφω,
Τρῶες μὲν λέξασθαι, ἐφέστιοι ὅσσοι ἔασιν,
ἡμεῖς δ' ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοί,
Τρώων δ' ἄνδρα ἕκαστον ἑλοίμεθα οἰνοχοεύειν,
πολλαί κεν δεκάδες δευοίατο οἰνοχόοιο.
τόσσον ἐγώ φημι πλέας ἔμμεναι υἷας Ἀχαιῶν
Τρώων, οἳ ναίουσι κατὰ πτόλιν· ἀλλ' ἐπίκουροι
πολλέων ἐκ πολίων ἐγχεσπάλοι ἄνδρες ἔνεισιν,
οἵ με μέγα πλάζουσι καὶ οὐκ εἰῶσ' ἐθέλοντα
Ἰλίου ἐκπέρσαι εὖ_ναιόμενον πτολίεθρον.
ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἐνιαυτοί,
καὶ δὴ δοῦρα σέσηπε νεῶν, καὶ σπάρτα λέλυνται·
αἱ δέ που ἡμέτεραί τ' ἄλοχοι καὶ νήπια τέκνα
εἵατ' ἐνὶ μεγάροις ποτιδέγμεναι· ἄμμι δὲ ἔργον
αὔτως ἀκράαντον, οὗ εἵνεκα δεῦρ' ἱκόμεσθα.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
Ag. οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν."
2.190 "δαιμόνι', οὔ σε ἔοικε κακὸν ὣς δειδίσσεσθαι,
ἀλλ' αὐτός τε κάθησο καὶ ἄλλους ἵδρυε λαούς.
οὐ γάρ πω σάφα οἶσθ' οἷος νόος Ἀτρεΐωνος·
νῦν μὲν πειρᾶται, τάχα δ' ἴψεται υἷας Ἀχαιῶν,
ἐν βουλῇ δ' οὐ πάντες ἀκούσαμεν οἷον ἔειπεν.
μή τι χολωσάμενος ῥέξῃ κακὸν υἷας Ἀχαιῶν.
θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέος βασιλῆος·
Ag. τιμὴ δ' ἐκ Διός ἐστι, φιλεῖ δέ ἑ μητίετα Ζεύς."

"ὦ φίλ', ἐπεὶ τόσα εἶπες ὅσ' ἂν πεπνυμένος ἀνὴρ 4.204
εἴποι καὶ ῥέξειε, καὶ ὃς προγενέστερος εἴη·
τοίου γὰρ καὶ πατρός, ὃ καὶ πεπνυμένα βάζεις.
ῥεῖα δ' ἀρίγνωτος γόνος ἀνέρος, ᾧ_τε Κρονίων
ὄλβον ἐπικλώσηι γαμέοντί τε γεινομένωι τε,
ἶσον ἐμοὶ φάσθαι καὶ ὁμοιωθήμεναι ἄντην.” Ag.
“ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπες· 1.286
ἀλλ’ ὅδ’ ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων·
πάντων μὲν κρατέειν ἐθέλει, πάντεσσι δ’ ἀνάσσειν,
πᾶσι δὲ σημαίνειν, ἅ τιν’ οὐ πείσεσθαι ὀΐω.
εἰ δέ μιν αἰχμητὴν ἔθεσαν θεοὶ αἰὲν ἐόντες,
τοὔνεκά οἱ προθέουσιν ὀνείδεα μυθήσασθαι;”
“ἔρχεσθον κλισίην Πηληϊάδεω Ἀχιλῆος· 1.322
χειρὸς ἑλόντ’ ἀγέμεν Βρισηΐδα καλλιπάρηον·
εἰ δέ κε μὴ δώηισιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
ἐλθὼν σὺν πλεόνεσσι· τό οἱ καὶ ῥίγιον ἔσται.” Ag.
“κλῦτε φίλοι· θεῖός μοι ἐνύπνιον ἦλθεν Ὄνειρος 2.56
ἀμβροσίην διὰ νύκτα· μάλιστα δὲ Νέστορι δίωι
εἶδός τε μέγεθός τε φυήν τ’ ἄγχιστα ἐώικει.
στῆ δ’ ἄρ’ ὑπὲρ κεφαλῆς καί με πρὸς μῦθον ἔειπεν·
‘εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο;
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ὧι λαοί τ’ ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.
νῦν δ’ ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ’ ἐλεαίρει.
θωρῆξαί σε κέλευσε κάρη_κομόωντας Ἀχαιοὺς
πανσυδίηι· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ’ ἀμφὶς Ὀλύμπια δώματ’ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε’ ἐφῆπται
ἐκ Διός. ἀλλὰ σὺ σῆισιν ἔχε φρεσίν.’ ὣς ὁ μὲν εἰπὼν
ᾤχετ’ ἀποπτάμενος, ἐμὲ δὲ γλυκὺς ὕπνος ἀνῆκεν.
ἀλλ’ ἄγετ’, αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.
πρῶτα δ’ ἐγὼν ἔπεσιν πειρήσομαι, ἣ θέμις ἐστὶν,
καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύσω·
ὑμεῖς δ’ ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν.” Ag. or Men.?
“ὦ φίλοι, ἥρωες Δαναοί, θεράποντες Ἄρηος, 2.110
Ζεύς με μέγα Κρονίδης ἄτηι ἐνέδησε βαρείηι,
σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν
Ἴλιον ἐκπέρσαντ’ εὐτείχεον ἀπονέεσθαι,
νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
ἠδ’ ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.
αἰσχρὸν γὰρ τόδε γ’ ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι,
μὰψ οὕτω τοιόνδε τοσόνδέ τε λαὸν Ἀχαιῶν
ἄπρηκτον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
ἀνδράσι παυροτέροισι, τέλος δ’ οὔ_πώ τι πέφανται.
εἴ_περ γάρ κ’ ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε,
ὅρκια πιστὰ ταμόντες ἀριθμηθήμεναι ἄμφω,
Τρῶες μὲν λέξασθαι, ἐφέστιοι ὅσσοι ἔασιν,

ἡμεῖς δ᾽ ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοί,
◆ Τρώων δ᾽ ἄνδρα ἕκαστον ἑλοίμεθα οἰνοχοεύειν,
πολλαί κεν δεκάδες δευοίατο οἰνοχόοιο.
τόσσον ἐγώ φημι πλέας ἔμμεναι υἷας Ἀχαιῶν
Τρώων, οἳ ναίουσι κατὰ πτόλιν· ἀλλ᾽ ἐπίκουροι
πολλέων ἐκ πολίων ἐγχεσπάλοι ἄνδρες ἔνεισιν,
οἵ με μέγα πλάζουσι καὶ οὐκ εἰῶσ᾽ ἐθέλοντα
Ἰλίου ἐκπέρσαι εὖ ναιόμενον πτολίεθρον.
ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἐνιαυτοί,
καὶ δὴ δοῦρα σέσηπε νεῶν, καὶ σπάρτα λέλυνται·
αἱ δέ που ἡμέτεραί τ᾽ ἄλοχοι καὶ νήπια τέκνα
εἴατ᾽ ἐνὶ μεγάροις ποτιδέγμεναι· ἄμμι δὲ ἔργον
αὔτως ἀκράαντον, οὗ εἵνεκα δεῦρ᾽ ἱκόμεσθα.
ἀλλ᾽ ἄγεθ᾽, ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
Ag. οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν."
2.190 "δαιμόνι᾽, οὔ σε ἔοικε κακὸν ὣς δειδίσσεσθαι,
ἀλλ᾽ αὐτός τε κάθησο καὶ ἄλλους ἵδρυε λαούς.
οὐ γάρ πω σάφα οἶσθ᾽ οἷος νόος Ἀτρείωνος·
νῦν μὲν πειρᾶται, τάχα δ᾽ ἴψεται υἷας Ἀχαιῶν,
ἐν βουλῆι δ᾽ οὐ πάντες ἀκούσαμεν οἷον ἔειπεν.
μή τι χολωσάμενος ῥέξηι κακὸν υἷας Ἀχαιῶν.
θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέος βασιλῆος·
Ag. τιμὴ δ᾽ ἐκ Διός ἐστι, φιλεῖ δέ ἑ μητίετα Ζεύς."
2.370 "ἦ μὰν αὖτ᾽ ἀγορῆι νικᾶις, γέρον, υἷας Ἀχαιῶν.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν·
τῶι κε τάχ᾽ ἠμύσειε πόλις Πριάμοιο ἄνακτος
χερσὶν ὑφ᾽ ἡμετέρηισιν ἁλοῦσά τε περθομένη τε.
ἀλλά μοι αἰγίοχος Κρονίδης Ζεὺς ἄλγε᾽ ἔδωκεν,
ὅς με μετ᾽ ἀπρήκτους ἔριδας καὶ νείκεα βάλλει.
καὶ γὰρ ἐγὼν Ἀχιλεύς τε μαχεσσάμεθ᾽ εἵνεκα κούρης
ἀντιβίοις ἐπέεσσιν, ἐγὼ δ᾽ ἦρχον χαλεπαίνων·
εἰ δέ ποτ᾽ ἔς γε μίαν βουλεύσομεν, οὐκέτ᾽ ἔπειτα
Τρωσὶν ἀνάβλησις κακοῦ ἔσσεται, οὐδ᾽ ἠβαιόν.
νῦν δ᾽ ἔρχεσθ᾽ ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα.
εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ᾽ ἀσπίδα θέσθω,
εὖ δέ τις ἵπποισιν δεῖπνον δότω ὠκυπόδεσσιν,
εὖ δέ τις ἅρματος ἀμφὶς ἰδὼν πολέμοιο μεδέσθω,
ὥς κε πανημέριοι στυγερῶι κρινώμεθ᾽ Ἄρηϊ.
οὐ γὰρ παυσωλή γε μετέσσεται, οὐδ᾽ ἠβαιόν,
εἰ μὴ νὺξ ἐλθοῦσα διακρινέει μένος ἀνδρῶν·
ἱδρώσει μέν τεο τελαμὼν ἀμφὶ στήθεσσιν
ἀσπίδος ἀμφιβρότης, περὶ δ᾽ ἔγχεϊ χεῖρα καμεῖται·
ἱδρώσει δέ τευ ἵππος ἐΰξοον ἅρμα τιταίνων.
ὃν δέ κ᾽ ἐγὼν ἀπάνευθε μάχης ἐθέλοντα νοήσω
μιμνάζειν παρὰ νηυσὶ κορωνίσιν, οὔ οἱ ἔπειτα
Ag. ἄρκιον ἐσσεῖται φυγέειν κύνας ἠδ᾽ οἰωνούς."
2.412 "Ζεῦ κύδιστε μέγιστε, κελαινεφὲς, αἰθέρι ναίων,
μὴ πρὶν ἐπ᾽ ἠέλιον δῦναι καὶ ἐπὶ κνέφας ἐλθεῖν,
πρίν με κατὰ πρηνὲς βαλέειν Πριάμοιο μέλαθρον
αἰθαλόεν, πρῆσαι δὲ πυρὸς δηΐοιο θύρετρα,
Ἑκτόρεον δὲ χιτῶνα περὶ στήθεσσι δαΐξαι
χαλκῶι ῥωγαλέον· πολέες δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι
πρηνέες ἐν κονίηισιν ὀδὰξ λαζοίατο γαῖαν." Ag.
"ἴσχεσθ᾽, Ἀργεῖοι, μὴ βάλλετε, κοῦροι Ἀχαιῶν· 3.82
στεῦται γάρ τι ἔπος ἐρέειν κορυθαιόλος Ἕκτωρ." Ag.
"Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε, 3.276
Ἠέλιός θ᾽, ὃς πάντ᾽ ἐφορᾶις καὶ πάντ᾽ ἐπακούεις,
καὶ Ποταμοὶ καὶ Γαῖα, καὶ οἳ ὑπένερθε καμόντας
ἀνθρώπους τείνυσθον, ὅτις κ᾽ ἐπίορκον ὀμόσσηι,
ὑμεῖς μάρτυροι ἔστε, φυλάσσετε δ᾽ ὅρκια πιστά·
εἰ μέν κεν Μενέλαον Ἀλέξανδρος καταπέφνηι,
αὐτὸς ἔπειθ᾽ Ἑλένην ἐχέτω καὶ κτήματα πάντα,
ἡμεῖς δ᾽ ἐν νήεσσι νεώμεθα ποντοπόροισιν·
εἰ δέ κ᾽ Ἀλέξανδρον κτείνηι ξανθὸς Μενέλαος,
Τρῶας ἔπειθ᾽ Ἑλένην καὶ κτήματα πάντ᾽ ἀποδοῦναι,
τιμὴν δ᾽ Ἀργείοις ἀποτινέμεν ἥν τιν᾽ ἔοικεν,
ἥ τε καὶ ἐσσομένοισι μετ᾽ ἀνθρώποισι πέληται.
εἰ δ᾽ ἂν ἐμοὶ τιμὴν Πρίαμος Πριάμοιό τε παῖδες
τίνειν οὐκ ἐθέλωσιν Ἀλεξάνδροιο πεσόντος,
αὐτὰρ ἐγὼ καὶ ἔπειτα μαχήσομαι εἵνεκα ποινῆς
αὖθι μένων, εἵως κε τέλος πολέμοιο κιχείω." Ag.
"κέκλυτέ μευ, Τρῶες καὶ Δάρδανοι ἠδ᾽ ἐπίκουροι· 3.456
νίκη μὲν δὴ φαίνετ᾽ ἀρηϊφίλου Μενελάου·
ὑμεῖς δ᾽ Ἀργείην Ἑλένην καὶ κτήμαθ᾽ ἅμ᾽ αὐτῆι
ἔκδοτε, καὶ τιμὴν ἀποτινέμεν ἥν τιν᾽ ἔοικεν,
ἥ τε καὶ ἐσσομένοισι μετ᾽ ἀνθρώποισι πέληται." Ag.
"φίλε κασίγνητε, θάνατόν νύ τοι ὅρκι᾽ ἔταμνον, 4.155
οἶον προστήσας πρὸ Ἀχαιῶν Τρωσὶ μάχεσθαι.
ὥς σ᾽ ἔβαλον Τρῶες, κατὰ δ᾽ ὅρκια πιστὰ πάτησαν.
οὐ μέν πως ἅλιον πέλει ὅρκιον αἷμά τε ἀρνῶν
σπονδαί τ᾽ ἄκρητοι καὶ δεξιαί, ἧις ἐπέπιθμεν.
εἴ περ γάρ τε καὶ αὐτίκ᾽ Ὀλύμπιος οὐκ ἐτέλεσσεν,
ἔκ τε καὶ ὀψὲ τελεῖ, σύν τε μεγάλωι ἀπέτεισαν,
σὺν σφῆισιν κεφαλῆισι γυναιξί τε καὶ τεκέεσσιν.
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
ἔσσεται ἦμαρ ὅτ᾽ ἄν ποτ᾽ ὀλώληι Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο,
Ζεὺς δέ σφι Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων,
αὐτὸς ἐπισσείηισιν ἐρεμνὴν αἰγίδα πᾶσιν
τῆσδ᾽ ἀπάτης κοτέων. τὰ μὲν ἔσσεται οὐκ ἀτέλεστα·
ἀλλά μοι αἰνὸν ἄχος σέθεν ἔσσεται, ὦ Μενέλαε,
αἴ κε θάνηις καὶ πότμον ἀναπλήσηις βιότοιο.
καί κεν ἐλέγχιστος πολυδίψιον Ἄργος ἱκοίμην·
αὐτίκα γὰρ μνήσονται Ἀχαιοὶ πατρίδος αἴης·
κὰδ δέ κεν εὐχωλὴν Πριάμωι καὶ Τρωσὶ λίποιμεν
Ἀργείην Ἑλένην· σέο δ᾽ ὀστέα πύσει ἄρουρα
κειμένου ἐν Τροίηι ἀτελευτήτωι ἐπὶ ἔργωι.
καί κέ τις ὧδ᾽ ἐρέει Τρώων ὑπερηνορεόντων

τύμβωι ἐπιθρῴσκων Μενελάου κυδαλίμοιο·
‘αἴθ’ οὕτως ἐπὶ πᾶσι χόλον τελέσει’ Ἀγαμέμνων,
ὡς καὶ νῦν ἅλιον στρατὸν ἤγαγεν ἐνθάδ’ Ἀχαιῶν,
καὶ δὴ ἔβη οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν
σὺν κεινῇσιν νηυσί, λιπὼν ἀγαθὸν Μενέλαον.’
Ag. ὥς ποτέ τις ἐρέει· τότε μοι χάνοι εὐρεῖα χθών.”
4.189 “αἲ γὰρ δὴ οὕτως εἴη, φίλος ὦ Μενέλαε·
ἕλκος δ’ ἰητὴρ ἐπιμάσσεται ἠδ’ ἐπιθήσει
Ag. φάρμαχ’, ἅ κεν παύσησι μελαινάων ὀδυνάων.”
4.193 “Ταλθύβι’, ὅττι τάχιστα Μαχάονα δεῦρο κάλεσσον,
φῶτ’ Ἀσκληπιοῦ υἱόν, ἀμύμονος ἰητῆρος,
ὄφρα ἴδηι Μενέλαον Ἀρήϊον ἀρχὸν Ἀχαιῶν,
ὅν τις ὀϊστεύσας ἔβαλεν, τόξων εὖ εἰδώς,
Ag. Τρώων ἢ Λυκίων, τῶι μὲν κλέος, ἄμμι δὲ πένθος.”
4.234 “Ἀργεῖοι, μή πώ τι μεθίετε θούριδος ἀλκῆς·
οὐ γὰρ ἐπὶ ψευδέσσι πατὴρ Ζεὺς ἔσσετ’ ἀρωγός,
ἀλλ’ οἵ περ πρότεροι ὑπὲρ ὅρκια δηλήσαντο,
τῶν ἤτοι αὐτῶν τέρενα χρόα γῦπες ἔδονται,
ἡμεῖς αὖτ’ ἀλόχους τε φίλας καὶ νήπια τέκνα
Ag. ἄξομεν ἐν νήεσσιν, ἐπὴν πτολίεθρον ἕλωμεν.”
4.242 “Ἀργεῖοι ἰόμωροι, ἐλεγχέες, οὔ νυ σέβεσθε;
τίφθ’ οὕτως ἔστητε τεθηπότες ἠΰτε νεβροί,
◆ αἵ τ’ ἐπεὶ οὖν ἔκαμον πολέος πεδίοιο θέουσαι,
ἑστᾶσ’, οὐδ’ ἄρα τίς σφι μετὰ φρεσὶ γίγνεται ἀλκή;
ὣς ὑμεῖς ἔστητε τεθηπότες οὐδὲ μάχεσθε.
ἦ μένετε Τρῶας σχεδὸν ἐλθέμεν, ἔνθα τε νῆες
εἰρύατ’ εὔπρυμνοι, πολιῆς ἐπὶ θινὶ θαλάσσης,
Ag. ὄφρα ἴδητ’ αἴ κ’ ὔμμιν ὑπέρσχηι χεῖρα Κρονίων;”
4.257 “Ἰδομενεῦ, περὶ μέν σε τίω Δαναῶν ταχυπώλων
ἠμὲν ἐνὶ πτολέμωι ἠδ’ ἀλλοίωι ἐπὶ ἔργωι
ἠδ’ ἐν δαίθ’, ὅτε πέρ τε γερούσιον αἴθοπα οἶνον
Ἀργείων οἱ ἄριστοι ἐνὶ κρητῆρσι κέρωνται.
εἴ περ γάρ τ’ ἄλλοί γε κάρη κομόωντες Ἀχαιοὶ
δαιτρὸν πίνωσιν, σὸν δὲ πλεῖον δέπας αἰεὶ
ἕστηχ’, ὥς περ ἐμοί, πιέειν, ὅτε θυμὸς ἀνώγοι.
Ag. ἀλλ’ ὄρσευ πόλεμόνδ’, οἷος πάρος εὔχεαι εἶναι.”
4.285 “Αἴαντ’, Ἀργείων ἡγήτορε χαλκοχιτώνων,
σφῶϊ μὲν — οὐ γὰρ ἔοικ’ ὀτρυνέμεν — οὔ τι κελεύω·
αὐτὼ γὰρ μάλα λαὸν ἀνώγετον ἶφι μάχεσθαι.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοῖος πᾶσιν θυμὸς ἐνὶ στήθεσσι γένοιτο·
τῶι κε τάχ’ ἠμύσειε πόλις Πριάμοιο ἄνακτος,
Ag. χερσὶν ὑφ’ ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε.”
4.303 “μηδέ τις ἱπποσύνηι τε καὶ ἠνορέηφι πεποιθὼς
οἶος πρόσθ’ ἄλλων μεμάτω Τρώεσσι μάχεσθαι,
μηδ’ ἀναχωρείτω· ἀλαπαδνότεροι γὰρ ἔσεσθε.
ὃς δέ κ’ ἀνὴρ ἀπὸ ὧν ὀχέων ἕτερ’ ἅρμαθ’ ἵκηται,
ἔγχει ὀρεξάσθω, ἐπεὶ ἦ πολὺ φέρτερον οὕτως.
ὧδε καὶ οἱ πρότεροι πόλιας καὶ τείχε’ ἐπόρθεον,
Ag. τόνδε νόον καὶ θυμὸν ἐνὶ στήθεσσιν ἔχοντες.”

“ὦ γέρον, εἴθ’, ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισιν, 4.313
ὥς τοι γούναθ’ ἕποιτο, βίη δέ τοι ἔμπεδος εἴη.
ἀλλά σε γῆρας τείρει ὁμοίϊον. ὡς ὄφελέν τις
ἀνδρῶν ἄλλος ἔχειν, σὺ δὲ κουροτέροισι μετεῖναι.” Ag.
“ὦ υἱὲ Πετεῶο, διοτρεφέος βασιλῆος, 4.338
καὶ σύ, κακοῖσι δόλοισι κεκασμένε, κερδαλεόφρον,
τίπτε καταπτώσσοντες ἀφέστατε, μίμνετε δ’ ἄλλους; see N134
σφῶϊν μέν τ’ ἐπέοικε μετὰ πρώτοισιν ἐόντας
ἑστάμεν ἠδὲ μάχης καυστειρῆς ἀντιβολῆσαι.
πρώτω γὰρ καὶ δαιτὸς ἀκουάζεσθον ἐμεῖο,
ὁππότε δαῖτα γέρουσιν ἐφοπλίζωμεν Ἀχαιοί. ◆
ἔνθα φίλ’ ὀπταλέα κρέα ἔδμεναι ἠδὲ κύπελλα
οἴνου πινέμεναι μελιηδέος, ὄφρ’ ἐθέλητον·
νῦν δὲ φίλως χ’ ὁρόωιτε, καὶ εἰ δέκα πύργοι Ἀχαιῶν
ὑμείων προπάροιθε μαχοίατο νηλέϊ χαλκῶι.” Ag.
“διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ, 4.358
οὔτέ σε νεικείω περιώσιον οὔτε κελεύω·
οἶδα γάρ ὥς τοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ἤπια δήνεα οἶδε· τὰ γὰρ φρονέεις ἅ τ’ ἐγώ περ.
ἀλλ’ ἴθι — ταῦτα δ’ ὄπισθεν ἀρεσσόμεθ’ — εἴ τι κακὸν νῦν
εἴρηται, τὰ δὲ πάντα θεοὶ μεταμώνια θεῖεν.” Ag.
“ὤ μοι, Τυδέος υἱὲ δαΐφρονος ἱπποδάμοιο, 4.370
τί πτώσσεις, τί δ’ ὀπιπτεύεις πολέμοιο γεφύρας;
οὐ μὲν Τυδέϊ γ’ ὧδε φίλον πτωσκαζέμεν ἦεν,
ἀλλὰ πολὺ πρὸ φίλων ἑτάρων δηΐοισι μάχεσθαι,
ὡς φάσαν οἵ μιν ἴδοντο πονεόμενον· οὐ γὰρ ἐγώ γε
ἤντησ’ οὐδὲ ἴδον· περὶ δ’ ἄλλων φασὶ γενέσθαι.
ἤτοι μὲν γὰρ ἄτερ πολέμου εἰσῆλθε Μυκήνας
ξεῖνος ἅμ’ ἀντιθέωι Πολυνείκεϊ, λαὸν ἀγείρων,
οἵ ῥα τότ’ ἐστρατόωνθ’ ἱερὰ πρὸς τείχεα Θήβης·
καί ῥα μάλα λίσσοντο δόμεν κλειτοὺς ἐπικούρους.
οἱ δ’ ἔθελον δόμεναι καὶ ἐπῄνεον ὡς ἐκέλευον·
ἀλλὰ Ζεὺς ἔτρεψε παραίσια σήματα φαίνων.
οἱ δ’ ἐπεὶ οὖν ᾤχοντο ἰδὲ πρὸ ὁδοῦ ἐγένοντο,
Ἀσωπὸν δ’ ἵκοντο βαθύσχοινον λεχεποίην,
ἔνθ’ αὖτ’ ἀγγελίην ἐπὶ Τυδῆ στεῖλαν Ἀχαιοί.
αὐτὰρ ὁ βῆ, πολέας δὲ κιχήσατο Καδμείωνας
δαινυμένους κατὰ δῶμα βίης Ἐτεοκληείης.
ἔνθ’ οὐδὲ ξεῖνός περ ἐὼν, ἱππηλάτα Τυδεὺς
τάρβει, μοῦνος ἐὼν πολέσιν μετὰ Καδμείοισιν,
ἀλλ’ ὅ γ’ ἀεθλεύειν προκαλίζετο, πάντα δ’ ἐνίκα
ῥηϊδίως· τοίη οἱ ἐπίρροθος ἦεν Ἀθήνη.
οἱ δὲ χολωσάμενοι Καδμεῖοι, κέντορες ἵππων,
ἂψ ἀναερχομένωι πυκινὸν λόχον εἷσαν ἄγοντες,
κούρους **πεντήκοντα**· δύω δ’ ἡγήτορες ἦσαν,
Μαίων Αἱμονίδης, ἐπιείκελος ἀθανάτοισιν,
υἱός τ’ Αὐτοφόνοιο, μενεπτόλεμος Πολυφόντης.
Τυδεὺς μὲν καὶ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν·
πάντας ἔπεφν’, ἕνα δ’ οἶον ἵει οἶκόνδε νέεσθαι·
Μαίον’ ἄρα προέηκε, θεῶν τεράεσσι πιθήσας.

τοῖος ἔην Τυδεὺς Αἰτώλιος· ἀλλὰ τὸν υἱὸν
Ag. γείνατο εἷο χέρεια μάχηι, ἀγορῆι δέ τ' ἀμείνων."
5.529 "ὦ φίλοι, ἀνέρες ἔστε καὶ ἄλκιμον ἦτορ ἕλεσθε,
ἀλλήλους τ' αἴδεισθε κατὰ κρατερὰς ὑσμίνας·
αἰδομένων ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται·
Ag. φευγόντων δ' οὔτ' ἂρ κλέος ὄρνυται οὔτε τις ἀλκή."
6.55 "ὦ πέπον, ὦ Μενέλαε, τίη δὲ σὺ κήδεαι οὕτως
ἀνδρῶν; ἦ σοὶ ἄριστα πεποίηται κατὰ οἶκον
πρὸς Τρώων· τῶν μή‿τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον
χεῖράς θ' ἡμετέρας, μηδ' ὅν‿τινα γαστέρι μήτηρ
κοῦρον ἐόντα φέροι, μηδ' ὃς φύγοι, ἀλλ' ἅμα πάντες
Ag. Ἰλίου ἐξαπολοίατ' ἀκήδεστοι καὶ ἄφαντοι."
7.109 "ἀφραίνεις, Μενέλαε διοτρεφές, οὐδέ τί σε χρὴ
ταύτης ἀφροσύνης. ἀνὰ δ' ἴσχεο, κηδόμενός περ,
μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι,
Ἕκτορι Πριαμίδηι, τόν‿τε στυγέουσι καὶ ἄλλοι.
καὶ δ' Ἀχιλεὺς τούτωι γε μάχηι ἔνι κυδιανείρηι
ἔρριγ' ἀντιβολῆσαι, ὅ‿περ σέο πολλὸν ἀμείνων.
ἀλλὰ σὺ μὲν νῦν ἵζευ ἰὼν μετὰ ἔθνος ἑταίρων,
τούτωι δὲ πρόμον ἄλλον ἀναστήσουσιν Ἀχαιοί.
εἴ‿περ ἀδειής τ' ἐστὶ καὶ εἰ μόθου ἔστ' ἀκόρητος,
φημί μιν ἀσπασίως γόνυ κάμψειν, αἴ κε φύγησιν
Ag. δηΐου ἐκ πολέμοιο καὶ αἰνῆς δηϊοτῆτος."
7.406 "Ἰδαῖ', ἤτοι μῦθον Ἀχαιῶν αὐτὸς ἀκούεις,
ὥς τοι ὑποκρίνονται· ἐμοὶ δ' ἐπιανδάνει οὕτως.
ἀμφὶ δὲ νεκροῖσιν κατακαιέμεν οὔ‿τι μεγαίρω·
οὐ γάρ τις φειδὼ νεκύων κατατεθνηώτων
γίγνετ', ἐπεί κε θάνωσι, πυρὸς μειλισσέμεν ὦκα.
Ag. ὅρκια δὲ Ζεὺς ἴστω, ἐρίγδουπος πόσις Ἥρης."
8.281 "Τεῦκρε, φίλη κεφαλή, Τελαμώνιε, κοίρανε λαῶν,
βάλλ' οὕτως, αἴ κέν τι φόως Δαναοῖσι γένηαι
πατρί τε σῶι Τελαμῶνι, ὅ σ' ἔτρεφε τυτθὸν ἐόντα
καί σε νόθον περ ἐόντα κομίσσατο ὧι ἐνὶ οἴκωι·
τὸν καὶ τηλόθ' ἐόντα ἐϋκλείης ἐπίβησον.
σοὶ δ' ἐγὼ ἐξερέω, ὡς καὶ τετελεσμένον ἔσται·
αἴ κέν μοι δώηι Ζεύς τ' αἰγίοχος καὶ Ἀθήνη
Ἰλίου ἐξαλαπάξαι ἐϋκτίμενον πτολίεθρον,
πρώτωι τοι μετ' ἐμὲ πρεσβήϊον ἐν χερὶ θήσω,
ἢ τρίποδ ἠὲ δύω ἵππους αὐτοῖσιν ὄχεσφιν
Ag. ἠὲ γυναῖχ', ἥ κέν τοι ὁμὸν λέχος εἰσαναβαίνοι."
9.17 "ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
Ζεύς με μέγα Κρονίδης ἄτηι ἐνέδησε βαρείηι,
σχέτλιος, ὃς τότε μέν μοι ὑπέσχετο καὶ κατένευσεν
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι,
νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
ἠδ' ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν." Ag.
"ὦ γέρον, οὔ‿τι ψεῦδος ἐμὰς ἄτας κατέλεξας. 9.115
ἀασάμην, οὐδ' αὐτὸς ἀναίνομαι. ἀντί νυ πολλῶν
λαῶν ἐστὶν ἀνὴρ ὅν‿τε Ζεὺς κῆρι φιλήσηι·
ὡς νῦν τοῦτον ἔτισε, δάμασσε δὲ λαὸν Ἀχαιῶν.
ἀλλ' ἐπεὶ ἀασάμην φρεσὶ λευγαλέηισι πιθήσας,
ἂψ ἐθέλω ἀρέσαι δόμεναί τ' ἀπερείσι' ἄποινα.
ὑμῖν δ' ἐν πάντεσσι περικλυτὰ δῶρ' ὀνομήνω,
ἕπτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,
αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους
πηγοὺς ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.
οὔ κεν ἀλήϊος εἴη ἀνὴρ ὧι τόσσα γένοιτο,
οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,
ὅσσα μοι ἠνείκαντο ἀέθλια μώνυχες ἵπποι.
δώσω δ' ἑπτὰ γυναῖκας, ἀμύμονα ἔργ' εἰδυίας,
Λεσβίδας, ἃς, ὅτε Λέσβον ἐϋκτιμένην ἕλεν αὐτὸς
ἐξελόμην, αἳ κάλλει ἐνίκων φῦλα γυναικῶν·
τὰς μέν οἱ δώσω, μετὰ δ' ἔσσεται ἣν τότ' ἀπηύρων,
κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι,
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι,
ἣ θέμις ἀνθρώπων πέλει, ἀνδρῶν ἠδὲ γυναικῶν.
ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε
ἄστυ μέγα Πριάμοιο θεοὶ δώωσ' ἀλαπάξαι,
νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ νηησάσθω
εἰσελθών, ὅτε κεν δατεώμεθα ληΐδ' Ἀχαιοί,
Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθω,
αἴ κε μετ' Ἀργείην Ἑλένην κάλλισται ἔωσιν.
εἰ δέ κεν Ἄργος ἱκοίμεθ' Ἀχαιϊκόν, οὖθαρ ἀρούρης,
γαμβρός κέν μοι ἔοι· τίσω δέ μιν ἶσον Ὀρέστηι,
ὅς μοι τηλύγετος τρέφεται θαλίηι ἔνι πολλῆι.
τρεῖς δέ μοί εἰσι θύγατρες ἐνὶ μεγάρωι εὐπήκτωι,
Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα·
τάων ἥν κ' ἐθέληισι φίλην ἀνάεδνον ἀγέσθω
πρὸς οἶκον Πηλῆος· ἐγὼ δ' ἐπὶ μείλια δώσω
πολλὰ μάλ', ὅσσ' οὔ‿πώ τις ἑῆι ἐπέδωκε θυγατρί.
ἑπτὰ δέ οἱ δώσω εὖ‿ναιόμενα πτολίεθρα,
Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν
Φηράς τε ζαθέας ἠδ' Ἄνθειαν βαθύλειμον
καλήν τ' Αἴπειαν καὶ Πήδασον ἀμπελόεσσαν.
πᾶσαι δ' ἐγγὺς ἁλός, νέαται Πύλου ἠμαθόεντος
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται,
οἵ κέ ἑ δωτίνηισι θεὸν ὣς τιμήσουσιν
καί οἱ ὑπὸ σκήπτρωι λιπαρὰς τελέουσι θέμιστας.
ταῦτά κέ οἱ τελέσαιμι μεταλλήξαντι χόλοιο.
δμηθήτω — Ἀΐδης τοι ἀμείλιχος ἠδ' ἀδάμαστος·
τοὔνεκα καί τε βροτοῖσι θεῶν ἔχθιστος ἁπάντων —
καί μοι ὑποστήτω, ὅσσον βασιλεύτερός εἰμι
ἠδ' ὅσσον γενεῆι προγενέστερος εὔχομαι εἶναι." Ag.
"εἴπ' ἄγε μ', ὦ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν, 9.673

ἦ ῥ' ἐθέλει νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ,
Ag. ἦ ἀπέειπε, χόλος δ' ἔτ' ἔχει μεγαλήτορα θυμόν;"
10.43 "χρεὼ βουλῆς ἐμὲ καὶ σέ, διοτρεφὲς ὦ Μενέλαε,
κερδαλέης, ἥ τίς κεν ἐρύσσεται ἠδὲ σαώσει
Ἀργείους καὶ νῆας, ἐπεὶ Διὸς ἐτράπετο φρήν.
Ἑκτορέοις ἄρα μᾶλλον ἐπὶ φρένα θῆχ' ἱεροῖσιν.
οὐ γάρ πω ἰδόμην, οὐδ' ἔκλυον αὐδήσαντος,
ἄνδρ' ἕνα τοσσάδε μέρμερ' ἐπ' ἤματι μητίσασθαι,
ὅσσ' Ἕκτωρ ἔρρεξε διίφιλος υἷας Ἀχαιῶν,
αὔτως, οὔτε θεᾶς υἱὸς φίλος οὔτε θεοῖο.
ἔργα δ' ἔρεξ' ὅσα φημὶ μελησέμεν Ἀργείοισιν
δηθά τε καὶ δολιχόν· τόσα γὰρ κακὰ μήσατ' Ἀχαιούς.
ἀλλ' ἴθι νῦν, Αἴαντα καὶ Ἰδομενῆα κάλεσσον,
ῥίμφα θέων παρὰ νῆας· ἐγὼ δ' ἐπὶ Νέστορα δῖον
εἶμι, καὶ ὀτρυνέω ἀνστήμεναι, αἴ κ' ἐθέλησιν
ἐλθεῖν ἐς φυλάκων ἱερὸν τέλος ἠδ' ἐπιτεῖλαι.
κείνου γάρ κε μάλιστα πιθοίατο· τοῖο γὰρ υἱὸς
σημαίνει φυλάκεσσι, καὶ Ἰδομενῆος ὀπάων
Ag. Μηριόνης· τοῖσιν γὰρ ἐπετράπομέν γε μάλιστα."
10.65 "αὖθι μένειν, μή πως ἀβροτάξομεν ἀλλήλοιιν
ἐρχομένω· πολλαὶ γὰρ ἀνὰ στρατόν εἰσι κέλευθοι.
φθέγγεο δ' ᾗ κεν ἴῃσθα, καὶ ἐγρήγορθαι ἄνωχθι,
πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρα ἕκαστον,
πάντας κυδαίνων· μηδὲ μεγαλίζεο θυμῶι,
ἀλλὰ καὶ αὐτοί περ πονεώμεθα· ὧδέ που ἄμμιν
Ag. Ζεὺς ἐπὶ γεινομένοισιν ἵει κακότητα βαρεῖαν."
10.87 "ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
γνώσεαι Ἀτρεΐδην Ἀγαμέμνονα, τὸν περὶ πάντων
Ζεὺς ἐνέηκε πόνοισι διαμπερές, εἰς ὅ κ' ἀϋτμὴ
ἐν στήθεσσι μένηι καί μοι φίλα γούνατ' ὀρώρηι.
πλάζομαι ὧδ', ἐπεὶ οὔ μοι ἐπ' ὄμμασι νήδυμος ὕπνος
ἱζάνει, ἀλλὰ μέλει πόλεμος καὶ κήδε' Ἀχαιῶν.
αἰνῶς γὰρ Δαναῶν περιδείδια, οὐδέ μοι ἦτορ
ἔμπεδον, ἀλλ' ἀλαλύκτημαι, κραδίη δέ μοι ἔξω
στηθέων ἐκθρώισκει, τρομέει δ' ὑπὸ φαίδιμα γυῖα.
ἀλλ' εἴ τι δραίνεις, ἐπεὶ οὐδὲ σέ γ' ὕπνος ἱκάνει,
δεῦρ' ἐς τοὺς φύλακας καταβείομεν, ὄφρα ἴδωμεν,
μὴ τοι μὲν καμάτωι ἀδηκότες ἠδὲ καὶ ὕπνωι
κοιμήσωνται, ἀτὰρ φυλακῆς ἐπὶ πάγχυ λάθωνται·
δυσμενέες δ' ἄνδρες σχεδὸν εἵαται· οὐδέ τι ἴδμεν,
Ag. μή πως καὶ διὰ νύκτα μενοινήσωσι μάχεσθαι."
10.120 "ὦ γέρον, ἄλλοτε μέν σε καὶ αἰτιάασθαι ἄνωγα·
πολλάκι γὰρ μεθίει τε καὶ οὐκ ἐθέλει πονέεσθαι,
οὔτ' ὄκνωι εἴκων οὔτ' ἀφραδίηισι νόοιο,
ἀλλ' ἐμέ τ' εἰσορόων καὶ ἐμὴν ποτιδέγμενος ὁρμήν.
νῦν δ' ἐμέο πρότερος μάλ' ἐπέγρετο καί μοι ἐπέστη·
τὸν μὲν ἐγὼ προέηκα καλήμεναι οὓς σὺ μεταλλᾶις.
ἀλλ' ἴομεν· κείνους δὲ κιχησόμεθα πρὸ πυλάων
Ag. ἐν φυλάκεσσ'· ἵνα γάρ σφιν ἐπέφραδον ἠγερέεσθαι."
10.234 "Τυδεΐδη Διόμηδες, ἐμῶι κεχαρισμένε θυμῶι,
τὸν μὲν δὴ ἕταρόν γ' αἱρήσεαι, ὅν κ' ἐθέλῃσθα,
φαινομένων τὸν ἄριστον, ἐπεὶ μεμάασί γε πολλοί.
μηδὲ σύ γ' αἰδόμενος σῆισι φρεσὶ τὸν μὲν ἀρείω
καλλείπειν, σὺ δὲ χείρον' ὀπάσσεαι αἰδοῖ εἴκων,
ἐς γενεὴν ὁρόων, μηδ' εἰ βασιλεύτερός ἐστιν." Ag.
"εἰ μὲν δὴ Ἀντιμάχοιο δαΐφρονος υἱέες ἐστόν, 11.138
ὅς ποτ' ἐνὶ Τρώων ἀγορῆι Μενέλαον ἄνωγεν,
ἀγγελίην ἐλθόντα σὺν ἀντιθέωι Ὀδυσῆϊ,
αὖθι κατακτεῖναι μηδ' ἐξέμεν ἂψ ἐς Ἀχαιούς,
νῦν μὲν δὴ τοῦ πατρὸς ἀεικέα τείσετε λώβην." Ag.
"ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες, 11.276
ὑμεῖς περ νῦν νηυσὶν ἀμύνετε ποντοπόροισιν
φύλοπιν ἀργαλέην, ἐπεὶ οὐκ ἐμὲ μητίετα Ζεὺς
εἴασε Τρώεσσι πανημέριον πολεμίζειν." Ag.
"ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν, 14.42
τίπτε λιπὼν πόλεμον φθεισήνορα δεῦρ' ἀφικάνεις;
δείδω μὴ δή μοι τελέσηι ἔπος ὄβριμος Ἕκτωρ,
ὥς ποτ' ἐπηπείλησεν ἐνὶ Τρώεσσ' ἀγορεύων,
μὴ πρὶν πὰρ νηῶν προτὶ Ἴλιον ἀπονέεσθαι,
πρὶν πυρὶ νῆας ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούς.
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
ὢ πόποι, ἦ ῥα καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ
ἐν θυμῶι βάλλονται ἐμοὶ χόλον, ὥς περ Ἀχιλλεύς,
οὐδ' ἐθέλουσι μάχεσθαι ἐπὶ πρυμνῆισι νέεσσιν." Ag.
"Νέστορ, ἐπεὶ δὴ νηυσὶν ἔπι πρυμνῆισι μάχονται, 14.65
τεῖχος δ' οὐκ ἔχραισμε τετυγμένον, οὐδέ τι τάφρος,
ἧι ἔπι πόλλ' ἔπαθον Δαναοί, ἔλποντο δὲ θυμῶι
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι,
οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.
ἤιδεα μὲν γὰρ ὅτε πρόφρων Δαναοῖσιν ἄμυνεν,
οἶδα δὲ νῦν ὅτε τοὺς μὲν ὁμῶς μακάρεσσι θεοῖσιν
κυδάνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδησεν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
νῆες ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης,
ἕλκωμεν, πάσας δὲ ἐρύσσομεν εἰς ἅλα δῖαν,
ὕψι δ' ἐπ' εὐνάων ὁρμίσσομεν, εἰς ὅ κεν ἔλθηι
νὺξ ἀβρότη, ἣν καὶ τῆι ἀπόσχωνται πολέμοιο
Τρῶες· ἔπειτα δέ κεν ἐρυσαίμεθα νῆας ἁπάσας.
οὐ γάρ τις νέμεσις φυγέειν κακόν, οὐδ' ἀνὰ νύκτα.
βέλτερον ὃς φεύγων προφύγηι κακὸν ἠὲ ἁλώηι." Ag.
"ὦ Ὀδυσεῦ, μάλα πώς με καθίκεο θυμὸν ἐνιπῆι 14.104
ἀργαλέηι· ἀτὰρ οὐ μὲν ἐγὼν ἀέκοντας ἄνωγα
νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν υἷας Ἀχαιῶν.
νῦν δ' εἴη ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι,
ἢ νέος ἠὲ παλαιός· ἐμοὶ δέ κεν ἀσμένωι εἴη." Ag.
"ὦ φίλοι, ἥρωες Δαναοί, θεράποντες Ἄρηος, 19.78
ἑσταότος μὲν καλὸν ἀκουέμεν, οὐδὲ ἔοικεν
ὑββάλλειν· χαλεπὸν γάρ, ἐπισταμένωι περ ἐόντι.
ἀνδρῶν δ' ἐν πολλῶι ὁμάδωι πῶς κέν τις ἀκούσαι

ἢ εἴποι; βλάβεται δὲ λιγύς περ ἐὼν ἀγορητής.
Πηλείδηι μὲν ἐγὼν ἐνδείξομαι· αὐτὰρ οἱ ἄλλοι
σύνθεσθ' Ἀργεῖοι, μῦθόν τ' εὖ γνῶτε ἕκαστος.
πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔειπον,
καί τέ με νεικείεσκον· ἐγὼ δ' οὐκ αἴτιός εἰμι,
ἀλλὰ Ζεὺς καὶ Μοῖρα καὶ ἠεροφοῖτις Ἐρινὺς,
οἵ_τέ μοι εἰν ἀγορῆι φρεσὶν ἔμβαλον ἄγριον ἄτην
ἤματι τῶι, ὅτ' Ἀχιλλῆος γέρας αὐτὸς ἀπηύρων.
ἀλλὰ τί κε ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾶι.
πρέσβα Διὸς θυγάτηρ Ἄτη, ἣ πάντας ἀᾶται,
οὐλομένη. τῆι μέν θ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' οὔδει
πίλναται, ἀλλ' ἄρα ἥ_γε κατ' ἀνδρῶν κράατα βαίνει
βλάπτουσ' ἀνθρώπους· κατὰ δ' οὖν ἕτερόν γε_πέδησεν.
καὶ γὰρ δή νύ ποτε Ζεὺς ἄσατο, τόν_περ ἄριστον
ἀνδρῶν ἠδὲ θεῶν φασ' ἔμμεναι· ἀλλ' ἄρα καὶ τὸν
Ἥρη θῆλυς ἐοῦσα δολοφροσύνηις ἀπάτησεν,
ἤματι τῶι, ὅτ' ἔμελλε βίην Ἡρακληείην
Ἀλκμήνη τέξεσθαι ἐϋστεφάνωι ἐνὶ Θήβηι.
ἤτοι ὅ_γ' εὐχόμενος μετέφη πάντεσσι θεοῖσιν·
'κέκλυτέ μευ, πάντες τε θεοὶ πᾶσαί τε θέαιναι,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσιν ἀνώγει.
σήμερον ἄνδρα φόωσδε μογοστόκος Εἰλείθυια
ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσιν ἀνάξει,
τῶν ἀνδρῶν γενεῆς, οἵ_θ' αἵματος ἐξ ἐμοῦ εἰσιν.'
τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
'ψεύστης εἰς, οὐδ' αὖτε τέλος μύθωι ἐπιθήσεις.
εἰ δ' ἄγε νῦν μοι ὄμοσσον, Ὀλύμπιε, καρτερὸν ὅρκον,
ἦ μὲν τὸν πάντεσσι περικτιόνεσσιν ἀνάξειν,
ὅς κεν ἐπ' ἤματι τῶιδε πέσηι μετὰ ποσσὶ γυναικὸς
τῶν ἀνδρῶν οἳ σῆς ἐξ αἵματός εἰσι γενέθλης.'
ὣς ἔφατο· Ζεὺς δ' οὔ_τι δολοφροσύνην ἐνόησεν,
ἀλλ' ὄμοσεν μέγαν ὅρκον, ἔπειτα δὲ πολλὸν ἀάσθη.
Ἥρη δ' ἀΐξασα λίπε ῥίον Οὐλύμποιο,
καρπαλίμως δ' ἵκετ' Ἄργος Ἀχαϊκὸν, ἔνθ' ἄρα εἴδη
ἰφθίμην ἄλοχον Σθενέλου Περσηϊάδαο·
ἡ δ' ἐκύει φίλον υἱὸν, ὁ δ' ἕβδομος ἑστήκει μείς,
ἐκ δ' ἄγαγε πρὸ φόωσδε καὶ ἠλιτόμηνον ἐόντα,
Ἀλκμήνης δ' ἀπέπαυσε τόκον, σχέθε δ' Εἰλειθυίας.
αὐτὴ δ' ἀγγελέουσα Δία Κρονίωνα προσηύδα·
'Ζεῦ πάτερ ἀργικέραυνε, ἔπος τί τοι ἐν φρεσὶ θήσω.
ἤδη ἀνὴρ γέγον' ἐσθλὸς, ὃς Ἀργείοισιν ἀνάξει,
Εὐρυσθεύς, Σθενέλοιο πάϊς Περσηϊάδαο,
σὸν γένος· οὔ οἱ ἀεικὲς ἀνασσέμεν Ἀργείοισιν.'
ὣς φάτο, τὸν δ' ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν.
αὐτίκα δ' εἷλ' Ἄτην κεφαλῆς λιπαροπλοκάμοιο
χωόμενος φρεσὶν ἧισι, καὶ ὤμοσε καρτερὸν ὅρκον,
μή_ποτ' ἐς Οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα
αὖτις ἐλεύσεσθαι Ἄτην, ἣ πάντας ἀᾶται.
ὣς εἰπὼν ἔρριψεν ἀπ' οὐρανοῦ ἀστερόεντος
χειρὶ περιστρέψας· τάχα δ' ἵκετο ἔργ' ἀνθρώπων.
τὴν αἰεὶ στενάχεσχ', ὅθ' ἑὸν φίλον υἱὸν ὁρῶιτο
ἔργον ἀεικὲς ἔχοντα ὑπ' Εὐρυσθῆος ἀέθλων.
ὣς καὶ ἐγὼν, ὅτε δὴ αὖτε μέγας κορυθαιόλος Ἕκτωρ
Ἀργείους ὀλέκεσκεν ἐπὶ πρυμνῆισι νέεσσιν,
οὐ δυνάμην λελαθέσθ' Ἄτης, ἧι πρῶτον ἀάσθην.
ἀλλ' ἐπεὶ ἀασάμην καί μοι φρένας ἐξέλετο Ζεύς,
ἂψ ἐθέλω ἀρέσαι δόμεναί τ' ἀπερείσι' ἄποινα·
ἀλλ' ὄρσεο πόλεμόνδε, καὶ ἄλλους ὄρνυθι λαούς.
δῶρα δ' ἐγὼν ὅδε πάντα παρασχέμεν, ὅσσα τοι ἐλθὼν
χθιζὸς ἐνὶ κλισίηισιν ὑπέσχετο δῖος Ὀδυσσεύς.
εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐπειγόμενός περ ἄρηος·
δῶρα δέ τοι θεράποντες ἐμῆς παρὰ νηὸς ἑλόντες
οἴσουσ', ὄφρα ἴδηαι ὅ τοι μενοεικέα δώσω." Ag.
"χαίρω σεῦ, Λαερτιάδη, τὸν μῦθον ἀκούσας· 19.185
ἐν μοίρηι γὰρ πάντα διίκεο καὶ κατέλεξας.
ταῦτα δ' ἐγὼν ἐθέλω ὀμόσαι, κέλεται δέ με θυμὸς,
οὐδ' ἐπιορκήσω πρὸς δαίμονος. αὐτὰρ Ἀχιλλεὺς
μιμνέτω αὖθι τέως περ, ἐπειγόμενός περ Ἄρηος,
μίμνετε δ' ἄλλοι πάντες ἀολλέες, ὄφρα κε δῶρα
ἐκ κλισίης ἔλθηισι καὶ ὅρκια πιστὰ τάμωμεν.
σοὶ δ' αὐτῶι τόδ' ἐγὼν ἐπιτέλλομαι ἠδὲ κελεύω·
κρινάμενος κούρητας ἀριστῆας Παναχαιῶν
δῶρα ἐμῆς παρὰ νηὸς ἐνεικέμεν, ὅσσ' Ἀχιλῆϊ
χθιζὸν ὑπέστημεν δώσειν, ἀγέμεν τε γυναῖκας.
Ταλθύβιος δέ μοι ὦκα κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
κάπρον ἑτοιμασάτω ταμέειν Διί τ' Ἠελίωι τε." Ag.
"ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος, 19.258
Γῆ τε καὶ Ἠέλιος καὶ Ἐρινύες, αἵ_θ' ὑπὸ γαῖαν
ἀνθρώπους τείνυνται, ὅτις κ' ἐπίορκον ὀμόσσηι,
μὴ μὲν ἐγὼ κούρηι Βρισηΐδι χεῖρ' ἐπένεικα,
οὔτ' εὐνῆς πρόφασιν κεχρημένος οὔτέ τευ ἄλλου·
ἀλλ' ἔμεν' ἀπροτίμαστος ἐνὶ κλισίηισιν ἐμῆισιν. Ag.
εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν (or Men.
πολλὰ μάλ', ὅσσα διδοῦσιν, ὅτις σφ' ἀλίτηται ὀμόσσας." as Ag.?)
"οὐ μὲν νήπιος ἦσθα, Βοηθοίδη Ἐτεωνεῦ, 4.31
τὸ πρίν· ἀτὰρ μὲν νῦν γε πάϊς ὣς νήπια βάζεις.
ἦ μὲν δὴ νῶϊ ξεινήϊα πολλὰ φαγόντε
ἄλλων ἀνθρώπων δεῦρ' ἱκόμεθ', αἴ κέ ποθι Ζεὺς
ἐξοπίσω περ παύσηι ὀϊζύος. ἀλλὰ λύ' ἵππους Ag. as
ξείνων, ἐς δ' αὐτοὺς προτέρω ἄγε θοινηθῆναι." Men.
"σίτου θ' ἅπτεσθον καὶ χαίρετον. αὐτὰρ ἔπειτα 4.60
δείπνου πασσαμένω εἰρησόμεθ', οἵ_τινές ἐστον
ἀνδρῶν· οὐ γὰρ σφῶιν γε γένος ἀπόλωλε τοκήων,
ἀλλ' ἀνδρῶν γένος ἐστὲ διοτρεφέων βασιλήων Ag. as
σκηπτούχων, ἐπεὶ οὔ κε κακοὶ τοιούσδε τέκοιεν." Men.
"τέκνα φίλ', ἤτοι Ζηνὶ βροτῶν οὐκ ἄν τις ἐρίζοι· 4.78
ἀθάνατοι γὰρ τοῦ_γε δόμοι καὶ κτήματ' ἔασιν·
ἀνδρῶν δ' ἤ κέν τίς μοι ἐρίσσεται, ἠὲ καὶ οὐκὶ,
κτήμασιν. ἦ γὰρ πολλὰ παθὼν καὶ πόλλ' ἐπαληθεὶς,
ἠγαγόμην ἐν νηυσὶ καὶ ὀγδοάτωι ἔτει ἦλθον·

Κύπρον Φοινίκην τε καὶ Αἰγυπτίους ἐπαληθείς,
Αἰθίοπάς θ' ἱκόμην καὶ Σιδονίους καὶ Ἐρεμβοὺς
καὶ Λιβύην, ἵνα τ' ἄρνες ἄφαρ κεραοὶ τελέθουσιν.
τρὶς γὰρ τίκτει μῆλα τελεσφόρον εἰς ἐνιαυτόν·
ἔνθα μὲν οὔτε ἄναξ ἐπιδευὴς οὔτέ τι ποιμὴν
τυροῦ καὶ κρειῶν, οὐδὲ γλυκεροῖο γάλακτος,
ἀλλ' αἰεὶ παρέχουσιν ἐπηετανὸν γάλα θῆσθαι.
εἷος ἐγὼ περὶ κεῖνα πολὺν βίοτον συναγείρων
ἠλώμην, τείως μοι ἀδελφεὸν ἄλλος ἔπεφνεν
λάθρηι, ἀνωϊστεὶ, δόλωι οὐλομένης ἀλόχοιο·
ὣς οὔ τοι χαίρων τοῖσδε κτεάτεσσιν ἀνάσσω.
καὶ πατέρων τάδε μέλλετ' ἀκουέμεν, οἵ τινες ὑμῖν
εἰσὶν, ἐπεὶ μάλα πόλλ' ἔπαθον, καὶ ἀπώλεσα οἶκον
εὖ μάλα ναιετάοντα, κεχανδότα πολλὰ καὶ ἐσθλά.
ὧν ὄφελον τριτάτην περ ἔχων ἐν δώμασι μοῖραν
ναίειν, οἱ δ' ἄνδρες σόοι ἔμμεναι, οἳ τότ' ὄλοντο
Τροίηι ἐν εὐρείηι, ἑκὰς Ἄργεος ἱπποβότοιο.
ἀλλ' ἔμπης, πάντας μὲν ὀδυρόμενος καὶ ἀχεύων
πολλάκις ἐν μεγάροισι καθήμενος ἡμετέροισιν
ἄλλοτε μέν τε γόωι φρένα τέρπομαι, ἄλλοτε δ' αὖτε
παύομαι· αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο.
τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
ὡς ἑνὸς, ὅς τέ μοι ὕπνον ἀπεχθαίρει καὶ ἐδωδὴν
μνωομένωι, ἐπεὶ οὔτις Ἀχαιῶν τόσσ' ἐμόγησεν
ὅσσ' Ὀδυσεὺς ἐμόγησε καὶ ἤρετο. τῶι δ' ἄρ' ἔμελλεν
αὐτῶι κήδε' ἔσεσθαι, ἐμοὶ δ' ἄχος αἰὲν ἄλαστον
κείνου, ὅπως δὴ δηρὸν ἀποίχεται, οὐδέ τι ἴδμεν,
ζώει ὅ γ' ἦ τέθνηκεν. ὀδύρονταί νύ που αὐτὸν
Ag. as Λαέρτης θ' ὁ γέρων καὶ ἐχέφρων Πηνελόπεια
Men. Τηλέμαχός θ', ὃν ἔλειπε νέον γεγαῶτ' ἐνὶ οἴκωι."
4.169 "ὢ πόποι, ἦ μάλα δὴ φίλου ἀνέρος υἱὸς ἐμὸν δῶ
ἵκεθ', ὃς εἵνεκ' ἐμεῖο πολέας ἐμόγησεν ἀέθλους·
καί μιν ἔφην ἐλθόντα φιλησέμεν ἔξοχον ἄλλων
Ἀργείων, εἰ νῶϊν ὑπεὶρ ἅλα νόστον ἔδωκεν
νηυσὶ θοῆισι γενέσθαι Ὀλύμπιος εὐρύοπα Ζεύς.
καί κέ οἱ Ἄργει νάσσα πόλιν καὶ δώματ' ἔτευξα,
ἐξ Ἰθάκης ἀγαγὼν σὺν κτήμασι καὶ τεκεῖ ὧι
καὶ πᾶσιν λαοῖσι, μίαν πόλιν ἐξαλαπάξας
αἳ περιναιετάουσιν, ἀνάσσονται δ' ἐμοὶ αὐτῶι.
καί κε θάμ' ἐνθάδ' ἐόντες ἐμισγόμεθ'· οὐδέ κεν ἥμεας
ἄλλο διέκρινεν φιλέοντέ τε τερπομένω τε,
πρίν γ' ὅτε δὴ θανάτοιο μέλαν νέφος ἀμφεκάλυψεν.
Ag. as ἀλλὰ τὰ μέν που μέλλεν ἀγάσσεσθαι θεὸς αὐτὸς,
Men. ὃς κεῖνον δύστηνον ἀνόστιμον οἷον ἔθηκεν."
4.204 "ὦ φίλ', ἐπεὶ τόσα εἶπες ὅσ' ἂν πεπνυμένος ἀνὴρ
εἴποι καὶ ῥέξειε, καὶ ὃς προγενέστερος εἴη·
τοίου γὰρ καὶ πατρὸς, ὃ καὶ πεπνυμένα βάζεις.
ῥεῖα δ' ἀρίγνωτος γόνος ἀνέρος, ὧι τε Κρονίων
ὄλβον ἐπικλώσηι γαμέοντί τε γεινομένωι τε,
ὡς νῦν Νέστορι δῶκε διαμπερὲς ἤματα πάντα,
αὐτὸν μὲν λιπαρῶς γηρασκέμεν ἐν μεγάροισιν,
υἱέας αὖ πινυτούς τε καὶ ἔγχεσιν εἶναι ἀρίστους.
ἡμεῖς δὲ κλαυθμὸν μὲν ἐάσομεν, ὃς πρὶν ἐτύχθη,
δόρπου δ' ἐξαῦτις μνησώμεθα, χερσὶ δ' ἐφ' ὕδωρ
χευάντων· μῦθοι δὲ καὶ ἠῶθέν περ ἔσονται Ag. as
Τηλεμάχωι καὶ ἐμοὶ διαειπέμεν ἀλλήλοισιν." Men.
"ναὶ δὴ ταῦτά γε πάντα, γύναι, κατὰ μοῖραν ἔειπες. **4.266**
ἤδη μὲν πολέων ἐδάην βουλήν τε νόον τε
ἀνδρῶν ἡρώων, πολλὴν δ' ἐπελήλυθα γαῖαν·
ἀλλ' οὔ πω τοιοῦτον ἐγὼν ἴδον ὀφθαλμοῖσιν,
οἷον Ὀδυσσῆος ταλασίφρονος ἔσκε φίλον κῆρ.
οἷον καὶ τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ
ἵππωι ἔνι ξεστῶι, ἵν' ἐνήμεθα πάντες ἄριστοι
Ἀργείων Τρώεσσι φόνον καὶ κῆρα φέροντες.
ἦλθες ἔπειτα σὺ κεῖσε· κελευσέμεναι δέ σ' ἔμελλεν
δαίμων, ὃς Τρώεσσιν ἐβούλετο κῦδος ὀρέξαι.
καί τοι Δηΐφοβος θεοείκελος ἕσπετ' ἰούσηι.
τρὶς δὲ περίστειξας κοῖλον λόχον ἀμφαφόωσα,
ἐκ δ' ὀνομακλήδην Δαναῶν ὀνόμαζες ἀρίστους,
πάντων Ἀργείων φωνὴν ἴσκουσ' ἀλόχοισιν.
αὐτὰρ ἐγὼ καὶ Τυδείδης καὶ δῖος Ὀδυσσεὺς
ἥμενοι ἐν μέσσοισιν ἀκούσαμεν ὡς ἐβόησας·
νῶϊ μὲν ἀμφοτέρω μενεήναμεν ὁρμηθέντε
ἢ ἐξελθέμεναι, ἢ ἔνδοθεν αἶψ' ὑπακοῦσαι·
ἀλλ' Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθεν ἱεμένω περ.
ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν υἷες Ἀχαιῶν,
Ἄντικλος δὲ σέ γ' οἶος ἀμείψασθαι ἐπέεσσιν
ἤθελεν· ἀλλ' Ὀδυσεὺς ἐπὶ μάστακα χερσὶ πίεζεν
νωλεμέως κρατερῆισι, σάωσε δὲ πάντας Ἀχαιοὺς, Ag. as
τόφρα δ' ἔχ' ὄφρα σε νόσφιν ἀπήγαγε Παλλὰς Ἀθήνη." Men.
"τίπτε δέ σε χρειὼ δεῦρ' ἤγαγε, Τηλέμαχ' ἥρως, **4.312**
ἐς Λακεδαίμονα δῖαν, ἐπ' εὐρέα νῶτα θαλάσσης; Ag. as
δήμιον, ἦ ἴδιον; τόδε μοι νημερτὲς ἐνίσπες." Men.
"ὢ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῆι **4.333**
ἤθελον εὐνηθῆναι ἀνάλκιδες αὐτοὶ ἐόντες.
ὡς δ' ὁπότ' ἐν ξυλόχωι ἔλαφος κρατεροῖο λέοντος
νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνοὺς
κνημοὺς ἐξερέηισι καὶ ἄγκεα ποιήεντα
βοσκομένη, ὁ δέ τ' ἔπειτα ἑὴν εἰσήλυθεν εὐνὴν,
ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν,
ὣς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοῖος ἐὼν οἷός ποτ' ἐϋκτιμένηι ἐνὶ Λέσβωι
ἐξ ἔριδος Φιλομηλείδηι ἐπάλαισεν ἀναστὰς,
κὰδ δ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοὶ,
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
πάντές κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
ταῦτα δ' ἅ μ' εἰρωτᾶις καὶ λίσσεαι, οὐκ ἂν ἐγώ γε ✦
ἄλλα πάρεξ εἴποιμι παρακλιδὸν, οὐδ' ἀπατήσω·
ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἅλιος νημερτὴς,

τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος οὐδ’ ἐπικεύσω.
Αἰγύπτωι μ’ ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
ἔσχον, ἐπεὶ οὔ σφιν ἔρεξα τεληέσσας ἑκατόμβας·
οἱ δ’ αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων.
νῆσος ἔπειτά τίς ἐστι πολυκλύστωι ἐνὶ πόντωι
Αἰγύπτου προπάροιθε, Φάρον δέ ἑ κικλήσκουσιν,
τόσσον ἄνευθ’ ὅσσον τε πανημερίη γλαφυρὴ νηῦς
ἤνυσεν, ἧι λιγὺς οὖρος ἐπιπνείηισιν ὄπισθεν·
ἐν δὲ λιμὴν εὔορμος, ὅθεν τ’ ἀπὸ νῆας ἐΐσας
ἐς πόντον βάλλουσιν, ἀφυσσάμενοι μέλαν ὕδωρ.
ἔνθά μ’ ἐείκοσιν ἤματ’ ἔχον θεοί, οὐδέ ποτ’ οὖροι
πνείοντες φαίνονθ’ ἁλιαέες, οἵ ῥά τε νηῶν
πομπῆες γίγνονται ἐπ’ εὐρέα νῶτα θαλάσσης.
καί νύ κεν ἤϊα πάντα κατέφθιτο καὶ μένε’ ἀνδρῶν,
εἰ μή τίς με θεῶν ὀλοφύρατο καί μ’ ἐσάωσεν,
Πρωτέος ἰφθίμου θυγάτηρ, ἁλίοιο γέροντος,
Εἰδοθέη· τῆι γάρ ῥα μάλιστά γε θυμὸν ὄρινα,
ἥ μ’ οἴωι ἔρροντι συνήντετο νόσφιν ἑταίρων·
αἰεὶ γὰρ περὶ νῆσον ἀλώμενοι ἰχθυάασκον
γναμπτοῖς ἀγκίστροισιν, ἔτειρε δὲ γαστέρα λιμός.
ἡ δ’ ἐμεῦ ἄγχι στᾶσα ἔπος φάτο φώνησέν τε·
‘νήπιός εἰς, ὦ ξεῖνε, λίην τόσον ἠδὲ χαλίφρων,
ἦε ἑκὼν μεθίεις καὶ τέρπεαι ἄλγεα πάσχων;
ὡς δὴ δηθ’ ἐνὶ νήσωι ἐρύκεαι, οὐδέ τι τέκμωρ
εὑρέμεναι δύνασαι, μινύθει δέ τοι ἦτορ ἑταίρων.’
ὣς ἔφατ’, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
‘ἐκ μέν τοι ἐρέω, ἥ τις σύ πέρ ἐσσι θεάων,
ὡς ἐγὼ οὔ τι ἑκὼν κατερύκομαι, ἀλλά νυ μέλλω
ἀθανάτους ἀλιτέσθαι, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.
ἀλλὰ σύ πέρ μοι εἰπέ — θεοὶ δέ τε πάντα ἴσασιν —
ὅς τίς μ’ ἀθανάτων πεδάαι καὶ ἔδησε κελεύθου,
νόστον θ’, ὡς ἐπὶ πόντον ἐλεύσομαι ἰχθυόεντα.’
ὣς ἐφάμην, ἡ δ’ αὐτίκ’ ἀμείβετο, δῖα θεάων,
‘τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ’ ἀτρεκέως ἀγορεύσω.
πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτὴς,
ἀθάνατος Πρωτεὺς Αἰγύπτιος, ὅς τε θαλάσσης
πάσης βένθεα οἶδε, Ποσειδάωνος ὑποδμώς·
τὸν δέ τ’ ἐμόν φασιν πατέρ’ ἔμμεναι ἠδὲ τεκέσθαι.
τόν γ’ εἴ πως σὺ δύναιο λοχησάμενος λελαβέσθαι,
ὅς κέν τοι εἴπησιν ὁδὸν καὶ μέτρα κελεύθου
νόστον θ’, ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.
καὶ δέ κέ τοι εἴπῃσι, διοτρεφές, αἴ κ’ ἐθέλησθα,
ὅττί τοι ἐν μεγάροισι κακόν τ’ ἀγαθόν τε τέτυκται,
οἰχομένοιο σέθεν δολιχὴν ὁδὸν ἀργαλέην τε.’
ὣς ἔφατ’, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
‘αὐτὴ νῦν φράζευ σὺ λόχον θείοιο γέροντος,
μή πώς με προϊδὼν ἠὲ προδαεὶς ἀλέηται·
ἀργαλέος γάρ τ’ ἐστὶ θεὸς βροτῶι ἀνδρὶ δαμῆναι.’
ὣς ἐφάμην, ἡ δ’ αὐτίκ’ ἀμείβετο δῖα θεάων·
‘τοιγὰρ ἐγώ τοι ταῦτα μάλ’ ἀτρεκέως ἀγορεύσω.
ἦμος δ’ ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκηι,
τῆμος ἄρ’ ἐξ ἁλὸς εἶσι γέρων ἅλιος νημερτὴς
πνοιῆι ὕπο Ζεφύροιο, μελαίνηι φρικὶ καλυφθείς,
ἐκ δ’ ἐλθὼν κοιμᾶται ὑπὸ σπέεσι γλαφυροῖσιν·
ἀμφὶ δέ μιν φῶκαι νέποδες καλῆς Ἁλοσύδνης
ἁθρόαι εὕδουσιν, πολιῆς ἁλὸς ἐξαναδῦσαι,
πικρὸν ἀποπνείουσαι ἁλὸς πολυβενθέος ὀδμήν.
ἔνθά σ’ ἐγὼν ἀγαγοῦσα ἅμ’ ἠοῖ φαινομένηφιν,
εὐνάσω ἑξείης· σὺ δ’ εὖ κρίνασθαι ἑταίρους
τρεῖς, οἵ τοι παρὰ νηυσὶν ἐϋσσέλμοισιν ἄριστοι.
πάντα δέ τοι ἐρέω ὀλοφώϊα τοῖο γέροντος.
φώκας μέν τοι πρῶτον ἀριθμήσει καὶ ἔπεισιν·
αὐτὰρ ἐπὴν πάσας πεμπάσσεται ἠδὲ ἴδηται,
λέξεται ἐν μέσσηισι, νομεὺς ὣς πώεσι μήλων.
τὸν μὲν ἐπὴν δὴ πρῶτα κατευνηθέντα ἴδησθε,
καὶ τότ’ ἔπειθ’ ὑμῖν μελέτω κάρτος τε βίη τε,
αὖθι δ’ ἔχειν μεμαῶτα καὶ ἐσσύμενόν περ ἀλύξαι.
πάντα δὲ γιγνόμενος πειρήσεται, ὅσσ’ ἐπὶ γαῖαν
ἑρπετὰ γίγνονται καὶ ὕδωρ καὶ θεσπιδαὲς πῦρ·
ὑμεῖς δ’ ἀστεμφέως ἐχέμεν μᾶλλόν τε πιέζειν.
ἀλλ’ ὅτε κεν δή σ’ αὐτὸς ἀνείρηται ἐπέεσσιν,
τοῖος ἐὼν οἷόν κε κατευνηθέντα ἴδησθε,
καὶ τότε δὴ σχέσθαί τε βίης λῦσαί τε γέροντα,
ἥρως, εἴρεσθαι δὲ θεῶν ὅς τίς σε χαλέπτει,
νόστον θ’, ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.’
ὣς εἰποῦσ’ ὑπὸ πόντον ἐδύσετο κυμαίνοντα.
αὐτὰρ ἐγὼν ἐπὶ νῆας, ὅθ’ ἕστασαν ἐν ψαμάθοισιν,
ἤϊα· πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
αὐτὰρ ἐπεί ῥ’ ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
δόρπον θ’ ὁπλισάμεσθ’, ἐπί τ’ ἤλυθεν ἀμβροσίη νύξ·
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἦμος δ’ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
καὶ τότε δὴ παρὰ θῖνα θαλάσσης εὐρυπόροιο
ἤϊα πολλὰ θεοὺς γουνούμενος· αὐτὰρ ἑταίρους
τρεῖς ἄγον, οἷσι μάλιστα πεποίθεα πᾶσαν ἐπ’ ἰθύν.
τόφρα δ’ ἄρ’ ἥ γ’ ὑποδῦσα θαλάσσης εὐρέα κόλπον,
τέσσαρα φωκάων ἐκ πόντου δέρματ’ ἔνεικεν·
πάντα δ’ ἔσαν νεόδαρτα· δόλον δ’ ἐπεμήδετο πατρί.
εὐνὰς δ’ ἐν ψαμάθοισι διαγλάψασ’ ἁλίῃσιν
ἧστο μένουσ’· ἡμεῖς δὲ μάλα σχεδὸν ἤλθομεν αὐτῆς·
ἑξείης δ’ ηὔνησε, βάλεν δ’ ἐπὶ δέρμα ἑκάστωι.
ἔνθα κεν αἰνότατος λόχος ἔπλετο· τεῖρε γὰρ αἰνῶς
φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή·
τίς γάρ κ’ εἰναλίωι παρὰ κήτεϊ κοιμηθείη;
ἀλλ’ αὐτὴ ἐσάωσε καὶ ἐφράσατο μέγ’ ὄνειαρ·
ἀμβροσίην ὑπὸ ῥῖνα ἑκάστωι θῆκε φέρουσα
ἡδὺ μάλα πνείουσαν, ὄλεσσε δὲ κήτεος ὀδμήν.
πᾶσαν δ’ ἠοίην μένομεν τετληότι θυμῶι·
φῶκαι δ’ ἐξ ἁλὸς ἦλθον ἀολλέες. αἱ μὲν ἔπειτα
ἑξῆς ηὐνάζοντο παρὰ ῥηγμῖνι θαλάσσης·

ἔνδιος δ' ὁ γέρων ἦλθ' ἐξ ἁλός, ηὗρε δὲ φώκας
ζατρεφέας, πάσας δ' ἄρ' ἐπῴχετο, λέκτο δ' ἀριθμόν·
ἐν δ' ἡμέας πρώτους λέγε κήτεσιν, οὐδέ τι θυμῶι
ὠΐσθη δόλον εἶναι· ἔπειτα δὲ λέκτο καὶ αὐτός.
ἡμεῖς δὲ ἰάχοντες ἐπεσσύμεθ', ἀμφὶ δὲ χεῖρας
βάλλομεν· οὐδ' ὁ γέρων δολίης ἐπελήθετο τέχνης,
ἀλλ' ἤτοι πρώτιστα λέων γένετ', ἠϋγένειος,
αὐτὰρ ἔπειτα δράκων καὶ πάρδαλις ἠδὲ μέγας σῦς·
γίγνετο δ' ὑγρὸν ὕδωρ καὶ δένδρεον ὑψιπέτηλον.
ἡμεῖς δ' ἀστεμφέως ἔχομεν τετληότι θυμῶι.
ἀλλ' ὅτε δή ῥ' ἀνίαζ' ὁ γέρων ὀλοφώϊα εἰδώς,
καὶ τότε δή μ' ἐπέεσσιν ἀνειρόμενος προσέειπεν·
'τίς νύ τοι, Ἀτρέος υἱὲ, θεῶν συμφράσσατο βουλὰς,
ὄφρα μ' ἕλοις ἀέκοντα λοχησάμενος; τέο σε χρή;'
ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
'οἶσθα, γέρον — τί με ταῦτα παρατροπέων ἐρεείνεις; —
ὡς δὴ δηθ' ἐνὶ νήσωι ἐρύκομαι, οὐδέ τι τέκμωρ
εὑρέμεναι δύναμαι, μινύθει δέ μοι ἔνδοθεν ἦτορ.
ἀλλὰ σύ πέρ μοι εἰπὲ — θεοὶ δέ τε πάντα ἴσασιν —
ὅς τίς μ' ἀθανάτων πεδάαι καὶ ἔδησε κελεύθου,
νόστόν θ', ὡς ἐπὶ πόντον ἐλεύσομαι ἰχθυόεντα.'
ὣς ἔφαμεν, ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος πρεσέειπεν,
'ἀλλὰ μάλ' ὤφελλες Διί τ' ἄλλοισίν τε θεοῖσιν
ῥέξας ἱερὰ κάλ' ἀναβαινέμεν, ὄφρα τάχιστα
σὴν ἐς πατρίδ' ἵκοιο πλέων ἐπὶ οἴνοπα πόντον.
οὐ γάρ τοι πρὶν μοῖρα φίλους τ' ἰδέειν καὶ ἱκέσθαι
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν,
πρίν γ' ὅτ' ἂν Αἰγύπτοιο, διιπετέος ποταμοῖο,
αὖτις ὕδωρ ἔλθηις ῥέξηις θ' ἱερὰς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν·
καὶ τότε τοι δώσουσιν ὁδὸν θεοὶ, ἣν σὺ μενοινᾶις.'
ὣς ἔφατ', αὐτὰρ ἐμοί γε κατεκλάσθη φίλον ἦτορ,
οὕνεκά μ' αὖτις ἄνωγεν ἐπ' ἠεροειδέα πόντον
Αἴγυπτόνδ' ἰέναι, δολιχὴν ὁδὸν ἀργαλέην τε.
ἀλλὰ καὶ ὧς μιν ἔπεσσιν ἀμειβόμενος προσέειπον·
'ταῦτα μὲν οὕτω δὴ τελέω, γέρον, ὡς σὺ κελεύεις.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ἦ πάντες σὺν νηυσὶν ἀπήμονες ἦλθον Ἀχαιοὶ,
οὓς Νέστωρ καὶ ἐγὼ λίπομεν Τροίηθεν ἰόντες,
ἦέ τις ὤλετ' ὀλέθρωι ἀδευκέϊ ἧς ἐπὶ νηὸς,
ἠὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσεν.'
ὣς ἐφάμην, ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπεν·
'Ἀτρείδη, τί με ταῦτα διείρεαι; οὐδέ τί σε χρὴ
ἴδμεναι, οὐδὲ δαῆναι ἐμὸν νόον· οὐδέ σέ φημι
δὴν ἄκλαυτον ἔσεσθαι, ἐπεί κ' εὖ πάντα πύθηαι.
πολλοὶ μὲν γὰρ τῶν γε δάμεν, πολλοὶ δὲ λίποντο·
ἀρχοὶ δ' αὖ δύο μοῦνοι Ἀχαιῶν χαλκοχιτώνων
ἐν νόστωι ἀπόλοντο· μάχηι δέ τε καὶ σὺ παρῆσθα.
εἷς δ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντωι.
Αἴας μὲν μετὰ νηυσὶ δάμη δολιχηρέτμοισιν·
Γυρῆισίν μιν πρῶτα Ποσειδάων ἐπέλασσεν
πέτρηισιν μεγάληισι καὶ ἐξεσάωσε θαλάσσης·
καί νύ κεν ἔκφυγε κῆρα, καὶ ἐχθόμενός περ Ἀθήνηι,
εἰ μὴ ὑπερφίαλον ἔπος ἔκβαλε καὶ μέγ' ἀάσθη·
φῆ ῥ' ἀέκητι θεῶν φυγέειν μέγα λαῖτμα θαλάσσης.
τοῦ δὲ Ποσειδάων μεγάλ' ἔκλυεν αὐδήσαντος·
αὐτίκ' ἔπειτα τρίαιναν ἑλὼν χερσὶ στιβαρῆισιν
ἤλασε Γυραίην πέτρην, ἀπὸ δ' ἔσχισεν αὐτήν·
καὶ τὸ μὲν αὐτόθι μεῖνε, τὸ δὲ τρύφος ἔμπεσε πόντωι,
τῶι ῥ' Αἴας τὸ πρῶτον ἐφεζόμενος μέγ' ἀάσθη·
τὸν δ' ἐφόρει κατὰ πόντον ἀπείρονα κυμαίνοντα.
ὣς ὁ μὲν ἔνθ' ἀπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ.
σὸς δέ που ἔκφυγε κῆρας ἀδελφεὸς ἠδ' ὑπάλυξεν
ἐν νηυσὶ γλαφυρῆισι· σάωσε δὲ πότνια Ἥρη.
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλε Μαλειάων ὄρος αἰπὺ
ἵξεσθαι, τότε δή μιν ἀναρπάξασα θύελλα
πόντον ἔπ' ἰχθυόεντα φέρεν βαρέα στενάχοντα,
ἀγροῦ ἐπ' ἐσχατιὴν, ὅθι δώματα ναῖε Θυέστης
τὸ πρὶν, ἀτὰρ τότ' ἔναιε Θυεστιάδης Αἴγισθος.
ἀλλ' ὅτε δὴ καὶ κεῖθεν ἐφαίνετο νόστος ἀπήμων,
ἂψ δὲ θεοὶ οὖρον στρέψαν, καὶ οἴκαδ' ἵκοντο,
ἤτοι ὁ μὲν χαίρων ἐπεβήσετο πατρίδος αἴης,
καὶ κύνει ἁπτόμενος ἣν πατρίδα· πολλὰ δ' ἀπ' αὐτοῦ
δάκρυα θερμὰ χέοντ', ἐπεὶ ἀσπασίως ἴδε γαῖαν.
τὸν δ' ἄρ' ἀπὸ σκοπιῆς εἶδε σκοπὸς, ὅν ῥα καθεῖσεν
Αἴγισθος δολόμητις ἄγων, ὑπὸ δ' ἔσχετο μισθὸν
χρυσοῦ δοιὰ τάλαντα· φύλασσε δ' ὅ γ' εἰς ἐνιαυτὸν,
μή ἑ λάθοι παριὼν, μνήσαιτο δὲ θούριδος ἀλκῆς.
βῆ δ' ἴμεν ἀγγελέων πρὸς δώματα ποιμένι λαῶν.
αὐτίκα δ' Αἴγισθος δολίην ἐφράσσατο τέχνην·
κρινάμενος κατὰ δῆμον ἐείκοσι φῶτας ἀρίστους
εἷσε λόχον, ἑτέρωθι δ' ἀνώγει δαῖτα πένεσθαι.
αὐτὰρ ὁ βῆ καλέων Ἀγαμέμνονα, ποιμένα λαῶν,
ἵπποισιν καὶ ὄχεσφιν, ἀεικέα μερμηρίζων.
τὸν δ' οὐκ εἰδότ' ὄλεθρον ἀνήγαγε, καὶ κατέπεφνεν
δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνηι.
οὐδέ τις Ἀτρείδεω ἑτάρων λίπεθ' οἵ οἱ ἕποντο,
οὐδέ τις Αἰγίσθου, ἀλλ' ἔκταθεν ἐν μεγάροισιν.'
ὣς ἔφατ', αὐτὰρ ἐμοί γε κατεκλάσθη φίλον ἦτορ,
κλαῖον δ' ἐν ψαμάθοισι καθήμενος, οὐδέ νύ μοι κῆρ
ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τ' ἐκορέσθην,
δὴ τότε με προσέειπε γέρων ἅλιος νημερτής·
'μηκέτι, Ἀτρέος υἱὲ, πολὺν χρόνον ἀσκελὲς οὕτω
κλαῖ', ἐπεὶ οὐκ ἄνυσίν τινα δήομεν· ἀλλὰ τάχιστα
πεῖρα, ὅπως κεν δὴ σὴν πατρίδα γαῖαν ἵκηαι.
ἢ γάρ μιν ζωόν γε κιχήσεαι, ἤ κεν Ὀρέστης
κτεῖναι ὑποφθάμενος· σὺ δέ κεν τάφου ἀντιβολήσαις.'
ὣς ἔφατ', αὐτὰρ ἐμοὶ κραδίη καὶ θυμὸς ἀγήνωρ
αὖτις ἐνὶ στήθεσσι, καὶ ἀχνυμένωι περ, ἰάνθη·

καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
'τούτους μὲν δὴ οἶδα· σὺ δὲ τρίτον ἄνδρ' ὀνόμαζε,
ὅς_τις ἔτι ζωὸς κατερύκεται εὐρέϊ πόντωι
ἠὲ θανών· ἐθέλω δὲ, καὶ ἀχνύμενός περ, ἀκοῦσαι.'
ὣς ἐφάμην, ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπεν·
'υἱὸς Λαέρτεω, Ἰθάκηι ἔνι οἰκία ναίων·
τὸν ἴδον ἐν νήσωι θαλερὸν κατὰ δάκρυ χέοντα,
νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκηι
ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι·
οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
σοὶ δ' οὐ θέσφατόν ἐστι, διοτρεφὲς ὦ Μενέλαε,
Ἄργει ἐν ἱπποβότωι θανέειν καὶ πότμον ἐπισπεῖν,
ἀλλά σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης
ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς,
τῆι_περ ῥηΐστη βιοτὴ πέλει ἀνθρώποισιν·
οὐ νιφετὸς, οὔτ' ἂρ χειμὼν πολὺς οὔτέ ποτ' ὄμβρος,
ἀλλ' αἰεὶ Ζεφύροιο λιγὺ πνείοντος ἀήτας
Ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους,
οὕνεκ' ἔχεις Ἑλένην καί σφιν γαμβρὸς Διός ἐσσι.'
ὣς εἰπὼν ὑπὸ πόντον ἐδύσετο κυμαίνοντα.
αὐτὰρ ἐγὼν ἐπὶ νῆας ἅμ' ἀντιθέοις ἑτάροισιν
ἤϊα, πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλθομεν ἠδὲ θάλασσαν,
δόρπόν θ' ὁπλισάμεσθ', ἐπί τ' ἤλυθεν ἀμβροσίη νύξ·
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠὼς,
νῆας μὲν πάμπρωτον ἐρύσσαμεν εἰς ἅλα δῖαν,
ἐν δ' ἱστοὺς τιθέμεσθα καὶ ἱστία νηυσὶν ἐΐσηις·
ἂν δὲ καὶ αὐτοὶ βάντες ἐπὶ κληῖσι καθῖζον·
ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
ἂψ δ' εἰς Αἰγύπτοιο, διιπετέος ποταμοῖο,
στῆσα νέας, καὶ ἔρεξα τεληέσσας ἑκατόμβας,
αὐτὰρ ἐπεὶ κατέπαυσα θεῶν χόλον αἰὲν ἐόντων,
χεῦ' Ἀγαμέμνονι τύμβον, ἵν' ἄσβεστον κλέος εἴη.
ταῦτα τελευτήσας νεόμην, δίδοσαν δέ μοι οὖρον
ἀθάνατοι, τοί μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν.
ἀλλ ἄγε νῦν ἐπίμεινον ἐνὶ μεγάροισιν ἐμοῖσιν,
ὄφρα κεν ἑνδεκάτη τε δυωδεκάτη τε γένηται·
καὶ τότε σ' εὖ πέμψω, δώσω δέ τοι ἀγλαὰ δῶρα,
τρεῖς ἵππους καὶ δίφρον ἐΰξοον· αὐτὰρ ἔπειτα
Ag. as δώσω καλὸν ἄλεισον, ἵνα σπένδηισθα θεοῖσιν
Men. ἀθανάτοις, ἐμέθεν μεμνημένος ἤματα πάντα."
4.611 "αἵματός εἰς ἀγαθοῖο, φίλον τέκος, οἷ' ἀγορεύεις·
τοιγὰρ ἐγώ τοι ταῦτα μεταστήσω· δύναμαι γάρ.
δώρων δ' ὅσσ' ἐν ἐμῶι οἴκωι κειμήλια κεῖται
δώσω ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστιν.
δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ
ἔστιν ἅπας, χρυσῶι δ' ἐπὶ χείλεα κεκράανται·
ἔργον δ' Ἡφαίστοιο· πόρεν δέ ἑ Φαίδιμος ἥρως,
Σιδονίων βασιλεὺς, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψεν Ag. as
κεῖσέ με νοστήσαντα· τεῒν δ' ἐθέλω τόδ' ὀπάσσαι." Men.
"Τηλέμαχ', οὔ_τί σ' ἐγὼ_γε πολὺν χρόνον ἐνθάδ' ἐρύξω 15.68
ἱέμενον νόστοιο· νεμεσσῶμαι δὲ καὶ ἄλλωι
ἀνδρὶ ξεινοδόκωι, ὅς κ' ἔξοχα μὲν φιλέηισιν,
ἔξοχα δ' ἐχθαίρηισιν· ἀμείνω δ' αἴσιμα πάντα.
ἶσόν τοι κακόν ἐσθ', ὅς τ' οὐκ ἐθέλοντα νέεσθαι
ξεῖνον ἐποτρύνηι καὶ ὃς ἐσσύμενον κατερύκηι.
χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.
ἀλλὰ μέν', εἰς_ὅ κε δῶρα φέρων ἐπιδίφρια θείω
καλὰ, σὺ δ' ὀφθαλμοῖσιν ἴδηις, εἴπω δὲ γυναιξὶν
δεῖπνον ἐνὶ μεγάροις τετυκεῖν ἅλις ἔνδον ἐόντων.
ἀμφότερον, κῦδός τε καὶ ἀγλαΐη καὶ ὄνειαρ,
δειπνήσαντας ἴμεν πολλὴν ἐπ' ἀπείρονα γαῖαν·
εἰ δ' ἐθέλεις, τραφθῆναι ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος,
ὄφρα τοι αὐτὸς ἕπωμαι, ὑποζεύξω δέ τοι ἵππους,
ἄστεα δ' ἀνθρώπων ἡγήσομαι· οὐδέ τις ἥμεας
αὔτως ἀππέμψει, δώσει δέ τι ἕν γε φέρεσθαι,
ἠέ τινα τριπόδων εὐχάλκων ἠὲ λεβήτων, Ag. as
ἠὲ δύ' ἡμιόνους, ἠὲ χρύσειον ἄλεισον." Men.
"Τηλέμαχ', ἤτοι νόστον, ὅπως φρεσὶ σῆισι μενοινᾶις, 15.111
ὥς τοι Ζεὺς τελέσειεν, ἐρίγδουπος πόσις Ἥρης.
δώρων δ', ὅσσ' ἐν ἐμῶι οἴκωι κειμήλια κεῖται,
δώσω ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστιν·
δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ
ἔστιν ἅπας, χρυσῶι δ' ἐπὶ χείλεα κεκράανται,
ἔργον δ' Ἡφαίστοιο· πόρεν δέ ἑ Φαίδιμος ἥρως,
Σιδονίων βασιλεὺς, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψεν
κεῖσέ με νοστήσαντα· τεῒν δ' ἐθέλω τόδ' ὀπάσσαι."
"χαίρετον, ὦ κούρω, καὶ Νέστορι ποιμένι λαῶν 15.151
εἰπεῖν· ἦ γὰρ ἐμοί_γε πατὴρ ὣς ἤπιος ἦεν, Ag. as
εἶος ἐνὶ Τροίηι πολεμίζομεν υἷες Ἀχαιῶν." Men.

Notes

Notes

VERSION:
Ag. and Men. are identical twins.
Men. agrees to swap wives with
his brother after Ag. returns Briseis
to Ach., and they assume each other's
identities after the war.

Klytemnenstra and Aegisthos kill Men. as
Ag., and Men as Ag.. continues the charade
in Hades.

Tel. | Od. parallels Orestes | Ag.:
a warrior father thought dead is in fact alive,
but has assumed a false identity in order to
win a Spartan bride with many suitors
(Od. to win back Pen.; Ag. to win Helen).

INCLUDES **2.56** ff.
(which may be spoken by Men.,
if Dream approached Men.
instead of Ag. by mistake).

INCLUDES **2.190** ff

EXCLUDES oath at **19.258** ff.

ILIAD THEN
ODYSSEY ASSCEND
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 974 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES

ATTRIBUTED TO

AGAMEMNON

IN THE ILIAD

AND TO

MENELAUS

IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.26 “μή σε, γέρον, κοίλῃσιν ἐγὼ παρὰ νηυσὶ κιχείω
ἢ νῦν δηθύνοντ’ ἢ’ ὕστερον αὖτις ἰόντα,
μή νύ τοι οὐ χραίσμῃ σκῆπτρον καὶ στέμμα θεοῖο.
τὴν δ’ ἐγὼ οὐ λύσω· πρίν μιν καὶ γῆρας ἔπεισιν
ἡμετέρωι ἐνὶ οἴκωι, ἐν Ἄργεϊ, τηλόθι πάτρης,
ἱστὸν ἐποιχομένην καὶ ἐμὸν λέχος ἀντιόωσαν.
Ag. ἀλλ’ ἴθι, μή μ’ ἐρέθιζε, σαώτερος ὥς κε νέηαι.”
1.106 “μάντι κακῶν, οὔ πώ_ποτέ μοι τὸ κρήγυον εἶπες.
αἰεί τοι τὰ κάκ’ ἐστὶ φίλα φρεσὶ μαντεύεσθαι,
ἐσθλὸν δ’ οὔτέ τί πω εἶπας ἔπος οὔτ’ ἐτέλεσσας·
καὶ νῦν ἐν Δαναοῖσι θεοπροπέων ἀγορεύεις
ὡς δὴ τοῦδ’ ἕνεκά σφιν Ἑκηβόλος ἄλγεα τεύχει,
◆ οὕνεκ’ ἐγὼ κούρης Χρυσηΐδος ἀγλά’ ἄποινα
οὐκ ἔθελον δέξασθαι, ἐπεὶ πολὺ βούλομαι αὐτὴν
οἴκοι ἔχειν· καὶ γάρ ῥα Κλυταιμήστρης προβέβουλα,
κουριδίης ἀλόχου, ἐπεὶ οὔ ἑθέν ἐστι χερείων,
οὐ δέμας οὐδὲ φυήν, οὔτ’ ἂρ φρένας οὔτε τι ἔργα.
ἀλλὰ καὶ ὧς ἐθέλω δόμεναι πάλιν, εἰ τό_γ’ ἄμεινον·
βούλομ’ ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι.
αὐτὰρ ἐμοὶ γέρας αὐτίχ’ ἑτοιμάσατ’, ὄφρα μὴ οἶος
Ἀργείων ἀγέραστος ἔω, ἐπεὶ οὐδὲ ἔοικεν.
Ag. λεύσσετε γὰρ τό_γε πάντες, ὅ μοι γέρας ἔρχεται ἄλληι.”
1.131 “μὴ δὴ οὕτως, ἀγαθός περ ἐών, θεοείκελ’ Ἀχιλλεῦ,
κλέπτε νόωι, ἐπεὶ οὐ παρελεύσεαι οὐδέ με πείσεις.
ἦ ἐθέλεις, ὄφρ’ αὐτὸς ἔχῃς γέρας, αὐτὰρ ἔμ’ αὔτως
ἧσθαι δευόμενον, κέλεαι δέ με τήνδ’ ἀποδοῦναι;
ἀλλ’ εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί,
ἄρσαντες κατὰ θυμόν, ὅπως ἀντάξιον ἔσται·
εἰ δέ κε μὴ δώωσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας, ἢ Ὀδυσῆος
ἄξω ἑλών· ὁ δέ κεν κεχολώσεται ὅν κεν ἵκωμαι.
ἀλλ’ ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖτις.
νῦν δ’ ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν,
ἐν δ’ ἐρέτας ἐπιτηδὲς ἀγείρομεν, ἐς δ’ ἑκατόμβην
θείομεν, ἂν δ’ αὐτὴν Χρυσηΐδα καλλιπάρηον
βήσομεν· εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω,
ἢ Αἴας, ἢ Ἰδομενεὺς, ἢ δῖος Ὀδυσσεὺς,
ἠὲ σύ, Πηλεΐδη, πάντων ἐκπαγλότατ’ ἀνδρῶν,
Ag. ὄφρ’ ἧμιν Ἑκάεργον ἱλάσσεαι ἱερὰ ῥέξας.”
1.173 “φεῦγε μάλ’, εἴ τοι θυμὸς ἐπέσσυται, οὐδὲ σ’ ἐγώ_γε
λίσσομαι εἵνεκ’ ἐμεῖο μένειν· πάρ’ ἐμοί_γε καὶ ἄλλοι
οἵ κέ με τιμήσουσι, μάλιστα δὲ μητίετα Ζεύς.
ἔχθιστος δέ μοί ἐσσι διοτρεφέων βασιλήων·
αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε.
εἰ μάλα καρτερός ἐσσι, θεός που σοὶ τό_γ’ ἔδωκεν.
οἴκαδ’ ἰὼν σὺν νηυσί τε σῆις καὶ σοῖς ἑτάροισιν
Μυρμιδόνεσσιν ἄνασσε, σέθεν δ’ ἐγὼ οὐκ ἀλεγίζω
οὐδ’ ὄθομαι κοτέοντος. ἀπειλήσω δέ τοι ὧδε·
ὡς ἔμ’ ἀφαιρεῖται Χρυσηΐδα Φοῖβος Ἀπόλλων,
τὴν μὲν ἐγὼ σὺν νηΐ τ’ ἐμῆι καὶ ἐμοῖς ἑτάροισιν
πέμψω, ἐγὼ δέ κ’ ἄγω Βρισηΐδα καλλιπάρηιον
αὐτὸς ἰὼν κλισίηνδε, τὸ σὸν γέρας, ὄφρ’ εὖ εἰδῇς
ὅσσον φέρτερός εἰμι σέθεν, στυγέηι δὲ καὶ ἄλλος
ἶσον ἐμοὶ φάσθαι καὶ ὁμοιωθήμεναι ἄντην.” Ag.
“ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπες· 1.286
ἀλλ’ ὅδ’ ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων·
πάντων μὲν κρατέειν ἐθέλει, πάντεσσι δ’ ἀνάσσειν,
πᾶσι δὲ σημαίνειν, ἅ τιν’ οὐ πείσεσθαι ὀΐω.
εἰ δέ μιν αἰχμητὴν ἔθεσαν θεοὶ αἰὲν ἐόντες,
τοὔνεκά οἱ προθέουσιν ὀνείδεα μυθήσασθαι;”
“ἔρχεσθον κλισίην Πηληϊάδεω Ἀχιλῆος· 1.322
χειρὸς ἑλόντ’ ἀγέμεν Βρισηΐδα καλλιπάρηον·
εἰ δέ κε μὴ δώηισιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
ἐλθὼν σὺν πλεόνεσσι· τό οἱ καὶ ῥίγιον ἔσται.” Ag.
“κλῦτε φίλοι· θεῖός μοι ἐνύπνιον ἦλθεν Ὄνειρος 2.56
ἀμβροσίην διὰ νύκτα· μάλιστα δὲ Νέστορι δίωι
εἶδός τε μέγεθός τε φυήν τ’ ἄγχιστα ἐώικει.
στῆ δ’ ἄρ’ ὑπὲρ κεφαλῆς καί με πρὸς μῦθον ἔειπεν·
‘εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο;
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ὧι λαοί τ’ ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.
νῦν δ’ ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ’ ἐλεαίρει.
θωρῆξαί σε κέλευσε κάρη_κομόωντας Ἀχαιοὺς
πανσυδίηι· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ’ ἀμφὶς Ὀλύμπια δώματ’ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε’ ἐφῆπται
ἐκ Διός. ἀλλὰ σὺ σῆισιν ἔχε φρεσίν.’ ὣς ὁ μὲν εἰπὼν
ὤιχετ’ ἀποπτάμενος, ἐμὲ δὲ γλυκὺς ὕπνος ἀνῆκεν.
ἀλλ’ ἄγετ’, αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.
πρῶτα δ’ ἐγὼν ἔπεσιν πειρήσομαι, ἣ θέμις ἐστὶν,
καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύσω·
ὑμεῖς δ’ ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν.” Ag. or Men.?
“ὦ φίλοι, ἥρωες Δαναοὶ, θεράποντες Ἄρηος, 2.110
Ζεύς με μέγα Κρονίδης ἄτηι ἐνέδησε βαρείηι,
σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν
Ἴλιον ἐκπέρσαντ’ εὐτείχεον ἀπονέεσθαι,
νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
ἠδ’ ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.
αἰσχρὸν γὰρ τόδε γ’ ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι,
μὰψ οὕτω τοιόνδε τοσόνδέ τε λαὸν Ἀχαιῶν
ἄπρηκτον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
ἀνδράσι παυροτέροισι, τέλος δ’ οὔ_πώ τι πέφανται.
εἴ_περ γάρ κ’ ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε,
ὅρκια πιστὰ ταμόντες ἀριθμηθήμεναι ἄμφω,
Τρῶες μὲν λέξασθαι, ἐφέστιοι ὅσσοι ἔασιν,

ἡμεῖς δ' ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοὶ,
Τρώων δ' ἄνδρα ἕκαστον ἑλοίμεθα οἰνοχοεύειν,
πολλαί κεν δεκάδες δευοίατο οἰνοχόοιο.
τόσσον ἐγώ φημι πλέας ἔμμεναι υἷας Ἀχαιῶν
Τρώων, οἳ ναίουσι κατὰ πτόλιν· ἀλλ' ἐπίκουροι
πολλέων ἐκ πολίων ἐγχεσπάλοι ἄνδρες ἔνεισιν,
οἵ με μέγα πλάζουσι καὶ οὐκ εἰῶσ' ἐθέλοντα
Ἰλίου ἐκπέρσαι εὖ ναιόμενον πτολίεθρον.
ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἐνιαυτοὶ,
καὶ δὴ δοῦρα σέσηπε νεῶν, καὶ σπάρτα λέλυνται·
αἱ δέ που ἡμέτεραί τ' ἄλοχοι καὶ νήπια τέκνα
εἵατ' ἐνὶ μεγάροις ποτιδέγμεναι· ἄμμι δὲ ἔργον
αὔτως ἀκράαντον, οὗ εἵνεκα δεῦρ' ἱκόμεσθα.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
Ag. οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν."
2.190 "δαιμόνι', οὔ σε ἔοικε κακὸν ὣς δειδίσσεσθαι,
ἀλλ' αὐτός τε κάθησο καὶ ἄλλους ἵδρυε λαούς.
οὐ γάρ πω σάφα οἶσθ' οἷος νόος Ἀτρείωνος·
νῦν μὲν πειρᾶται, τάχα δ' ἴψεται υἷας Ἀχαιῶν,
ἐν βουλῆι δ' οὐ πάντες ἀκούσαμεν οἷον ἔειπεν.
μή τι χολωσάμενος ῥέξηι κακὸν υἷας Ἀχαιῶν.
θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέος βασιλῆος·
Ag. τιμὴ δ' ἐκ Διός ἐστι, φιλεῖ δέ ἑ μητίετα Ζεύς."
2.370 "ἦ μὰν αὖτ' ἀγορῆι νικᾶις, γέρον, υἷας Ἀχαιῶν.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν·
τῶι κε τάχ' ἠμύσειε πόλις Πριάμοιο ἄνακτος
χερσὶν ὕφ' ἡμετέρηισιν ἁλοῦσά τε περθομένη τε.
ἀλλά μοι αἰγίοχος Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν,
ὅς με μετ' ἀπρήκτους ἔριδας καὶ νείκεα βάλλει.
καὶ γὰρ ἐγὼν Ἀχιλεύς τε μαχεσσάμεθ' εἵνεκα κούρης
ἀντιβίοις ἐπέεσσιν, ἐγὼ δ' ἦρχον χαλεπαίνων·
εἰ δέ ποτ' ἔς γε μίαν βουλεύσομεν, οὐκέτ' ἔπειτα
“ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες, 17.248
οἵ τε παρ’ Ἀτρείδηις, Ἀγαμέμνονι καὶ Μενελάωι,
δήμια πίνουσιν καὶ σημαίνουσιν ἕκαστος
λαοῖς, ἐκ δὲ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ.
ἀργαλέον δέ μοί ἐστι διασκοπιᾶσθαι ἕκαστον
ἡγεμόνων· τόσση γὰρ ἔρις πολέμοιο δέδηεν.
ἀλλά τις αὐτὸς ἴτω, νεμεσιζέσθω δ’ ἐνὶ θυμῶι Mene-
Πάτροκλον Τρωιῇσι κυσὶν μέλπηθρα γενέσθαι.” laos
“Φοίνιξ, ἄττα γεραιὲ παλαιγενές, εἰ γὰρ Ἀθήνη 17.561
δοίη κάρτος ἐμοί, βελέων δ’ ἀπερύκοι ἐρωήν·
τῶι κεν ἐγώ γ’ ἐθέλοιμι παρεστάμεναι καὶ ἀμύνειν
Πατρόκλωι· μάλα γάρ με θανὼν ἐσεμάσσατο θυμόν.

Mene- ἀλλ' Ἕκτωρ πυρὸς αἰνὸν ἔχει μένος, οὐδ' ἀπολήγει
laos χαλκῶι δηιόων· τῶι γὰρ Ζεὺς κῦδος ὀπάζει."
17.669 "Αἴαντ', Ἀργείων ἡγήτορε, Μηριόνη τε,
νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο
Mene- μνησάσθω· πᾶσιν γὰρ ἐπίστατο μείλιχος εἶναι
laos ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει."
17.685 "Ἀντίλοχ', εἰ δ' ἄγε δεῦρο, διοτρεφές, ὄφρα πύθηαι
λυγρῆς ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
ἤδη μέν σε καὶ αὐτὸν ὀΐομαι εἰσορόωντα
γιγνώσκειν ὅτι πῆμα θεὸς Δαναοῖσι κυλίνδει,
νίκη δὲ Τρώων· πέφαται δ' ὤριστος Ἀχαιῶν,
Πάτροκλος, μεγάλη δὲ ποθὴ Δαναοῖσι τέτυκται.
ἀλλὰ σύ γ' αἶψ' Ἀχιλῆϊ, θέων ἐπὶ νῆας Ἀχαιῶν,
Mene- εἰπεῖν, αἴ κε τάχιστα νέκυν ἐπὶ νῆα σαώσηι
laos γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαιόλος Ἕκτωρ."
24.192 "ὄλβιε Λαέρταο πάϊ, πολυμήχαν' Ὀδυσσεῦ,
ἦ ἄρα σὺν μεγάληι ἀρετῆι ἐκτήσω ἄκοιτιν.
ὡς ἀγαθαὶ φρένες ἦσαν ἀμύμονι Πηνελοπείηι,
κούρηι Ἰκαρίου· ὡς εὖ μέμνητ' Ὀδυσῆος,
ἀνδρὸς κουριδίου· τῶι οἱ κλέος οὔ ποτ' ὀλεῖται
ἧς ἀρετῆς, τεύξουσι δ' ἐπιχθονίοισιν ἀοιδὴν
ἀθάνατοι χαρίεσσαν ἐχέφρονι Πηνελοπείηι,
οὐχ ὡς Τυνδαρέου κούρη κακὰ μήσατο ἔργα,
κουρίδιον κτείνασα πόσιν, στυγερὴ δέ τ' ἀοιδὴ
Men. ἔσσετ' ἐπ' ἀνθρώπους, χαλεπὴν δέ τε φῆμιν ὀπάσσεν
as Ag. θηλυτέρηισι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔησιν."
23.439 "Ἀντίλοχ', οὔ τις σεῖο βροτῶν ὀλοώτερος ἄλλος·
Mene- ἔρρ', ἐπεὶ οὔ σ' ἔτυμόν γε φάμεν πεπνῦσθαι Ἀχαιοί.
laos ἀλλ' οὐ μὰν οὐδ' ὧς ἄτερ ὅρκου γ' οἴσηι ἄεθλον."
24.106 "Ἀμφίμεδον, τί παθόντες ἐρεμνὴν γαῖαν ἔδυτε
πάντες κεκριμένοι καὶ ὁμήλικες; οὐδέ κεν ἄλλως
κρινάμενος λέξαιτο κατὰ πτόλιν ἄνδρας ἀρίστους.
ἦ ὔμμ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν,
ὄρσας ἀργαλέους ἀνέμους καὶ κύματα μακρά;
ἦ που ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου
βοῦς περιταμνομένους ἠδ' οἰῶν πώεα καλά,
ἠὲ περὶ πτόλιος μαχεούμενοι ἠδὲ γυναικῶν;
εἰπέ μοι εἰρομένωι· ξεῖνος δέ τοι εὔχομαι εἶναι.
ἦ οὐ μέμνηι ὅτε κεῖσε κατήλυθον ὑμέτερον δῶ,
ὀτρυνέων Ὀδυσῆα σὺν ἀντιθέωι Μενελάωι
Ἴλιον εἰς ἅμ' ἕπεσθαι ἐϋσσέλμων ἐπὶ νηῶν;
Men. μηνὶ δ' ἄρ' οὔλωι πάντα περήσαμεν εὐρέα πόντον,
as Ag. σπουδῆι παρπεπιθόντες Ὀδυσσῆα πτολίπορθον."
23.443 "μή μοι ἐρύκεσθον μηδ' ἕστατον ἀχνυμένω κῆρ.
Mene- φθήσονται τούτοισι πόδες καὶ γοῦνα καμόντα
laos ἢ ὑμῖν· ἄμφω γὰρ ἀτέμβονται νεότητος."
24.36 "ὄλβιε Πηλέος υἱέ, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
ὃς θάνες ἐν Τροίηι ἑκὰς Ἄργεος· ἀμφὶ δέ σ' ἄλλοι
κτείνοντο Τρώων καὶ Ἀχαιῶν υἷες ἄριστοι,
μαρνάμενοι περὶ σεῖο· σὺ δ' ἐν στροφάλιγγι κονίης
κεῖσο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνάων.
ἡμεῖς δὲ πρόπαν ἦμαρ ἐμαρνάμεθ'· οὐδέ κε πάμπαν
παυσάμεθα πτολέμου, εἰ μὴ Ζεὺς λαίλαπι παῦσεν.
αὐτὰρ ἐπεί σ' ἐπὶ νῆας ἐνείκαμεν ἐκ πολέμοιο,
κάτθεμεν ἐν λεχέεσσι, καθήραντες χρόα καλὸν
ὕδατί τε λιαρῶι καὶ ἀλείφατι· πολλὰ δέ σ' ἀμφὶς
δάκρυα θερμὰ χέον Δαναοὶ κείροντό τε χαίτας.
μήτηρ δ' ἐξ ἁλὸς ἦλθε σὺν ἀθανάτηις ἁλίηισιν
ἀγγελίης ἀΐουσα· βοὴ δ' ἐπὶ πόντον ὀρώρει
θεσπεσίη, ὑπὸ δὲ τρόμος ἔλλαβε πάντας Ἀχαιούς·
καί νύ κ' ἀναΐξαντες ἔβαν κοίλας ἐπὶ νῆας,
εἰ μὴ ἀνὴρ κατέρυκε παλαιά τε πολλά τε εἰδώς,
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
ὅ σφιν ἐΰ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
'ἴσχεσθ', Ἀργεῖοι, μὴ φεύγετε, κοῦροι Ἀχαιῶν·
μήτηρ ἐξ ἁλὸς ἥδε σὺν ἀθανάτηις ἁλίηισιν
ἔρχεται, οὗ παιδὸς τεθνηότος ἀντιόωσα.'
ὣς ἔφαθ', οἱ δ' ἔσχοντο φόβου μεγάθυμοι Ἀχαιοί·
ἀμφὶ δέ σ' ἔστησαν κοῦραι ἁλίοιο γέροντος
οἴκτρ' ὀλοφυρόμεναι, περὶ δ' ἄμβροτα εἵματα ἕσσαν.
Μοῦσαι δ' ἐννέα πᾶσαι ἀμειβόμεναι ὀπὶ καλῆι
θρήνεον· ἔνθά κεν οὔ τιν' ἀδάκρυτόν γ' ἐνόησας
Ἀργείων· τοῖον γὰρ ἐπώρορε Μοῦσα λίγεια.
ἑπτὰ τε καὶ δέκα μέν σε ὁμῶς νύκτας τε καὶ ἦμαρ
κλαίομεν ἀθάνατοί τε θεοὶ θνητοί τ' ἄνθρωποι·
ὀκτωκαιδεκάτηι δ' ἔδομεν πυρί, πολλὰ δέ σ' ἀμφὶς
μῆλα κατεκτάνομεν μάλα πίονα καὶ ἕλικας βοῦς.
καίεο δ' ἔν τ' ἐσθῆτι θεῶν καὶ ἀλείφατι πολλῶι
καὶ μέλιτι γλυκερῶι· πολλοὶ δ' ἥρωες Ἀχαιοὶ
τεύχεσιν ἐρρώσαντο πυρὴν πέρι καιομένοιο,
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
αὐτὰρ ἐπεὶ δή σε φλὸξ ἤνυσεν Ἡφαίστοιο,
ἠῶθεν δή τοι λέγομεν λεύκ' ὀστέ', Ἀχιλλεῦ,
οἴνωι ἐν ἀκρήτωι καὶ ἀλείφατι· δῶκε δὲ μήτηρ
χρύσεον ἀμφιφορῆα· Διωνύσοιο δὲ δῶρον
φάσκ' ἔμεναι, ἔργον δὲ περικλυτοῦ Ἡφαίστοιο.
ἐν τῶι τοι κεῖται λεύκ' ὀστέα, φαίδιμ' Ἀχιλλεῦ,
μίγδα δὲ Πατρόκλοιο Μενοιτιάδαο θανόντος,
χωρὶς δ' Ἀντιλόχοιο, τὸν ἔξοχα τῖες ἁπάντων
τῶν ἄλλων ἑτάρων μετὰ Πάτροκλόν γε θανόντα.
ἀμφ' αὐτοῖσι δ' ἔπειτα μέγαν καὶ ἀμύμονα τύμβον
χεύαμεν Ἀργείων ἱερὸς στρατὸς αἰχμητάων,
ἀκτῆι ἔπι προὐχούσηι, ἐπὶ πλατεῖ Ἑλλησπόντωι,
ὥς κεν τηλεφανὴς ἐκ ποντόφιν ἀνδράσιν εἴη
τοῖς οἳ νῦν γεγάασι καὶ οἳ μετόπισθεν ἔσονται.
μήτηρ δ' αἰτήσασα θεοὺς περικαλλέ' ἄεθλα
θῆκε μέσωι ἐν ἀγῶνι ἀριστήεσσιν Ἀχαιῶν.
ἤδη μὲν πολέων τάφωι ἀνδρῶν ἀντεβόλησας
ἡρώων, ὅτε κέν ποτ' ἀποφθιμένου βασιλῆος
ζώννυνταί τε νέοι καὶ ἐπεντύνωνται ἄεθλα·

ἀλλά κε κεῖνα μάλιστα ἰδὼν θηήσαο θυμῶι,
οἷ' ἐπὶ σοὶ κατέθηκε θεὰ περικαλλέ' ἄεθλα,
ἀργυρόπεζα Θέτις· μάλα γὰρ φίλος ἦσθα θεοῖσιν.
ὣς σὺ μὲν οὐδὲ θανὼν ὄνομ' ὤλεσας, ἀλλά τοι αἰεὶ
πάντας ἐπ' ἀνθρώπους κλέος ἔσσεται ἐσθλόν, Ἀχιλλεῦ,
αὐτὰρ ἐμοὶ τί τόδ' ἦδος, ἐπεὶ πόλεμον τολύπευσα;
Men. ἐν νόστωι γάρ μοι Ζεὺς μήσατο λυγρὸν ὄλεθρον
as Ag. Αἰγίσθου ὑπὸ χερσὶ καὶ οὐλομένης ἀλόχοιο."
23.570 "Ἀντίλοχε, πρόσθεν πεπνυμένε, ποῖον ἔρεξας.
ᾔσχυνας μὲν ἐμὴν ἀρετήν, βλάψας δέ μοι ἵππους,
τοὺς σοὺς πρόσθε βαλών, οἵ τοι πολὺ χείρονες ἦσαν.
ἀλλ' ἄγετ', Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
ἐς μέσον ἀμφοτέροισι δικάσσατε, μηδ' ἐπ' ἀρωγῆι·
μή_ποτέ τις εἴπῃσιν Ἀχαιῶν χαλκοχιτώνων,
'Ἀντίλοχον ψεύδεσσι βιησάμενος Μενέλαος
οἴχεται ἵππον ἄγων, ὅτι οἱ πολὺ χείρονες ἦσαν
ἵπποι, αὐτὸς δὲ κρείσσων ἀρετῆι τε βίηι τε.'
εἰ δ' ἄγ' ἐγὼν αὐτὸς δικάσω, καί μ' οὔ_τινά φημι
ἄλλον ἐπιπλήξειν Δαναῶν· ἰθεῖα γὰρ ἔσται.
Ἀντίλοχ', εἰ δ' ἄγε δεῦρο, διοτρεφές, ἣ θέμις ἐστίν,
στὰς ἵππων προπάροιθε καὶ ἅρματος, αὐτὰρ ἱμάσθλην
χερσὶν ἔχε ῥαδινήν, ᾗ_περ τὸ πρόσθεν ἔλαυνες,
Mene- ἵππων ἁψάμενος γαιήοχον Ἐννοσίγαιον
laos ὄμνυθι μὴ μὲν ἑκὼν τὸ ἐμὸν δόλωι ἅρμα πεδῆσαι."
11.441 "τῶι νῦν μή_ποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι·
μηδ' οἱ μῦθον ἅπαντα πιφαυσκέμεν, ὅν κ' εὖ εἰδῇς,
ἀλλὰ τὸ μὲν φάσθαι, τὸ δὲ καὶ κεκρυμμένον εἶναι.
ἀλλ' οὐ σοί γ', Ὀδυσεῦ, φόνος ἔσσεται ἔκ γε γυναικός·
λίην γὰρ πινυτή τε καὶ εὖ φρεσὶ μήδεα οἶδεν
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
ἦ μέν μιν νύμφην γε νέην κατελείπομεν ἡμεῖς
ἐρχόμενοι πόλεμόνδε· πάϊς δέ οἱ ἦν ἐπὶ μαζῶι
νήπιος, ὅς που νῦν γε μετ' ἀνδρῶν ἵζει ἀριθμῶι,
ὄλβιος· ἦ γὰρ τόν γε πατὴρ φίλος ὄψεται ἐλθών,
καὶ κεῖνος πατέρα προσπτύξεται, ἣ θέμις ἐστίν.
ἡ δ' ἐμὴ οὐδέ περ υἷος ἐνιπλησθῆναι ἄκοιτις
ὀφθαλμοῖσιν ἔασε· πάρος δέ με πέφνε καὶ αὐτόν.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
κρύβδην, μηδ' ἀναφανδά, φίλην ἐς πατρίδα γαῖαν
νῆα κατισχέμεναι· ἐπεὶ οὐκέτι πιστὰ γυναιξίν.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Men. εἴ που ἔτι ζώοντος ἀκούετε παιδὸς ἐμοῖο,
as Ag. ἤ που ἐν Ὀρχομενῷ, ἦ ἐν Πύλωι ἠμαθόεντι
ἤ που πὰρ Μενελάωι ἐνὶ Σπάρτηι εὐρείηι·
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀρέστης."
23.602 "Ἀντίλοχε, νῦν μέν τοι ἐγὼν ὑποείξομαι αὐτὸς
χωόμενος, ἐπεὶ οὔ_τι παρήορος οὐδ' ἀεσίφρων
ἦσθα πάρος· νῦν αὖτε νόον νίκησε νεοίη.
δεύτερον αὖτ' ἀλέασθαι ἀμείνονας ἠπεροπεύειν.
οὐ γάρ κέν με τάχ' ἄλλος ἀνὴρ παρέπεισεν Ἀχαιῶν·
ἀλλὰ σὺ γὰρ δὴ πόλλ' ἔπαθες καὶ πόλλ' ἐμόγησας,
σός τε πατὴρ ἀγαθὸς καὶ ἀδελφεός, εἵνεκ' ἐμεῖο· Mene-
τῶι τοι λισσομένωι ἐπιπείσομαι, ἠδὲ καὶ ἵππον laos
δώσω ἐμήν περ ἐοῦσαν, ἵνα γνώωσι καὶ οἵδε,
ὡς ἐμὸς οὔ_ποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής."
"διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, 11.405
οὔτ' ἐμέ_γ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν
ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀϋτμήν,
οὔτέ μ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου,
ἀλλά μοι Αἴγισθος τεύξας θάνατόν τε μόρον τε
ἔκτα σὺν οὐλομένηι ἀλόχωι, οἶκόνδε καλέσσας,
δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνηι.
ὣς θάνον οἰκτίστωι θανάτωι· περὶ δ' ἄλλοι ἑταῖροι
νωλεμέως κτείνοντο, σύες ὣς ἀργιόδοντες,
οἵ ῥά τ' ἐν ἀφνειοῦ ἀνδρὸς μέγα δυναμένοιο
ἢ γάμωι ἢ ἐράνωι ἢ εἰλαπίνηι τεθαλυίηι.
ἤδη μὲν πολέων φόνωι ἀνδρῶν ἀντεβόλησα_,
μουνὰξ κτεινομένων καὶ ἐνὶ κρατερῆι ὑσμίνηι·
ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ὀλοφύραο θυμῶι,
ὡς ἀμφὶ κρητῆρα τραπέζας τε πληθούσας
κείμεθ' ἐνὶ μεγάρωι, δάπεδον δ' ἅπαν αἵματι θῦεν.
οἰκτροτάτην δ' ἤκουσα ὄπα Πριάμοιο θυγατρὸς,
Κασσάνδρης, τὴν κτεῖνε Κλυταιμήστρη δολόμητις
ἀμφ' ἐμοί· αὐτὰρ ἐγὼ ποτὶ γαίηι χεῖρας ἀείρων
βάλλον ἀποθνήισκων περὶ φασγάνωι· ἡ δὲ κυνῶπις
νοσφίσατ', οὐδέ μοι ἔτλη ἰόντι περ εἰς Ἀΐδαο
χερσὶ κατ' ὀφθαλμοὺς ἑλέειν σύν τε στόμ' ἐρεῖσαι.
ὣς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικὸς
ἥ_τις δὴ τοιαῦτα μετὰ φρεσὶν ἔργα βάληται·
οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικές,
κουριδίωι τεύξασα πόσει φόνον. ἦ_τοι ἔφην γε
ἀσπάσιος παίδεσσιν ἰδὲ δμώεσσιν ἐμοῖσιν
οἴκαδ' ἐλεύσεσθαι· ἡ δ' ἔξοχα λύγρα _ἰδυῖα Men.
οἷ τε κατ' αἶσχος ἔχευε καὶ ἐσσομένῃσιν ὀπίσσω as Ag.
θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν."

VERSION:
Ag. and Men. are identical twins.
Men. agrees to swap wives with
his brother after Ag. returns Briseis
to Ach., and they assume each other's
identities after the war.

Klytemnenstra and Aegisthos kill Men. as
Ag., and Men as Ag.. continues the charade
in Hades.

Tel. | Od. parallels Orestes | Ag.:
a warrior father thought dead is in fact alive,
but has assumed a false identity in order to
win a Spartan bride with many suitors
(Od. to win back Pen.; Ag. to win Helen).

EXCLUDES **2.56** ff.
(which may be spoken by Men.,
if Dream approached Men.
instead of Ag. by mistake).

ILIAD THEN
ODYSSEY ASSCEND
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §
EPICPOEM.ORG 285 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
ATTRIBUTED TO

MENELAUS

IN THE ILIAD
AND TO

AGAMEMNON

IN THE ODYSSEY

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

3.97 “κέκλυτε νῦν καὶ ἐμεῖο· μάλιστα γὰρ ἄλγος ἱκάνει
θυμὸν ἐμόν· φρονέω δὲ διακρινθήμεναι ἤδη
Ἀργείους καὶ Τρῶας, ἐπεὶ κακὰ πολλὰ πέπασθε
εἵνεκ’ ἐμῆς ἔριδος καὶ Ἀλεξάνδρου ἕνεκ’ ἀρχῆς.
ἡμέων δ’ ὁπποτέρωι θάνατος καὶ μοῖρα τέτυκται,
τεθναίη· ἄλλοι δὲ διακρινθεῖτε τάχιστα.
οἴσετε ἄρν’, ἕτερον λευκόν, ἑτέρην δὲ μέλαιναν,
Γῆι τε καὶ Ἠελίωι· Διὶ δ’ ἡμεῖς οἴσομεν ἄλλον.
ἄξετε δὲ Πριάμοιο βίην, ὄφρ’ ὅρκια τάμνηι
αὐτός, ἐπεί οἱ παῖδες ὑπερφίαλοι καὶ ἄπιστοι,
μή τις ὑπερβασίηι Διὸς ὅρκια δηλήσηται.
Menelaos αἰεὶ δ’ ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται·
οἷς δὲ γέρων μετέησιν, ἅμα πρόσσω καὶ ὀπίσσω
λεύσσει, ὅπως ὄχ’ ἄριστα μετ’ ἀμφοτέροισι γένηται.”
3.351 “Ζεῦ ἄνα, δὸς τείσασθαι ὅ με πρότερος κάκ’ ἔοργεν,
δῖον Ἀλέξανδρον, καὶ ἐμῆις ὑπὸ χερσὶ δάμασσον,
Menelaos ὄφρα τις ἐρρίγηισι, καὶ ὀψιγόνων ἀνθρώπων
ξεινοδόκον κακὰ ῥέξαι, ὅ κεν φιλότητα παράσχηι.”
3.365 “Ζεῦ πάτερ, οὔ τις σεῖο θεῶν ὀλοώτερος ἄλλος·
ἦ τ’ ἐφάμην τείσασθαι Ἀλέξανδρον κακότητος·
Menelaos νῦν δέ μοι ἐν χείρεσσιν ἄγη ξίφος, ἐκ δέ μοι ἔγχος
ἠΐχθη παλάμηφιν ἐτώσιον, οὐδ’ ἔβαλόν μιν.”
4.184 “θάρσει, μηδέ τί πω δειδίσσεο λαὸν Ἀχαιῶν.
οὐκ ἐν καιρίωι ὀξὺ πάγη βέλος, ἀλλὰ πάροιθεν
Menelaos εἰρύσατο ζωστήρ τε παναίολος ἠδ’ ὑπένερθεν
ζῶμά τε καὶ μίτρη, τὴν χαλκῆες κάμον ἄνδρες.”
7.96 “ὤι μοι, ἀπειλητῆρες, Ἀχαιΐδες, οὐκέτ’ Ἀχαιοί·
ἦ μὲν δὴ λώβη τάδε γ’ ἔσσεται αἰνόθεν αἰνῶς,
Menelaos εἰ μή τις Δαναῶν νῦν Ἕκτορος ἀντίος εἶσιν.
ἀλλ’ ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε,
ἥμενοι αὖθι ἕκαστοι ἀκήριοι, ἀκλεὲς αὔτως,
Menelaos τῶιδε δ’ ἐγὼν αὐτὸς θωρήξομαι· αὐτὰρ ὕπερθεν
νίκης πείρατ’ ἔχονται ἐν ἀθανάτοισι θεοῖσιν.”
10.37 “τίφθ’ οὕτως, ἠθεῖε, κορύσσεαι; ἦ τιν’ ἑταίρων
ὀτρυνέεις Τρώεσσιν ἔπι σκοπόν; ἀλλὰ μάλ’ αἰνῶς
δείδω μὴ οὔ τίς τοι ὑπόσχηται τόδε ἔργον,
Menelaos ἄνδρας δυσμενέας σκοπιαζέμεν οἶος ἐπελθὼν
νύκτα δι’ ἀμβροσίην· μάλα τις θρασυκάρδιος ἔσται.”
10.61 “πῶς τάρ μοι μύθωι ἐπιτέλλεαι ἠδὲ κελεύεις;
Menelaos αὖθι μένω μετὰ τοῖσι δεδεγμένος, εἰς ὅ κεν ἔλθηις,
ἦε θέω μετὰ σ’ αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω;”
11.465 “Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν,
ἀμφί μ’ Ὀδυσσῆος ταλασίφρονος ἵκετο ἀϋτή,
τῶι ἰκέλη ὡς εἴ ἑ βιώιατο μοῦνον ἐόντα
Τρῶες, ἀποτμήξαντες ἐνὶ κρατερῆι ὑσμίνηι.
ἀλλ’ ἴομεν καθ’ ὅμιλον· ἀλεξέμεναι γὰρ ἄμεινον.
Menelaos δείδω μή τι πάθηισιν ἐνὶ Τρώεσσι μονωθείς,
ἐσθλὸς ἐών, μεγάλη δὲ ποθὴ Δαναοῖσι γένηται.”
13.620 “λείψετέ θην οὕτω γε νέας Δαναῶν ταχυπώλων,
Τρῶες ὑπερφίαλοι, δεινῆς ἀκόρητοι ἀϋτῆς.
ἄλλης μὲν λώβης τε καὶ αἴσχεος οὐκ ἐπιδευεῖς,
ἣν ἐμὲ λωβήσασθε, κακαὶ κύνες, οὐδέ τι θυμῶι
Ζηνὸς ἐριβρεμέτεω χαλεπὴν ἐδδείσατε μῆνιν
ξεινίου, ὅς τέ ποτ’ ὔμμι διαφθέρσει πόλιν αἰπήν.
οἵ μευ κουριδίην ἄλοχον καὶ κτήματα πολλὰ
μὰψ οἴχεσθ’ ἀνάγοντες, ἐπεὶ φιλέεσθε παρ’ αὐτῆι·
νῦν αὖτ’ ἐν νηυσὶν μενεαίνετε ποντοπόροισιν
πῦρ ὀλοὸν βαλέειν, κτεῖναι δ’ ἥρωας Ἀχαιούς·
ἀλλά ποθι σχήσεσθε, καὶ ἐσσύμενοί περ, Ἄρηος.
Ζεῦ πάτερ, ἦ τέ σέ φασι περὶ φρένας ἔμμεναι ἄλλων,
ἀνδρῶν ἠδὲ θεῶν· σέο δ’ ἐκ τάδε πάντα πέλονται.
οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῆισιν,
Τρωσίν, τῶν μένος αἰὲν ἀτάσθαλον, οὐδὲ δύνανται
φυλόπιδος κορέσασθαι ὁμοιΐοο πτολέμοιο.
πάντων μὲν κόρος ἐστὶ, καὶ ὕπνου καὶ φιλότητος
μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο, ✦
τῶν πέρ τις καὶ μᾶλλον ἐέλδεται ἐξ ἔρον εἶναι Menelaos
ἢ πολέμου. Τρῶες δὲ μάχης ἀκόρητοι ἔασιν.”
“Ἀντίλοχ’, οὔ τις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν, 15.569
οὔτε ποσὶν θάσσων οὔτ’ ἄλκιμος ὡς σὺ μάχεσθαι· Menelaos
εἴ τινά που Τρώων ἐξάλμενος ἄνδρα βάλοισθα.”
“Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι. 17.19
οὔτ’ οὖν παρδάλιος τόσσον μένος οὔτε λέοντος
οὔτε συὸς κάπρου ὀλοόφρονος, οὗ τε μέγιστος
θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει,
ὅσσον Πανθόου υἷες ἐϋμμελίαι φορέουσιν.
οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο
ἧς ἥβης ἀπόνηθ’, ὅτε μ’ ὤνοτο καί μ’ ὑπέμεινεν
καί μ’ ἔφατ’ ἐν Δαναοῖσιν ἐλέγχιστον πολεμιστὴν
ἔμμεναι· οὐδὲ ἕ φημι πόδεσσί γε οἷσι κιόντα
εὐφρῆναι ἄλοχόν τε φίλην κεδνούς τε τοκῆας.
ὥς θην καὶ σὸν ἐγὼ λύσω μένος, εἴ κέ μευ ἄντα
στήηις. ἀλλά σ’ ἐγώ γ’ ἀναχωρήσαντα κελεύω
ἐς πληθὺν ἰέναι, μηδ’ ἀντίος ἵστασ’ ἐμεῖο, Menelaos
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω.”
“Αἶαν, δεῦρο, πέπον, περὶ Πατρόκλοιο θανόντος 17.120
σπεύσομεν, αἴ κε νέκυν περ Ἀχιλλῆϊ προφέρωμεν, Menelaos
γυμνόν· ἀτὰρ τά γε τεύχε’ ἔχει κορυθαιόλος Ἕκτωρ.”
“ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες, 17.248
οἵ τε παρ’ Ἀτρείδηις, Ἀγαμέμνονι καὶ Μενελάωι,
δήμια πίνουσιν καὶ σημαίνουσιν ἕκαστος
λαοῖς, ἐκ δὲ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ.
ἀργαλέον δέ μοί ἐστι διασκοπιᾶσθαι ἕκαστον
ἡγεμόνων· τόσση γὰρ ἔρις πολέμοιο δέδηεν.
ἀλλά τις αὐτὸς ἴτω, νεμεσιζέσθω δ’ ἐνὶ θυμῶι Menelaos
Πάτροκλον Τρωιῇσι κυσὶν μέλπηθρα γενέσθαι.”
“Φοίνιξ, ἄττα γεραιὲ παλαιγενές, εἰ γὰρ Ἀθήνη 17.561
δοίη κάρτος ἐμοί, βελέων δ’ ἀπερύκοι ἐρωήν·
τῶι κεν ἐγώ γ’ ἐθέλοιμι παρεστάμεναι καὶ ἀμύνειν
Πατρόκλωι· μάλα γάρ με θανὼν ἐσεμάσσατο θυμόν.

Mene- ἀλλ' Ἕκτωρ πυρὸς αἰνὸν ἔχει μένος, οὐδ' ἀπολήγει
laos χαλκῶι δηιόων· τῶι γὰρ Ζεὺς κῦδος ὀπάζει."
17.669 "Αἴαντ', Ἀργείων ἡγήτορε, Μηριόνη τε,
νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο
Mene- μνησάσθω· πᾶσιν γὰρ ἐπίστατο μείλιχος εἶναι
laos ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει."
17.685 "Ἀντίλοχ', εἰ δ' ἄγε δεῦρο, διοτρεφές, ὄφρα πύθηαι
λυγρῆς ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
ἤδη μέν σε καὶ αὐτὸν ὀΐομαι εἰσορόωντα
γιγνώσκειν ὅτι πῆμα θεὸς Δαναοῖσι κυλίνδει,
νίκη δὲ Τρώων· πέφαται δ' ὤριστος Ἀχαιῶν,
Πάτροκλος, μεγάλη δὲ ποθὴ Δαναοῖσι τέτυκται.
ἀλλὰ σύ_γ' αἶψ' Ἀχιλῆϊ, θέων ἐπὶ νῆας Ἀχαιῶν,
Mene- εἰπεῖν, αἴ κε τάχιστα νέκυν ἐπὶ νῆα σαώσηι
laos γυμνόν· ἀτὰρ τά_γε τεύχε' ἔχει κορυθαιόλος Ἕκτωρ."
23.439 "Ἀντίλοχ', οὔ_τις σεῖο βροτῶν ὀλοώτερος ἄλλος·
Mene- ἔρρ', ἐπεὶ οὔ σ' ἔτυμόν γε φάμεν πεπνῦσθαι Ἀχαιοί.
laos ἀλλ' οὐ μὰν οὐδ' ὣς ἄτερ ὅρκου γ' οἴσηι ἄεθλον."
23.443 "μή μοι ἐρύκεσθον μηδ' ἕστατον ἀχνυμένω κῆρ.
Mene- φθήσονται τούτοισι πόδες καὶ γοῦνα καμόντα
laos ἢ ὑμῖν· ἄμφω γὰρ ἀτέμβονται νεότητος."
23.570 "Ἀντίλοχε, πρόσθεν πεπνυμένε, ποῖον ἔρεξας.
ἤισχυνας μὲν ἐμὴν ἀρετὴν, βλάψας δέ μοι ἵππους,
τοὺς σοὺς πρόσθε βαλών, οἵ τοι πολὺ χείρονες ἦσαν.
ἀλλ' ἄγετ', Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
ἐς μέσον ἀμφοτέροισι δικάσσατε, μηδ' ἐπ' ἀρωγῆι·
μή_ποτέ τις εἴπησιν Ἀχαιῶν χαλκοχιτώνων,
'Ἀντίλοχον ψεύδεσσι βιησάμενος Μενέλαος
οἴχεται ἵππον ἄγων, ὅτι οἱ πολὺ χείρονες ἦσαν
ἵπποι, αὐτὸς δὲ κρείσσων ἀρετῆι τε βίηι τε.'
εἰ δ' ἄγ' ἐγὼν αὐτὸς δικάσω, καί μ' οὔ_τινά φημι
ἄλλον ἐπιπλήξειν Δαναῶν· ἰθεῖα γὰρ ἔσται.
Ἀντίλοχ', εἰ δ' ἄγε δεῦρο, διοτρεφές, ἣ θέμις ἐστίν,
στὰς ἵππων προπάροιθε καὶ ἅρματος, αὐτὰρ ἱμάσθλην
χερσὶν ἔχε ῥαδινήν, ἧι_περ τὸ πρόσθεν ἔλαυνες,
Mene- ἵππων ἁψάμενος γαιήοχον Ἐννοσίγαιον
laos ὄμνυθι μὴ μὲν ἑκὼν τὸ ἐμὸν δόλωι ἅρμα πεδῆσαι."
23.602 "Ἀντίλοχε, νῦν μέν τοι ἐγὼν ὑποείξομαι αὐτὸς
χωόμενος, ἐπεὶ οὔ_τι παρήορος οὐδ' ἀεσίφρων
ἦσθα πάρος· νῦν αὖτε νόον νίκησε νεοίη.
δεύτερον αὖτ' ἀλέασθαι ἀμείνονας ἠπεροπεύειν.
οὐ γάρ κέν με τάχ' ἄλλος ἀνὴρ παρέπεισεν Ἀχαιῶν·
ἀλλὰ σὺ γὰρ δὴ πόλλ' ἔπαθες καὶ πόλλ' ἐμόγησας,
Mene- σός τε πατὴρ ἀγαθὸς καὶ ἀδελφεὸς, εἵνεκ' ἐμεῖο·
laos τῶι τοι λισσομένωι ἐπιπείσομαι, ἠδὲ καὶ ἵππον
δώσω ἐμήν περ ἐοῦσαν, ἵνα γνώωσι καὶ οἵδε,
ὡς ἐμὸς οὔ_ποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής."
11.405 "διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
οὔτ' ἐμέ_γ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν
ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀϋτμὴν,
οὔτέ μ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου,
ἀλλά μοι Αἴγισθος τεύξας θάνατόν τε μόρον τε
ἔκτα σὺν οὐλομένηι ἀλόχωι, οἶκόνδε καλέσσας,
δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνηι.
ὣς θάνον οἰκτίστωι θανάτωι· περὶ δ' ἄλλοι ἑταῖροι
νωλεμέως κτείνοντο, σύες ὣς ἀργιόδοντες,
οἵ ῥά τ' ἐν ἀφνειοῦ ἀνδρὸς μέγα δυναμένοιο
ἢ γάμωι ἢ ἐράνωι ἢ εἰλαπίνηι τεθαλυίηι.
ἤδη μὲν πολέων φόνωι ἀνδρῶν ἀντεβόλησα_,
μουνὰξ κτεινομένων καὶ ἐνὶ κρατερῆι ὑσμίνηι·
ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ὀλοφύραο θυμῶι,
ὡς ἀμφὶ κρητῆρα τραπέζας τε πληθούσας
κείμεθ' ἐνὶ μεγάρωι, δάπεδον δ' ἅπαν αἵματι θυῖεν.
οἰκτροτάτην δ' ἤκουσα ὄπα Πριάμοιο θυγατρὸς,
Κασσάνδρης, τὴν κτεῖνε Κλυταιμήστρη δολόμητις
ἀμφ' ἐμοί· αὐτὰρ ἐγὼ ποτὶ γαίηι χεῖρας ἀείρων
βάλλον ἀποθνήισκων περὶ φασγάνωι· ἡ δὲ κυνῶπις
νοσφίσατ', οὐδέ μοι ἔτλη ἰόντι περ εἰς Ἀΐδαο
χερσὶ κατ' ὀφθαλμοὺς ἑλέειν σύν τε στόμ' ἐρεῖσαι.
ὣς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικὸς
ἥ_τις δὴ τοιαῦτα μετὰ φρεσὶν ἔργα βάληται·
οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικὲς,
κουριδίωι τεύξασα πόσει φόνον. ἦ_τοι ἔφην γε
ἀσπάσιος παίδεσσιν ἰδὲ δμώεσσιν ἐμοῖσιν
οἴκαδ' ἐλεύσεσθαι· ἡ δ' ἔξοχα λύγρα _ἰδυῖα
οἷ τε κατ' αἶσχος ἔχευε καὶ ἐσσομένηισιν ὀπίσσω Men.
θηλυτέρηισι γυναιξὶ, καὶ ἥ κ' εὐεργὸς ἔησιν." as Ag.
"τῶι νῦν μή_ποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι· 11.441
μηδ' οἱ μῦθον ἅπαντα πιφαυσκέμεν, ὅν κ' εὖ εἰδῆις,
ἀλλὰ τὸ μὲν φάσθαι, τὸ δὲ καὶ κεκρυμμένον εἶναι.
ἀλλ' οὐ σοί γ', Ὀδυσεῦ, φόνος ἔσσεται ἔκ γε γυναικός·
λίην γὰρ πινυτή τε καὶ εὖ φρεσὶ μήδεα οἶδεν
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
ἦ μέν μιν νύμφην γε νέην κατελείπομεν ἡμεῖς
ἐρχόμενοι πόλεμόνδε· πάϊς δέ οἱ ἦν ἐπὶ μαζῶι
νήπιος, ὅς που νῦν γε μετ' ἀνδρῶν ἵζει ἀριθμῶι,
ὄλβιος· ἦ γὰρ τόν γε πατὴρ φίλος ὄψεται ἐλθὼν,
καὶ κεῖνος πατέρα προσπτύξεται, ἣ θέμις ἐστίν.
ἡ δ' ἐμὴ οὐδέ περ υἷος ἐνιπλησθῆναι ἄκοιτις
ὀφθαλμοῖσιν ἔασε· πάρος δέ με πέφνε καὶ αὐτόν.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
κρύβδην, μηδ' ἀναφανδὰ, φίλην ἐς πατρίδα γαῖαν
νῆα κατισχέμεναι· ἐπεὶ οὐκέτι πιστὰ γυναιξίν.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἴ που ἔτι ζώοντος ἀκούετε παιδὸς ἐμοῖο, Men.
ἤ που ἐν Ὀρχομενῶι, ἢ ἐν Πύλωι ἠμαθόεντι as Ag.
ἤ που πὰρ Μενελάωι ἐνὶ Σπάρτηι εὐρείηι·
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀρέστης."
"ὄλβιε Πηλέος υἱὲ, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ, 24.36
ὃς θάνες ἐν Τροίηι ἑκὰς Ἄργεος· ἀμφὶ δέ σ' ἄλλοι

κτείνοντο Τρώων καὶ Ἀχαιῶν υἷες ἄριστοι,
μαρνάμενοι περὶ σεῖο· σὺ δ' ἐν στροφάλιγγι κονίης
κεῖσο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνάων.
ἡμεῖς δὲ πρόπαν ἦμαρ ἐμαρνάμεθ'· οὐδέ κε πάμπαν
παυσάμεθα πτολέμου, εἰ μὴ Ζεὺς λαίλαπι παῦσεν.
αὐτὰρ ἐπεί σ' ἐπὶ νῆας ἐνείκαμεν ἐκ πολέμοιο,
κάτθεμεν ἐν λεχέεσσι, καθήραντες χρόα καλὸν
ὕδατί τε λιαρῶι καὶ ἀλείφατι· πολλὰ δέ σ' ἀμφὶς
δάκρυα θερμὰ χέον Δαναοὶ κείροντό τε χαίτας.
μήτηρ δ' ἐξ ἁλὸς ἦλθε σὺν ἀθανάτηις ἁλίηισιν
ἀγγελίης ἀΐουσα· βοὴ δ' ἐπὶ πόντον ὀρώρει
θεσπεσίη, ὑπὸ δὲ τρόμος ἔλλαβε πάντας Ἀχαιούς·
καί νύ κ' ἀναΐξαντες ἔβαν κοίλας ἐπὶ νῆας,
εἰ μὴ ἀνὴρ κατέρυκε παλαιά τε πολλά τε εἰδὼς,
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
ὅ σφιν ἔϋ_φρονέων ἀγορήσατο καὶ μετέειπεν·
"ἴσχεσθ', Ἀργεῖοι, μὴ φεύγετε, κοῦροι Ἀχαιῶν·
μήτηρ ἐξ ἁλὸς ἥδε σὺν ἀθανάτηις ἁλίηισιν
ἔρχεται, οὗ παιδὸς τεθνηότος ἀντιόωσα.'
ὣς ἔφαθ', οἱ δ' ἔσχοντο φόβου μεγάθυμοι Ἀχαιοί·
ἀμφὶ δέ σ' ἔστησαν κοῦραι ἁλίοιο γέροντος
οἴκτρ' ὀλοφυρόμεναι, περὶ δ' ἄμβροτα εἵματα ἕσσαν.
Μοῦσαι δ' ἐννέα πᾶσαι ἀμειβόμεναι ὀπὶ καλῆι
θρήνεον· ἔνθά κεν οὔ τιν' ἀδάκρυτόν γ' ἐνόησας
Ἀργείων· τοῖον γὰρ ἐπῶρορε Μοῦσα λίγεια.
ἑπτὰ τε καὶ δέκα μέν σε ὁμῶς νύκτας τε καὶ ἦμαρ
κλαίομεν ἀθάνατοί τε θεοὶ θνητοί τ' ἄνθρωποι·
ὀκτωκαιδεκάτηι δ' ἔδομεν πυρί, πολλὰ δέ σ' ἀμφὶς
μῆλα κατεκτάνομεν μάλα πίονα καὶ ἕλικας βοῦς.
καίεο δ' ἔν τ' ἐσθῆτι θεῶν καὶ ἀλείφατι πολλῶι
καὶ μέλιτι γλυκερῶι· πολλοὶ δ' ἥρωες Ἀχαιοὶ
τεύχεσιν ἐρρώσαντο πυρὴν πέρι καιομένοιο,
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
αὐτὰρ ἐπεὶ δή σε φλὸξ ἤνυσεν Ἡφαίστοιο,
ἠῶθεν δή τοι λέγομεν λεύκ' ὀστέ', Ἀχιλλεῦ,
οἴνωι ἐν ἀκρήτωι καὶ ἀλείφατι· δῶκε δὲ μήτηρ
χρύσεον ἀμφιφορῆα· Διωνύσοιο δὲ δῶρον
φάσκ' ἔμεναι, ἔργον δὲ περικλυτοῦ Ἡφαίστοιο.
ἐν τῶι τοι κεῖται λεύκ' ὀστέα, φαίδιμ' Ἀχιλλεῦ,
μίγδα δὲ Πατρόκλοιο Μενοιτιάδαο θανόντος,
χωρὶς δ' Ἀντιλόχοιο, τὸν ἔξοχα τῖες ἁπάντων
τῶν ἄλλων ἑτάρων μετὰ Πάτροκλόν γε θανόντα.
ἀμφ' αὐτοῖσι δ' ἔπειτα μέγαν καὶ ἀμύμονα τύμβον
χεύαμεν Ἀργείων ἱερὸς στρατὸς αἰχμητάων,
ἀκτῆι ἔπι προὐχούσηι, ἐπὶ πλατεῖ Ἑλλησπόντωι,
ὥς κεν τηλεφανὴς ἐκ ποντόφιν ἀνδράσιν εἴη
τοῖς οἳ νῦν γεγάασι καὶ οἳ μετόπισθεν ἔσονται.
μήτηρ δ' αἰτήσασα θεοὺς περικαλλέ' ἄεθλα
θῆκε μέσωι ἐν ἀγῶνι ἀριστήεσσιν Ἀχαιῶν·
ἤδη μὲν πολέων τάφωι ἀνδρῶν ἀντεβόλησας
ἡρώων, ὅτε κέν ποτ' ἀποφθιμένου βασιλῆος
ζώννυνταί τε νέοι καὶ ἐπεντύνωνται ἄεθλα·
ἀλλά κε κεῖνα μάλιστα ἰδὼν θηήσαο θυμῶι,
οἷ' ἐπὶ σοὶ κατέθηκε θεὰ περικαλλέ' ἄεθλα,
ἀργυρόπεζα Θέτις· μάλα γὰρ φίλος ἦσθα θεοῖσιν.
ὣς σὺ μὲν οὐδὲ θανὼν ὄνομ' ὤλεσας, ἀλλά τοι αἰεὶ
πάντας ἐπ' ἀνθρώπους κλέος ἔσσεται ἐσθλὸν, Ἀχιλλεῦ,
αὐτὰρ ἐμοὶ τί τόδ' ἦδος, ἐπεὶ πόλεμον τολύπευσα;
ἐν νόστωι γάρ μοι Ζεὺς μήσατο λυγρὸν ὄλεθρον **Men.**
Αἰγίσθου ὑπὸ χερσὶ καὶ οὐλομένης ἀλόχοιο." **as Ag.**
"Ἀμφίμεδον, τί παθόντες ἐρεμνὴν γαῖαν ἔδυτε **24.106**
πάντες κεκριμένοι καὶ ὁμήλικες; οὐδέ κεν ἄλλως
κρινάμενος λέξαιτο κατὰ πτόλιν ἄνδρας ἀρίστους.
ἦ ὔμμ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν,
ὄρσας ἀργαλέους ἀνέμους καὶ κύματα μακρά;
ἦ που ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου
βοῦς περιταμνομένους ἠδ' οἰῶν πώεα καλὰ,
ἠὲ περὶ πτόλιος μαχεούμενοι ἠδὲ γυναικῶν;
εἰπέ μοι εἰρομένωι· ξεῖνος δέ τοι εὔχομαι εἶναι.
ἦ οὐ μέμνηι ὅτε κεῖσε κατήλυθον ὑμέτερον δῶ,
ὀτρυνέων Ὀδυσῆα σὺν ἀντιθέωι Μενελάωι
Ἴλιον εἰς ἅμ' ἕπεσθαι ἐϋσσέλμων ἐπὶ νηῶν;
μηνὶ δ' ἄρ' οὔλωι πάντα περήσαμεν εὐρέα πόντον, **Men.**
σπουδῆι παρπεπιθόντες Ὀδυσσῆα πτολίπορθον." **as Ag.**
"ὄλβιε Λαέρταο πάϊ, πολυμήχαν' Ὀδυσσεῦ, **24.192**
ἦ ἄρα σὺν μεγάληι ἀρετῆι ἐκτήσω ἄκοιτιν.
ὡς ἀγαθαὶ φρένες ἦσαν ἀμύμονι Πηνελοπείηι,
κούρηι Ἰκαρίου· ὡς εὖ μέμνητ' Ὀδυσῆος,
ἀνδρὸς κουριδίου· τῶι οἱ κλέος οὔ_ποτ' ὀλεῖται
ἧς ἀρετῆς, τεύξουσι δ' ἐπιχθονίοισιν ἀοιδὴν
ἀθάνατοι χαρίεσσαν ἐχέφρονι Πηνελοπείηι,
οὐχ ὡς Τυνδαρέου κούρη κακὰ μήσατο ἔργα,
κουρίδιον κτείνασα πόσιν, στυγερὴ δέ τ' ἀοιδὴ
ἔσσετ' ἐπ' ἀνθρώπους, χαλεπὴν δέ τε φῆμιν ὀπάσσεν **Men.**
θηλυτέρηισι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔησιν." **as Ag.**

VERSION:
Ag. and Men. are identical twins.
Men. agrees to swap wives with
his brother after Ag. returns Briseis
to Ach., and they assume each other's
identities after the war.

Klytemnenstra and Aegisthos kill Men. as
Ag., and Men as Ag.. continues the charade
in Hades.

Tel. | Od. parallels Orestes | Ag.:
a warrior father thought dead is in fact alive,
but has assumed a false identity in order to
win a Spartan bride with many suitors
(Od. to win back Pen.; Ag. to win Helen).

INCLUDES **2.56** ff.

(which may be spoken by Men.,
if Dream approached Men.
instead of Ag. by mistake).

ILIAD THEN
ODYSSEY ASSCEND
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 285 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES ATTRIBUTED TO MENELAUS IN THE ILIAD AND TO AGAMEMNON IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

2.56 “κλῦτε φίλοι· θεῖός μοι ἐνύπνιον ἦλθεν Ὄνειρος
ἀμβροσίην διὰ νύκτα· μάλιστα δὲ Νέστορι δίωι
εἶδός τε μέγεθός τε φυήν τ’ ἄγχιστα ἐώικει.
στῆ δ’ ἄρ’ ὑπὲρ κεφαλῆς καί με πρὸς μῦθον ἔειπεν·
‘εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο;
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ὧι λαοί τ’ ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.
νῦν δ’ ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ’ ἐλεαίρει.
θωρῆξαί σε κέλευσε κάρη κομόωντας Ἀχαιοὺς
πανσυδίηι· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ’ ἀμφὶς Ὀλύμπια δώματ’ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε’ ἐφῆπται
ἐκ Διός. ἀλλὰ σὺ σῆισιν ἔχε φρεσίν.’ ὣς ὁ μὲν εἰπὼν
ὤιχετ’ ἀποπτάμενος, ἐμὲ δὲ γλυκὺς ὕπνος ἀνῆκεν.
ἀλλ’ ἄγετ’, αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.
πρῶτα δ’ ἐγὼν ἔπεσιν πειρήσομαι, ἣ θέμις ἐστὶν,
Ag. or καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύσω·
Men.? ὑμεῖς δ’ ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν.”
3.97 “κέκλυτε νῦν καὶ ἐμεῖο· μάλιστα γὰρ ἄλγος ἱκάνει
θυμὸν ἐμόν· φρονέω δὲ διακρινθήμεναι ἤδη
Ἀργείους καὶ Τρῶας, ἐπεὶ κακὰ πολλὰ πέπασθε
εἵνεκ’ ἐμῆς ἔριδος καὶ Ἀλεξάνδρου ἕνεκ’ ἀρχῆς.
ἡμέων δ’ ὁπποτέρωι θάνατος καὶ μοῖρα τέτυκται,
τεθναίη· ἄλλοι δὲ διακρινθεῖτε τάχιστα.
οἴσετε ἄρν’, ἕτερον λευκόν, ἑτέρην δὲ μέλαιναν,
Γῆι τε καὶ Ἠελίωι· Διὶ δ’ ἡμεῖς οἴσομεν ἄλλον.
ἄξετε δὲ Πριάμοιο βίην, ὄφρ’ ὅρκια τάμνηι
αὐτὸς, ἐπεί οἱ παῖδες ὑπερφίαλοι καὶ ἄπιστοι,
μή τις ὑπερβασίηι Διὸς ὅρκια δηλήσηται.
Mene- αἰεὶ δ’ ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται·
laos οἷς δὲ γέρων μετέηισιν, ἅμα πρόσσω καὶ ὀπίσσω
λεύσσει, ὅπως ὄχ’ ἄριστα μετ’ ἀμφοτέροισι γένηται.”
3.351 “Ζεῦ ἄνα, δὸς τείσασθαι ὅ με πρότερος κάκ’ ἔοργεν,
δῖον Ἀλέξανδρον, καὶ ἐμῆις ὑπὸ χερσὶ δάμασσον,
Mene- ὄφρα τις ἐρρίγηισι, καὶ ὀψιγόνων ἀνθρώπων
laos ξεινοδόκον κακὰ ῥέξαι, ὅ κεν φιλότητα παράσχηι.”
3.365 “Ζεῦ πάτερ, οὔ τις σεῖο θεῶν ὀλοώτερος ἄλλος·
ἦ τ’ ἐφάμην τείσασθαι Ἀλέξανδρον κακότητος·
Mene- νῦν δέ μοι ἐν χείρεσσιν ἄγη ξίφος, ἐκ δέ μοι ἔγχος
laos ἠΐχθη παλάμηφιν ἐτώσιον, οὐδ’ ἔβαλόν μιν.”
4.184 “θάρσει, μηδέ τί πω δειδίσσεο λαὸν Ἀχαιῶν.
οὐκ ἐν καιρίωι ὀξὺ πάγη βέλος, ἀλλὰ πάροιθεν
Mene- εἰρύσατο ζωστήρ τε παναίολος ἠδ’ ὑπένερθεν
laos ζῶμά τε καὶ μίτρη, τὴν χαλκῆες κάμον ἄνδρες.”
7.96 “ὤ μοι, ἀπειλητῆρες, Ἀχαιΐδες, οὐκέτ’ Ἀχαιοί·
ἦ μὲν δὴ λώβη τάδε γ’ ἔσσεται αἰνόθεν αἰνῶς,
Mene- εἰ μή τις Δαναῶν νῦν Ἕκτορος ἀντίος εἶσιν.
laos ἀλλ’ ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε,
ἥμενοι αὖθι ἕκαστοι ἀκήριοι, ἀκλεὲς αὔτως,
τῶιδε δ’ ἐγὼν αὐτὸς θωρήξομαι· αὐτὰρ ὕπερθεν Mene-
νίκης πείρατ’ ἔχονται ἐν ἀθανάτοισι θεοῖσιν.” laos
“τίφθ’ οὕτως, ἠθεῖε, κορύσσεαι; ἦ τιν’ ἑταίρων 10.37
ὀτρυνέεις Τρώεσσιν ἔπι σκοπόν; ἀλλὰ μάλ’ αἰνῶς
δείδω μὴ οὔ τίς τοι ὑπόσχηται τόδε ἔργον,
ἄνδρας δυσμενέας σκοπιαζέμεν οἶος ἐπελθὼν Mene-
νύκτα δι’ ἀμβροσίην· μάλα τις θρασυκάρδιος ἔσται.” laos
“πῶς τάρ μοι μύθωι ἐπιτέλλεαι ἠδὲ κελεύεις; 10.61
αὖθι μένω μετὰ τοῖσι δεδεγμένος, εἰς ὅ κεν ἔλθηις, Mene-
ἦε θέω μετὰ σ’ αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω;” laos
“Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν, 11.465
ἀμφί μ’ Ὀδυσσῆος ταλασίφρονος ἵκετο ἀϋτή,
τῶι ἰκέλη ὡς εἴ ἑ βιώιατο μοῦνον ἐόντα
Τρῶες, ἀποτμήξαντες ἐνὶ κρατερῆι ὑσμίνηι.
ἀλλ’ ἴομεν καθ’ ὅμιλον· ἀλεξέμεναι γὰρ ἄμεινον.
δείδω μή τι πάθησιν ἐνὶ Τρώεσσι μονωθεὶς, Mene-
ἐσθλὸς ἐών, μεγάλη δὲ ποθὴ Δαναοῖσι γένηται.” laos
“λείψετέ θην οὕτω γε νέας Δαναῶν ταχυπώλων, 13.620
Τρῶες ὑπερφίαλοι, δεινῆς ἀκόρητοι ἀϋτῆς.
ἄλλης μὲν λώβης τε καὶ αἴσχεος οὐκ ἐπιδευεῖς,
ἣν ἐμὲ λωβήσασθε, κακαὶ κύνες, οὐδέ τι θυμῶι
Ζηνὸς ἐριβρεμέτεω χαλεπὴν ἐδδείσατε μῆνιν
ξεινίου, ὅς τέ ποτ’ ὔμμι διαφθέρσει πόλιν αἰπήν.
οἵ μευ κουριδίην ἄλοχον καὶ κτήματα πολλὰ
μὰψ οἴχεσθ’ ἀνάγοντες, ἐπεὶ φιλέεσθε παρ’ αὐτῆι·
νῦν αὖτ’ ἐν νηυσὶν μενεαίνετε ποντοπόροισιν
πῦρ ὀλοὸν βαλέειν, κτεῖναι δ’ ἥρωας Ἀχαιούς·
ἀλλά ποθι σχήσεσθε, καὶ ἐσσύμενοί περ, Ἄρηος.
Ζεῦ πάτερ, ἦ τέ σέ φασι περὶ φρένας ἔμμεναι ἄλλων,
ἀνδρῶν ἠδὲ θεῶν· σέο δ’ ἐκ τάδε πάντα πέλονται.
οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῆισιν,
Τρωσὶν, τῶν μένος αἰὲν ἀτάσθαλον, οὐδὲ δύνανται
φυλόπιδος κορέσασθαι ὁμοιΐου πτολέμοιο.
πάντων μὲν κόρος ἐστὶ, καὶ ὕπνου καὶ φιλότητος
μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο, ◆
τῶν πέρ τις καὶ μᾶλλον ἐέλδεται ἐξ ἔρον εἶναι Mene-
ἢ πολέμου. Τρῶες δὲ μάχης ἀκόρητοι ἔασιν.” laos
“Ἀντίλοχ’, οὔ τις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν, 15.569
οὔτε ποσὶν θάσσων οὔτ’ ἄλκιμος ὡς σὺ μάχεσθαι· Mene-
εἴ τινά που Τρώων ἐξάλμενος ἄνδρα βάλοισθα.” laos
“Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι. 17.19
οὔτ’ οὖν παρδάλιος τόσσον μένος οὔτε λέοντος
οὔτε συὸς κάπρου ὀλοόφρονος, οὗ τε μέγιστος
θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει,
ὅσσον Πανθόου υἷες ἐϋμμελίαι φορέουσιν.
οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο
ἧς ἥβης ἀπόνηθ’, ὅτε μ’ ὤνοτο καί μ’ ὑπέμεινεν
καί μ’ ἔφατ’ ἐν Δαναοῖσιν ἐλέγχιστον πολεμιστὴν
ἔμμεναι· οὐδὲ ἕ φημι πόδεσσί γε οἷσι κιόντα

εὐφρῆναι ἄλοχόν τε φίλην κεδνούς τε τοκῆας.
ὥς θην καὶ σὸν ἐγὼ λύσω μένος, εἴ κέ μευ ἄντα
στήῃς. ἀλλά σ᾽ ἐγώ_γ᾽ ἀναχωρήσαντα κελεύω
Mene- ἐς πληθὺν ἰέναι, μηδ᾽ ἀντίος ἵστασ᾽ ἐμεῖο,
laos πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω."
17.120 "Αἶαν, δεῦρο, πέπον, περὶ Πατρόκλοιο θανόντος
Mene- σπεύσομεν, αἴ κε νέκυν περ Ἀχιλλῆϊ προφέρωμεν,
laos γυμνόν· ἀτὰρ τά_γε τεύχε᾽ ἔχει κορυθαιόλος Ἕκτωρ."
17.248 "ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
οἵ_τε παρ᾽ Ἀτρείδῃς, Ἀγαμέμνονι καὶ Μενελάωι,
δήμια πίνουσιν καὶ σημαίνουσιν ἕκαστος
λαοῖς, ἐκ δὲ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ.
ἀργαλέον δέ μοί ἐστι διασκοπιᾶσθαι ἕκαστον
ἡγεμόνων· τόσση γὰρ ἔρις πολέμοιο δέδηεν.
Mene- ἀλλά τις αὐτὸς ἴτω, νεμεσιζέσθω δ᾽ ἐνὶ θυμῶι
laos Πάτροκλον Τρωιῇσι κυσὶν μέλπηθρα γενέσθαι."
17.561 "Φοίνιξ, ἄττα γεραιὲ παλαιγενές, εἰ γὰρ Ἀθήνη
δοίη κάρτος ἐμοί, βελέων δ᾽ ἀπερύκοι ἐρωήν·
τῶι κεν ἐγώ γ᾽ ἐθέλοιμι παρεστάμεναι καὶ ἀμύνειν
Πατρόκλωι· μάλα γάρ με θανὼν ἐσεμάσσατο θυμόν.
Mene- ἀλλ᾽ Ἕκτωρ πυρὸς αἰνὸν ἔχει μένος, οὐδ᾽ ἀπολήγει
laos χαλκῶι δηιόων· τῶι γὰρ Ζεὺς κῦδος ὀπάζει."
17.669 "Αἴαντ᾽, Ἀργείων ἡγήτορε, Μηριόνη τε,
νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο
Mene- μνησάσθω· πᾶσιν γὰρ ἐπίστατο μείλιχος εἶναι
laos ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει."
17.685 "Ἀντίλοχ᾽, εἰ δ᾽ ἄγε δεῦρο, διοτρεφές, ὄφρα πύθηαι
λυγρῆς ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
ἤδη μέν σε καὶ αὐτὸν ὀΐομαι εἰσορόωντα
γιγνώσκειν ὅτι πῆμα θεὸς Δαναοῖσι κυλίνδει,
νίκη δὲ Τρώων· πέφαται δ᾽ ὤριστος Ἀχαιῶν,
Πάτροκλος, μεγάλη δὲ ποθὴ Δαναοῖσι τέτυκται.
ἀλλὰ σύ_γ᾽ αἶψ᾽ Ἀχιλῆϊ, θέων ἐπὶ νῆας Ἀχαιῶν,
Mene- εἰπεῖν, αἴ κε τάχιστα νέκυν ἐπὶ νῆα σαώσῃ
laos γυμνόν· ἀτὰρ τά_γε τεύχε᾽ ἔχει κορυθαιόλος Ἕκτωρ."
23.439 "Ἀντίλοχ᾽, οὔ_τις σεῖο βροτῶν ὀλοώτερος ἄλλος·
Mene- ἔρρ᾽, ἐπεὶ οὐ σ᾽ ἔτυμόν γε φάμεν πεπνῦσθαι Ἀχαιοί.
laos ἀλλ᾽ οὐ μὰν οὐδ᾽ ὧς ἄτερ ὅρκου γ᾽ οἴσῃ ἄεθλον."
23.443 "μή μοι ἐρύκεσθον μηδ᾽ ἕστατον ἀχνυμένω κῆρ.
Mene- φθήσονται τούτοισι πόδες καὶ γοῦνα καμόντα
laos ἢ ὑμῖν· ἄμφω γὰρ ἀτέμβονται νεότητος."
23.570 "Ἀντίλοχε, πρόσθεν πεπνυμένε, ποῖον ἔρεξας.
ᾔσχυνας μὲν ἐμὴν ἀρετήν, βλάψας δέ μοι ἵππους,
τοὺς σοὺς πρόσθε βαλών, οἵ τοι πολὺ χείρονες ἦσαν.
ἀλλ᾽ ἄγετ᾽, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
ἐς μέσον ἀμφοτέροισι δικάσσατε, μηδ᾽ ἐπ᾽ ἀρωγῇ·
μή_ποτέ τις εἴπῃσιν Ἀχαιῶν χαλκοχιτώνων,
'Ἀντίλοχον ψεύδεσσι βιησάμενος Μενέλαος
οἴχεται ἵππον ἄγων, ὅτι οἱ πολὺ χείρονες ἦσαν
ἵπποι, αὐτὸς δὲ κρείσσων ἀρετῆι τε βίηι τε.'
εἰ δ᾽ ἄγ᾽ ἐγὼν αὐτὸς δικάσω, καί μ᾽ οὔ_τινά φημι
ἄλλον ἐπιπλήξειν Δαναῶν· ἰθεῖα γὰρ ἔσται.
Ἀντίλοχ᾽, εἰ δ᾽ ἄγε δεῦρο, διοτρεφές, ἣ θέμις ἐστίν,
στὰς ἵππων προπάροιθε καὶ ἅρματος, αὐτὰρ ἱμάσθλην
χερσὶν ἔχε ῥαδινήν, ἧι_περ τὸ πρόσθεν ἔλαυνες,
ἵππων ἁψάμενος γαιήοχον Ἐννοσίγαιον Mene-
ὄμνυθι μὴ μὲν ἑκὼν τὸ ἐμὸν δόλωι ἅρμα πεδῆσαι." laos
"Ἀντίλοχε, νῦν μέν τοι ἐγὼν ὑποείξομαι αὐτὸς **23.602**
χωόμενος, ἐπεὶ οὔ_τι παρήορος οὐδ᾽ ἀεσίφρων
ἦσθα πάρος· νῦν αὖτε νόον νίκησε νεοίη.
δεύτερον αὖτ᾽ ἀλέασθαι ἀμείνονας ἠπεροπεύειν.
οὐ γάρ κέν με τάχ᾽ ἄλλος ἀνὴρ παρέπεισεν Ἀχαιῶν·
ἀλλὰ σὺ γὰρ δὴ πόλλ᾽ ἔπαθες καὶ πόλλ᾽ ἐμόγησας,
σός τε πατὴρ ἀγαθὸς καὶ ἀδελφεός, εἵνεκ᾽ ἐμεῖο· Mene-
τῶι τοι λισσομένωι ἐπιπείσομαι, ἠδὲ καὶ ἵππον laos
δώσω ἐμήν περ ἐοῦσαν, ἵνα γνώωσι καὶ οἵδε,
ὡς ἐμὸς οὔ_ποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής."
"διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ, **11.405**
οὔτ᾽ ἐμέ_γ᾽ ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν
ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀϋτμήν,
οὔτέ μ᾽ ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ᾽ ἐπὶ χέρσου,
ἀλλά μοι Αἴγισθος τεύξας θάνατόν τε μόρον τε
ἔκτα σὺν οὐλομένῃ ἀλόχωι, οἶκόνδε καλέσσας,
δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.
ὣς θάνον οἰκτίστωι θανάτωι· περὶ δ᾽ ἄλλοι ἑταῖροι
νωλεμέως κτείνοντο, σύες ὣς ἀργιόδοντες,
οἵ ῥά τ᾽ ἐν ἀφνειοῦ ἀνδρὸς μέγα δυναμένοιο
ἢ γάμωι ἢ ἐράνωι ἢ εἰλαπίνῃ τεθαλυίῃ.
ἤδη μὲν πολέων φόνωι ἀνδρῶν ἀντεβόλησα_,
μουνὰξ κτεινομένων καὶ ἐνὶ κρατερῇ ὑσμίνῃ·
ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ὀλοφύραο θυμῶι,
ὡς ἀμφὶ κρητῆρα τραπέζας τε πληθούσας
κείμεθ᾽ ἐνὶ μεγάρωι, δάπεδον δ᾽ ἅπαν αἵματι θῦεν.
οἰκτροτάτην δ᾽ ἤκουσα ὄπα Πριάμοιο θυγατρὸς,
Κασσάνδρης, τὴν κτεῖνε Κλυταιμήστρη δολόμητις
ἀμφ᾽ ἐμοί· αὐτὰρ ἐγὼ ποτὶ γαίῃ χεῖρας ἀείρων
βάλλον ἀποθνῄσκων περὶ φασγάνωι· ἡ δὲ κυνῶπις
νοσφίσατ᾽, οὐδέ μοι ἔτλη ἰόντι περ εἰς Ἀΐδαο
χερσὶ κατ᾽ ὀφθαλμοὺς ἑλέειν σύν τε στόμ᾽ ἐρεῖσαι.
ὣς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικὸς
ἥ_τις δὴ τοιαῦτα μετὰ φρεσὶν ἔργα βάληται·
οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικές,
κουριδίωι τεύξασα πόσει φόνον. ἦ_τοι ἔφην γε
ἀσπάσιος παίδεσσιν ἰδὲ δμώεσσιν ἐμοῖσιν
οἴκαδ᾽ ἐλεύσεσθαι· ἡ δ᾽ ἔξοχα λύγρα_ἰδυῖα
οἷ τε κατ᾽ αἶσχος ἔχευε καὶ ἐσσομένῃσιν ὀπίσσω Men.
θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ᾽ εὐεργὸς ἔῃσιν." as Ag.
"τῶι νῦν μή_ποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι· **11.441**
μηδ᾽ οἱ μῦθον ἅπαντα πιφαυσκέμεν, ὅν κ᾽ εὖ εἰδῇς,
ἀλλὰ τὸ μὲν φάσθαι, τὸ δὲ καὶ κεκρυμμένον εἶναι.

ἀλλ’ οὐ σοί γ’, Ὀδυσεῦ, φόνος ἔσσεται ἔκ γε γυναικός·
λίην γὰρ πινυτή τε καὶ εὖ φρεσὶ μήδεα οἶδεν
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
ἦ μέν μιν νύμφην γε νέην κατελείπομεν ἡμεῖς
ἐρχόμενοι πόλεμόνδε· πάϊς δέ οἱ ἦν ἐπὶ μαζῶι
νήπιος, ὅς που νῦν γε μετ’ ἀνδρῶν ἵζει ἀριθμῶι,
ὄλβιος· ἦ γὰρ τόν γε πατὴρ φίλος ὄψεται ἐλθὼν,
καὶ κεῖνος πατέρα προσπτύξεται, ἣ θέμις ἐστίν.
ἡ δ’ ἐμὴ οὐδέ περ υἷος ἐνιπλησθῆναι ἄκοιτις
ὀφθαλμοῖσιν ἔασε· πάρος δέ με πέφνε καὶ αὐτόν.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
κρύβδην, μηδ’ ἀναφανδὰ, φίλην ἐς πατρίδα γαῖαν
νῆα κατισχέμεναι· ἐπεὶ οὐκέτι πιστὰ γυναιξίν.
ἀλλ’ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Men. εἴ που ἔτι ζώοντος ἀκούετε παιδὸς ἐμοῖο,
as Ag. ἤ που ἐν Ὀρχομενῶι, ἢ ἐν Πύλωι ἠμαθόεντι
ἤ που πὰρ Μενελάωι ἐνὶ Σπάρτηι εὐρείηι·
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀρέστης.”
24.36 “ὄλβιε Πηλέος υἱὲ, θεοῖς ἐπιείκελ’ Ἀχιλλεῦ,
ὃς θάνες ἐν Τροίηι ἑκὰς Ἄργεος· ἀμφὶ δέ σ’ ἄλλοι
κτείνοντο Τρώων καὶ Ἀχαιῶν υἷες ἄριστοι,
μαρνάμενοι περὶ σεῖο· σὺ δ’ ἐν στροφάλιγγι κονίης
κεῖσο μέγας μεγαλωστὶ, λελασμένος ἱπποσυνάων.
ἡμεῖς δὲ πρόπαν ἦμαρ ἐμαρνάμεθ’· οὐδέ κε πάμπαν
παυσάμεθα πτολέμου, εἰ μὴ Ζεὺς λαίλαπι παῦσεν.
αὐτὰρ ἐπεί σ’ ἐπὶ νῆας ἐνείκαμεν ἐκ πολέμοιο,
κάτθεμεν ἐν λεχέεσσι, καθήραντες χρόα καλὸν
ὕδατί τε λιαρῶι καὶ ἀλείφατι· πολλὰ δέ σ’ ἀμφὶς
δάκρυα θερμὰ χέον Δαναοὶ κείροντό τε χαίτας.
μήτηρ δ’ ἐξ ἁλὸς ἦλθε σὺν ἀθανάτῃς ἁλίῃσιν
◆ ἀγγελίης ἀΐουσα· βοὴ δ’ ἐπὶ πόντον ὀρώρει
θεσπεσίη, ὑπὸ δὲ τρόμος ἔλλαβε πάντας Ἀχαιούς·
καί νύ κ’ ἀναΐξαντες ἔβαν κοίλας ἐπὶ νῆας,
εἰ μὴ ἀνὴρ κατέρυκε παλαιά τε πολλά τε εἰδὼς,
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
ὅ σφιν ἐΰ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
‘ἴσχεσθ’, Ἀργεῖοι, μὴ φεύγετε, κοῦροι Ἀχαιῶν·
μήτηρ ἐξ ἁλὸς ἥδε σὺν ἀθανάτῃς ἁλίῃσιν
ἔρχεται, οὗ παιδὸς τεθνηότος ἀντιόωσα.’
ὣς ἔφαθ’, οἱ δ’ ἔσχοντο φόβου μεγάθυμοι Ἀχαιοί·
ἀμφὶ δέ σ’ ἔστησαν κοῦραι ἁλίοιο γέροντος
οἴκτρ’ ὀλοφυρόμεναι, περὶ δ’ ἄμβροτα εἵματα ἕσσαν.
Μοῦσαι δ’ ἐννέα πᾶσαι ἀμειβόμεναι ὀπὶ καλῆι
θρήνεον· ἔνθά κεν οὔ τιν’ ἀδάκρυτόν γ’ ἐνόησας
Ἀργείων· τοῖον γὰρ ἐπώρορε Μοῦσα λίγεια.
ἑπτὰ τε καὶ δέκα μέν σε ὁμῶς νύκτας τε καὶ ἦμαρ
κλαίομεν ἀθάνατοί τε θεοὶ θνητοί τ’ ἄνθρωποι·
ὀκτωκαιδεκάτηι δ’ ἔδομεν πυρὶ, πολλὰ δέ σ’ ἀμφὶς
μῆλα κατεκτάνομεν μάλα πίονα καὶ ἕλικας βοῦς.
καίεο δ’ ἔν τ’ ἐσθῆτι θεῶν καὶ ἀλείφατι πολλῶι
καὶ μέλιτι γλυκερῶι· πολλοὶ δ’ ἥρωες Ἀχαιοὶ
τεύχεσιν ἐρρώσαντο πυρὴν πέρι καιομένοιο,
πεζοί θ’ ἱππῆές τε· πολὺς δ’ ὀρυμαγδὸς ὀρώρει.
αὐτὰρ ἐπεὶ δή σε φλὸξ ἤνυσεν Ἡφαίστοιο,
ἠῶθεν δή τοι λέγομεν λεύκ’ ὀστέ’, Ἀχιλλεῦ,
οἴνωι ἐν ἀκρήτωι καὶ ἀλείφατι· δῶκε δὲ μήτηρ
χρύσεον ἀμφιφορῆα· Διωνύσοιο δὲ δῶρον
φάσκ’ ἔμεναι, ἔργον δὲ περικλυτοῦ Ἡφαίστοιο.
ἐν τῶι τοι κεῖται λεύκ’ ὀστέα, φαίδιμ’ Ἀχιλλεῦ,
μίγδα δὲ Πατρόκλοιο Μενοιτιάδαο θανόντος,
χωρὶς δ’ Ἀντιλόχοιο, τὸν ἔξοχα τῖες ἁπάντων
τῶν ἄλλων ἑτάρων μετὰ Πάτροκλόν γε θανόντα.
ἀμφ’ αὐτοῖσι δ’ ἔπειτα μέγαν καὶ ἀμύμονα τύμβον
χεύαμεν Ἀργείων ἱερὸς στρατὸς αἰχμητάων,
ἀκτῆι ἔπι προὐχούσηι, ἐπὶ πλατεῖ Ἑλλησπόντωι,
ὥς κεν τηλεφανὴς ἐκ ποντόφιν ἀνδράσιν εἴη
τοῖς οἳ νῦν γεγάασι καὶ οἳ μετόπισθεν ἔσονται.
μήτηρ δ’ αἰτήσασα θεοὺς περικαλλέ’ ἄεθλα
θῆκε μέσωι ἐν ἀγῶνι ἀριστήεσσιν Ἀχαιῶν·
ἤδη μὲν πολέων τάφωι ἀνδρῶν ἀντεβόλησας
ἡρώων, ὅτε κέν ποτ’ ἀποφθιμένου βασιλῆος
ζώννυνταί τε νέοι καὶ ἐπεντύνωνται ἄεθλα·
ἀλλά κε κεῖνα μάλιστα ἰδὼν θηήσαο θυμῶι,
οἷ’ ἐπὶ σοὶ κατέθηκε θεὰ περικαλλέ’ ἄεθλα,
ἀργυρόπεζα Θέτις· μάλα γὰρ φίλος ἦσθα θεοῖσιν.
ὣς σὺ μὲν οὐδὲ θανὼν ὄνομ’ ὤλεσας, ἀλλά τοι αἰεὶ
πάντας ἐπ’ ἀνθρώπους κλέος ἔσσεται ἐσθλὸν, Ἀχιλλεῦ,
αὐτὰρ ἐμοὶ τί τόδ’ ἦδος, ἐπεὶ πόλεμον τολύπευσα;
ἐν νόστωι γάρ μοι Ζεὺς μήσατο λυγρὸν ὄλεθρον Men.
Αἰγίσθου ὑπὸ χερσὶ καὶ οὐλομένης ἀλόχοιο.” as Ag.
“Ἀμφίμεδον, τί παθόντες ἐρεμνὴν γαῖαν ἔδυτε 24.106
πάντες κεκριμένοι καὶ ὁμήλικες; οὐδέ κεν ἄλλως
κρινάμενος λέξαιτο κατὰ πτόλιν ἄνδρας ἀρίστους.
ἦ ὔμμ’ ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν,
ὄρσας ἀργαλέους ἀνέμους καὶ κύματα μακρά;
ἦ που ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ’ ἐπὶ χέρσου
βοῦς περιταμνομένους ἠδ’ οἰῶν πώεα καλὰ,
ἠὲ περὶ πτόλιος μαχεούμενοι ἠδὲ γυναικῶν;
εἰπέ μοι εἰρομένωι· ξεῖνος δέ τοι εὔχομαι εἶναι.
ἦ οὐ μέμνηι ὅτε κεῖσε κατήλυθον ὑμέτερον δῶ,
ὀτρυνέων Ὀδυσῆα σὺν ἀντιθέωι Μενελάωι
Ἴλιον εἰς ἅμ’ ἕπεσθαι ἐϋσσέλμων ἐπὶ νηῶν;
μηνὶ δ’ ἄρ’ οὔλωι πάντα περήσαμεν εὐρέα πόντον, Men.
σπουδῆι παρπεπιθόντες Ὀδυσσῆα πτολίπορθον.” as Ag.
“ὄλβιε Λαέρταο πάϊ, πολυμήχαν’ Ὀδυσσεῦ, 24.192
ἦ ἄρα σὺν μεγάληι ἀρετῆι ἐκτήσω ἄκοιτιν.
ὡς ἀγαθαὶ φρένες ἦσαν ἀμύμονι Πηνελοπείηι,
κούρηι Ἰκαρίου· ὡς εὖ μέμνητ’ Ὀδυσῆος,
ἀνδρὸς κουριδίου· τῶι οἱ κλέος οὔ ποτ’ ὀλεῖται
ἧς ἀρετῆς, τεύξουσι δ’ ἐπιχθονίοισιν ἀοιδὴν

ἀθάνατοι χαρίεσσαν ἐχέφρονι Πηνελοπείηι,
οὐχ ὡς Τυνδαρέου κούρη κακὰ μήσατο ἔργα,
κουρίδιον κτείνασα πόσιν, στυγερὴ δέ τ' ἀοιδὴ
Men. ἔσσετ' ἐπ' ἀνθρώπους, χαλεπὴν δέ τε φῆμιν ὀπάσσε<u>ν</u>
as Ag. θηλυτέρηισι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔησιν."

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 8 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES

OF

MENESTHEUS

IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

12.343 “ἔρχεο, δῖε Θοῶτα, θέων Αἴαντε κάλεσσον,
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ’ ὄχ’ ἄριστον ἁπάντων
εἴη, ἐπεὶ τάχα τῇδε τετεύξεται αἰπὺς ὄλεθρος.
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἳ τὸ πάρος περ
ζαχρηεῖς τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
Mene- εἰ δέ σφιν καὶ κεῖθι πόνος καὶ νεῖκος ὄρωρεν,
stheus ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας,
καί οἱ Τεῦκρος ἅμ’ ἑσπέσθω τόξων εὖ εἰδώς.”

12.343 “ἔρχεο, δῖε Θοῶτα, θέων Αἴαντε κάλεσσον,
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ’ ὄχ’ ἄριστον ἁπάντων
εἴη, ἐπεὶ τάχα τῇδε τετεύξεται αἰπὺς ὄλεθρος.
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἳ τὸ πάρος περ
ζαχρηεῖς τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
εἰ δέ σφιν καὶ κεῖθι πόνος καὶ νεῖκος ὄρωρεν, Mene-
ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας, stheus
καί οἱ Τεῦκρος ἅμ’ ἑσπέσθω τόξων εὖ εἰδώς.”

12.343 “ἔρχεο, δῖε Θοῶτα, θέων Αἴαντε κάλεσσον,
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ’ ὄχ’ ἄριστον ἁπάντων
εἴη, ἐπεὶ τάχα τῇδε τετεύξεται αἰπὺς ὄλεθρος.
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἳ τὸ πάρος περ
ζαχρηεῖς τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
Mene- εἰ δέ σφιν καὶ κεῖθι πόνος καὶ νεῖκος ὄρωρεν,
stheus ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας,
καί οἱ Τεῦκρος ἅμ’ ἑσπέσθω τόξων εὖ εἰδώς.”

“ἔρχεο, δῖε Θοῶτα, θέων Αἴαντε κάλεσσον, 12.343
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ’ ὄχ’ ἄριστον ἁπάντων
εἴη, ἐπεὶ τάχα τῇδε τετεύξεται αἰπὺς ὄλεθρος.
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἳ τὸ πάρος περ
ζαχρηεῖς τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
εἰ δέ σφιν καὶ κεῖθι πόνος καὶ νεῖκος ὄρωρεν, Mene-
ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας, stheus
καί οἱ Τεῦκρος ἅμ’ ἑσπέσθω τόξων εὖ εἰδώς.”

Meriones is a Greek warrior from Crete. His father, Molus, was a half-brother of Idonemaeus.

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 21 or 28 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF MERIONES IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

13.256 “Ἰδομενεῦ, Κρητῶν βουληφόρε χαλκοχιτώνων,
ἔρχομαι, εἴ τί τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται,
οἰσόμενος· τό νυ γὰρ κατεάξαμεν, ὃ πρὶν ἔχεσκον,
Meriones ἀσπίδα Δηϊφόβοιο βαλὼν ὑπερηνορέοντος.”
13.267 “καί τοι ἐμοὶ παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ
πόλλ’ ἔναρα Τρώων· ἀλλ’ οὐ σχεδόν ἐστιν ἑλέσθαι.
οὐδὲ γὰρ οὐδ’ ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆς,
ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν
ἵσταμαι, ὁππότε νεῖκος ὀρώρηται πολέμοιο.
ἄλλόν πού τινα μᾶλλον Ἀχαιῶν χαλκοχιτώνων
Meriones λήθω μαρνάμενος, σὲ δὲ ἴδμεναι αὐτὸν ὀΐω.”
13.307 “Δευκαλίδη, πῇ τ’ ἂρ μέμονας καταδῦναι ὅμιλον;
ἢ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἢ ἀνὰ μέσσους,
Meriones ἢ ἐπ’ ἀριστερόφιν; ἐπεὶ οὔ ποθι ἔλπομαι οὕτως
δευέσθαι πολέμοιο κάρη κομόωντας Ἀχαιούς.”
16.620 “Αἰνεία, χαλεπόν σε, καὶ ἴφθιμόν περ ἐόντα,
πάντων ἀνθρώπων σβέσσαι μένος, ὅς κέ σεῦ ἄντα
ἔλθῃ ἀμυνόμενος· θνητὸς δέ νυ καὶ σὺ τέτυξαι.
εἰ καὶ ἐγώ σε βάλοιμι τυχὼν μέσον ὀξέϊ χαλκῷι,
αἶψά κε καὶ κρατερός περ ἐὼν καὶ χερσὶ πεποιθὼς,
Meriones εὖχος ἐμοὶ δοίης, ψυχὴν δ’ Ἄϊδι κλυτοπώλωι.”
17.622 “μάστιε νῦν, εἵως κε θοὰς ἐπὶ νῆας ἵκηαι·
Meriones γιγνώσκεις δὲ καὶ αὐτός ὅ τ’ οὐκέτι κάρτος Ἀχαιῶν.”
23.483 “Αἶαν, νείκει ἄριστε, κακοφραδές, ἄλλα τε πάντα
δεύεαι Ἀργείων, ὅτι τοι νόος ἐστὶν ἀπηνής.
δεῦρό νυν, ἢ τρίποδος περιδώμεθα ἠὲ λέβητος·
Κρητῶν ἵστορα δ’ Ἀτρεΐδην Ἀγαμέμνονα θείομεν ἄμφω,
ἀγὸς ὁππότεραι πρόσθ’ ἵπποι, ἵνα γνώῃς ἀποτίνων.”

23.483 ff is more likely spoken by Idomenaeus.

Notes

Notes

Greek elder warrior and royal advisor
Nestor of Gerenia was king of Pylos.

ALTERNATING: ILIAD ASCENDS FROM START; OD. DESCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 752 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF
NESTOR
IN **HOMER**

EPIC POEM
.ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.254 “ὢ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει.
ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες,
ἄλλοί τε Τρῶες μέγα κεν κεχαροίατο θυμῶι,
εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοιιν,
οἳ περὶ μὲν βουλὴν Δαναῶν, περὶ δ’ ἐστὲ μάχεσθαι.
ἀλλὰ πίθεσθ’· ἄμφω δὲ νεωτέρω ἐστὸν ἐμεῖο.
ἤδη γάρ ποτ’ ἐγὼ καὶ ἀρείοσιν ἠέ_περ ὑμῖν
ἀνδράσιν ὡμίλησα, καὶ οὔ_ποτέ μ’ οἵ_γ’ ἀθέριζον.
οὐ γάρ πω τοίους ἴδον ἀνέρας, οὐδὲ ἴδωμαι,
οἷον Πειρίθοόν τε Δρύαντά τε ποιμένα λαῶν
Καινέα τ’ Ἐξάδιόν τε καὶ ἀντίθεον Πολύφημον.
Θησέα τ’ Αἰγείδην ἐπιείκελον ἀθανάτοισιν.
κάρτιστοι δὴ κεῖνοι ἐπιχθονίων τράφον ἀνδρῶν·
κάρτιστοι μὲν ἔσαν καὶ καρτίστοις ἐμάχοντο,
Φηρσὶν ὀρεσκῴοισι, καὶ ἐκπάγλως ἀπόλεσσαν.
καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον ἐκ Πύλου ἐλθὼν,
τηλόθεν ἐξ ἀπίης γαίης· καλέσαντο γὰρ αὐτοί.
καὶ μαχόμην κατ’ ἔμ’ αὐτὸν ἐγώ· κείνοισι δ’ ἂν οὔ_τις
τῶν οἳ νῦν βροτοί εἰσιν ἐπιχθόνιοι μαχέοιτο.
καὶ μέν μευ βουλέων ξύνιεν πείθοντό τε μύθωι.
ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον·
μήτε σὺ τόνδ’ ἀγαθός περ ἐὼν ἀποαίρεο κούρην,
ἀλλ’ ἔα, ὥς οἱ πρῶτα δόσαν γέρας υἷες Ἀχαιῶν·
μήτε σύ, Πηλείδη, ἔθελ’ ἐριζέμεναι βασιλῆϊ
ἀντιβίην, ἐπεὶ οὔ_ποθ’ ὁμοίης ἔμμορε τιμῆς
σκηπτοῦχος βασιλεύς, ὧι_τε Ζεὺς κῦδος ἔδωκεν.
εἰ δὲ σὺ καρτερός ἐσσι, θεὰ δέ σε γείνατο μήτηρ,
ἀλλ’ ὅδε φέρτερός ἐστιν, ἐπεὶ πλεόνεσσιν ἀνάσσει.
Ἀτρείδη, σὺ δὲ παῦε τεὸν μένος· αὐτὰρ ἐγώ_γε
λίσσομ’ Ἀχιλλῆϊ μεθέμεν χόλον, ὃς μέγα πᾶσιν
Nestor ἕρκος Ἀχαιοῖσιν πέλεται πολέμοιο κακοῖο.”
3.475 “παῖδες ἐμοί, ἄγε Τηλεμάχωι καλλίτριχας ἵππους
ζεύξαθ’ ὑφ’ ἅρματ’ ἄγοντες, ἵνα πρήσσησιν ὁδοῖο.”
2.79 “ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
εἴ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἔνισπεν,
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·
νῦν δ’ ἴδεν ὃς μέγ’ ἄριστος Ἀχαιῶν εὔχεται εἶναι.
Nestor ἀλλ’ ἄγετ’, αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.”
3.418 “καρπαλίμως μοι, τέκνα φίλα, κρηήνατ’ ἐέλδωρ,
ὄφρ’ ἤτοι πρώτιστα θεῶν ἱλάσωμεθ’ Ἀθήνην,
ἥ μοι ἐναργὴς ἦλθε θεοῦ ἐς δαῖτα θάλειαν.
ἀλλ’ ἄγ’ ὁ μὲν πεδίονδ’ ἐπὶ βοῦν ἴτω, ὄφρα τάχιστα
ἔλθησιν, ἐλάσηι δὲ βοῶν ἐπιβουκόλος ἀνήρ·
εἷς δ’ ἐπὶ Τηλεμάχου μεγαθύμου νῆα μέλαιναν
πάντας ἰὼν ἑτάρους ἀγέτω, λιπέτω δὲ δύ’ οἴους·
εἷς δ’ αὖ χρυσοχόον Λαέρκεα δεῦρο κελέσθω
ἐλθεῖν, ὄφρα βοὸς χρυσὸν κέρασιν περιχεύηι.
οἱ δ’ ἄλλοι μένετ’ αὐτοῦ ἀολλέες, εἴπετε δ’ εἴσω
δμωιῇσιν κατὰ δώματ’ ἀγακλυτὰ δαῖτα πένεσθαι,
ἕδρας τε ξύλα τ’ ἀμφὶ καὶ ἀγλαὸν οἰσέμεν ὕδωρ.”

“ὢ πόποι, ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε 2.337
νηπιάχοις, οἷς οὔ_τι μέλει πολεμήϊα ἔργα.
πῆι δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμῖν;
ἐν πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ’ ἀνδρῶν,
σπονδαί τ’ ἄκρητοι καὶ δεξιαί, ᾗς ἐπέπιθμεν·
αὔτως γὰρ ἐπέεσσ’ ἐριδαίνομεν, οὐδέ τι μῆχος
εὑρέμεναι δυνάμεσθα, πολὺν χρόνον ἐνθάδ’ ἐόντες.
Ἀτρείδη, σὺ δ’ ἔθ’ ὡς πρὶν ἔχων ἀστεμφέα βουλὴν
ἄρχευ’ Ἀργείοισι κατὰ κρατερὰς ὑσμίνας,
τούσδε δ’ ἔα φθινύθειν, ἕνα καὶ δύο, τοί κεν Ἀχαιῶν
νόσφιν βουλεύωσ’ — ἄνυσις δ’ οὐκ ἔσσεται αὐτῶν —
πρὶν Ἄργοσδ’ ἰέναι, πρὶν καὶ Διὸς αἰγιόχοιο
γνώμεναι εἴτε ψεῦδος ὑπόσχεσις, ἠὲ καὶ οὐκί.
φῆμι γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα
ἤματι τῶι, ὅτε νηυσὶν ἐν ὠκυπόροισιν ἔβαινον
Ἀργεῖοι Τρώεσσι φόνον καὶ κῆρα φέροντες,
ἀστράπτων ἐπὶ δεξί’, ἐναίσιμα σήματα φαίνων.
τῶι μή τις πρὶν ἐπειγέσθω οἶκόνδε νέεσθαι,
πρίν τινα πὰρ Τρώων ἀλόχωι κατακοιμηθῆναι,
τείσασθαι δ’ Ἑλένης ὁρμήματά τε στοναχάς τε.
εἰ δέ τις ἐκπάγλως ἐθέλει οἶκόνδε νέεσθαι,
ἁπτέσθω ἧς νηὸς ἐϋσσέλμοιο μελαίνης,
ὄφρα πρόσθ’ ἄλλων θάνατον καὶ πότμον ἐπίσπηι.
ἀλλά, ἄναξ, αὐτός τ’ εὖ μήδεο πείθεό τ’ ἄλλωι·
οὔ_τοι ἀπόβλητον ἔπος ἔσσεται, ὅττι κεν εἴπω·
κρῖν’ ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον,
ὡς φρήτρη φρήτρηφιν ἀρήγηι, φῦλα δὲ φύλοις.
εἰ δέ κεν ὣς ἔρξηις καί τοι πείθωνται Ἀχαιοί,
γνώσηι ἔπειθ’ ὅς θ’ ἡγεμόνων κακὸς ὅς τέ νυ λαῶν
ἠδ’ ὅς κ’ ἐσθλὸς ἔηισι· κατὰ σφέας γὰρ μαχέονται·
γνώσεαι δ’ εἰ καὶ θεσπεσίηι πόλιν οὐκ ἀλαπάξεις,
ἢ ἀνδρῶν κακότητι καὶ ἀφραδίηι πολέμοιο.” Nestor
“ὦ φίλος, οὔ σε ἔολπα κακὸν καὶ ἄναλκιν ἔσεσθαι, 3.375
εἰ δή τοι νέωι ὧδε θεοὶ πομπῆες ἕπονται.
οὐ μὲν γάρ τις ὅδ’ ἄλλος Ὀλύμπια δώματ’ ἐχόντων,
ἀλλὰ Διὸς θυγάτηρ, ἀγελείη Τριτογένεια, v.l. κυδίστη
ἥ τοι καὶ πατέρ’ ἐσθλὸν ἐν Ἀργείοισιν ἐτίμα.
ἀλλά, ἄνασσ’, ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλόν,
αὐτῶι καὶ παίδεσσι καὶ αἰδοίηι παρακοίτι·
σοὶ δ’ αὖ ἐγὼ ῥέξω βοῦν ἦνιν εὐρυμέτωπον,
ἀδμήτην, ἣν οὔ_πω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ·
τήν τοι ἐγὼ ῥέξω, χρυσὸν κέρασιν περιχεύας.” Nestor
“Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον, 2.434
μηκέτι νῦν δήθ’ αὖθι λεγώμεθα, μηδ’ ἔτι δηρὸν
ἀμβαλλώμεθα ἔργον, ὃ δὴ θεὸς ἐγγυαλίζει.
ἀλλ’ ἄγε, κήρυκες μὲν Ἀχαιῶν χαλκοχιτώνων
λαὸν κηρύσσοντες ἀγειρόντων κατὰ νῆας,
ἡμεῖς δ’ ἀθρόοι ὧδε κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν Nestor
ἴομεν, ὄφρα κε θᾶσσον ἐγείρομεν ὀξὺν Ἄρηα.”
“Ζεὺς τό γ’ ἀλεξήσειε καὶ ἀθάνατοι θεοὶ ἄλλοι, 3.346

ὡς ὑμεῖς παρ' ἐμεῖο θοὴν ἐπὶ νῆα κίοιτε
ὥς_τέ τε_ ἢ παρὰ πάμπαν ἀνείμονος ἠὲ πενιχροῦ,
ὧι οὔ_τι χλαῖναι καὶ ῥήγεα πόλλ' ἐνὶ οἴκωι,
οὔτ' αὐτῶι μαλακῶς οὔτε ξείνοισιν ἐνεύδειν.
αὐτὰρ ἐμοὶ πάρα μὲν χλαῖναι καὶ ῥήγεα καλά·
οὔ θην δὴ τοῦδ' ἀνδρὸς Ὀδυσσῆος φίλος υἱός
νηὸς ἐπ' ἰκριόφιν καταλέξεται, ὄφρ' ἂν ἐγώ_γε
ζώω, ἔπειτα δὲ παῖδες ἐνὶ μεγάροισι λίπωνται
Nestor ξείνους ξεινίζειν, ὅς τίς κ' ἐμὰ δώμαθ' ἵκηται."
4.318 "Ἀτρείδη, μάλα μέν κεν ἐγὼν ἐθέλοιμι καὶ αὐτὸς
ὣς ἔμεν ὡς ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν.
ἀλλ' οὔ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν·
εἰ τότε κοῦρος ἔα, νῦν αὖτέ με γῆρας ὀπάζει.
ἀλλὰ καὶ ὣς ἱππεῦσι μετέσσομαι ἠδὲ κελεύσω
βουλῆι καὶ μύθοισι· τὸ γὰρ γέρας ἐστὶ γερόντων.
αἰχμὰς δ' αἰχμάσσουσι νεώτεροι, οἵ_περ ἐμεῖο
Nestor ὁπλότεροι γεγάασι πεποίθασίν τε βίηφιν."
3.254 "τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω.
ἤτοι μὲν τόδε καὐτὸς ὀΐεαι, ὥς κεν ἐτύχθη,
εἰ ζώον_γ' Αἴγισθον ἐνὶ μεγάροισιν ἔτετμεν
Ἀτρείδης Τροίηθεν ἰών, ξανθὸς Μενέλαος·
τῶι κέ οἱ οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν,
ἀλλ' ἄρα τόν_γε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν
κείμενον ἐν πεδίωι ἑκὰς ἄστεος, οὐδέ κέ τίς μιν
κλαῦσεν Ἀχαιϊάδων· μάλα γὰρ μέγα μήσατο ἔργον.
ἡμεῖς μὲν γὰρ κεῖθι πολέας τελέοντες ἀέθλους
ἥμεθ'· ὁ δ' εὔκηλος μυχῶι Ἄργεος ἱπποβότοιο
πόλλ' Ἀγαμεμνονέην ἄλοχον θέλγεσκ' ἐπέεσσιν.
ἡ δ' ἤτοι τὸ πρὶν μὲν ἀναίνετο ἔργον ἀεικὲς,
δῖα Κλυταιμήστρη· φρεσὶ γὰρ κέχρητ' ἀγαθῆισιν.
πὰρ δ' ἄρ' ἔην καὶ ἀοιδὸς ἀνὴρ, ὧι πόλλ' ἐπέτελλεν
Ἀτρείδης Τροίηνδε κιὼν εἴρυσθαι ἄκοιτιν.
ἀλλ' ὅτε δή μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι,
δὴ τότε τὸν μὲν ἀοιδὸν ἄγων ἐς νῆσον ἐρήμην
κάλλιπεν οἰωνοῖσιν ἕλωρ καὶ κύρμα γενέσθαι,
τὴν δ' ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅνδε δόμονδε.
πολλὰ δὲ μηρί' ἔκηε θεῶν ἱεροῖς ἐπὶ βωμοῖς,
πολλὰ δ' ἀγάλματ' ἀνῆψεν, ὑφάσματά τε χρυσόν τε,
ἐκτελέσας μέγα ἔργον, ὃ οὔ_ποτε ἔλπετο θυμῶι.
ἡμεῖς μὲν γὰρ ἅμα πλέομεν Τροίηθεν ἰόντες,
Ἀτρείδης καὶ ἐγὼ, φίλα εἰδότες ἀλλήλοισιν·
ἀλλ' ὅτε Σούνιον ἱρὸν ἀφικόμεθ', ἄκρον Ἀθηνέων,
ἔνθα κυβερνήτην Μενελάου Φοῖβος Ἀπόλλων
οἷς ἀγανοῖσι βέλεσσιν ἐποιχόμενος κατέπεφνεν,
πηδάλιον μετὰ χερσὶ θεούσης νηὸς ἔχοντα,
Φρόντιν Ὀνητορίδην, ὃς ἐκαίνυτο φῦλ' ἀνθρώπων
νῆα κυβερνῆσαι, ὁπότε σπέρχοιεν ἄελλαι.
ὣς ὁ μὲν ἔνθα κατέσχετ', ἐπειγόμενός περ ὁδοῖο,
ὄφρ' ἕταρον θάπτοι καὶ ἐπὶ κτέρεα κτερίσειεν.
ἀλλ' ὅτε δὴ καὶ κεῖνος ἰὼν ἐπὶ οἴνοπα πόντον
ἐν νηυσὶ γλαφυρῆισι Μαλειάων ὄρος αἰπὺ
ἷξε θέων, τότε δὴ στυγερὴν ὁδὸν εὐρύοπα Ζεὺς
ἐφράσατο, λιγέων δ' ἀνέμων ἐπ' ἀϋτμένα χεῦεν
κύματά τε τροφόεντα πελώρια, ἶσα ὄρεσσιν.
ἔνθα διατμήξας τὰς μὲν Κρήτηι ἐπέλασσεν,
ἧχι Κύδωνες ἔναιον Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
ἔστι δέ τις λισσὴ αἰπεῖά τε εἰς ἅλα πέτρη
ἐσχατιῆι Γόρτυνος, ἐν ἠεροειδέϊ πόντωι·
ἔνθα Νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ,
ἐς Φαιστὸν, μικρὸς δὲ λίθος μέγα κῦμ' ἀποέργει.
αἱ μὲν ἄρ' ἔνθ' ἦλθον, σπουδῆι δ' ἤλυξαν ὄλεθρον
ἄνδρες, ἀτὰρ νῆάς γε ποτὶ σπιλάδεσσιν ἔαξαν
κύματ'· ἀτὰρ τὰς πέντε νέας κυανοπρωιρείους
Αἰγύπτωι ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ.
ὣς ὁ μὲν ἔνθα πολὺν βίοτον καὶ χρυσὸν ἀγείρων
ἠλᾶτο ξὺν νηυσὶ κατ' ἀλλοθρόους ἀνθρώπους·
τόφρα δὲ ταῦτ' Αἴγισθος ἐμήσατο οἴκοθι λυγρὰ,
κτείνας Ἀτρείδην, δέδμητο δὲ λαὸς ὑπ' αὐτῶι.
ἑπτάετες δ' ἤνασσε πολυχρύσοιο Μυκήνης,
τῶι δέ οἱ ὀγδοάτωι κακὸν ἤλυθε δῖος Ὀρέστης
ἂψ ἀπ' Ἀθηνάων, κατὰ δ' ἔκτανε πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὅ οἱ πατέρα κλυτὸν ἔκτα.
ἤτοι ὁ τὸν κτείνας δαίνυ τάφον Ἀργείοισιν
μητρός τε στυγερῆς καὶ ἀνάλκιδος Αἰγίσθοιο·
αὐτῆμαρ δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος,
πολλὰ κτήματ' ἄγων, ὅσα οἱ νέες ἄχθος ἄειραν.
καὶ σύ, φίλος, μὴ δηθὰ δόμων ἄπο τῆλ' ἀλάλησο,
κτήματά τε προλιπὼν ἄνδράς τ' ἐν σοῖσι δόμοισιν
οὕτω ὑπερφιάλους, μή τοι κατὰ πάντα φάγωσιν
κτήματα δασσάμενοι, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθηις.
ἀλλ' ἐς μὲν Μενέλαον ἐγὼ κέλομαι καὶ ἄνωγα
ἐλθεῖν· κεῖνος γὰρ νέον ἄλλοθεν εἰλήλουθεν,
ἐκ τῶν ἀνθρώπων ὅθεν οὐκ ἔλποιτό γε θυμῶι
ἐλθέμεν, ὅν_τινα πρῶτον ἀποσφήλωσιν ἄελλαι
ἐς πέλαγος μέγα τοῖον, ὅθεν τέ περ οὐδ' οἰωνοὶ
αὐτόετες οἰχνεῦσιν, ἐπεὶ μέγα τε δεινόν τε.
ἀλλ' ἴθι νῦν σὺν νηΐ τε σῆι καὶ σοῖς ἑτάροισιν·
εἰ δ' ἐθέλεις πεζὸς, πάρα τοι δίφρος τε καὶ ἵπποι,
πὰρ δέ τοι υἷες ἐμοὶ, οἵ τοι πομπῆες ἔσονται
ἐς Λακεδαίμονα δῖαν, ὅθι ξανθὸς Μενέλαος.
λίσσεσθαι δέ μιν αὐτὸς, ἵνα νημερτὲς ἐνίσπηι·
ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστίν." **Nestor**
"ὦ φίλοι ἥρωες Δαναοὶ, θεράποντες Ἄρηος, **6.67**
μή τις νῦν ἐνάρων ἐπιβαλλόμενος μετόπισθεν
μιμνέτω, ὥς κεν πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται,
ἀλλ' ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ ἕκηλοι
νεκροὺς ἂμ πεδίον συλήσετε τεθνηῶτας." **Nestor**
"ὦ φίλ', ἐπεὶ δὴ ταῦτά μ' ἀνέμνησας καὶ ἔειπες, **3.211**
φασὶ μνηστῆρας σῆς μητέρος εἵνεκα πολλοὺς
ἐν μεγάροις, ἀέκητι σέθεν, κακὰ μηχανάασθαι.

εἰπέ μοι ἠὲ ἑκὼν ὑποδάμνασαι, ἦ σέ‿γε λαοὶ
ἐχθαίρουσ' ἀνὰ δῆμον, ἐπισπόμενοι θεοῦ ὀμφῆι.
τίς δ' οἶδ', εἴ κέ ποτέ σφι βίας ἀποτείσεται ἐλθὼν,
ἤ‿ ὅ‿γε μοῦνος ἐὼν, ἢ καὶ σύμπαντες Ἀχαιοί;
εἰ γάρ σ' ὣς ἐθέλοι φιλέειν γλαυκῶπις Ἀθήνη
ὡς τότ' Ὀδυσσῆος περικήδετο κυδαλίμοιο
δήμωι ἔνι Τρώων, ὅθι πάσχομεν ἄλγε' Ἀχαιοί —
οὐ γάρ πω ἴδον ὧδε θεοὺς ἀναφανδὰ φιλεῦντας,
ὡς κείνωι ἀναφανδὰ παρίστατο Παλλὰς Ἀθήνη —
εἴ σ' οὕτως ἐθέλοι φιλέειν κήδοιτό τε θυμῶι,
τῶι κέν τις κείνων γε καὶ ἐκλελάθοιτο γάμοιο."

Nestor 7.124

"ὢ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει,
ἦ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα Πηλεὺς,
ἐσθλὸς Μυρμιδόνων βουληφόρος ἠδ' ἀγορητὴς,
ὅς ποτέ μ' εἰρόμενος μέγ' ἐγήθεεν ὧι ἐνὶ οἴκωι,
πάντων Ἀργείων ἐρέων γενεήν τε τόκον τε.
τοὺς νῦν εἰ πτώσσοντας ὑφ' Ἕκτορι πάντας ἀκούσαι,
πολλά κεν ἀθανάτοισι φίλας ἀνὰ χεῖρας ἀείραι,
θυμὸν ἀπὸ μελέων δῦναι δόμον Ἄϊδος εἴσω.
αἲ γὰρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
ἡβῶιμ' ὡς ὅτ' ἐπ' ὠκυρόωι Κελάδοντι μάχοντο
ἀγρόμενοι Πύλιοί τε καὶ Ἀρκάδες ἐγχεσίμωροι,
Φειᾶς πὰρ τείχεσσιν, Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
τοῖσι δ' Ἐρευθαλίων πρόμος ἵστατο, ἰσόθεος φὼς,
τεύχε' ἔχων ὤμοισιν Ἀρηϊθόοιο ἄνακτος,
δίου Ἀρηϊθόου, τὸν ἐπίκλησιν Κορυνήτην
ἄνδρες κίκλησκον καλλίζωνοί τε γυναῖκες,
οὕνεκ' ἄρ' οὐ τόξοισι μαχέσκετο δουρί τε μακρῶι,
ἀλλὰ σιδηρείηι κορύνηι ῥήγνυσκε φάλαγγας.
τὸν Λυκόοργος ἔπεφνε δόλωι, οὔ‿τι κράτεΐ γε,
στεινωπῶι ἐν ὁδῶι, ὅθ' ἄρ' οὐ κορύνη οἱ ὄλεθρον
χραῖσμε σιδηρείη· πριν γὰρ Λυκόοργος ὑποφθὰς
δουρὶ μέσον περόνησεν, ὁ δ' ὕπτιος οὔδει ἐρείσθη·
τεύχεα δ' ἐξενάριξε, τά οἱ πόρε χάλκεος Ἄρης,
καὶ τὰ μὲν αὐτὸς ἔπειτ' ἐφόρει μετὰ μῶλον Ἄρηος.
αὐτὰρ ἐπεὶ Λυκόοργος ἐνὶ μεγάροισιν ἐγήρα,
δῶκε δ' Ἐρευθαλίωνι, φίλωι θεράποντι, φορῆναι·
τοῦ ὅ‿γε τεύχε' ἔχων προκαλίζετο πάντας ἀρίστους.
οἱ δὲ μάλ' ἐτρόμεον καὶ ἐδείδισαν οὐδέ τις ἔτλη·
ἀλλ' ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμων πολεμίζειν
θάρσεϊ ὧι· γενεῆι δὲ νεώτατος ἔσκον ἁπάντων·
καὶ μαχόμην οἱ ἐγὼ, δῶκεν δέ μοι εὖχος Ἀθήνη.
τὸν δὴ μήκιστον καὶ κάρτιστον κτάνον ἄνδρα·
πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα.
εἶθ' ὣς ἡβώοιμι, βίη δέ μοι ἔμπεδος εἴη·
τῶι κε τάχ' ἀντήσειε μάχης κορυθαιόλος Ἕκτωρ.
ὑμέων δ' οἵ‿περ ἔασιν ἀριστῆες Παναχαιῶν,
οὐδ' οἱ προφρονέως μέμαθ' Ἕκτορος ἀντίον ἐλθεῖν."

Nestor 3.103

"ὦ φίλ', ἐπεί μ' ἔμνησας ὀϊζύος, ἣν ἐν ἐκείνωι
δήμωι ἀνέτλημεν μένος ἄσχετοι υἷες Ἀχαιῶν,
ἠμὲν ὅσα ξὺν νηυσὶν ἐπ' ἠεροειδέα πόντον
πλαζόμενοι κατὰ ληΐδ', ὅπηι ἄρξειεν Ἀχιλλεὺς,
ἠδ' ὅσα καὶ περὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος
μαρνάμεθ'· ἔνθα δ' ἔπειτα κατέκταθεν ὅσσοι ἄριστοι.
ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ' Ἀχιλλεὺς,
ἔνθα δὲ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος,
ἔνθα δ' ἐμὸς φίλος υἱὸς, ἅμα κρατερὸς καὶ ἀμύμων,
Ἀντίλοχος, περὶ μὲν θείειν ταχὺς ἠδὲ μαχητής·
ἄλλα τε πόλλ' ἐπὶ τοῖς πάθομεν κακά· τίς κεν ἐκεῖνα
πάντα γε μυθήσαιτο καταθνητῶν ἀνθρώπων;
οὐδ' εἰ πεντάετές γε καὶ ἑξάετες παραμίμνων
ἐξερέοις ὅσα κεῖθι πάθον κακὰ δῖοι Ἀχαιοί·
πρίν κεν ἀνιηθεὶς σὴν πατρίδα γαῖαν ἵκοιο.
εἰνάετες γάρ σφιν κακὰ ῥάπτομεν ἀμφιέποντες
παντοίοισι δόλοισι, μόγις δ' ἐτέλεσσε Κρονίων.
ἔνθ' οὔ‿τίς ποτε μῆτιν ὁμοιωθήμεναι ἄντην
ἤθελ', ἐπεὶ μάλα πολλὸν ἐνίκα δῖος Ὀδυσσεὺς
παντοίοισι δόλοισι, πατὴρ τεὸς, εἰ ἐτεόν γε
κείνου ἔκγονός ἐσσι· σέβας μ' ἔχει εἰσορόωντα.
ἤτοι γὰρ μῦθοί γε ἐοικότες, οὐδέ κε φαίης
ἄνδρα νεώτερον ὧδε ἐοικότα μυθήσασθαι.
ἔνθ' ἤτοι εἷως μὲν ἐγὼ καὶ δῖος Ὀδυσσεὺς
οὔτε ποτ' εἰν ἀγορῆι δίχ' ἐβάζομεν οὔτ' ἐνὶ βουλῆι,
ἀλλ' ἕνα θυμὸν ἔχοντε νόωι καὶ ἐπίφρονι βουλῆι
φραζόμεθ' Ἀργείοισιν ὅπως ὄχ' ἄριστα γένοιτο.
αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπὴν,
βῆμεν δ' ἐν νήεσσι, θεὸς δ' ἐκέδασσεν Ἀχαιοὺς,
καὶ τότε δὴ Ζεὺς λυγρὸν ἐνὶ φρεσὶ μήδετο νόστον
Ἀργείοις, ἐπεὶ οὔ‿τι νοήμονες οὐδὲ δίκαιοι
πάντες ἔσαν· τῶι σφεων πολέες κακὸν οἶτον ἐπέσπον
μήνιος ἒξ ὀλοῆς Γλαυκώπιδος ὀβριμοπάτρης,
ἥ‿τ' ἔριν Ἀτρείδηισι μετ' ἀμφοτέροισιν ἔθηκεν.
τὼ δὲ καλεσσαμένω ἀγορήν ἒς πάντας Ἀχαιοὺς,
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐς ἠέλιον καταδύντα —
οἱ δ' ἦλθον οἴνωι βεβαρηότες υἷες Ἀχαιῶν —
μῦθον μυθείσθην, τοῦ εἵνεκα λαὸν ἄγειραν.
ἔνθ' ἤτοι Μενέλαος ἀνώγει πάντας Ἀχαιοὺς
νόστου μιμνήσκεσθαι ἐπ' εὐρέα νῶτα θαλάσσης,
οὐδ' Ἀγαμέμνονι πάμπαν ἑήνδανε· βούλετο γάρ ῥα
λαὸν ἐρυκακέειν, ῥέξαι θ' ἱερὰς ἑκατόμβας,
ὡς τὸν Ἀθηναίης δεινὸν χόλον ἐξακέσαιτο,
νήπιος, οὐδὲ τὸ ἤιδε', ὃ οὐ πείσεσθαι ἔμελλεν·
οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων.
ὣς τὼ μὲν χαλεποῖσιν ἀμειβομένω ἐπέεσσιν
ἕστασαν· οἱ δ' ἀνόρουσαν ἐϋκνήμιδες Ἀχαιοὶ
ἠχῆι θεσπεσίηι, δίχα δέ σφισιν ἥνδανε βουλή.
νύκτα μὲν ἀέσαμεν χαλεπὰ φρεσὶν ὁρμαίνοντες
ἀλλήλοις· ἐπὶ γὰρ Ζεὺς ἤρτυε πῆμα κακοῖο·
ἠῶθεν δ' οἱ μὲν νέας ἕλκομεν εἰς ἅλα δῖαν
κτήματά τ' ἐντιθέμεσθα βαθυζώνους τε γυναῖκας·

ἡμίσεες δ’ ἄρα λαοὶ ἐρητύοντο μένοντες
αὖθι παρ’ Ἀτρεΐδηι Ἀγαμέμνονι, ποιμένι λαῶν·
ἡμίσεες δ’ ἀναβάντες ἐλαύνομεν. αἱ δὲ μάλ’ ὦκα
ἔπλεον, ἐστόρεσεν δὲ θεὸς μεγακήτεα πόντον.
ἐς Τένεδον δ’ ἐλθόντες ἐρέξαμεν ἱρὰ θεοῖσιν,
οἴκαδε ἱέμενοι· Ζεὺς δ’ οὔ_πω μήδετο νόστον,
σχέτλιος, ὅς ῥ’ ἔριν ὦρσε κακὴν ἔπι δεύτερον αὖτις.
οἱ μὲν ἀποστρέψαντες ἔβαν νέας ἀμφιελίσσας
ἀμφ’ Ὀδυσῆα ἄνακτα δαΐφρονα, ποικιλομήτην,
αὖτις ἐπ’ Ἀτρεΐδηι Ἀγαμέμνονι ἦρα φέροντες·
αὐτὰρ ἐγὼ σὺν νηυσὶν ἀολλέσιν, αἵ μοι ἕποντο,
φεῦγον, ἐπεὶ γίγνωσκον ὃ δὴ κακὰ μήδετο δαίμων.
φεῦγε δὲ Τυδέος υἱὸς ἀρήϊος, ὦρσε δ’ ἑταίρους.
ὀψὲ δὲ δὴ μετὰ νῶϊ κίε ξανθὸς Μενέλαος,
ἐν Λέσβωι δ’ ἔκιχεν δολιχὸν πλόον ὁρμαίνοντας,
ἢ καθύπερθε Χίοιο νεοίμεθα παιπαλοέσσης
νήσου ἔπι Ψυρίης, αὐτὴν ἐπ’ ἀριστέρ’ ἔχοντες,
ἢ ὑπένερθε Χίοιο, παρ’ ἠνεμόεντα Μίμαντα.
ᾐτέομεν δὲ θεὸν φῆναι τέρας· αὐτὰρ ὅ_γ’ ἡμῖν
δεῖξε, καὶ ἠνώγει πέλαγος μέσον εἰς Εὔβοιαν
τέμνειν, ὄφρα τάχιστα ὑπεκ κακότητα φύγοιμεν.
ὦρτο δ’ ἐπὶ λιγὺς οὖρος ἀήμεναι· αἱ δὲ μάλ’ ὦκα
ἰχθυόεντα κέλευθα διέδραμον, ἐς δὲ Γεραιστὸν
ἐννύχιαι κατάγοντο· Ποσειδάωνι δὲ ταύρων
πόλλ’ ἐπὶ μῆρ’ ἔθεμεν, πέλαγος μέγα μετρήσαντες.
τέτρατον ἦμαρ ἔην, ὅτ’ ἐν Ἄργει νῆας ἐΐσας
Τυδεΐδεω ἕταροι Διομήδεος ἱπποδάμοιο
ἕστασαν· αὐτὰρ ἐγώ_γε Πύλονδ’ ἔχον, οὐδέ ποτ’ ἔσβη
οὖρος, ἐπεὶ_δὴ πρῶτα θεὸς προέηκεν ἀῆναι.
ὣς ἦλθον, φίλε τέκνον, ἀπευθής, οὐδέ τι οἶδα
κείνων, οἵ τ’ ἐσάωθεν Ἀχαιῶν οἵ τ’ ἀπόλοντο.
ὅσσα δ’ ἐνὶ μεγάροισι καθήμενος ἡμετέροισιν
πεύθομαι, ἣ θέμις ἐστί, δαήσεαι, οὐδέ σε κεύσω.
εὖ μὲν Μυρμιδόνας φάσ’ ἐλθέμεν ἐγχεσιμώρους,
οὓς ἄγ’ Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱός,
εὖ δὲ Φιλοκτήτην, Ποιάντιον ἀγλαὸν υἱόν·
πάντας δ’ Ἰδομενεὺς Κρήτην εἰσήγαγ’ ἑταίρους,
οἳ φύγον ἐκ πολέμου, πόντος δέ οἱ οὔ_τιν’ ἀπηύρα.
Ἀτρεΐδην δὲ καὶ αὐτοὶ ἀκούετε νόσφιν ἐόντες,
ὥς τ’ ἦλθ’ ὥς τ’ Αἴγισθος ἐμήσατο λυγρὸν ὄλεθρον.
ἀλλ’ ἤτοι κεῖνος μὲν ἐπισμυγερῶς ἀπέτεισεν·
ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι
ἀνδρός, ἐπεὶ καὶ κεῖνος ἐτείσατο πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὅ οἱ πατέρα κλυτὸν ἔκτα.
Nestor καὶ σύ, φίλος — μάλα γάρ σ’ ὁρόω καλόν τε μέγαν τε —
ἄλκιμος ἔσσ’, ἵνα τίς σε καὶ ὀψιγόνων ἐῢ εἴπηι.”
7.171 “κλήρωι νῦν πεπάλαχθε διαμπερές, ὅς κε λάχησιν·
οὗτος γὰρ δὴ ὀνήσει ἐϋκνήμιδας Ἀχαιούς·
καὶ δ’ αὐτὸς ὃν θυμὸν ὀνήσεται, αἴ κε φύγησιν
δηΐου ἐκ πολέμοιο καὶ αἰνῆς δηϊοτῆτος.”

“νῦν δὴ κάλλιόν ἐστι μεταλλῆσαι καὶ ἐρέσθαι **3.69**
ξείνους, οἵ_τινες εἰσιν, ἐπεὶ τάρπησαν ἐδωδῆς.
ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ’ ὑγρὰ κέλευθα;
ἤ τι κατὰ πρῆξιν ἢ μαψιδίως ἀλάλησθε,
οἷά τε ληϊστῆρες, ὑπεὶρ ἅλα, τοί_τ’ ἀλόωνται
ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες;” **Nestor**
“Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν, **7.327**
πολλοὶ γὰρ τεθνᾶσι κάρη_κομόωντες Ἀχαιοί,
τῶν νῦν αἷμα κελαινὸν ἐΰρροον ἀμφὶ Σκάμανδρον
ἐσκέδασ’ ὀξὺς Ἄρης, ψυχαὶ δ’ Ἄϊδόσδε κατῆλθον·
τῶι σε χρὴ πόλεμον μὲν ἅμ’ ἠοῖ παῦσαι Ἀχαιῶν,
αὐτοὶ δ’ ἀγρόμενοι κυκλήσομεν ἐνθάδε νεκροὺς ◆
βουσὶ καὶ ἡμιόνοισιν· ἀτὰρ κατακείομεν αὐτοὺς
τυτθὸν ἄποπρο νεῶν, ὥς κ’ ὀστέα παισὶν ἕκαστος
οἴκαδ’ ἄγηι, ὅτ’ ἂν αὖτε νεώμεθα πατρίδα γαῖαν.
τύμβον τ’ ἀμφὶ πύρην ἕνα χεύομεν ἐξαγαγόντες
ἄκριτον ἐκ πεδίου· ποτὶ δ’ αὐτὸν δείμομεν ὦκα
πύργους ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν.
ἐν δ’ αὐτοῖσι πύλας ποιήσομεν εὖ ἀραρυίας,
ὄφρα δι’ αὐτάων ἱππηλασίη ὁδὸς εἴη·
ἔκτοσθεν δὲ βαθεῖαν ὀρύξομεν ἐγγύθι τάφρον,
ἥ χ’ ἵππον καὶ λαὸν ἐρυκάκοι ἀμφὶς ἐοῦσα,
μή ποτ’ ἐπιβρίσηι πόλεμος Τρώων ἀγερώχων.” **Nestor**
“Τυδεΐδη, ἄγε δὴ αὖτε φόβονδ’ ἔχε μώνυχας ἵππους. **8.139**
ἦ οὐ γιγνώσκεις ὅ τοι ἐκ Διὸς οὐχ ἕπετ’ ἀλκή;
νῦν μὲν γὰρ τούτωι Κρονίδης Ζεὺς κῦδος ὀπάζει,
σήμερον· ὕστερον αὖτε καὶ ἡμῖν, αἴ κ’ ἐθέλησιν,
δώσει· ἀνὴρ δέ κεν οὔ_τι Διὸς νόον εἰρύσσαιτο,
οὐδὲ μάλ’ ἴφθιμος, ἔπειτα πολὺ φέρτερός ἐστιν.” **Nestor**
“ὤμοι, Τυδέος υἱὲ δαΐφρονος, οἷον ἔειπες. **8.152**
εἴ_περ γάρ σ’ Ἕκτωρ γε κακὸν καὶ ἀνάλκιδα φήσει,
ἀλλ’ οὐ πείσονται Τρῶες καὶ Δαρδανίωνες
καὶ Τρώων ἄλοχοι μεγαθύμων ἀσπιστάων,
τοίων ἐν κονίηισι βάλες θαλεροὺς παρακοίτας.” **Nestor**
“Τυδεΐδη, περὶ μὲν πολέμωι ἔνι καρτερός ἐσσι, **9.53**
καὶ βουλῆι μετὰ πάντας ὁμήλικας ἔπλε’ ἄριστος·
οὔ_τίς τοι τὸν μῦθον ὀνόσσεται, ὅσσοι Ἀχαιοί,
οὐδὲ πάλιν ἐρέει· ἀτὰρ οὐ τέλος ἵκεο μύθων.
ἦ μὲν καὶ νέος ἐσσί, ἐμὸς δέ κε καὶ πάϊς εἴης
ὁπλότατος γενεῆφιν· ἀτὰρ πεπνυμένα βάζεις
Ἀργείων βασιλῆας, ἐπεὶ κατὰ μοῖραν ἔειπες.
ἀλλ’ ἄγ’ ἐγών, ὃς σεῖο γεραίτερος εὔχομαι εἶναι,
ἐξείπω καὶ πάντα διίξομαι. οὐδέ κέ τίς μοι
μῦθον ἀτιμήσει, οὐδὲ κρείων Ἀγαμέμνων.
ἀφρήτωρ ἀθέμιστος ἀνέστιός ἐστιν ἐκεῖνος
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.
ἀλλ’ ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνηι
δόρπα τ’ ἐφοπλισόμεσθα· φυλακτῆρες δὲ ἕκαστοι
λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.
κούροισιν μὲν ταῦτ’ ἐπιτέλλομαι· αὐτὰρ ἔπειτα,

Ἀτρεΐδη, σὺ μὲν ἄρχε· σὺ γὰρ βασιλεύτατός ἐσσι.
δαίνυ δαῖτα γέρουσιν· ἔοικέ τοι, οὔ_τοι ἀεικές.
πλεῖαί τοι οἴνου κλισίαι, τὸν νῆες Ἀχαιῶν
ἠμάτιαι Θρῄκηθεν ἐπ' εὐρέα πόντον ἄγουσιν·
πᾶσά τοί ἐσθ' ὑποδεξίη, πολέεσσι δ' ἀνάσσεις.
πολλῶν δ' ἀγρομένων τῶι πείσεαι ὅς κεν ἀρίστην
βουλὴν βουλεύσηι· μάλα δὲ χρεὼ πάντας Ἀχαιοὺς
ἐσθλῆς καὶ πυκινῆς, ὅτι δήϊοι ἐγγύθι νηῶν
καίουσιν πυρὰ πολλά· τις ἂν τάδε γηθήσειεν;
νὺξ δ' ἥδ' ἠὲ διαρραίσει στρατὸν ἠὲ σαώσει."

Nestor
9.96 "Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι, οὕνεκα πολλῶν
λαῶν ἐσσι ἄναξ, καί τοι Ζεὺς ἐγγυάλιξεν
σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφισι βουλεύηισθα.
τῶι σε χρὴ πέρι μὲν φάσθαι ἔπος ἠδ' ἐπακοῦσαι,
κρηῆναι δὲ καὶ ἄλλωι, ὅτ' ἄν τινα θυμὸς ἀνώγηι
εἰπεῖν εἰς ἀγαθόν· σέο δ' ἕξεται ὅττί κεν ἄρχηι.
αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
οὐ γάρ τις νόον ἄλλος ἀμείνονα τοῦδε νοήσει,
οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι ἠδ' ἔτι καὶ νῦν,
ἐξ_ἔτι τοῦ ὅτε, διογενές, Βρισηΐδα κούρην
χωομένου Ἀχιλῆος ἔβης κλισίηθεν ἀπούρας,
οὔ_τι καθ' ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἐγώ_γε
πόλλ' ἀπεμυθεόμην· σὺ δὲ σῶι μεγαλήτορι θυμῶι
εἴξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν,
ἠτίμησας· ἑλὼν γὰρ ἔχεις γέρας. ἀλλ' ἔτι καὶ νῦν
φραζώμεσθ', ὥς κέν μιν ἀρεσσάμενοι πεπίθοιμεν
δώροισίν τ' ἀγανοῖσιν ἔπεσσί τε μειλιχίοισιν."

Nestor ✦
9.163 "Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
δῶρα μὲν οὐκέτ' ὀνοστὰ διδοῖς Ἀχιλῆϊ ἄνακτι·
ἀλλ' ἄγετε, κλητοὺς ὀτρύνομεν, οἵ κε τάχιστα
ἔλθωσ' ἐς κλισίην Πηληϊάδεω Ἀχιλῆος.
εἰ δ' ἄγε, τοὺς ἂν ἐγὼν ἐπιόψομαι, οἱ δὲ πιθέσθων.
Φοῖνιξ μὲν πρώτιστα διίφιλος ἡγησάσθω,
αὐτὰρ ἔπειτ' Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς·
κηρύκων δ' Ὀδίος τε καὶ Εὐρυβάτης ἅμ' ἑπέσθων.
φέρτε δὲ χερσὶν ὕδωρ, εὐφημῆσαί τε κέλεσθε,
ὄφρα Διὶ Κρονίδηι ἀρησόμεθ', αἴ κ' ἐλεήσηι."

Nestor
10.82 "τίς δ' οὗτος κατὰ νῆας ἀνὰ στρατὸν ἔρχεαι οἶος
νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι;
ἠέ τιν' οὐρήων διζήμενος, ἤ τιν' ἑταίρων;
φθέγγεο, μηδ' ἀκέων ἐπ' ἔμ' ἔρχεο· τίπτε δέ σε χρεώ;"

Nestor
10.103 "Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
οὔ θην Ἕκτορι πάντα νοήματα μητίετα Ζεὺς
ἐκτελέει, ὅσα πού νυν ἐέλπεται· ἀλλά μιν οἴω
κήδεσι μοχθήσειν καὶ πλείοσιν, εἴ κεν Ἀχιλλεὺς
ἐκ χόλου ἀργαλέοιο μεταστρέψηι φίλον ἦτορ.
σοὶ δὲ μάλ' ἕψομ' ἐγώ· ποτὶ δ' αὖ καὶ ἐγείρομεν ἄλλους,
ἠμὲν Τυδεΐδην δουρικλυτὸν ἠδ' Ὀδυσῆα
ἠδ' Αἴαντα ταχὺν καὶ Φυλέος ἄλκιμον υἱόν.
ἀλλ' εἴ τις καὶ τούσδε μετοιχόμενος καλέσειεν,
ἀντίθεόν τ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα·
τῶν γὰρ νῆες ἔασιν ἑκαστάτω, οὐδὲ μάλ' ἐγγύς.
ἀλλὰ φίλον περ ἐόντα καὶ αἰδοῖον Μενέλαον
νεικέσω, εἴ_πέρ μοι νεμεσήσεαι, οὐδ' ἐπικεύσω,
ὡς εὕδει, σοὶ δ' οἴωι ἐπέτρεψεν πονέεσθαι.
νῦν ὄφελεν κατὰ πάντας ἀριστῆας πονέεσθαι
λισσόμενος· χρειὼ γὰρ ἱκάνεται οὐκέτ' ἀνεκτός."

Nestor ✦
10.129 "οὕτως οὔ_τις οἱ νεμεσήσεται οὐδ' ἀπιθήσει
Ἀργείων, ὅτε κέν τιν' ἐποτρύνηι καὶ ἀνώγηι."

10.144 "διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ,
μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς.
ἀλλ' ἕπευ, ὄφρα καὶ ἄλλον ἐγείρομεν, ὅν_τ' ἐπέοικεν
βουλὰς βουλεύειν, ἢ φευγέμεν ἠὲ μάχεσθαι."

Nestor
10.159 "ἔγρεο, Τυδέος υἱέ· τί πάννυχον ὕπνον ἀωτεῖς;
οὐκ ἀΐεις, ὡς Τρῶες ἐπὶ θρωσμῶι πεδίοιο
εἵαται ἄγχι νεῶν, ὀλίγος δ' ἔτι χῶρος ἐρύκει;"

Nestor
10.169 "ναὶ δὴ ταῦτά γε πάντα, φίλος, κατὰ μοῖραν ἔειπες·
εἰσὶν μέν μοι παῖδες ἀμύμονες, εἰσὶ δὲ λαοὶ
καὶ πολέες, τῶν κέν τις ἐποιχόμενος καλέσειεν·
ἀλλὰ μάλα μεγάλη χρειὼ βεβίηκεν Ἀχαιούς.
νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς,
ἢ μάλα λυγρὸς ὄλεθρος Ἀχαιοῖς, ἠὲ βιῶναι.
ἀλλ' ἴθι νῦν, Αἴαντα ταχὺν καὶ Φυλέος υἱὸν
ἄνστησον — σὺ γάρ ἐσσι νεώτερος — εἴ μ' ἐλεαίρεις."

Nestor
10.192 "οὕτω νῦν, φίλα τέκνα, φυλάσσετε· μηδέ τιν' ὕπνος
αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσιν."

Nestor
10.204 "ὦ φίλοι, οὐκ ἂν δή τις ἀνὴρ πεπίθοιθ' ἑῶι αὐτοῦ
θυμῶι τολμήεντι, μετὰ Τρῶας μεγαθύμους
ἐλθεῖν; εἴ τινά που δηΐων ἕλοι ἐσχατόωντα,
ἤ τινά που καὶ φῆμιν ἐνὶ Τρώεσσι πύθοιτο,
ἅσσα τε μητιόωσι μετὰ σφίσιν, ἢ μεμάασιν
αὖθι μένειν παρὰ νηυσὶν ἀπόπροθεν, ἠὲ πόλινδε
ἂψ ἀναχωρήσουσιν, ἐπεὶ δαμάσαντό γ' Ἀχαιούς.
ταῦτά τε πάντα πύθοιτο, καὶ ἂψ εἰς ἡμέας ἔλθοι
ἀσκηθής· μέγα κέν οἱ ὑπουράνιον κλέος εἴη
πάντας ἐπ' ἀνθρώπους, καί οἱ δόσις ἔσσεται ἐσθλή·
ὅσσοι γὰρ νήεσσιν ἐπικρατέουσιν ἄριστοι,
τῶν πάντων οἱ ἕκαστος ὄϊν δώσουσι μέλαιναν,
θῆλυν ὑπόρρηνον· τῆι μὲν κτέρας οὐδὲν ὁμοῖον,
αἰεὶ δ' ἐν δαίτηισι καὶ εἰλαπίνηισι παρέσται."

Nestor
10.533 "ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
ψεύσομαι, ἦ ἔτυμον ἐρέω; κέλεται δέ με θυμός.
ἵππων μ' ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει.
αἲ γὰρ δὴ Ὀδυσεύς τε καὶ ὁ κρατερὸς Διομήδης
ὧδ' ἄφαρ ἐκ Τρώων ἐλασαίατο μώνυχας ἵππους.
ἀλλ' αἰνῶς δείδοικα κατὰ φρένα μή τι πάθωσιν
Ἀργείων οἱ ἄριστοι ὑπὸ Τρώων ὀρυμαγδοῦ."

Nestor
10.544 "εἴπ' ἄγε μ', ὦ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
ὅππως τούσδ' ἵππους λάβετον· καταδύντες ὅμιλον

Τρώων; ἦ τίς σφωε πόρεν θεὸς ἀντιβολήσας;
αἰνῶς ἀκτίνεσσιν ἐοικότες ἠελίοιο.
αἰεὶ μὲν Τρώεσσ' ἐπιμίσγομαι, οὐδέ τί φημι
μιμνάζειν παρὰ νηυσὶ, γέρων περ ἐὼν πολεμιστής·
ἀλλ' οὔ πω τοίους ἵππους ἴδον οὐδ' ἐνόησα.
ἀλλά τιν' ὔμμ' ὀΐω δόμεναι θεὸν ἀντιάσαντα·
ἀμφοτέρω γὰρ σφῶϊ φιλεῖ νεφεληγερέτα Ζεὺς
Nestor κούρη τ' αἰγιόχοιο Διός, γλαυκῶπις Ἀθήνη."
11.656 "τίπτε τ' ἄρ ὧδ' Ἀχιλεὺς ὀλοφύρεται υἷας Ἀχαιῶν,
ὅσσοι δὴ βέλεσιν βεβλήαται; οὐδέ τι οἶδεν
πένθεος, ὅσσον ὄρωρε κατὰ στρατόν· οἱ γὰρ ἄριστοι,
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε.
βέβληται μὲν ὁ Τυδεΐδης κρατερὸς Διομήδης,
οὔτασται δ' Ὀδυσεὺς δουρικλυτὸς ἠδ' Ἀγαμέμνων·
βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῶι·
τοῦτον δ' ἄλλον ἐγὼ νέον ἤγαγον ἐκ πολέμοιο,
ἰῶι ἀπὸ νευρῆς βεβλημένον· αὐτὰρ Ἀχιλλεὺς
ἐσθλὸς ἐὼν Δαναῶν οὐ κήδεται οὐδ' ἐλεαίρει.
ἦ μένει, εἰς ὅ κε δὴ νῆες θοαὶ ἄγχι θαλάσσης
Ἀργείων ἀέκητι πυρὸς δηΐοιο θέρωνται,
αὐτοί τε κτεινώμεθ' ἐπισχερώ; — οὐ γὰρ ἐμὴ ἲς
ἔσθ' οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν.
εἴθ' ὣς ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη,
ὡς ὁπότ' Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη
ἀμφὶ βοηλασίηι, ὅτ' ἐγὼ κτάνον Ἰτυμονῆα,
ἐσθλὸν Ὑπειροχίδην, ὃς ἐν Ἤλιδι ναιετάασκεν,
ῥύσι' ἐλαυνόμενος. ὁ δ' ἀμύνων ἧισι βόεσσιν
ἔβλητ' ἐν πρώτοισιν ἐμῆς ἀπὸ χειρὸς ἄκοντι,
κὰδ δ' ἔπεσεν, λαοὶ δὲ περίτρεσαν ἀγροιῶται.
ληΐδα δ' ἐκ πεδίου συνελάσσαμεν ἤλιθα πολλὴν,
πεντήκοντα βοῶν ἀγέλας, τόσα πώεα οἰῶν,
τόσσα συῶν συβόσεια, τόσ' αἰπόλια πλατέ' αἰγῶν,
ἵππους δὲ ξανθὰς **ἑκατὸν καὶ πεντήκοντα**,
πάσας θηλείας, πολλῆισι δὲ πῶλοι ὑπῆσαν.
καὶ τὰ μὲν ἠλασάμεσθα Πύλον Νηλήϊον εἴσω
ἐννύχιοι προτὶ ἄστυ· γεγήθει δὲ φρένα Νηλεὺς,
οὕνεκά μοι τύχε πολλὰ νέωι πόλεμόνδε κιόντι.
κήρυκες δ' ἐλίγαινον ἅμ' ἠοῖ φαινομένηφιν
τοὺς ἴμεν οἷσι χρεῖος ὀφείλετ' ἐν Ἤλιδι δίηι·
οἱ δὲ συναγρόμενοι Πυλίων ἡγήτορες ἄνδρες
δαίτρευον. πολέσιν γὰρ Ἐπειοὶ χρεῖος ὄφειλον,
ὡς ἡμεῖς παῦροι κεκακωμένοι ἐν Πύλωι ἦμεν·
ἐλθὼν γὰρ ἐκάκωσε βίη Ἡρακληείη
τῶν προτέρων ἐτέων, κατὰ δ' ἔκταθεν ὅσσοι ἄριστοι·
δώδεκα γὰρ Νηλῆος ἀμύμονος υἱέες ἦμεν·
τῶν οἶος λιπόμην, οἱ δ' ἄλλοι πάντες ὄλοντο·
ταῦθ' ὑπερηφανέοντες Ἐπειοὶ χαλκοχίτωνες,
ἡμέας ὑβρίζοντες ἀτάσθαλα μηχανόωντο.
ἐκ δ' ὁ γέρων ἀγέλην τε βοῶν καὶ πῶϋ μέγ' οἰῶν
εἵλετο, κρινάμενος τριηκόσι' ἠδὲ νομῆας.
καὶ γὰρ τῶι χρεῖος μέγ' ὀφείλετ' ἐν Ἤλιδι δίηι,
τέσσαρες ἀθλοφόροι ἵπποι αὐτοῖσιν ὄχεσφιν,
ἐλθόντες μετ' ἄεθλα· περὶ τρίποδος γὰρ ἔμελλον.
θεύσεσθαι· τοὺς δ' αὖθι ἄναξ ἀνδρῶν Αὐγείας
κάσχεθε, τὸν δ' ἐλατῆρ' ἀφίει ἀκαχήμενον ἵππων.
τῶν ὁ γέρων ἐπέων κεχολωμένος ἠδὲ καὶ ἔργων
ἐξέλετ' ἄσπετα πολλά· τὰ δ' ἄλλ' ἐς δῆμον ἔδωκεν
δαιτρεύειν, μή τίς οἱ ἀτεμβόμενος κίοι ἴσης.
ἡμεῖς μὲν τὰ ἕκαστα διείπομεν, ἀμφί τε ἄστυ
ἔρδομεν ἱρὰ θεοῖς· οἱ δὲ τρίτωι ἤματι πάντες
ἦλθον ὁμῶς αὐτοί τε πολεῖς καὶ μώνυχες ἵπποι,
πασσυδίηι· μετὰ δέ σφι Μολίονε θωρήσσοντο
παῖδ' ἔτ' ἐόντ', οὔ πω μάλα εἰδότε θούριδος ἀλκῆς.
ἔστι δέ τις Θρυόεσσα πόλις, αἰπεῖα κολώνη,
τηλοῦ ἐπ' Ἀλφειῶι, νεάτη Πύλου ἠμαθόεντος·
τὴν ἀμφεστρατόωντο, διαρραῖσαι μεμαῶτες.
ἀλλ' ὅτε πᾶν πεδίον μετεκίαθον, ἄμμι δ' Ἀθήνη
ἄγγελος ἦλθε θέουσ' ἀπ' Ὀλύμπου θωρήσσεσθαι
ἔννυχος, οὐδ' ἀέκοντα Πύλον κάτα λαὸν ἄγειρεν,
ἀλλὰ μάλ' ἐσσυμένους πολεμίζειν. οὐδ' ἐμὲ Νηλεὺς
εἴα θωρήσσεσθαι, ἀπέκρυψεν δέ μοι ἵππους·
οὐ γάρ πώ τί μ' ἔφη ἴδμεν πολεμήϊα ἔργα·
ἀλλὰ καὶ ὧς ἱππεῦσι μετέπρεπον ἡμετέροισιν,
καὶ πεζός περ ἐών, ἐπεὶ ὧς ἄγε νεῖκος Ἀθήνη.
ἔστι δέ τις ποταμὸς Μινυήϊος εἰς ἅλα βάλλων
ἐγγύθεν Ἀρήνης, ὅθι μείναμεν ἠῶ δῖαν
ἱππῆες Πυλίων, τὰ δ' ἐπέρρεον ἔθνεα πεζῶν.
ἔνθεν πασσυδίηι σὺν τεύχεσι θωρηχθέντες
ἔνδιοι ἱκόμεσθ' ἱερὸν ῥόον Ἀλφειοῖο.
ἔνθα Διὶ ῥέξαντες ὑπερμενεῖ ἱερὰ καλὰ,
ταῦρον δ' Ἀλφειῶι, ταῦρον δὲ Ποσειδάωνι,
αὐτὰρ Ἀθηναίηι γλαυκώπιδι βοῦν ἀγελαίην,
δόρπον ἔπειθ' ἑλόμεσθα κατὰ στρατὸν ἐν τελέεσσιν,
καὶ κατεκοιμήθημεν ἐν ἔντεσιν οἷσιν ἕκαστος
ἀμφὶ ῥοὰς ποταμοῖο· ἀτὰρ μεγάθυμοι Ἐπειοὶ
ἀμφίσταντο δὴ ἄστυ διαπραθέειν μεμαῶτες.
ἀλλά σφι προπάροιθε φάνη μέγα ἔργον Ἄρηος·
εὖτε γὰρ ἠέλιος φαέθων ὑπερέσχεθε γαίης,
συμφερόμεσθα μάχηι, Διί τ' εὐχόμενοι καὶ Ἀθήνηι.
ἀλλ' ὅτε δὴ Πυλίων καὶ Ἐπειῶν ἔπλετο νεῖκος,
πρῶτος ἐγὼν ἕλον ἄνδρα, κόμισσα δὲ μώνυχας ἵππους,
Μούλιον αἰχμητήν· γαμβρὸς δ' ἦν Αὐγείαο,
πρεσβυτάτην δὲ θύγατρ' εἶχε ξανθὴν Ἀγαμήδην,
ἣ τόσα φάρμακα εἴδη ὅσα τρέφει εὐρεῖα χθών.
τὸν μὲν ἐγὼ προσιόντα βάλον χαλκήρεϊ δουρὶ,
ἤριπε δ' ἐν κονίηισιν· ἐγὼ δ' ἐς δίφρον ὀρούσας
στῆν ῥα μετὰ προμάχοισιν· ἀτὰρ μεγάθυμοι Ἐπειοὶ
ἔτρεσαν ἄλλυδις ἄλλος, ἐπεὶ ἴδον ἄνδρα πεσόντα
ἡγεμόν' ἱππήων, ὃς ἀριστεύεσκε μάχεσθαι.
αὐτὰρ ἐγὼν ἐνόρουσα κελαινῆι λαίλαπι ἶσος,

πεντήκοντα δ’ ἕλον δίφρους, δύο δ ἀμφὶς ἕκαστον
φῶτες ὀδὰξ ἕλον οὖδας, ἐμῶι ὑπὸ δουρὶ δαμέντες.
καί νύ κεν Ἀκτορίωνε Μολίονε παῖδ’ ἀλάπαξα,
εἰ μή σφωε πατὴρ εὐρὺ κρείων Ἐνοσίχθων,
ἐκ πολέμου ἐσάωσε, καλύψας ἠέρι πολλῆι.
ἔνθα Ζεὺς Πυλίοισι μέγα κράτος ἐγγυάλιξεν·
τόφρα γὰρ οὖν ἑπόμεσθα διὰ σπιδέος πεδίοιο,
κτείνοντές τ’ αὐτοὺς ἀνά τ’ ἔντεα καλὰ λέγοντες,
ὄφρ’ ἐπὶ Βουπρασίου πολυπύρου βήσαμεν ἵππους
πέτρης τ’ Ὠλενίης, καὶ Ἀλησίου ἔνθα κολώνη
κέκληται· ὅθεν αὖτις ἀπέτραπε λαὸν Ἀθήνη.
ἔνθ’ ἄνδρα κτείνας πύματον λίπον· αὐτὰρ Ἀχαιοὶ
ἂψ ἀπὸ Βουπρασίοιο Πύλονδ’ ἔχον ὠκέας ἵππους,
πάντες δ’ ηὐχετόωντο θεῶν Διὶ Νέστορί τ’ ἀνδρῶν.
ὣς ἔον, εἴ ποτ’ ἔην γε, μετ’ ἀνδράσιν. αὐτὰρ Ἀχιλλεὺς
οἶος ἧς ἀρετῆς ἀπονήσεται· ἦ τέ μιν οἴω
πολλὰ μετακλαύσεσθαι, ἐπεί κ’ ἀπὸ λαὸς ὄληται.
ὦ πέπον, ἦ μὲν σοί γε Μενοίτιος ὧδ’ ἐπέτελλεν
ἤματι τῶι ὅτε σ’ ἐκ Φθίης Ἀγαμέμνονι πέμπεν.
νῶϊ δὲ ἔνδον ἐόντες, ἐγὼ καὶ δῖος Ὀδυσσεὺς,
πάντα μάλ’ ἐν μεγάροις ἠκούομεν ὡς ἐπέτελλεν.
Πηλῆος δ’ ἱκόμεσθα δόμους εὖ ναιετάοντας
λαὸν ἀγείροντες κατ’ Ἀχαιΐδα πουλυβότειραν.
ἔνθα δ’ ἔπειθ’ ἥρωα Μενοίτιον ηὕρομεν ἔνδον
ἠδὲ σὲ, πὰρ δ’ Ἀχιλῆα· γέρων δ’ ἱππηλάτα Πηλεὺς
πίονα μηρί’ ἔκαιε βοὸς Διὶ τερπικεραύνωι
αὐλῆς ἐν χόρτωι· ἔχε δὲ χρύσειον ἄλεισον,
σπένδων αἴθοπα οἶνον ἐπ’ αἰθομένοις ἱεροῖσιν·
σφῶϊ μὲν ἀμφὶ βοὸς ἕπετον κρέα, νῶϊ δ’ ἔπειτα
στῆμεν ἐνὶ προθύροισι· ταφὼν δ’ ἀνόρουσεν Ἀχιλλεὺς,
ἐς δ’ ἄγε χειρὸς ἑλὼν, κατὰ δ’ ἑδριάασθαι ἄνωγεν,
ξείνιά τ’ εὖ παρέθηκεν, ἅ τε ξείνοις θέμις ἐστίν·
αὐτὰρ ἐπει τάρπημεν ἐδητύος ἠδὲ ποτῆτος,
ἦρχον ἐγὼ μύθοιο, κελεύων ὔμμ’ ἅμ’ ἕπεσθαι·
σφὼ δὲ μάλ’ ἠθέλετον, τὼδ’ ἄμφω πόλλ’ ἐπέτελλον.
Πηλεὺς μὲν ὧι παιδὶ γέρων ἐπέτελλ’ Ἀχιλῆϊ
αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων·
σοὶ δ’ αὖθ’ ὧδ’ ἐπέτελλε Μενοίτιος Ἄκτορος υἱός·
‘τέκνον ἐμὸν, γενεῆι μὲν ὑπέρτερός ἐστιν Ἀχιλλεὺς,
πρεσβύτερος δὲ σύ ἐσσι· βίηι δ’ ὅ γε πολλὸν ἀμείνων.
ἀλλ’ εὖ οἱ φάσθαι πυκινὸν ἔπος ἠδ’ ὑποθέσθαι
καί οἱ σημαίνειν· ὁ δὲ πείσεται εἰς ἀγαθόν περ.’
ὣς ἐπέτελλ’ ὁ γέρων, σὺ δὲ λήθεαι. ἀλλ’ ἔτι καὶ νῦν
ταῦτ’ εἴποις Ἀχιλῆϊ δαΐφρονι, αἴ κε πίθηται.
τίς δ’ οἶδ’ εἴ κέν οἱ σὺν δαίμονι θυμὸν ὀρίναις
παρειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου.
εἰ δέ τινα φρεσὶν ἧισι θεοπροπίην ἀλεείνει
καί τινά οἱ πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
ἀλλὰ σέ περ προέτω, ἅμα δ’ ἄλλος λαὸς ἑπέσθω
Μυρμιδόνων, αἴ κέν τι φόως Δαναοῖσι γένηαι·
καί τοι τεύχεα καλὰ δότω πόλεμόνδε φέρεσθαι,
αἴ κέ σε τῶι ἴσκοντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ’ Ἀρήϊοι υἷες Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ’ ἀνάπνευσις πολέμοιο.
ῥεῖα δέ κ’ ἀκμῆτες κεκμηότας ἄνδρας ἀϋτῆι
ὤσαισθε προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.” Nestor
“φράζεο, δῖε Μαχᾶον, ὅπως ἔσται τάδε ἔργα· 14.3
μέζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αἴθοπα οἶνον,
εἰς ὅ κε θερμὰ λοετρὰ ἐϋπλόκαμος Ἑκαμήδη
θερμήνηι καὶ λούσηι ἄπο βρότον αἱματόεντα·
αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι ἐς περιωπήν.” Nestor
“ἦ δὴ ταῦτά γ’ ἑτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλως 14.53
Ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο.
τεῖχος μὲν γὰρ δὴ κατερήριπεν, ὧι ἐπέπιθμεν
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·
οἱ δ’ ἐπὶ νηυσὶ θοῆισι μάχην ἀλίαστον ἔχουσιν
νωλεμές· οὐδ’ ἂν ἔτι γνοίης, μάλα περ σκοπιάζων,
ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται·
ὣς ἐπιμὶξ κτείνονται, ἀϋτὴ δ’ οὐρανὸν ἵκει.
ἡμεῖς δὲ φραζώμεθ’ ὅπως ἔσται τάδε ἔργα,
εἴ τι νόος ῥέξει· πόλεμον δ’ οὐκ ἄμμε κελεύω
δύμεναι· οὐ γάρ πως βεβλημένον ἔστι μάχεσθαι.” Nestor
“Ζεῦ πάτερ, εἴ ποτέ τίς τοι ἐν Ἄργεϊ περ πολυπύρωι 15.372
ἢ βοὸς τ’ ὄϊος κατὰ πίονα μηρία καίων
ηὔχετο νοστῆσαι, σὺ δ’ ὑπέσχεο καὶ κατένευσας,
τῶν μνῆσαι, καὶ ἄμυνον, Ὀλύμπιε, νηλεὲς ἦμαρ,
μηδ’ οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς.” Nestor
“ὦ φίλοι, ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ’ ἐνὶ θυμῶι 15.661
ἄλλων ἀνθρώπων, ἐπὶ δὲ μνήσασθε ἕκαστος
παίδων ἠδ’ ἀλόχων καὶ κτήσιος ἠδὲ τοκήων,
ἠμὲν ὅτεωι ζώουσι καὶ ὧι κατατεθνήκασιν·
τῶν ὕπερ ἐνθάδ’ ἐγὼ γουνάζομαι οὐ παρεόντων
ἑστάμεναι κρατερῶς· μηδὲ τρωπᾶσθε φόβονδε.” Nestor
“Ἀντίλοχ’, ἤτοι μέν σε, νέον περ ἐόντ’, ἐφίλησαν 23.306
Ζεύς τε Ποσειδάων τε, καὶ ἱπποσύνας ἐδίδαξαν
παντοίας· τῶι καί σε διδασκέμεν οὔ τι μάλα χρεώ·
οἶσθα γὰρ εὖ περὶ τέρμαθ’ ἑλισσέμεν· ἀλλά τοι ἵπποι
βάρδιστοι θείειν· τῶι τ’ οἴω λοίγι’ ἔσεσθαι.
τῶν δ’ ἵπποι μὲν ἔασιν ἀφάρτεροι, οὐδὲ μὲν αὐτοὶ
πλείονα ἴσασιν σέθεν αὐτοῦ μητίσασθαι.
ἀλλ’ ἄγε δὴ σύ, φίλος, μῆτιν ἐμβάλλεο θυμῶι
παντοίην, ἵνα μή σε παρεκπροφύγησιν ἄεθλα.
μήτι τοι δρυτόμος μέγ’ ἀμείνων ἠὲ βίηφι·
μήτι δ’ αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντωι
νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισιν·
μήτι δ’ ἡνίοχος περιγίγνεται ἡνιόχοιο.
ἀλλ’ ὃς μέν θ’ ἵπποισι καὶ ἅρμασιν οἷσι πεποιθὼς
ἀφραδέως ἐπὶ πολλὸν ἑλίσσεται ἔνθα καὶ ἔνθα,
ἵπποι δὲ πλανόωνται ἀνὰ δρόμον, οὐδὲ κατίσχει·

ὃς δέ κε κέρδεα εἴδηι ἐλαύνων ἥσσονας ἵππους,
αἰεὶ τέρμ' ὁρόων στρέφει ἐγγύθεν, οὐδέ ἑ λήθει
ὅππως τὸ πρῶτον τανύσηι βοέοισιν ἱμᾶσιν,
ἀλλ' ἔχει ἀσφαλέως καὶ τὸν προὔχοντα δοκεύει.
σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές, οὐδέ σε λήσει.
ἕστηκε ξύλον αὖον, ὅσον τ' ὄργυι', ὑπὲρ αἴης,
ἢ δρυὸς ἢ πεύκης. τὸ μὲν οὐ καταπύθεται ὄμβρωι,
λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκὼ
ἐν ξυνοχῆισιν ὁδοῦ, λεῖος δ' ἱππόδρομος ἀμφίς·
ἤ τευ σῆμα βροτοῖο πάλαι κατατεθνηῶτος,
ἢ τό γε νύσσα τέτυκτο ἐπὶ προτέρων ἀνθρώπων,
καὶ νῦν τέρματ' ἔθηκε ποδάρκης δῖος Ἀχιλλεύς.
τῶι σὺ μάλ' ἐγχρίμψας ἐλάαν σχεδὸν ἅρμα καὶ ἵππους,
αὐτὸς δὲ κλινθῆναι ἐϋπλέκτωι ἐνὶ δίφρωι
ἦκ' ἐπ' ἀριστερὰ τοῖιν· ἀτὰρ τὸν δεξιὸν ἵππον
κένσαι ὁμοκλήσας, εἶξαί τέ οἱ ἡνία χερσίν.
ἐν νύσσηι δέ τοι ἵππος ἀριστερὸς ἐγχριμφθήτω,
ὡς ἄν τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι
κύκλου ποιητοῖο· λίθου δ' ἀλέασθαι ἐπαυρεῖν,
μή πως ἵππους τε τρώσηις κατά θ' ἅρματα ἄξηις·
χάρμα δὲ τοῖς ἄλλοισιν, ἐλεγχείη δὲ σοὶ αὐτῶι
ἔσσεται. ἀλλὰ, φίλος, φρονέων πεφυλαγμένος εἶναι.
εἰ γάρ κ' ἐν νύσσηι γε παρεξελάσηισθα διώκων,
οὐκ ἔσθ' ὅς κέ σ' ἕλησι μετάλμενος οὐδὲ παρέλθηι,
οὐδ' εἴ κεν μετόπισθεν Ἀρίονα δῖον ἐλαύνοι,
◆ Ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν,
Nestor ἢ τοὺς Λαομέδοντος, οἳ ἐνθάδε γ' ἔτραφον ἐσθλοί."
23.626 "ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες·
οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα, φίλος, πόδες, οὐδ' ἔτι χεῖρες
ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί.
εἴθ' ὣς ἡβώοιμι βίη τέ μοι ἔμπεδος εἴη,
ὡς ὁπότε κρείοντ' Ἀμαρυγκέα θάπτον Ἐπειοὶ
Βουπρασίωι, παῖδες δ' ἔθεσαν βασιλῆος ἄεθλα·
ἔνθ' οὔ τίς μοι ὁμοῖος ἀνὴρ γένετ', οὔτ' ἄρ' Ἐπειῶν
οὔτ' αὐτῶν Πυλίων οὔτ' Αἰτωλῶν μεγαθύμων.
πὺξ μὲν ἐνίκησα Κλυτομήδεα, Ἤνοπος υἱόν,
Ἀγκαῖον δὲ πάληι Πλευρώνιον, ὅς μοι ἀνέστη·
Ἴφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἐόντα,
δουρὶ δ' ὑπειρέβαλον Φυλῆά τε καὶ Πολύδωρον.
οἴοισίν μ' ἵπποισι παρήλασαν Ἀκτορίωνε,
πλήθει πρόσθε βαλόντες, ἀγασσάμενοι περὶ νίκης,
οὕνεκα δὴ τὰ μέγιστα παρ' αὐτόθι λείπετ' ἄεθλα.
οἱ δ' ἄρ' ἔσαν δίδυμοι· ὁ μὲν ἔμπεδον ἡνιόχευεν,
ἔμπεδον ἡνιόχευ', ὁ δ' ἄρα μάστιγι κέλευεν.
ὥς ποτ' ἔον· νῦν αὖτε νεώτεροι ἀντιοώντων
ἔργων τοιούτων. ἐμὲ δὲ χρὴ γήραϊ λυγρῶι
πείθεσθαι, τότε δ' αὖτε μετέπρεπον ἡρώεσσιν.
ἀλλ' ἴθι, καὶ σὸν ἑταῖρον ἀέθλοισι κτερέϊζε.
◆ τοῦτο δ' ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
ὥς μευ ἀεὶ μέμνηαι ἐνηέος, οὐδέ σε λήθω
τιμῆς ἧς τέ μ' ἔοικε τετιμῆσθαι μετ' Ἀχαιοῖς. **Nestor**
σοὶ δὲ θεοὶ τῶνδ' ἀντὶ χάριν μενοεικέα δοῖεν."

Notes

Notes

Greek elder warrior and royal advisor
Nestor of Gerenia was king of Pylos.

ALTERNATING: OD. DESCENDS FROM START; ILIAD ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 752 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF NESTOR IN HOMER

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

3.475 “παῖδες ἐμοί, ἄγε Τηλεμάχωι καλλίτριχας ἵππους
ζεύξαθ' ὑφ' ἅρματ' ἄγοντες, ἵνα πρήσσῃσιν ὁδοῖο.”
1.254 “ὢ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει.
ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες,
ἄλλοί τε Τρῶες μέγα κεν κεχαροίατο θυμῶι,
εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοιιν,
οἳ περὶ μὲν βουλὴν Δαναῶν, περὶ δ' ἐστὲ μάχεσθαι.
ἀλλὰ πίθεσθ'· ἄμφω δὲ νεωτέρω ἐστὸν ἐμεῖο.
ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ἠέ_περ ὑμῖν
ἀνδράσιν ὡμίλησα, καὶ οὔ_ποτέ μ' οἵ_γ' ἀθέριζον.
οὐ γάρ πω τοίους ἴδον ἀνέρας, οὐδὲ ἴδωμαι,
οἷον Πειρίθοόν τε Δρύαντά τε ποιμένα λαῶν
Καινέα τ' Ἐξάδιόν τε καὶ ἀντίθεον Πολύφημον.
Θησέα τ' Αἰγείδην ἐπιείκελον ἀθανάτοισιν.
κάρτιστοι δὴ κεῖνοι ἐπιχθονίων τράφον ἀνδρῶν·
κάρτιστοι μὲν ἔσαν καὶ καρτίστοις ἐμάχοντο,
Φηρσὶν ὀρεσκῴοισι, καὶ ἐκπάγλως ἀπόλεσσαν.
καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον ἐκ Πύλου ἐλθών,
τηλόθεν ἐξ ἀπίης γαίης· καλέσαντο γὰρ αὐτοί.
καὶ μαχόμην κατ' ἔμ' αὐτὸν ἐγώ· κείνοισι δ' ἂν οὔ_τις
τῶν οἳ νῦν βροτοί εἰσιν ἐπιχθόνιοι μαχέοιτο.
καὶ μέν μευ βουλέων ξύνιεν πείθοντό τε μύθωι.
ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον·
μήτε σὺ τόνδ' ἀγαθός περ ἐὼν ἀποαίρεο κούρην,
ἀλλ' ἔα, ὥς οἱ πρῶτα δόσαν γέρας υἷες Ἀχαιῶν·
μήτε σύ, Πηλείδη, ἔθελ' ἐριζέμεναι βασιλῆϊ
ἀντιβίην, ἐπεὶ οὔ_ποθ' ὁμοίης ἔμμορε τιμῆς
σκηπτοῦχος βασιλεύς, ὧι_τε Ζεὺς κῦδος ἔδωκεν.
εἰ δὲ σὺ καρτερός ἐσσι, θεὰ δέ σε γείνατο μήτηρ,
ἀλλ' ὅδε φέρτερός ἐστιν, ἐπεὶ πλεόνεσσιν ἀνάσσει.
Ἀτρείδη, σὺ δὲ παῦε τεὸν μένος· αὐτὰρ ἐγώ_γε
λίσσομ' Ἀχιλλῆϊ μεθέμεν χόλον, ὃς μέγα πᾶσιν
Nestor ἕρκος Ἀχαιοῖσιν πέλεται πολέμοιο κακοῖο.”
3.418 “καρπαλίμως μοι, τέκνα φίλα, κρηήνατ' ἐέλδωρ,
ὄφρ' ἤτοι πρώτιστα θεῶν ἱλάσωμεθ' Ἀθήνην,
ἥ μοι ἐναργὴς ἦλθε θεοῦ ἐς δαῖτα θάλειαν.
ἀλλ' ἄγ' ὁ μὲν πεδίονδ' ἐπὶ βοῦν ἴτω, ὄφρα τάχιστα
ἔλθησιν, ἐλάσηι δὲ βοῶν ἐπιβουκόλος ἀνήρ·
εἷς δ' ἐπὶ Τηλεμάχου μεγαθύμου νῆα μέλαιναν
πάντας ἰὼν ἑτάρους ἀγέτω, λιπέτω δὲ δύ' οἴους·
εἷς δ' αὖ χρυσοχόον Λαέρκεα δεῦρο κελέσθω
ἐλθεῖν, ὄφρα βοὸς χρυσὸν κέρασιν περιχεύηι.
οἱ δ' ἄλλοι μένετ' αὐτοῦ ἀολλέες, εἴπετε δ' εἴσω
δμωιῇσιν κατὰ δώματ' ἀγακλυτὰ δαῖτα πένεσθαι,
ἕδρας τε ξύλα τ' ἀμφὶ καὶ ἀγλαὸν οἰσέμεν ὕδωρ.”
2.79 “ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
εἴ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἔνισπεν,
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·
νῦν δ' ἴδεν ὃς μέγ' ἄριστος Ἀχαιῶν εὔχεται εἶναι.
Nestor ἀλλ' ἄγετ', αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.”

“ὦ φίλος, οὔ σε ἔολπα κακὸν καὶ ἄναλκιν ἔσεσθαι, 3.375
εἰ δή τοι νέωι ὧδε θεοὶ πομπῆες ἕπονται.
οὐ μὲν γάρ τις ὅδ' ἄλλος Ὀλύμπια δώματ' ἐχόντων,
ἀλλὰ Διὸς θυγάτηρ, ἀγελείη Τριτογένεια, v.l. κυδίστη
ἥ τοι καὶ πατέρ' ἐσθλὸν ἐν Ἀργείοισιν ἐτίμα.
ἀλλά, ἄνασσ', ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλόν,
αὐτῶι καὶ παίδεσσι καὶ αἰδοίηι παρακοίτι·
σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἦνιν εὐρυμέτωπον,
ἀδμήτην, ἣν οὔ_πω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ·
τήν τοι ἐγὼ ῥέξω, χρυσὸν κέρασιν περιχεύας.” Nestor
“ὢ πόποι, ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε 2.337
νηπιάχοις, οἷς οὔ_τι μέλει πολεμήϊα ἔργα.
πῆι δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμῖν;
ἐν πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ' ἀνδρῶν,
σπονδαί τ' ἄκρητοι καὶ δεξιαί, ἧις ἐπέπιθμεν·
αὔτως γὰρ ἐπέεσσ' ἐριδαίνομεν, οὐδέ τι μῆχος
εὑρέμεναι δυνάμεσθα, πολὺν χρόνον ἐνθάδ' ἐόντες.
Ἀτρείδη, σὺ δ' ἔθ' ὡς πρὶν ἔχων ἀστεμφέα βουλὴν
ἄρχευ' Ἀργείοισι κατὰ κρατερὰς ὑσμίνας,
τούσδε δ' ἔα φθινύθειν, ἕνα καὶ δύο, τοί κεν Ἀχαιῶν
νόσφιν βουλεύωσ' — ἄνυσις δ' οὐκ ἔσσεται αὐτῶν —
πρὶν Ἄργοσδ' ἰέναι, πρὶν καὶ Διὸς αἰγιόχοιο
γνώμεναι εἴτε ψεῦδος ὑπόσχεσις, ἠὲ καὶ οὐκί.
φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα
ἤματι τῶι, ὅτε νηυσὶν ἐν ὠκυπόροισιν ἔβαινον
Ἀργεῖοι Τρώεσσι φόνον καὶ κῆρα φέροντες,
ἀστράπτων ἐπι_δεξί', ἐναίσιμα σήματα φαίνων.
τῶι μή τις πρὶν ἐπειγέσθω οἶκόνδε νέεσθαι,
πρίν τινα πὰρ Τρώων ἀλόχωι κατακοιμηθῆναι,
τείσασθαι δ' Ἑλένης ὁρμήματά τε στοναχάς τε.
εἰ δέ τις ἐκπάγλως ἐθέλει οἶκόνδε νέεσθαι,
ἁπτέσθω ἧς νηὸς ἐϋσσέλμοιο μελαίνης,
ὄφρα πρόσθ' ἄλλων θάνατον καὶ πότμον ἐπίσπηι.
ἀλλά, ἄναξ, αὐτός τ' εὖ μήδεο πείθεό τ' ἄλλωι·
οὔ_τοι ἀπόβλητον ἔπος ἔσσεται, ὅττι κεν εἴπω·
κρῖν' ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον,
ὡς φρήτρη φρήτρηφιν ἀρήγηι, φῦλα δὲ φύλοις.
εἰ δέ κεν ὣς ἔρξηις καί τοι πείθωνται Ἀχαιοί,
γνώσηι ἔπειθ' ὅς θ' ἡγεμόνων κακὸς ὅς τέ νυ λαῶν
ἠδ' ὅς κ' ἐσθλὸς ἔηισι· κατὰ σφέας γὰρ μαχέονται·
γνώσεαι δ' εἰ καὶ θεσπεσίηι πόλιν οὐκ ἀλαπάξεις,
ἦ ἀνδρῶν κακότητι καὶ ἀφραδίηι πολέμοιο.” Nestor
“Ζεὺς τό γ' ἀλεξήσειε καὶ ἀθάνατοι θεοὶ ἄλλοι, 3.346
ὡς ὑμεῖς παρ' ἐμεῖο θοὴν ἐπὶ νῆα κίοιτε
ὥς_τέ τε_ ἢ παρὰ πάμπαν ἀνείμονος ἠὲ πενιχροῦ,
ὧι οὔ_τι χλαῖναι καὶ ῥήγεα πόλλ' ἐνὶ οἴκωι,
οὔτ' αὐτῶι μαλακῶς οὔτε ξείνοισιν ἐνεύδειν.
αὐτὰρ ἐμοὶ πάρα μὲν χλαῖναι καὶ ῥήγεα καλά·
οὔ θην δὴ τοῦδ' ἀνδρὸς Ὀδυσσῆος φίλος υἱός
νηὸς ἐπ' ἰκριόφιν καταλέξεται, ὄφρ' ἂν ἐγώ_γε

ζώω, ἔπειτα δὲ παῖδες ἐνὶ μεγάροισι λίπωνται
Nestor ξείνους ξεινίζειν, ὅς τίς κ’ ἐμὰ δώμαθ’ ἵκηται.”
2.434 “Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
μηκέτι νῦν δήθ’ αὖθι λεγώμεθα, μηδ’ ἔτι δηρὸν
ἀμβαλλώμεθα ἔργον, ὃ δὴ θεὸς ἐγγυαλίζει.
ἀλλ’ ἄγε, κήρυκες μὲν Ἀχαιῶν χαλκοχιτώνων
λαὸν κηρύσσοντες ἀγειρόντων κατὰ νῆας,
Nestor ἡμεῖς δ’ ἀθρόοι ὧδε κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
ἴομεν, ὄφρα κε θᾶσσον ἐγείρομεν ὀξὺν Ἄρηα.”
3.254 “τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ’ ἀγορεύσω.
ἤτοι μὲν τόδε καὐτὸς ὀΐεαι, ὥς κεν ἐτύχθη,
εἰ ζώον γ’ Αἴγισθον ἐνὶ μεγάροισιν ἔτετμεν
Ἀτρεΐδης Τροίηθεν ἰών, ξανθὸς Μενέλαος·
τῶι κέ οἱ οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν,
ἀλλ’ ἄρα τόν γε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν
κείμενον ἐν πεδίωι ἑκὰς ἄστεος, οὐδέ κέ τίς μιν
κλαῦσεν Ἀχαιϊάδων· μάλα γὰρ μέγα μήσατο ἔργον.
ἡμεῖς μὲν γὰρ κεῖθι πολέας τελέοντες ἀέθλους
ἥμεθ’· ὁ δ’ εὔκηλος μυχῶι Ἄργεος ἱπποβότοιο
πόλλ’ Ἀγαμεμνονέην ἄλοχον θέλγεσκ’ ἐπέεσσιν.
ἡ δ’ ἤτοι τὸ πρὶν μὲν ἀναίνετο ἔργον ἀεικὲς,
δῖα Κλυταιμήστρη· φρεσὶ γὰρ κέχρητ’ ἀγαθῆισιν.
πὰρ δ’ ἄρ’ ἔην καὶ ἀοιδὸς ἀνὴρ, ὧι πόλλ’ ἐπέτελλεν
Ἀτρεΐδης Τροίηνδε κιὼν εἴρυσθαι ἄκοιτιν.
ἀλλ’ ὅτε δή μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι,
δὴ τότε τὸν μὲν ἀοιδὸν ἄγων ἐς νῆσον ἐρήμην
κάλλιπεν οἰωνοῖσιν ἕλωρ καὶ κύρμα γενέσθαι,
τὴν δ’ ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅνδε δόμονδε.
πολλὰ δὲ μηρί’ ἔκηε θεῶν ἱεροῖς ἐπὶ βωμοῖς,
πολλὰ δ’ ἀγάλματ’ ἀνῆψεν, ὑφάσματά τε χρυσόν τε,
ἐκτελέσας μέγα ἔργον, ὃ οὔ ποτε ἔλπετο θυμῶι.
ἡμεῖς μὲν γὰρ ἅμα πλέομεν Τροίηθεν ἰόντες,
Ἀτρεΐδης καὶ ἐγώ, φίλα εἰδότες ἀλλήλοισιν·
ἀλλ’ ὅτε Σούνιον ἱρὸν ἀφικόμεθ’, ἄκρον Ἀθηνέων,
ἔνθα κυβερνήτην Μενελάου Φοῖβος Ἀπόλλων
οἷς ἀγανοῖσι βέλεσσιν ἐποιχόμενος κατέπεφνεν,
πηδάλιον μετὰ χερσὶ θεούσης νηὸς ἔχοντα,
Φρόντιν Ὀνητορίδην, ὃς ἐκαίνυτο φῦλ’ ἀνθρώπων
νῆα κυβερνῆσαι, ὁπότε σπέρχοιεν ἄελλαι.
ὣς ὁ μὲν ἔνθα κατέσχετ’, ἐπειγόμενός περ ὁδοῖο,
ὄφρ’ ἕταρον θάπτοι καὶ ἐπὶ κτέρεα κτερίσειεν.
ἀλλ’ ὅτε δὴ καὶ κεῖνος ἰὼν ἐπὶ οἴνοπα πόντον
ἐν νηυσὶ γλαφυρῆισι Μαλειάων ὄρος αἰπὺ
ἷξε θέων, τότε δὴ στυγερὴν ὁδὸν εὐρύοπα Ζεὺς
ἐφράσατο, λιγέων δ’ ἀνέμων ἐπ’ ἀϋτμένα χεῦεν
κύματά τε τροφόεντα πελώρια, ἶσα ὄρεσσιν.
ἔνθα διατμήξας τὰς μὲν Κρήτηι ἐπέλασσεν,
ἧχι Κύδωνες ἔναιον Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
ἔστι δέ τις λισσὴ αἰπεῖά τε εἰς ἅλα πέτρη
ἐσχατιῆι Γόρτυνος, ἐν ἠεροειδέϊ πόντωι·
ἔνθα Νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ,
ἐς Φαιστόν, μικρὸς δὲ λίθος μέγα κῦμ’ ἀποέργει.
αἱ μὲν ἄρ’ ἔνθ’ ἦλθον, σπουδῆι δ’ ἤλυξαν ὄλεθρον
ἄνδρες, ἀτὰρ νῆάς γε ποτὶ σπιλάδεσσιν ἔαξαν
κύματ’· ἀτὰρ τὰς πέντε νέας κυανοπρωιρείους
Αἰγύπτωι ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ.
ὣς ὁ μὲν ἔνθα πολὺν βίοτον καὶ χρυσὸν ἀγείρων
ἠλᾶτο ξὺν νηυσὶ κατ’ ἀλλοθρόους ἀνθρώπους·
τόφρα δὲ ταῦτ’ Αἴγισθος ἐμήσατο οἴκοθι λυγρὰ,
κτείνας Ἀτρεΐδην, δέδμητο δὲ λαὸς ὑπ’ αὐτῶι.
ἑπτάετες δ’ ἤνασσε πολυχρύσοιο Μυκήνης,
τῶι δέ οἱ ὀγδοάτωι κακὸν ἤλυθε δῖος Ὀρέστης
ἂψ ἀπ’ Ἀθηνάων, κατὰ δ’ ἔκτανε πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὅ οἱ πατέρα κλυτὸν ἔκτα.
ἤτοι ὁ τὸν κτείνας δαίνυ τάφον Ἀργείοισιν
μητρός τε στυγερῆς καὶ ἀνάλκιδος Αἰγίσθοιο·
αὐτῆμαρ δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος,
πολλὰ κτήματ’ ἄγων, ὅσα οἱ νέες ἄχθος ἄειραν.
καὶ σύ, φίλος, μὴ δηθὰ δόμων ἄπο τῆλ’ ἀλάλησο,
κτήματά τε προλιπὼν ἄνδράς τ’ ἐν σοῖσι δόμοισιν
οὕτω ὑπερφιάλους, μή τοι κατὰ πάντα φάγωσιν
κτήματα δασσάμενοι, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθηις.
ἀλλ’ ἐς μὲν Μενέλαον ἐγὼ κέλομαι καὶ ἄνωγα
ἐλθεῖν· κεῖνος γὰρ νέον ἄλλοθεν εἰλήλουθεν,
ἐκ τῶν ἀνθρώπων ὅθεν οὐκ ἔλποιτό γε θυμῶι
ἐλθέμεν, ὅν τινα πρῶτον ἀποσφήλωσιν ἄελλαι
ἐς πέλαγος μέγα τοῖον, ὅθεν τέ περ οὐδ’ οἰωνοὶ
αὐτόετες οἰχνεῦσιν, ἐπεὶ μέγα τε δεινόν τε.
ἀλλ’ ἴθι νῦν σὺν νηΐ τε σῆι καὶ σοῖς ἑτάροισιν·
εἰ δ’ ἐθέλεις πεζὸς, πάρα τοι δίφρος τε καὶ ἵπποι,
πὰρ δέ τοι υἷες ἐμοί, οἵ τοι πομπῆες ἔσονται
ἐς Λακεδαίμονα δῖαν, ὅθι ξανθὸς Μενέλαος.
λίσσεσθαι δέ μιν αὐτὸς, ἵνα νημερτὲς ἐνίσπηι·
ψεῦδος δ’ οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστίν.” Nestor
“Ἀτρεΐδη, μάλα μέν κεν ἐγὼν ἐθέλοιμι καὶ αὐτὸς 4.318
ὣς ἔμεν ὡς ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν.
ἀλλ’ οὔ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν·
εἰ τότε κοῦρος ἔα, νῦν αὖτέ με γῆρας ὀπάζει.
ἀλλὰ καὶ ὣς ἱππεῦσι μετέσσομαι ἠδὲ κελεύσω
βουλῆι καὶ μύθοισι· τὸ γὰρ γέρας ἐστὶ γερόντων.
αἰχμὰς δ’ αἰχμάσσουσι νεώτεροι, οἵ περ ἐμεῖο
ὁπλότεροι γεγάασι πεποίθασίν τε βίηφιν.” Nestor
“ὦ φίλ’, ἐπεὶ δὴ ταῦτά μ’ ἀνέμνησας καὶ ἔειπες, 3.211
φασὶ μνηστῆρας σῆς μητέρος εἵνεκα πολλοὺς
ἐν μεγάροις, ἀέκητι σέθεν, κακὰ μηχανάασθαι.
εἰπέ μοι ἠὲ ἑκὼν ὑποδάμνασαι, ἦ σέ γε λαοὶ
ἐχθαίρουσ’ ἀνὰ δῆμον, ἐπισπόμενοι θεοῦ ὀμφῆι.
τίς δ’ οἶδ’, εἴ κέ ποτέ σφι βίας ἀποτείσεται ἐλθών,
ἤ ὅ γε μοῦνος ἐών, ἢ καὶ σύμπαντες Ἀχαιοί;
εἰ γάρ σ’ ὣς ἐθέλοι φιλέειν γλαυκῶπις Ἀθήνη

ὡς τότ' Ὀδυσσῆος περικήδετο κυδαλίμοιο
δήμωι ἔνι Τρώων, ὅθι πάσχομεν ἄλγε' Ἀχαιοί —
οὐ γάρ πω ἴδον ὧδε θεοὺς ἀναφανδὰ φιλεῦντας,
ὡς κείνωι ἀναφανδὰ παρίστατο Παλλὰς Ἀθήνη —
εἴ σ' οὕτως ἐθέλοι φιλέειν κήδοιτό τε θυμῶι,
Nestor τῶι κέν τις κείνων γε καὶ ἐκλελάθοιτο γάμοιο."
6.67 "ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
μή τις νῦν ἐνάρων ἐπιβαλλόμενος μετόπισθεν
μιμνέτω, ὥς κεν πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται,
ἀλλ' ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ ἕκηλοι
Nestor νεκροὺς ἂμ πεδίον συλήσετε τεθνηῶτας."
3.103 "ὦ φίλ', ἐπεί μ' ἔμνησας ὀϊζύος, ἣν ἐν ἐκείνωι
δήμωι ἀνέτλημεν μένος ἄσχετοι υἷες Ἀχαιῶν,
ἠμὲν ὅσα ξὺν νηυσὶν ἐπ' ἠεροειδέα πόντον
πλαζόμενοι κατὰ ληΐδ', ὅπηι ἄρξειεν Ἀχιλλεύς,
ἠδ' ὅσα καὶ περὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος
μαρνάμεθ'· ἔνθα δ' ἔπειτα κατέκταθεν ὅσσοι ἄριστοι.
ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ' Ἀχιλλεύς,
ἔνθα δὲ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος,
ἔνθα δ' ἐμὸς φίλος υἱός, ἅμα κρατερὸς καὶ ἀμύμων,
Ἀντίλοχος, περὶ μὲν θείειν ταχὺς ἠδὲ μαχητής·
ἄλλα τε πόλλ' ἐπὶ τοῖς πάθομεν κακά· τίς κεν ἐκεῖνα
πάντα γε μυθήσαιτο καταθνητῶν ἀνθρώπων;
οὐδ' εἰ πεντάετές γε καὶ ἑξάετες παραμίμνων
ἐξερέοις ὅσα κεῖθι πάθον κακὰ δῖοι Ἀχαιοί·
πρίν κεν ἀνιηθεὶς σὴν πατρίδα γαῖαν ἵκοιο.
εἰνάετες γάρ σφιν κακὰ ῥάπτομεν ἀμφιέποντες
παντοίοισι δόλοισι, μόγις δ' ἐτέλεσσε Κρονίων.
ἔνθ' οὔτίς ποτε μῆτιν ὁμοιωθήμεναι ἄντην
ἤθελ', ἐπεὶ μάλα πολλὸν ἐνίκα δῖος Ὀδυσσεὺς
παντοίοισι δόλοισι, πατὴρ τεός, εἰ ἐτεόν γε
κείνου ἔκγονός ἐσσι· σέβας μ' ἔχει εἰσορόωντα.
ἤτοι γὰρ μῦθοί γε ἐοικότες, οὐδέ κε φαίης
ἄνδρα νεώτερον ὧδε ἐοικότα μυθήσασθαι.
ἔνθ' ἤτοι εἵως μὲν ἐγὼ καὶ δῖος Ὀδυσσεὺς
οὔτε ποτ' εἰν ἀγορῆι δίχ' ἐβάζομεν οὔτ' ἐνὶ βουλῆι,
ἀλλ' ἕνα θυμὸν ἔχοντε νόωι καὶ ἐπίφρονι βουλῆι
φραζόμεθ' Ἀργείοισιν ὅπως ὄχ' ἄριστα γένοιτο.
αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπήν,
βῆμεν δ' ἐν νήεσσι, θεὸς δ' ἐκέδασσεν Ἀχαιούς,
καὶ τότε δὴ Ζεὺς λυγρὸν ἐνὶ φρεσὶ μήδετο νόστον
Ἀργείοις, ἐπεὶ οὔ τι νοήμονες οὐδὲ δίκαιοι
πάντες ἔσαν· τῶι σφεων πολέες κακὸν οἶτον ἐπέσπον
μήνιος ἐξ ὀλοῆς Γλαυκώπιδος ὀβριμοπάτρης,
ἥ τ' ἔριν Ἀτρεΐδηισι μετ' ἀμφοτέροισιν ἔθηκεν.
τὼ δὲ καλεσσαμένω ἀγορὴν ἐς πάντας Ἀχαιούς,
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐς ἠέλιον καταδύντα —
οἱ δ' ἦλθον οἴνωι βεβαρηότες υἷες Ἀχαιῶν —
μῦθον μυθείσθην, τοῦ εἵνεκα λαὸν ἄγειραν.
ἔνθ' ἤτοι Μενέλαος ἀνώγει πάντας Ἀχαιοὺς
νόστου μιμνήσκεσθαι ἐπ' εὐρέα νῶτα θαλάσσης,
οὐδ' Ἀγαμέμνονι πάμπαν ἑήνδανε· βούλετο γάρ ῥα
λαὸν ἐρυκακέειν, ῥέξαι θ' ἱερὰς ἑκατόμβας,
ὡς τὸν Ἀθηναίης δεινὸν χόλον ἐξακέσαιτο,
νήπιος, οὐδὲ τὸ ἤιδε', ὃ οὐ πείσεσθαι ἔμελλεν·
οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων.
ὣς τὼ μὲν χαλεποῖσιν ἀμειβομένω ἐπέεσσιν
ἕστασαν· οἱ δ' ἀνόρουσαν ἐϋκνήμιδες Ἀχαιοὶ
ἠχῆι θεσπεσίηι, δίχα δέ σφισιν ἥνδανε βουλή.
νύκτα μὲν ἀέσαμεν χαλεπὰ φρεσὶν ὁρμαίνοντες
ἀλλήλοις· ἐπὶ γὰρ Ζεὺς ἤρτυε πῆμα κακοῖο·
ἠῶθεν δ' οἱ μὲν νέας εἵλκομεν εἰς ἅλα δῖαν
κτήματά τ' ἐντιθέμεσθα βαθυζώνους τε γυναῖκας·
ἡμίσεες δ' ἄρα λαοὶ ἐρητύοντο μένοντες
αὖθι παρ' Ἀτρεΐδηι Ἀγαμέμνονι, ποιμένι λαῶν·
ἡμίσεες δ' ἀναβάντες ἐλαύνομεν. αἱ δὲ μάλ' ὦκα
ἔπλεον, ἐστόρεσεν δὲ θεὸς μεγακήτεα πόντον.
ἐς Τένεδον δ' ἐλθόντες ἐρέξαμεν ἱρὰ θεοῖσιν,
οἴκαδε ἱέμενοι· Ζεὺς δ' οὔ πω μήδετο νόστον,
σχέτλιος, ὅς ῥ' ἔριν ὦρσε κακὴν ἔπι δεύτερον αὖτις.
οἱ μὲν ἀποστρέψαντες ἔβαν νέας ἀμφιελίσσας
ἀμφ' Ὀδυσῆα ἄνακτα δαΐφρονα, ποικιλομήτην,
αὖτις ἐπ' Ἀτρεΐδηι Ἀγαμέμνονι ἦρα φέροντες·
αὐτὰρ ἐγὼ σὺν νηυσὶν ἀολλέσιν, αἵ μοι ἕποντο,
φεῦγον, ἐπεὶ γίγνωσκον ὃ δὴ κακὰ μήδετο δαίμων.
φεῦγε δὲ Τυδέος υἱὸς ἀρήϊος, ὦρσε δ' ἑταίρους.
ὀψὲ δὲ δὴ μετὰ νῶϊ κίε ξανθὸς Μενέλαος,
ἐν Λέσβωι δ' ἔκιχεν δολιχὸν πλόον ὁρμαίνοντας,
ἢ καθύπερθε Χίοιο νεοίμεθα παιπαλοέσσης
νήσου ἔπι Ψυρίης, αὐτὴν ἐπ' ἀριστερ' ἔχοντες,
ἦ ὑπένερθε Χίοιο, παρ' ἠνεμόεντα Μίμαντα.
ἠιτέομεν δὲ θεὸν φῆναι τέρας· αὐτὰρ ὅ γ' ἡμῖν
δεῖξε, καὶ ἠνώγει πέλαγος μέσον εἰς Εὔβοιαν
τέμνειν, ὄφρα τάχιστα ὑπὲκ κακότητα φύγοιμεν.
ὦρτο δ' ἐπὶ λιγὺς οὖρος ἀήμεναι· αἱ δὲ μάλ' ὦκα
ἰχθυόεντα κέλευθα διέδραμον, ἐς δὲ Γεραιστὸν
ἐννύχιαι κατάγοντο· Ποσειδάωνι δὲ ταύρων
πόλλ' ἐπὶ μῆρ' ἔθεμεν, πέλαγος μέγα μετρήσαντες.
τέτρατον ἦμαρ ἔην, ὅτ' ἐν Ἄργει νῆας ἐΐσας
Τυδεΐδεω ἕταροι Διομήδεος ἱπποδάμοιο
ἕστασαν· αὐτὰρ ἐγώ γε Πύλονδ' ἔχον, οὐδέ ποτ' ἔσβη
οὖρος, ἐπεὶ δὴ πρῶτα θεὸς προέηκεν ἀῆναι.
ὣς ἦλθον, φίλε τέκνον, ἀπευθής, οὐδέ τι οἶδα
κείνων, οἵ τ' ἐσάωθεν Ἀχαιῶν οἵ τ' ἀπόλοντο.
ὅσσα δ' ἐνὶ μεγάροισι καθήμενος ἡμετέροισιν
πεύθομαι, ἣ θέμις ἐστί, δαήσεαι, οὐδέ σε κεύσω.
εὖ μὲν Μυρμιδόνας φάσ' ἐλθέμεν ἐγχεσιμώρους,
οὓς ἄγ' Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱός,
εὖ δὲ Φιλοκτήτην, Ποιάντιον ἀγλαὸν υἱόν·
πάντας δ' Ἰδομενεὺς Κρήτην εἰσήγαγ' ἑταίρους,

οἳ φύγον ἐκ πολέμου, πόντος δέ οἱ οὔ_τιν' ἀπηύρα.
Ἀτρείδην δὲ καὶ αὐτοὶ ἀκούετε νόσφιν ἐόντες,
ὥς τ' ἦλθ' ὥς τ' Αἴγισθος ἐμήσατο λυγρὸν ὄλεθρον.
ἀλλ' ἤτοι κεῖνος μὲν ἐπισμυγερῶς ἀπέτεισεν·
ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι
ἀνδρός, ἐπεὶ καὶ κεῖνος ἐτείσατο πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὅ οἱ πατέρα κλυτὸν ἔκτα.
Nestor καὶ σύ, φίλος — μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε —
ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπηι."
7.124 "ὦ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει,
ἦ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς,
ἐσθλὸς Μυρμιδόνων βουληφόρος ἠδ' ἀγορητής,
ὅς ποτέ μ' εἰρόμενος μέγ' ἐγήθεεν ὧι ἐνὶ οἴκωι,
πάντων Ἀργείων ἐρέων γενεήν τε τόκον τε.
τοὺς νῦν εἰ πτώσσοντας ὑφ' Ἕκτορι πάντας ἀκούσαι,
πολλά κεν ἀθανάτοισι φίλας ἀνὰ χεῖρας ἀείραι,
θυμὸν ἀπὸ μελέων δῦναι δόμον Ἄϊδος εἴσω.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
ἡβῶιμ' ὡς ὅτ' ἐπ' ὠκυρόωι Κελάδοντι μάχοντο
ἀγρόμενοι Πύλιοί τε καὶ Ἀρκάδες ἐγχεσίμωροι,
Φειᾶς πὰρ τείχεσσιν, Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
τοῖσι δ' Ἐρευθαλίων πρόμος ἵστατο, ἰσόθεος φώς,
τεύχε' ἔχων ὤμοισιν Ἀρηϊθόοιο ἄνακτος,
δίου Ἀρηϊθόου, τὸν ἐπίκλησιν Κορυνήτην
ἄνδρες κίκλησκον καλλίζωνοί τε γυναῖκες,
οὕνεκ' ἄρ' οὐ τόξοισι μαχέσκετο δουρί τε μακρῶι,
ἀλλὰ σιδηρείηι κορύνηι ῥήγνυσκε φάλαγγας.
τὸν Λυκόοργος ἔπεφνε δόλωι, οὔ_τι κράτεΐ γε,
στεινωπῶι ἐν ὁδῶι, ὅθ' ἄρ' οὐ κορύνη οἱ ὄλεθρον
χραῖσμε σιδηρείη· πριν γὰρ Λυκόοργος ὑποφθὰς
δουρὶ μέσον περόνησεν, ὁ δ' ὕπτιος οὔδει ἐρείσθη·
τεύχεα δ' ἐξενάριξε, τά οἱ πόρε χάλκεος Ἄρης,
καὶ τὰ μὲν αὐτὸς ἔπειτ' ἐφόρει μετὰ μῶλον Ἄρηος.
αὐτὰρ ἐπεὶ Λυκόοργος ἐνὶ μεγάροισιν ἐγήρα,
δῶκε δ' Ἐρευθαλίωνι, φίλωι θεράποντι, φορῆναι·
τοῦ ὅ_γε τεύχε' ἔχων προκαλίζετο πάντας ἀρίστους.
οἱ δὲ μάλ' ἐτρόμεον καὶ ἐδείδισαν οὐδέ τις ἔτλη·
ἀλλ' ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμων πολεμίζειν
θάρσεϊ ὧι· γενεῆι δὲ νεώτατος ἔσκον ἁπάντων·
καὶ μαχόμην οἱ ἐγώ, δῶκεν δέ μοι εὖχος Ἀθήνη.
τὸν δὴ μήκιστον καὶ κάρτιστον κτάνον ἄνδρα·
πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα.
εἴθ' ὣς ἡβώοιμι, βίη δέ μοι ἔμπεδος εἴη·
τῶι κε τάχ' ἀντήσειε μάχης κορυθαιόλος Ἕκτωρ.
Nestor ὑμέων δ' οἵ_περ ἔασιν ἀριστῆες Παναχαιῶν,
οὐδ' οἱ προφρονέως μέμαθ' Ἕκτορος ἀντίον ἐλθεῖν."
3.69 "νῦν δὴ κάλλιόν ἐστι μεταλλῆσαι καὶ ἐρέσθαι
ξείνους, οἵ_τινες εἰσιν, ἐπεὶ τάρπησαν ἐδωδῆς.
ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;
ἤ τι κατὰ πρῆξιν ἦ μαψιδίως ἀλάλησθε,
οἷά τε ληϊστῆρες, ὑπεὶρ ἅλα, τοί_τ' ἀλόωνται
ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες;" Nestor 7.171
"κλήρωι νῦν πεπάλαχθε διαμπερές, ὅς κε λάχησιν·
οὗτος γὰρ δὴ ὀνήσει ἐϋκνήμιδας Ἀχαιούς·
καὶ δ' αὐτὸς ὃν θυμὸν ὀνήσεται, αἴ κε φύγησιν
δηΐου ἐκ πολέμοιο καὶ αἰνῆς δηϊοτῆτος."
"Ἀτρείδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν, 7.327
πολλοὶ γὰρ τεθνᾶσι κάρη_κομόωντες Ἀχαιοί,
τῶν νῦν αἷμα κελαινὸν ἐΰρροον ἀμφὶ Σκάμανδρον
ἐσκέδασ' ὀξὺς Ἄρης, ψυχαὶ δ' Ἄϊδόσδε κατῆλθον·
τῶι σε χρὴ πόλεμον μὲν ἅμ ἠοῖ παῦσαι Ἀχαιῶν,
αὐτοὶ δ' ἀγρόμενοι κυκλήσομεν ἐνθάδε νεκροὺς
βουσὶ καὶ ἡμιόνοισιν· ἀτὰρ κατακείομεν αὐτοὺς
τυτθὸν ἄποπρο νεῶν, ὥς κ' ὀστέα παισὶν ἕκαστος
οἴκαδ' ἄγηι, ὅτ' ἂν αὖτε νεώμεθα πατρίδα γαῖαν.
τύμβόν τ' ἀμφὶ πύρην ἕνα χεύομεν ἐξαγαγόντες
ἄκριτον ἐκ πεδίου· ποτὶ δ' αὐτὸν δείμομεν ὦκα
πύργους ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν.
ἐν δ' αὐτοῖσι πύλας ποιήσομεν εὖ ἀραρυίας,
ὄφρα δι' αὐτάων ἱππηλασίη ὁδὸς εἴη·
ἔκτοσθεν δὲ βαθεῖαν ὀρύξομεν ἐγγύθι τάφρον,
ἥ χ' ἵππον καὶ λαὸν ἐρυκάκοι ἀμφὶς ἐοῦσα,
μή ποτ' ἐπιβρίσηι πόλεμος Τρώων ἀγερώχων." Nestor
"Τυδείδη, ἄγε δὴ αὖτε φόβονδ' ἔχε μώνυχας ἵππους. 8.139
ἦ οὐ γιγνώσκεις ὅ τοι ἐκ Διὸς οὐχ ἕπετ' ἀλκή;
νῦν μὲν γὰρ τούτωι Κρονίδης Ζεὺς κῦδος ὀπάζει,
σήμερον· ὕστερον αὖτε καὶ ἡμῖν, αἴ κ' ἐθέλησιν,
δώσει· ἀνὴρ δέ κεν οὔ_τι Διὸς νόον εἰρύσσαιτο,
οὐδὲ μάλ' ἴφθιμος, ἔπειτα πολὺ φέρτερός ἐστιν." Nestor
"ὤμοι, Τυδέος υἱὲ δαΐφρονος, οἷον ἔειπες. 8.152
εἴ_περ γάρ σ' Ἕκτωρ γε κακὸν καὶ ἀνάλκιδα φήσει,
ἀλλ' οὐ πείσονται Τρῶες καὶ Δαρδανίωνες
καὶ Τρώων ἄλοχοι μεγαθύμων ἀσπιστάων,
τοίων ἐν κονίηισι βάλες θαλεροὺς παρακοίτας." Nestor
"Τυδείδη, περὶ μὲν πολέμωι ἔνι καρτερός ἐσσι, 9.53
καὶ βουλῆι μετὰ πάντας ὁμήλικας ἔπλε' ἄριστος·
οὔ_τίς τοι τὸν μῦθον ὀνόσσεται, ὅσσοι Ἀχαιοί,
οὐδὲ πάλιν ἐρέει· ἀτὰρ οὐ τέλος ἵκεο μύθων.
ἦ μὲν καὶ νέος ἐσσί, ἐμὸς δέ κε καὶ πάϊς εἴης
ὁπλότατος γενεῆφιν· ἀτὰρ πεπνυμένα βάζεις
Ἀργείων βασιλῆας, ἐπεὶ κατὰ μοῖραν ἔειπες.
ἀλλ' ἄγ' ἐγών, ὃς σεῖο γεραίτερος εὔχομαι εἶναι,
ἐξείπω καὶ πάντα διίξομαι. οὐδέ κέ τίς μοι
μῦθον ἀτιμήσει, οὐδὲ κρείων Ἀγαμέμνων.
ἀφρήτωρ ἀθέμιστος ἀνέστιός ἐστιν ἐκεῖνος
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.
ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνηι
δόρπα τ' ἐφοπλισόμεσθα· φυλακτῆρες δὲ ἕκαστοι
λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.
κούροισιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ ἔπειτα,

Ἀτρείδη, σὺ μὲν ἄρχε· σὺ γὰρ βασιλεύτατός ἐσσι.
δαίνυ δαῖτα γέρουσιν· ἔοικέ τοι, οὔ τοι ἀεικές.
πλεῖαί τοι οἴνου κλισίαι, τὸν νῆες Ἀχαιῶν
ἠμάτιαι Θρῄκηθεν ἐπ' εὐρέα πόντον ἄγουσιν·
πᾶσά τοί ἐσθ' ὑποδεξίη, πολέεσσι δ' ἀνάσσεις.
πολλῶν δ' ἀγρομένων τῶι πείσεαι ὅς κεν ἀρίστην
βουλὴν βουλεύσηι· μάλα δὲ χρεὼ πάντας Ἀχαιοὺς
ἐσθλῆς καὶ πυκινῆς, ὅτι δήϊοι ἐγγύθι νηῶν
καίουσιν πυρὰ πολλά· τίς ἂν τάδε γηθήσειεν;
Nestor νὺξ δ' ἥδ' ἠὲ διαρραίσει στρατὸν ἠὲ σαώσει."
9.96 "Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι, οὕνεκα πολλῶν
λαῶν ἐσσι ἄναξ, καί τοι Ζεὺς ἐγγυάλιξεν
σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφισι βουλεύηισθα.
τῶι σε χρὴ πέρι μὲν φάσθαι ἔπος ἠδ' ἐπακοῦσαι,
κρηῆναι δὲ καὶ ἄλλωι, ὅτ' ἄν τινα θυμὸς ἀνώγηι
εἰπεῖν εἰς ἀγαθόν· σέο δ' ἕξεται ὅττί κεν ἄρχηι.
αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
οὐ γάρ τις νόον ἄλλος ἀμείνονα τοῦδε νοήσει,
οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι ἠδ' ἔτι καὶ νῦν,
ἐξ ἔτι τοῦ ὅτε, διογενές, Βρισηΐδα κούρην
χωομένου Ἀχιλῆος ἔβης κλισίηθεν ἀπούρας,
οὔ τι καθ' ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἐγώ γε
πόλλ' ἀπεμυθεόμην· σὺ δὲ σῶι μεγαλήτορι θυμῶι
εἴξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν,
ἠτίμησας· ἑλὼν γὰρ ἔχεις γέρας. ἀλλ' ἔτι καὶ νῦν
φραζώμεσθ', ὥς κέν μιν ἀρεσσάμενοι πεπίθοιμεν
Nestor ✦ δώροισίν τ' ἀγανοῖσιν ἔπεσσί τε μειλιχίοισιν."
9.163 "Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
δῶρα μὲν οὐκέτ' ὀνοστὰ διδοῖς Ἀχιλῆϊ ἄνακτι·
ἀλλ' ἄγετε, κλητοὺς ὀτρύνομεν, οἵ κε τάχιστα
ἔλθωσ' ἐς κλισίην Πηληϊάδεω Ἀχιλῆος.
εἰ δ' ἄγε, τοὺς ἂν ἐγὼν ἐπιόψομαι, οἱ δὲ πιθέσθων.
Φοῖνιξ μὲν πρώτιστα διίφιλος ἡγησάσθω,
αὐτὰρ ἔπειτ' Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς·
κηρύκων δ' Ὀδίος τε καὶ Εὐρυβάτης ἅμ' ἑπέσθων.
φέρτε δὲ χερσὶν ὕδωρ, εὐφημῆσαί τε κέλεσθε,
Nestor ὄφρα Διὶ Κρονίδηι ἀρησόμεθ', αἴ κ' ἐλεήσηι."
10.82 "τίς δ' οὗτος κατὰ νῆας ἀνὰ στρατὸν ἔρχεαι οἶος
νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι;
ἠέ τιν' οὐρήων διζήμενος, ἤ τιν' ἑταίρων;
Nestor φθέγγεο, μηδ' ἀκέων ἐπ' ἔμ' ἔρχεο· τίπτε δέ σε χρεώ;"
10.103 "Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
οὔ θην Ἕκτορι πάντα νοήματα μητίετα Ζεὺς
ἐκτελέει, ὅσα πού νυν ἐέλπεται· ἀλλά μιν οἴω
κήδεσι μοχθήσειν καὶ πλείοσιν, εἴ κεν Ἀχιλλεὺς
ἐκ χόλου ἀργαλέοιο μεταστρέψηι φίλον ἦτορ.
σοὶ δὲ μάλ' ἕψομ' ἐγώ· ποτὶ δ' αὖ καὶ ἐγείρομεν ἄλλους,
ἠμὲν Τυδεΐδην δουρικλυτὸν ἠδ' Ὀδυσῆα
ἠδ' Αἴαντα ταχὺν καὶ Φυλέος ἄλκιμον υἱόν.
ἀλλ' εἴ τις καὶ τούσδε μετοιχόμενος καλέσειεν,
ἀντίθεόν τ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα·
τῶν γὰρ νῆες ἔασιν ἑκαστάτω, οὐδὲ μάλ' ἐγγύς.
ἀλλὰ φίλον περ ἐόντα καὶ αἰδοῖον Μενέλαον
νεικέσω, εἴ πέρ μοι νεμεσήσεαι, οὐδ' ἐπικεύσω,
ὡς εὕδει, σοὶ δ' οἴωι ἐπέτρεψεν πονέεσθαι.
νῦν ὄφελεν κατὰ πάντας ἀριστῆας πονέεσθαι
λισσόμενος· χρειὼ γὰρ ἱκάνεται οὐκέτ' ἀνεκτός." Nestor
"οὕτως οὔ τις οἱ νεμεσήσεται οὐδ' ἀπιθήσει ✦ 10.129
Ἀργείων, ὅτε κέν τιν' ἐποτρύνηι καὶ ἀνώγηι."
"διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ, 10.144
μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς.
ἀλλ' ἕπευ, ὄφρα καὶ ἄλλον ἐγείρομεν, ὅν τ' ἐπέοικεν
βουλὰς βουλεύειν, ἢ φευγέμεν ἠὲ μάχεσθαι." Nestor
"ἔγρεο, Τυδέος υἱέ· τί πάννυχον ὕπνον ἀωτεῖς; 10.159
οὐκ ἀΐεις, ὡς Τρῶες ἐπὶ θρωσμῶι πεδίοιο
εἵαται ἄγχι νεῶν, ὀλίγος δ' ἔτι χῶρος ἐρύκει;" Nestor
"ναὶ δὴ ταῦτά γε πάντα, φίλος, κατὰ μοῖραν ἔειπες· 10.169
εἰσὶν μέν μοι παῖδες ἀμύμονες, εἰσὶ δὲ λαοὶ
καὶ πολέες, τῶν κέν τις ἐποιχόμενος καλέσειεν·
ἀλλὰ μάλα μεγάλη χρειὼ βεβίηκεν Ἀχαιούς.
νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς,
ἢ μάλα λυγρὸς ὄλεθρος Ἀχαιοῖς, ἠὲ βιῶναι.
ἀλλ' ἴθι νῦν, Αἴαντα ταχὺν καὶ Φυλέος υἱὸν
ἄνστησον — σὺ γάρ ἐσσι νεώτερος — εἴ μ' ἐλεαίρεις." Nestor
"οὕτω νῦν, φίλα τέκνα, φυλάσσετε· μηδέ τιν' ὕπνος 10.192
αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσιν." Nestor
"ὦ φίλοι, οὐκ ἂν δή τις ἀνὴρ πεπίθοιθ' ἑῶι αὐτοῦ 10.204
θυμῶι τολμήεντι, μετὰ Τρῶας μεγαθύμους
ἐλθεῖν; εἴ τινά που δηΐων ἕλοι ἐσχατόωντα,
ἤ τινά που καὶ φῆμιν ἐνὶ Τρώεσσι πύθοιτο,
ἅσσα τε μητιόωσι μετὰ σφίσιν, ἢ μεμάασιν
αὖθι μένειν παρὰ νηυσὶν ἀπόπροθεν, ἠὲ πόλινδε
ἂψ ἀναχωρήσουσιν, ἐπεὶ δαμάσαντό γ' Ἀχαιούς.
ταῦτά τε πάντα πύθοιτο, καὶ ἂψ εἰς ἡμέας ἔλθοι
ἀσκηθής· μέγα κέν οἱ ὑπουράνιον κλέος εἴη
πάντας ἐπ' ἀνθρώπους, καί οἱ δόσις ἔσσεται ἐσθλή·
ὅσσοι γὰρ νήεσσιν ἐπικρατέουσιν ἄριστοι,
τῶν πάντων οἱ ἕκαστος ὄϊν δώσουσι μέλαιναν,
θῆλυν ὑπόρρηνον· τῆι μὲν κτέρας οὐδὲν ὁμοῖον,
αἰεὶ δ' ἐν δαίτῃσι καὶ εἰλαπίνῃσι παρέσται." Nestor
"ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες, 10.533
ψεύσομαι, ἦ ἔτυμον ἐρέω; κέλεται δέ με θυμός.
ἵππων μ' ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει.
αἲ γὰρ δὴ Ὀδυσεύς τε καὶ ὁ κρατερὸς Διομήδης
ὧδ' ἄφαρ ἐκ Τρώων ἐλασαίατο μώνυχας ἵππους.
ἀλλ' αἰνῶς δείδοικα κατὰ φρένα μή τι πάθωσιν
Ἀργείων οἱ ἄριστοι ὑπὸ Τρώων ὀρυμαγδοῦ." Nestor
"εἴπ' ἄγε μ', ὦ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν, 10.544
ὅππως τούσδ' ἵππους λάβετον· καταδύντες ὅμιλον

Τρώων; ἤ τίς σφωε πόρεν θεὸς ἀντιβολήσας;
αἰνῶς ἀκτίνεσσιν ἐοικότες ἠελίοιο.
αἰεὶ μὲν Τρώεσσ᾽ ἐπιμίσγομαι, οὐδέ τί φημι
μιμνάζειν παρὰ νηυσί, γέρων περ ἐὼν πολεμιστής·
ἀλλ᾽ οὔ πω τοίους ἵππους ἴδον οὐδ᾽ ἐνόησα.
ἀλλά τιν᾽ ὔμμ᾽ ὀΐω δόμεναι θεὸν ἀντιάσαντα·
ἀμφοτέρω γὰρ σφῶϊ φιλεῖ νεφεληγερέτα Ζεὺς
κούρη τ᾽ αἰγιόχοιο Διός, γλαυκῶπις Ἀθήνη."

Nestor
11.656
"τίπτε τ᾽ ἄρ ὧδ᾽ Ἀχιλεὺς ὀλοφύρεται υἷας Ἀχαιῶν,
ὅσσοι δὴ βέλεσιν βεβλήαται; οὐδέ τι οἶδεν
πένθεος, ὅσσον ὄρωρε κατὰ στρατόν· οἱ γὰρ ἄριστοι,
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε.
βέβληται μὲν ὁ Τυδεΐδης κρατερὸς Διομήδης,
οὔτασται δ᾽ Ὀδυσεὺς δουρικλυτὸς ἠδ᾽ Ἀγαμέμνων·
βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῶι·
τοῦτον δ᾽ ἄλλον ἐγὼ νέον ἤγαγον ἐκ πολέμοιο,
ἰῶι ἀπὸ νευρῆς βεβλημένον· αὐτὰρ Ἀχιλλεὺς
ἐσθλὸς ἐὼν Δαναῶν οὐ κήδεται οὐδ᾽ ἐλεαίρει.
ἦ μένει, εἰς ὅ κε δὴ νῆες θοαὶ ἄγχι θαλάσσης
Ἀργείων ἀέκητι πυρὸς δηΐοιο θέρωνται,
αὐτοί τε κτεινώμεθ᾽ ἐπισχερώ; — οὐ γὰρ ἐμὴ ἲς
ἔσθ᾽ οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν.
εἴθ᾽ ὣς ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη,
ὡς ὁπότ᾽ Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη
ἀμφὶ βοηλασίηι, ὅτ᾽ ἐγὼ κτάνον Ἰτυμονῆα,
ἐσθλὸν Ὑπειροχίδην, ὃς ἐν Ἤλιδι ναιετάασκεν,
ῥύσι᾽ ἐλαυνόμενος. ὁ δ᾽ ἀμύνων ἧισι βόεσσιν
ἔβλητ᾽ ἐν πρώτοισιν ἐμῆς ἀπὸ χειρὸς ἄκοντι,
κὰδ δ᾽ ἔπεσεν, λαοὶ δὲ περίτρεσαν ἀγροιῶται.
ληΐδα δ᾽ ἐκ πεδίου συνελάσσαμεν ἤλιθα πολλὴν,
πεντήκοντα βοῶν ἀγέλας, τόσα πώεα οἰῶν,
τόσσα συῶν συβόσεια, τόσ᾽ αἰπόλια πλατέ᾽ αἰγῶν,
ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα,
πάσας θηλείας, πολλῆισι δὲ πῶλοι ὑπῆσαν.
καὶ τὰ μὲν ἠλασάμεσθα Πύλον Νηλήϊον εἴσω
ἐννύχιοι προτὶ ἄστυ· γεγήθει δὲ φρένα Νηλεὺς,
οὕνεκά μοι τύχε πολλὰ νέωι πόλεμόνδε κιόντι.
κήρυκες δ᾽ ἐλίγαινον ἅμ᾽ ἠοῖ φαινομένηφιν
τοὺς ἴμεν οἷσι χρεῖος ὀφείλετ᾽ ἐν Ἤλιδι δίηι·
οἱ δὲ συναγρόμενοι Πυλίων ἡγήτορες ἄνδρες
δαίτρευον. πολέσιν γὰρ Ἐπειοὶ χρεῖος ὄφειλον,
ὡς ἡμεῖς παῦροι κεκακωμένοι ἐν Πύλωι ἦμεν·
ἐλθὼν γὰρ ἐκάκωσε βίη Ἡρακληείη
τῶν προτέρων ἐτέων, κατὰ δ᾽ ἔκταθεν ὅσσοι ἄριστοι·
δώδεκα γὰρ Νηλῆος ἀμύμονος υἱέες ἦμεν·
τῶν οἶος λιπόμην, οἱ δ᾽ ἄλλοι πάντες ὄλοντο·
ταῦθ᾽ ὑπερηφανέοντες Ἐπειοὶ χαλκοχίτωνες,
ἡμέας ὑβρίζοντες ἀτάσθαλα μηχανόωντο.
ἐκ δ᾽ ὁ γέρων ἀγέλην τε βοῶν καὶ πῶϋ μέγ᾽ οἰῶν
εἵλετο, κρινάμενος τριηκόσι᾽ ἠδὲ νομῆας.
καὶ γὰρ τῶι χρεῖος μέγ᾽ ὀφείλετ᾽ ἐν Ἤλιδι δίηι,
τέσσαρες ἀθλοφόροι ἵπποι αὐτοῖσιν ὄχεσφιν,
ἐλθόντες μετ᾽ ἄεθλα· περὶ τρίποδος γὰρ ἔμελλον.
θεύσεσθαι· τοὺς δ᾽ αὖθι ἄναξ ἀνδρῶν Αὐγείας
κάσχεθε, τὸν δ᾽ ἐλατῆρ᾽ ἀφίει ἀκαχήμενον ἵππων.
τῶν ὁ γέρων ἐπέων κεχολωμένος ἠδὲ καὶ ἔργων
ἐξέλετ᾽ ἄσπετα πολλά· τὰ δ᾽ ἄλλ᾽ ἐς δῆμον ἔδωκεν
δαιτρεύειν, μή τίς οἱ ἀτεμβόμενος κίοι ἴσης.
ἡμεῖς μὲν τὰ ἕκαστα διείπομεν, ἀμφί τε ἄστυ
ἔρδομεν ἱρὰ θεοῖς· οἱ δὲ τρίτωι ἤματι πάντες
ἦλθον ὁμῶς αὐτοί τε πολεῖς καὶ μώνυχες ἵπποι,
πασσυδίηι· μετὰ δέ σφι Μολίονε θωρήσσοντο
παῖδ᾽ ἔτ᾽ ἐόντ᾽, οὔ πω μάλα εἰδότε θούριδος ἀλκῆς.
ἔστι δέ τις Θρυόεσσα πόλις, αἰπεῖα κολώνη,
τηλοῦ ἐπ᾽ Ἀλφειῶι, νεάτη Πύλου ἠμαθόεντος·
τὴν ἀμφεστρατόωντο, διαρραῖσαι μεμαῶτες.
ἀλλ᾽ ὅτε πᾶν πεδίον μετεκίαθον, ἄμμι δ᾽ Ἀθήνη
ἄγγελος ἦλθε θέουσ᾽ ἀπ᾽ Ὀλύμπου θωρήσσεσθαι
ἔννυχος, οὐδ᾽ ἀέκοντα Πύλον κάτα λαὸν ἄγειρεν,
ἀλλὰ μάλ᾽ ἐσσυμένους πολεμίζειν. οὐδ᾽ ἐμὲ Νηλεὺς
εἴα θωρήσσεσθαι, ἀπέκρυψεν δέ μοι ἵππους·
οὐ γάρ πώ τί μ᾽ ἔφη ἴδμεν πολεμήϊα ἔργα·
ἀλλὰ καὶ ὧς ἱππεῦσι μετέπρεπον ἡμετέροισιν,
καὶ πεζός περ ἐών, ἐπεὶ ὧς ἄγε νεῖκος Ἀθήνη.
ἔστι δέ τις ποταμὸς Μινυήϊος εἰς ἅλα βάλλων
ἐγγύθεν Ἀρήνης, ὅθι μείναμεν ἠῶ δῖαν
ἱππῆες Πυλίων, τὰ δ᾽ ἐπέρρεον ἔθνεα πεζῶν.
ἔνθεν πασσυδίηι σὺν τεύχεσι θωρηχθέντες
ἔνδιοι ἱκόμεσθ᾽ ἱερὸν ῥόον Ἀλφειοῖο.
ἔνθα Διὶ ῥέξαντες ὑπερμενεῖ ἱερὰ καλὰ,
ταῦρον δ᾽ Ἀλφειῶι, ταῦρον δὲ Ποσειδάωνι,
αὐτὰρ Ἀθηναίηι γλαυκώπιδι βοῦν ἀγελαίην,
δόρπον ἔπειθ᾽ ἑλόμεσθα κατὰ στρατὸν ἐν τελέεσσιν,
καὶ κατεκοιμήθημεν ἐν ἔντεσιν οἷσιν ἕκαστος
ἀμφὶ ῥοὰς ποταμοῖο· ἀτὰρ μεγάθυμοι Ἐπειοὶ
ἀμφίσταντο δὴ ἄστυ διαπραθέειν μεμαῶτες.
ἀλλά σφι προπάροιθε φάνη μέγα ἔργον Ἄρηος·
εὖτε γὰρ ἠέλιος φαέθων ὑπερέσχεθε γαίης,
συμφερόμεσθα μάχηι, Διί τ᾽ εὐχόμενοι καὶ Ἀθήνηι.
ἀλλ᾽ ὅτε δὴ Πυλίων καὶ Ἐπειῶν ἔπλετο νεῖκος,
πρῶτος ἐγὼν ἕλον ἄνδρα, κόμισσα δὲ μώνυχας ἵππους,
Μούλιον αἰχμητήν· γαμβρὸς δ᾽ ἦν Αὐγείαο,
πρεσβυτάτην δὲ θύγατρ᾽ εἶχε ξανθὴν Ἀγαμήδην,
ἣ τόσα φάρμακα εἴδη ὅσα τρέφει εὐρεῖα χθών.
τὸν μὲν ἐγὼ προσιόντα βάλον χαλκήρεϊ δουρὶ,
ἤριπε δ᾽ ἐν κονίηισιν· ἐγὼ δ᾽ ἐς δίφρον ὀρούσας
στῆν ῥα μετὰ προμάχοισιν· ἀτὰρ μεγάθυμοι Ἐπειοὶ
ἔτρεσαν ἄλλυδις ἄλλος, ἐπεὶ ἴδον ἄνδρα πεσόντα
ἡγεμόν᾽ ἱππήων, ὃς ἀριστεύεσκε μάχεσθαι.
αὐτὰρ ἐγὼν ἐνόρουσα κελαινῆι λαίλαπι ἶσος,

πεντήκοντα δ' ἕλον δίφρους, δύο δ ἀμφὶς ἕκαστον
φῶτες ὀδὰξ ἕλον οὖδας, ἐμῶι ὑπὸ δουρὶ δαμέντες.
καί νύ κεν Ἀκτορίωνε Μολίονε παῖδ' ἀλάπαξα,
εἰ μή σφωε πατὴρ εὐρὺ κρείων Ἐνοσίχθων,
ἐκ πολέμου ἐσάωσε, καλύψας ἠέρι πολλῆι.
ἔνθα Ζεὺς Πυλίοισι μέγα κράτος ἐγγυάλιξεν·
τόφρα γὰρ οὖν ἑπόμεσθα διὰ σπιδέος πεδίοιο,
κτείνοντές τ' αὐτοὺς ἀνά τ' ἔντεα καλὰ λέγοντες,
ὄφρ' ἐπὶ Βουπρασίου πολυπύρου βήσαμεν ἵππους
πέτρης τ' Ὠλενίης, καὶ Ἀλησίου ἔνθα κολώνη
κέκληται· ὅθεν αὖτις ἀπέτραπε λαὸν Ἀθήνη.
ἔνθ' ἄνδρα κτείνας πύματον λίπον· αὐτὰρ Ἀχαιοὶ
ἂψ ἀπὸ Βουπρασίοιο Πύλονδ' ἔχον ὠκέας ἵππους,
πάντες δ' ηὐχετόωντο θεῶν Διὶ Νέστορί τ' ἀνδρῶν.
ὣς ἔον, εἴ ποτ' ἔην γε, μετ' ἀνδράσιν. αὐτὰρ Ἀχιλλεὺς
οἶος ἧς ἀρετῆς ἀπονήσεται· ἦ τέ μιν οἴω
πολλὰ μετακλαύσεσθαι, ἐπεί κ' ἀπὸ λαὸς ὄληται.
ὦ πέπον, ἦ μὲν σοί γε Μενοίτιος ὧδ' ἐπέτελλεν
ἤματι τῶι ὅτε σ' ἐκ Φθίης Ἀγαμέμνονι πέμπεν.
νῶϊ δὲ ἔνδον ἐόντες, ἐγὼ καὶ δῖος Ὀδυσσεὺς,
πάντα μάλ' ἐν μεγάροις ἠκούομεν ὡς ἐπέτελλεν.
Πηλῆος δ' ἱκόμεσθα δόμους εὖ ναιετάοντας
λαὸν ἀγείροντες κατ' Ἀχαιΐδα πουλυβότειραν.
ἔνθα δ' ἔπειθ' ἥρωα Μενοίτιον ηὕρομεν ἔνδον
ἠδὲ σὲ, πὰρ δ' Ἀχιλῆα· γέρων δ' ἱππηλάτα Πηλεὺς
πίονα μηρί' ἔκαιε βοὸς Διὶ τερπικεραύνωι
αὐλῆς ἐν χόρτωι· ἔχε δὲ χρύσειον ἄλεισον,
σπένδων αἴθοπα οἶνον ἐπ' αἰθομένοις ἱεροῖσιν·
σφῶϊ μὲν ἀμφὶ βοὸς ἕπετον κρέα, νῶϊ δ' ἔπειτα
στῆμεν ἐνὶ προθύροισι· ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεὺς,
ἐς δ' ἄγε χειρὸς ἑλὼν, κατὰ δ' ἑδριάασθαι ἄνωγεν,
ξείνιά τ' εὖ παρέθηκεν, ἅ τε ξείνοις θέμις ἐστίν·
αὐτὰρ ἐπει τάρπημεν ἐδητύος ἠδὲ ποτῆτος,
ἦρχον ἐγὼ μύθοιο, κελεύων ὔμμ' ἅμ' ἕπεσθαι·
σφὼ δὲ μάλ' ἠθέλετον, τὼδ' ἄμφω πόλλ' ἐπέτελλον.
Πηλεὺς μὲν ὧι παιδὶ γέρων ἐπέτελλ' Ἀχιλῆϊ
αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων·
σοὶ δ' αὖθ' ὧδ' ἐπέτελλε Μενοίτιος Ἄκτορος υἱός·
'τέκνον ἐμὸν, γενεῆι μὲν ὑπέρτερός ἐστιν Ἀχιλλεὺς,
πρεσβύτερος δὲ σύ ἐσσι· βίηι δ' ὅ γε πολλὸν ἀμείνων.
ἀλλ' εὖ οἱ φάσθαι πυκινὸν ἔπος ἠδ' ὑποθέσθαι
καί οἱ σημαίνειν· ὁ δὲ πείσεται εἰς ἀγαθόν περ.'
ὣς ἐπέτελλ' ὁ γέρων, σὺ δὲ λήθεαι. ἀλλ' ἔτι καὶ νῦν
ταῦτ' εἴποις Ἀχιλῆϊ δαΐφρονι, αἴ κε πίθηται.
τίς δ' οἶδ' εἴ κέν οἱ σὺν δαίμονι θυμὸν ὀρίναις
παρειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου.
εἰ δέ τινα φρεσὶν ἧισι θεοπροπίην ἀλεείνει
καί τινά οἱ πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
ἀλλὰ σέ περ προέτω, ἅμα δ' ἄλλος λαὸς ἑπέσθω
Μυρμιδόνων, αἴ κέν τι φόως Δαναοῖσι γένηαι·
καί τοι τεύχεα καλὰ δότω πόλεμόνδε φέρεσθαι,
αἴ κέ σε τῶι ἴσκοντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ' Ἀρήϊοι υἷες Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.
ῥεῖα δέ κ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀϋτῆι
ὤσαισθε προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων." Nestor
"φράζεο, δῖε Μαχᾶον, ὅπως ἔσται τάδε ἔργα· 14.3
μέζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αἴθοπα οἶνον,
εἰς ὅ κε θερμὰ λοετρὰ ἐϋπλόκαμος Ἑκαμήδη
θερμήνηι καὶ λούσηι ἄπο βρότον αἱματόεντα·
αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι ἐς περιωπήν." Nestor
"ἦ δὴ ταῦτά γ' ἑτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλως 14.53
Ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο.
τεῖχος μὲν γὰρ δὴ κατερήριπεν, ὧι ἐπέπιθμεν
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·
οἱ δ' ἐπὶ νηυσὶ θοῆισι μάχην ἀλίαστον ἔχουσιν
νωλεμές· οὐδ' ἂν ἔτι γνοίης, μάλα περ σκοπιάζων,
ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται·
ὡς ἐπιμὶξ κτείνονται, ἀϋτὴ δ' οὐρανὸν ἵκει.
ἡμεῖς δὲ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα,
εἴ τι νόος ῥέξει· πόλεμον δ' οὐκ ἄμμε κελεύω
δύμεναι· οὐ γάρ πως βεβλημένον ἔστι μάχεσθαι." Nestor
"Ζεῦ πάτερ, εἴ ποτέ τίς τοι ἐν Ἄργεϊ περ πολυπύρωι 15.372
ἢ βοὸς τ' ὄϊος κατὰ πίονα μηρία καίων
ηὔχετο νοστῆσαι, σὺ δ' ὑπέσχεο καὶ κατένευσας,
τῶν μνῆσαι, καὶ ἄμυνον, Ὀλύμπιε, νηλεὲς ἦμαρ,
μηδ' οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς." Nestor
"ὦ φίλοι, ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῶι 15.661
ἄλλων ἀνθρώπων, ἐπὶ δὲ μνήσασθε ἕκαστος
παίδων ἠδ' ἀλόχων καὶ κτήσιος ἠδὲ τοκήων,
ἠμὲν ὅτεωι ζώουσι καὶ ὧι κατατεθνήκασιν·
τῶν ὕπερ ἐνθάδ' ἐγὼ γουνάζομαι οὐ παρεόντων
ἑστάμεναι κρατερῶς· μηδὲ τρωπᾶσθε φόβονδε." Nestor
"Ἀντίλοχ', ἤτοι μέν σε, νέον περ ἐόντ', ἐφίλησαν 23.306
Ζεύς τε Ποσειδάων τε, καὶ ἱπποσύνας ἐδίδαξαν
παντοίας· τῶι καί σε διδασκέμεν οὔ τι μάλα χρεώ·
οἶσθα γὰρ εὖ περὶ τέρμαθ' ἑλισσέμεν· ἀλλά τοι ἵπποι
βάρδιστοι θείειν· τῶι τ' οἴω λοίγι' ἔσεσθαι.
τῶν δ' ἵπποι μὲν ἔασιν ἀφάρτεροι, οὐδὲ μὲν αὐτοὶ
πλείονα ἴσασιν σέθεν αὐτοῦ μητίσασθαι.
ἀλλ' ἄγε δὴ σὺ, φίλος, μῆτιν ἐμβάλλεο θυμῶι
παντοίην, ἵνα μή σε παρεκπροφύγησιν ἄεθλα.
μήτι τοι δρυτόμος μέγ' ἀμείνων ἠὲ βίηφι·
μήτι δ' αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντωι
νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισιν·
μήτι δ' ἡνίοχος περιγίγνεται ἡνιόχοιο.
ἀλλ' ὃς μέν θ' ἵπποισι καὶ ἅρμασιν οἷσι πεποιθὼς
ἀφραδέως ἐπὶ πολλὸν ἑλίσσεται ἔνθα καὶ ἔνθα,
ἵπποι δὲ πλανόωνται ἀνὰ δρόμον, οὐδὲ κατίσχει·

ὃς δέ κε κέρδεα εἴδηι ἐλαύνων ἥσσονας ἵππους,
αἰεὶ τέρμ' ὁρόων στρέφει ἐγγύθεν, οὐδὲ ἑ λήθει
ὅππως τὸ πρῶτον τανύσηι βοέοισιν ἱμᾶσιν,
ἀλλ' ἔχει ἀσφαλέως καὶ τὸν προὔχοντα δοκεύει.
σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδὲς, οὐδέ σε λήσει.
ἕστηκε ξύλον αὖον, ὅσον τ' ὄργυι', ὑπὲρ αἴης,
ἢ δρυὸς ἢ πεύκης. τὸ μὲν οὐ καταπύθεται ὄμβρωι,
λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκὼ
ἐν ξυνοχῆισιν ὁδοῦ, λεῖος δ' ἱππόδρομος ἀμφίς·
ἤ τευ σῆμα βροτοῖο πάλαι κατατεθνηῶτος,
ἢ τό γε νύσσα τέτυκτο ἐπὶ προτέρων ἀνθρώπων,
καὶ νῦν τέρματ' ἔθηκε ποδάρκης δῖος Ἀχιλλεύς.
τῶι σὺ μάλ' ἐγχρίμψας ἐλάαν σχεδὸν ἅρμα καὶ ἵππους,
αὐτὸς δὲ κλινθῆναι ἐϋπλέκτωι ἐνὶ δίφρωι
ἦκ' ἐπ' ἀριστερὰ τοῖιν· ἀτὰρ τὸν δεξιὸν ἵππον
κένσαι ὁμοκλήσας, εἶξαί τέ οἱ ἡνία χερσίν.
ἐν νύσσηι δέ τοι ἵππος ἀριστερὸς ἐγχριμφθήτω,
ὡς ἄν τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι
κύκλου ποιητοῖο· λίθου δ' ἀλέασθαι ἐπαυρεῖν,
μή πως ἵππους τε τρώσηις κατά θ' ἅρματα ἄξηις·
χάρμα δὲ τοῖς ἄλλοισιν, ἐλεγχείη δὲ σοὶ αὐτῶι
ἔσσεται. ἀλλὰ, φίλος, φρονέων πεφυλαγμένος εἶναι.
εἰ γάρ κ' ἐν νύσσηι γε παρεξελάσηισθα διώκων,
οὐκ ἔσθ' ὅς κέ σ' ἕλησι μετάλμενος οὐδὲ παρέλθηι,
οὐδ' εἴ κεν μετόπισθεν Ἀρίονα δῖον ἐλαύνοι,
◆ Ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν,
Nestor ἢ τοὺς Λαομέδοντος, οἳ ἐνθάδε γ' ἔτραφον ἐσθλοί."
23.626 "ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες·
οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα, φίλος, πόδες, οὐδ' ἔτι χεῖρες
ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί.
εἴθ' ὣς ἡβώοιμι βίη τέ μοι ἔμπεδος εἴη,
ὡς ὁπότε κρείοντ' Ἀμαρυγκέα θάπτον Ἐπειοὶ
Βουπρασίωι, παῖδες δ' ἔθεσαν βασιλῆος ἄεθλα·
ἔνθ' οὔ τίς μοι ὁμοῖος ἀνὴρ γένετ', οὔτ' ἄρ' Ἐπειῶν
οὔτ' αὐτῶν Πυλίων οὔτ' Αἰτωλῶν μεγαθύμων.
πὺξ μὲν ἐνίκησα Κλυτομήδεα, Ἤνοπος υἱόν,
Ἀγκαῖον δὲ πάληι Πλευρώνιον, ὅς μοι ἀνέστη·
Ἴφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἐόντα,
δουρὶ δ' ὑπειρέβαλον Φυλῆά τε καὶ Πολύδωρον.
οἴοισίν μ' ἵπποισι παρήλασαν Ἀκτορίωνε,
πλήθει πρόσθε βαλόντες, ἀγασσάμενοι περὶ νίκης,
οὕνεκα δὴ τὰ μέγιστα παρ' αὐτόθι λείπετ' ἄεθλα.
οἳ δ' ἄρ' ἔσαν δίδυμοι· ὁ μὲν ἔμπεδον ἡνιόχευεν,
ἔμπεδον ἡνιόχευ', ὁ δ' ἄρα μάστιγι κέλευεν.
ὣς ποτ' ἔον· νῦν αὖτε νεώτεροι ἀντιοώντων
ἔργων τοιούτων. ἐμὲ δὲ χρὴ γήραϊ λυγρῶι
πείθεσθαι, τότε δ' αὖτε μετέπρεπον ἡρώεσσιν.
ἀλλ' ἴθι, καὶ σὸν ἑταῖρον ἀέθλοισι κτερέϊζε.
◆ τοῦτο δ' ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
ὥς μευ ἀεὶ μέμνηαι ἐνηέος, οὐδὲ σε λήθω
τιμῆς ἧς τέ μ' ἔοικε τετιμῆσθαι μετ' Ἀχαιοῖς. Nestor
σοὶ δὲ θεοὶ τῶνδ' ἀντὶ χάριν μενοεικέα δοῖεν."

Notes

Notes

Greek elder warrior and royal advisor
Nestor of Gerenia was king of Pylos.

ILIAD AND OD.
ASCEND FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 752 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF NESTOR IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.254 “ὦ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει.
ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες,
ἄλλοί τε Τρῶες μέγα κεν κεχαροίατο θυμῶι,
εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοιιν,
οἳ περὶ μὲν βουλὴν Δαναῶν, περὶ δ’ ἐστὲ μάχεσθαι.
ἀλλὰ πίθεσθ’· ἄμφω δὲ νεωτέρω ἐστὸν ἐμεῖο.
ἤδη γάρ ποτ’ ἐγὼ καὶ ἀρείοσιν ἠέ_περ ὑμῖν
ἀνδράσιν ὡμίλησα, καὶ οὔ_ποτέ μ’ οἵ_γ’ ἀθέριζον.
οὐ γάρ πω τοίους ἴδον ἀνέρας, οὐδὲ ἴδωμαι,
οἷον Πειρίθοόν τε Δρύαντά τε ποιμένα λαῶν
Καινέα τ’ Ἐξάδιόν τε καὶ ἀντίθεον Πολύφημον.
Θησέα τ’ Αἰγείδην ἐπιείκελον ἀθανάτοισιν.
κάρτιστοι δὴ κεῖνοι ἐπιχθονίων τράφον ἀνδρῶν·
κάρτιστοι μὲν ἔσαν καὶ καρτίστοις ἐμάχοντο,
Φηρσὶν ὀρεσκώιοισι, καὶ ἐκπάγλως ἀπόλεσσαν.
καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον ἐκ Πύλου ἐλθὼν,
τηλόθεν ἐξ ἀπίης γαίης· καλέσαντο γὰρ αὐτοί.
καὶ μαχόμην κατ’ ἔμ’ αὐτὸν ἐγώ· κείνοισι δ’ ἂν οὔ_τις
τῶν οἳ νῦν βροτοί εἰσιν ἐπιχθόνιοι μαχέοιτο.
καὶ μέν μευ βουλέων ξύνιεν πείθοντό τε μύθωι.
ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον·
μήτε σὺ τόνδ’ ἀγαθός περ ἐὼν ἀποαίρεο κούρην,
ἀλλ’ ἔα, ὥς οἱ πρῶτα δόσαν γέρας υἷες Ἀχαιῶν·
μήτε σύ, Πηλείδη, ἔθελ’ ἐριζέμεναι βασιλῆϊ
ἀντιβίην, ἐπεὶ οὔ_ποθ’ ὁμοίης ἔμμορε τιμῆς
σκηπτοῦχος βασιλεὺς, ὧι_τε Ζεὺς κῦδος ἔδωκεν.
εἰ δὲ σὺ καρτερός ἐσσι, θεὰ δέ σε γείνατο μήτηρ,
ἀλλ’ ὅδε φέρτερός ἐστιν, ἐπεὶ πλεόνεσσιν ἀνάσσει.
Ἀτρείδη, σὺ δὲ παῦε τεὸν μένος· αὐτὰρ ἐγώ_γε
λίσσομ’ Ἀχιλλῆϊ μεθέμεν χόλον, ὃς μέγα πᾶσιν
Nestor ἕρκος Ἀχαιοῖσιν πέλεται πολέμοιο κακοῖο.”
2.79 “ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
εἴ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἔνισπεν,
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·
νῦν δ’ ἴδεν ὃς μέγ’ ἄριστος Ἀχαιῶν εὔχεται εἶναι.
Nestor ἀλλ’ ἄγετ’, αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.”
2.337 “ὦ πόποι, ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε
νηπιάχοις, οἷς οὔ_τι μέλει πολεμήϊα ἔργα.
πῆι δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμῖν;
ἐν πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ’ ἀνδρῶν,
σπονδαί τ’ ἄκρητοι καὶ δεξιαὶ, ᾗς ἐπέπιθμεν·
αὔτως γὰρ ἐπέεσσ’ ἐριδαίνομεν, οὐδέ τι μῆχος
εὑρέμεναι δυνάμεσθα, πολὺν χρόνον ἐνθάδ’ ἐόντες.
Ἀτρείδη, σὺ δ’ ἔθ’ ὡς πρὶν ἔχων ἀστεμφέα βουλὴν
ἄρχευ’ Ἀργείοισι κατὰ κρατερὰς ὑσμίνας,
τούσδε δ’ ἔα φθινύθειν, ἕνα καὶ δύο, τοί κεν Ἀχαιῶν
νόσφιν βουλεύωσ’ — ἄνυσις δ’ οὐκ ἔσσεται αὐτῶν —
πρὶν Ἄργοσδ’ ἰέναι, πρὶν καὶ Διὸς αἰγιόχοιο
γνώμεναι εἴτε ψεῦδος ὑπόσχεσις, ἠὲ καὶ οὐκί.
φῆμι γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα
ἤματι τῶι, ὅτε νηυσὶν ἐν ὠκυπόροισιν ἔβαινον
Ἀργεῖοι Τρώεσσι φόνον καὶ κῆρα φέροντες,
ἀστράπτων ἐπὶ_δεξί’, ἐναίσιμα σήματα φαίνων.
τῶι μή τις πρὶν ἐπειγέσθω οἴκόνδε νέεσθαι,
πρίν τινα πὰρ Τρώων ἀλόχωι κατακοιμηθῆναι,
τείσασθαι δ’ Ἑλένης ὁρμήματά τε στοναχάς τε.
εἰ δέ τις ἐκπάγλως ἐθέλει οἶκόνδε νέεσθαι,
ἁπτέσθω ἧς νηὸς ἐϋσσέλμοιο μελαίνης,
ὄφρα πρόσθ’ ἄλλων θάνατον καὶ πότμον ἐπίσπηι.
ἀλλὰ, ἄναξ, αὐτός τ’ εὖ μήδεο πείθεό τ’ ἄλλωι·
οὔ_τοι ἀπόβλητον ἔπος ἔσσεται, ὅττι κεν εἴπω·
κρῖν’ ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον,
ὡς φρήτρη φρήτρηφιν ἀρήγηι, φῦλα δὲ φύλοις.
εἰ δέ κεν ὣς ἔρξηις καί τοι πείθωνται Ἀχαιοὶ,
γνώσηι ἔπειθ’ ὅς θ’ ἡγεμόνων κακὸς ὅς τέ νυ λαῶν
ἠδ’ ὅς κ’ ἐσθλὸς ἔηισι· κατὰ σφέας γὰρ μαχέονται·
γνώσεαι δ’ εἰ καὶ θεσπεσίηι πόλιν οὐκ ἀλαπάξεις,
ἢ ἀνδρῶν κακότητι καὶ ἀφραδίηι πολέμοιο.” Nestor
“Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον, 2.434
μηκέτι νῦν δήθ’ αὖθι λεγώμεθα, μηδ’ ἔτι δηρὸν
ἀμβαλλώμεθα ἔργον, ὃ δὴ θεὸς ἐγγυαλίζει.
ἀλλ’ ἄγε, κήρυκες μὲν Ἀχαιῶν χαλκοχιτώνων
λαὸν κηρύσσοντες ἀγειρόντων κατὰ νῆας,
ἡμεῖς δ’ ἀθρόοι ὧδε κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν Nestor
ἴομεν, ὄφρα κε θᾶσσον ἐγείρομεν ὀξὺν Ἄρηα.”
“νῦν δὴ κάλλιόν ἐστι μεταλλῆσαι καὶ ἐρέσθαι 3.69
ξείνους, οἵ_τινες εἰσιν, ἐπεὶ τάρπησαν ἐδωδῆς.
ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ’ ὑγρὰ κέλευθα;
ἤ τι κατὰ πρῆξιν ἢ μαψιδίως ἀλάλησθε,
οἷά τε ληϊστῆρες, ὑπεὶρ ἅλα, τοί_τ’ ἀλόωνται
ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες;” Nestor
“ὦ φίλ’, ἐπεί μ’ ἔμνησας ὀϊζύος, ἣν ἐν ἐκείνωι 3.103
δήμωι ἀνέτλημεν μένος ἄσχετοι υἷες Ἀχαιῶν,
ἠμὲν ὅσα ξὺν νηυσὶν ἐπ’ ἠεροειδέα πόντον
πλαζόμενοι κατὰ ληΐδ’, ὅπηι ἄρξειεν Ἀχιλλεὺς,
ἠδ’ ὅσα καὶ περὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος
μαρνάμεθ’· ἔνθα δ’ ἔπειτα κατέκταθεν ὅσσοι ἄριστοι.
ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ’ Ἀχιλλεὺς,
ἔνθα δὲ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος,
ἔνθα δ’ ἐμὸς φίλος υἱός, ἅμα κρατερὸς καὶ ἀμύμων,
Ἀντίλοχος, περὶ μὲν θείειν ταχὺς ἠδὲ μαχητής·
ἄλλα τε πόλλ’ ἐπὶ τοῖς πάθομεν κακά· τίς κεν ἐκεῖνα
πάντα γε μυθήσαιτο καταθνητῶν ἀνθρώπων;
οὐδ’ εἰ πεντάετές γε καὶ ἑξάετες παραμίμνων
ἐξερέοις ὅσα κεῖθι πάθον κακὰ δῖοι Ἀχαιοί·
πρίν κεν ἀνιηθεὶς σὴν πατρίδα γαῖαν ἵκοιο.
εἰνάετες γάρ σφιν κακὰ ῥάπτομεν ἀμφιέποντες
παντοίοισι δόλοισι, μόγις δ’ ἐτέλεσσε Κρονίων.
ἔνθ’ οὔ_τίς ποτε μῆτιν ὁμοιωθήμεναι ἄντην
ἤθελ’, ἐπεὶ μάλα πολλὸν ἐνίκα δῖος Ὀδυσσεὺς

παντοίοισι δόλοισι, πατὴρ τεὸς, εἰ ἐτεόν γε
κείνου ἔκγονός ἐσσι· σέβας μ' ἔχει εἰσορόωντα.
ἤτοι γὰρ μῦθοί γε ἐοικότες, οὐδέ κε φαίης
ἄνδρα νεώτερον ὧδε ἐοικότα μυθήσασθαι.
ἔνθ' ἤτοι εἵως μὲν ἐγὼ καὶ δῖος Ὀδυσσεὺς
οὔτε ποτ' εἰν ἀγορῆι δίχ' ἐβάζομεν οὔτ' ἐνὶ βουλῆι,
ἀλλ' ἕνα θυμὸν ἔχοντε νόωι καὶ ἐπίφρονι βουλῆι
φραζόμεθ' Ἀργείοισιν ὅπως ὄχ' ἄριστα γένοιτο.
αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπὴν,
βῆμεν δ' ἐν νήεσσι, θεὸς δ' ἐκέδασσεν Ἀχαιοὺς,
καὶ τότε δὴ Ζεὺς λυγρὸν ἐνὶ φρεσὶ μήδετο νόστον
Ἀργείοις, ἐπεὶ οὔ_τι νοήμονες οὐδὲ δίκαιοι
πάντες ἔσαν· τῶι σφεων πολέες κακὸν οἶτον ἐπέσπον
μήνιος ἐξ ὀλοῆς Γλαυκώπιδος ὀβριμοπάτρης,
ἥ_τ' ἔριν Ἀτρείδηισι μετ' ἀμφοτέροισιν ἔθηκεν.
τὼ δὲ καλεσσαμένω ἀγορήν ἐς πάντας Ἀχαιοὺς,
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐς ἠέλιον καταδύντα —
οἱ δ' ἦλθον οἴνωι βεβαρηότες υἷες Ἀχαιῶν —
μῦθον μυθείσθην, τοῦ εἵνεκα λαὸν ἄγειραν.
ἔνθ' ἤτοι Μενέλαος ἀνώγει πάντας Ἀχαιοὺς
νόστου μιμνήσκεσθαι ἐπ' εὐρέα νῶτα θαλάσσης,
οὐδ' Ἀγαμέμνονι πάμπαν ἑήνδανε· βούλετο γάρ ῥα
λαὸν ἐρυκακέειν, ῥέξαι θ' ἱερὰς ἑκατόμβας,
ὡς τὸν Ἀθηναίης δεινὸν χόλον ἐξακέσαιτο,
νήπιος, οὐδὲ τὸ ἤιδε', ὃ οὐ πείσεσθαι ἔμελλεν·
οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων.
ὣς τὼ μὲν χαλεποῖσιν ἀμειβομένω ἐπέεσσιν
ἕστασαν· οἱ δ' ἀνόρουσαν ἐϋκνήμιδες Ἀχαιοὶ
ἠχῆι θεσπεσίηι, δίχα δέ σφισιν ἥνδανε βουλή.
νύκτα μὲν ἀέσαμεν χαλεπὰ φρεσὶν ὁρμαίνοντες
ἀλλήλοις· ἐπὶ γὰρ Ζεὺς ἤρτυε πῆμα κακοῖο·
ἠῶθεν δ' οἱ μὲν νέας εἵλκομεν εἰς ἅλα δῖαν
κτήματά τ' ἐντιθέμεσθα βαθυζώνους τε γυναῖκας·
ἡμίσεες δ' ἄρα λαοί ἐρητύοντο μένοντες
αὖθι παρ' Ἀτρείδηι Ἀγαμέμνονι, ποιμένι λαῶν·
ἡμίσεες δ' ἀναβάντες ἐλαύνομεν. αἱ δὲ μάλ' ὦκα
ἔπλεον, ἐστόρεσεν δὲ θεὸς μεγακήτεα πόντον.
ἐς Τένεδον δ' ἐλθόντες ἐρέξαμεν ἱρὰ θεοῖσιν,
οἴκαδε ἱέμενοι· Ζεὺς δ' οὔ_πω μήδετο νόστον,
σχέτλιος, ὅς ῥ' ἔριν ὦρσε κακὴν ἔπι δεύτερον αὖτις.
οἱ μὲν ἀποστρέψαντες ἔβαν νέας ἀμφιελίσσας
ἀμφ' Ὀδυσῆα ἄνακτα δαΐφρονα, ποικιλομήτην,
αὖτις ἐπ' Ἀτρείδηι Ἀγαμέμνονι ἦρα φέροντες·
αὐτὰρ ἐγὼ σὺν νηυσὶν ἀολλέσιν, αἵ μοι ἕποντο,
φεῦγον, ἐπεὶ γίγνωσκον ὃ δὴ κακὰ μήδετο δαίμων.
φεῦγε δὲ Τυδέος υἱὸς ἀρήϊος, ὦρσε δ' ἑταίρους.
ὀψὲ δὲ δὴ μετὰ νῶϊ κίε ξανθὸς Μενέλαος,
ἐν Λέσβωι δ' ἔκιχεν δολιχὸν πλόον ὁρμαίνοντας,
ἢ καθύπερθε Χίοιο νεοίμεθα παιπαλοέσσης
νήσου ἔπι Ψυρίης, αὐτὴν ἐπ' ἀριστέρ' ἔχοντες,
ἢ ὑπένερθε Χίοιο, παρ' ἠνεμόεντα Μίμαντα.
ᾐτέομεν δὲ θεὸν φῆναι τέρας· αὐτὰρ ὅ_γ' ἡμῖν
δεῖξε, καὶ ἠνώγει πέλαγος μέσον εἰς Εὔβοιαν
τέμνειν, ὄφρα τάχιστα ὑπὲκ κακότητα φύγοιμεν.
ὦρτο δ' ἐπὶ λιγὺς οὖρος ἀήμεναι· αἱ δὲ μάλ' ὦκα
ἰχθυόεντα κέλευθα διέδραμον, ἐς δὲ Γεραιστὸν
ἐννύχιαι κατάγοντο· Ποσειδάωνι δὲ ταύρων
πόλλ' ἐπὶ μῆρ' ἔθεμεν, πέλαγος μέγα μετρήσαντες.
τέτρατον ἦμαρ ἔην, ὅτ' ἐν Ἄργεϊ νῆας ἐΐσας
Τυδεΐδεω ἕταροι Διομήδεος ἱπποδάμοιο
ἕστασαν· αὐτὰρ ἐγώ_γε Πύλονδ' ἔχον, οὐδέ ποτ' ἔσβη
οὖρος, ἐπεὶ_δὴ πρῶτα θεὸς προέηκεν ἀῆναι.
ὣς ἦλθον, φίλε τέκνον, ἀπευθὴς, οὐδέ τι οἶδα
κείνων, οἵ τ' ἐσάωθεν Ἀχαιῶν οἵ τ' ἀπόλοντο.
ὅσσα δ' ἐνὶ μεγάροισι καθήμενος ἡμετέροισιν
πεύθομαι, ἣ θέμις ἐστὶ, δαήσεαι, οὐδέ σε κεύσω.
εὖ μὲν Μυρμιδόνας φάσ' ἐλθέμεν ἐγχεσιμώρους,
οὓς ἄγ' Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱὸς,
εὖ δὲ Φιλοκτήτην, Ποιάντιον ἀγλαὸν υἱόν·
πάντας δ' Ἰδομενεὺς Κρήτην εἰσήγαγ' ἑταίρους,
οἳ φύγον ἐκ πολέμου, πόντος δέ οἱ οὔ_τιν' ἀπηύρα.
Ἀτρείδην δὲ καὶ αὐτοὶ ἀκούετε νόσφιν ἐόντες,
ὥς τ' ἦλθ' ὥς τ' Αἴγισθος ἐμήσατο λυγρὸν ὄλεθρον.
ἀλλ' ἤτοι κεῖνος μὲν ἐπισμυγερῶς ἀπέτεισεν·
ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι
ἀνδρὸς, ἐπεὶ καὶ κεῖνος ἐτείσατο πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὅ οἱ πατέρα κλυτὸν ἔκτα.
καὶ σὺ, φίλος — μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε — **Nestor**
ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων ἐῢ εἴπηι."
"ὦ φίλ', ἐπεὶ δὴ ταῦτά μ' ἀνέμνησας καὶ ἔειπες, **3.211**
φασὶ μνηστῆρας σῆς μητέρος εἵνεκα πολλοὺς
ἐν μεγάροις, ἀέκητι σέθεν, κακὰ μηχανάασθαι.
εἰπέ μοι ἠὲ ἑκὼν ὑποδάμνασαι, ἦ σέ_γε λαοὶ
ἐχθαίρουσ' ἀνὰ δῆμον, ἐπισπόμενοι θεοῦ ὀμφῆι.
τίς δ' οἶδ', εἴ κέ ποτέ σφι βίας ἀποτείσεται ἐλθὼν,
ἤ_ ὅ_γε μοῦνος ἐών, ἢ καὶ σύμπαντες Ἀχαιοί;
εἰ γάρ σ' ὣς ἐθέλοι φιλέειν γλαυκῶπις Ἀθήνη
ὡς τότ' Ὀδυσσῆος περικήδετο κυδαλίμοιο
δήμωι ἔνι Τρώων, ὅθι πάσχομεν ἄλγε' Ἀχαιοί —
οὐ γάρ πω ἴδον ὧδε θεοὺς ἀναφανδὰ φιλεῦντας,
ὡς κείνωι ἀναφανδὰ παρίστατο Παλλὰς Ἀθήνη —
εἴ σ' οὕτως ἐθέλοι φιλέειν κήδοιτό τε θυμῶι,
τῶι κέν τις κείνων γε καὶ ἐκλελάθοιτο γάμοιο." **Nestor**
"τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω. **3.254**
ἤτοι μὲν τόδε καὐτὸς ὀΐεαι, ὥς κεν ἐτύχθη,
εἰ ζώον_γ' Αἴγισθον ἐνὶ μεγάροισιν ἔτετμεν
Ἀτρείδης Τροίηθεν ἰών, ξανθὸς Μενέλαος·
τῶι κέ οἱ οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν,
ἀλλ' ἄρα τόν_γε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν
κείμενον ἐν πεδίωι ἑκὰς ἄστεος, οὐδέ κέ τίς μιν

κλαῦσεν Ἀχαιϊάδων· μάλα γὰρ μέγα μήσατο ἔργον.
ἡμεῖς μὲν γὰρ κεῖθι πολέας τελέοντες ἀέθλους
ἥμεθ'· ὁ δ' εὔκηλος μυχῶι Ἄργεος ἱπποβότοιο
πόλλ' Ἀγαμεμνονέην ἄλοχον θέλγεσκ' ἐπέεσσιν.
ἡ δ' ἤτοι τὸ πρὶν μὲν ἀναίνετο ἔργον ἀεικὲς,
δῖα Κλυταιμήστρη· φρεσὶ γὰρ κέχρητ' ἀγαθῆισιν.
πὰρ δ' ἄρ' ἔην καὶ ἀοιδὸς ἀνὴρ, ὧι πόλλ' ἐπέτελλεν
Ἀτρεΐδης Τροίηνδε κιὼν εἴρυσθαι ἄκοιτιν.
ἀλλ' ὅτε δή μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι,
δὴ τότε τὸν μὲν ἀοιδὸν ἄγων ἐς νῆσον ἐρήμην
κάλλιπεν οἰωνοῖσιν ἕλωρ καὶ κύρμα γενέσθαι,
τὴν δ' ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅνδε δόμονδε.
πολλὰ δὲ μηρί' ἔκηε θεῶν ἱεροῖς ἐπὶ βωμοῖς,
πολλὰ δ' ἀγάλματ' ἀνῆψεν, ὑφάσματά τε χρυσόν τε,
ἐκτελέσας μέγα ἔργον, ὃ οὔ_ποτε ἔλπετο θυμῶι.
ἡμεῖς μὲν γὰρ ἅμα πλέομεν Τροίηθεν ἰόντες,
Ἀτρεΐδης καὶ ἐγὼ, φίλα εἰδότες ἀλλήλοισιν·
ἀλλ' ὅτε Σούνιον ἱρὸν ἀφικόμεθ', ἄκρον Ἀθηνέων,
ἔνθα κυβερνήτην Μενελάου Φοῖβος Ἀπόλλων
οἷς ἀγανοῖσι βέλεσσιν ἐποιχόμενος κατέπεφνεν,
πηδάλιον μετὰ χερσὶ θεούσης νηὸς ἔχοντα,
Φρόντιν Ὀνητορίδην, ὃς ἐκαίνυτο φῦλ' ἀνθρώπων
νῆα κυβερνῆσαι, ὁπότε σπέρχοιεν ἄελλαι.
ὣς ὁ μὲν ἔνθα κατέσχετ', ἐπειγόμενός περ ὁδοῖο,
ὄφρ' ἕταρον θάπτοι καὶ ἐπὶ κτέρεα κτερίσειεν.
ἀλλ' ὅτε δὴ καὶ κεῖνος ἰὼν ἐπὶ οἴνοπα πόντον
ἐν νηυσὶ γλαφυρῆισι Μαλειάων ὄρος αἰπὺ
ἷξε θέων, τότε δὴ στυγερὴν ὁδὸν εὐρύοπα Ζεὺς
ἐφράσατο, λιγέων δ' ἀνέμων ἐπ' ἀϋτμένα χεῦεν
κύματά τε τροφόεντα πελώρια, ἶσα ὄρεσσιν.
ἔνθα διατμήξας τὰς μὲν Κρήτηι ἐπέλασσεν,
ἧχι Κύδωνες ἔναιον Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
ἔστι δέ τις λισσὴ αἰπεῖά τε εἰς ἅλα πέτρη
ἐσχατιῆι Γόρτυνος, ἐν ἠεροειδέϊ πόντωι·
ἔνθα Νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ,
ἐς Φαιστὸν, μικρὸς δὲ λίθος μέγα κῦμ' ἀποέργει.
αἱ μὲν ἄρ' ἔνθ' ἦλθον, σπουδῆι δ' ἤλυξαν ὄλεθρον
ἄνδρες, ἀτὰρ νῆάς γε ποτὶ σπιλάδεσσιν ἔαξαν
κύματ'· ἀτὰρ τὰς πέντε νέας κυανοπρωιρείους
Αἰγύπτωι ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ.
ὣς ὁ μὲν ἔνθα πολὺν βίοτον καὶ χρυσὸν ἀγείρων
ἠλᾶτο ξὺν νηυσὶ κατ' ἀλλοθρόους ἀνθρώπους·
τόφρα δὲ ταῦτ' Αἴγισθος ἐμήσατο οἴκοθι λυγρὰ,
κτείνας Ἀτρεΐδην, δέδμητο δὲ λαὸς ὑπ' αὐτῶι.
ἑπτάετες δ' ἤνασσε πολυχρύσοιο Μυκήνης,
τῶι δέ οἱ ὀγδοάτωι κακὸν ἤλυθε δῖος Ὀρέστης
ἂψ ἀπ' Ἀθηνάων, κατὰ δ' ἔκτανε πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὅ οἱ πατέρα κλυτὸν ἔκτα.
ἤτοι ὁ τὸν κτείνας δαίνυ τάφον Ἀργείοισιν
μητρός τε στυγερῆς καὶ ἀνάλκιδος Αἰγίσθοιο·
αὐτῆμαρ δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος,
πολλὰ κτήματ' ἄγων, ὅσα οἱ νέες ἄχθος ἄειραν.
καὶ σὺ, φίλος, μὴ δηθὰ δόμων ἄπο τῆλ' ἀλάλησο,
κτήματά τε προλιπὼν ἄνδράς τ' ἐν σοῖσι δόμοισιν
οὕτω ὑπερφιάλους, μή τοι κατὰ πάντα φάγωσιν
κτήματα δασσάμενοι, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθηις.
ἀλλ' ἐς μὲν Μενέλαον ἐγὼ κέλομαι καὶ ἄνωγα
ἐλθεῖν· κεῖνος γὰρ νέον ἄλλοθεν εἰλήλουθεν,
ἐκ τῶν ἀνθρώπων ὅθεν οὐκ ἔλποιτό γε θυμῶι
ἐλθέμεν, ὅν_τινα πρῶτον ἀποσφήλωσιν ἄελλαι
ἐς πέλαγος μέγα τοῖον, ὅθεν τέ περ οὐδ' οἰωνοὶ
αὐτόετες οἰχνεῦσιν, ἐπεὶ μέγα τε δεινόν τε.
ἀλλ' ἴθι νῦν σὺν νηΐ τε σῆι καὶ σοῖς ἑτάροισιν·
εἰ δ' ἐθέλεις πεζὸς, πάρα τοι δίφρος τε καὶ ἵπποι,
πὰρ δέ τοι υἷες ἐμοὶ, οἵ τοι πομπῆες ἔσονται
ἐς Λακεδαίμονα δῖαν, ὅθι ξανθὸς Μενέλαος.
λίσσεσθαι δέ μιν αὐτὸς, ἵνα νημερτὲς ἐνίσπηι·
ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστίν." **Nestor**
"Ζεὺς τό γ' ἀλεξήσειε καὶ ἀθάνατοι θεοὶ ἄλλοι, **3.346**
ὡς ὑμεῖς παρ' ἐμεῖο θοὴν ἐπὶ νῆα κίοιτε
ὥς_τέ τε_ ἢ παρὰ πάμπαν ἀνείμονος ἠὲ πενιχροῦ,
ὧι οὔ_τι χλαῖναι καὶ ῥήγεα πόλλ' ἐνὶ οἴκωι,
οὔτ' αὐτῶι μαλακῶς οὔτε ξείνοισιν ἐνεύδειν.
αὐτὰρ ἐμοὶ πάρα μὲν χλαῖναι καὶ ῥήγεα καλά·
οὔ θην δὴ τοῦδ' ἀνδρὸς Ὀδυσσῆος φίλος υἱός
νηὸς ἐπ' ἰκριόφιν καταλέξεται, ὄφρ' ἂν ἐγώ_γε
ζώω, ἔπειτα δὲ παῖδες ἐνὶ μεγάροισι λίπωνται
ξείνους ξεινίζειν, ὅς τίς κ' ἐμὰ δώμαθ' ἵκηται." **Nestor**
"ὦ φίλος, οὔ σε ἔολπα κακὸν καὶ ἄναλκιν ἔσεσθαι, **3.375**
εἰ δή τοι νέωι ὧδε θεοὶ πομπῆες ἕπονται.
οὐ μὲν γάρ τις ὅδ' ἄλλος Ὀλύμπια δώματ' ἐχόντων,
ἀλλὰ Διὸς θυγάτηρ, ἀγελείη Τριτογένεια, **v.l. κυδίστη**
ἥ τοι καὶ πατέρ' ἐσθλὸν ἐν Ἀργείοισιν ἐτίμα.
ἀλλὰ, ἄνασσ', ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλὸν,
αὐτῶι καὶ παίδεσσι καὶ αἰδοίηι παρακοίτι·
σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἦνιν εὐρυμέτωπον,
ἀδμήτην, ἣν οὔ_πω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ·
τήν τοι ἐγὼ ῥέξω, χρυσὸν κέρασιν περιχεύας." **Nestor**
"καρπαλίμως μοι, τέκνα φίλα, κρηήνατ' ἐέλδωρ, **3.418**
ὄφρ' ἤτοι πρώτιστα θεῶν ἱλάσωμεθ' Ἀθήνην,
ἥ μοι ἐναργὴς ἦλθε θεοῦ ἐς δαῖτα θάλειαν.
ἀλλ' ἄγ' ὁ μὲν πεδίονδ' ἐπὶ βοῦν ἴτω, ὄφρα τάχιστα
ἔλθησιν, ἐλάσηι δὲ βοῶν ἐπιβουκόλος ἀνήρ·
εἷς δ' ἐπὶ Τηλεμάχου μεγαθύμου νῆα μέλαιναν
πάντας ἰὼν ἑτάρους ἀγέτω, λιπέτω δὲ δύ' οἴους·
εἷς δ' αὖ χρυσοχόον Λαέρκεα δεῦρο κελέσθω
ἐλθεῖν, ὄφρα βοὸς χρυσὸν κέρασιν περιχεύηι.
οἱ δ' ἄλλοι μένετ' αὐτοῦ ἀολλέες, εἴπετε δ' εἴσω
δμωιῆισιν κατὰ δώματ' ἀγακλυτὰ δαῖτα πένεσθαι,
ἕδρας τε ξύλα τ' ἀμφὶ καὶ ἀγλαὸν οἰσέμεν ὕδωρ."

3.475 “παῖδες ἐμοί, ἄγε Τηλεμάχωι καλλίτριχας ἵππους
ζεύξαθ᾽ ὑφ᾽ ἅρματ᾽ ἄγοντες, ἵνα πρήσσῃσιν ὁδοῖο.”
4.318 “Ἀτρεΐδη, μάλα μέν κεν ἐγὼν ἐθέλοιμι καὶ αὐτὸς
ὣς ἔμεν ὡς ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν.
ἀλλ᾽ οὔ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν·
εἰ τότε κοῦρος ἔα, νῦν αὖτέ με γῆρας ὀπάζει.
ἀλλὰ καὶ ὣς ἱππεῦσι μετέσσομαι ἠδὲ κελεύσω
βουλῆι καὶ μύθοισι· τὸ γὰρ γέρας ἐστὶ γερόντων.
αἰχμὰς δ᾽ αἰχμάσσουσι νεώτεροι, οἵ_περ ἐμεῖο
Nestor ὁπλότεροι γεγάασι πεποίθασίν τε βίηφιν.”
6.67 “ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
μή τις νῦν ἐνάρων ἐπιβαλλόμενος μετόπισθεν
μιμνέτω, ὥς κεν πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται,
ἀλλ᾽ ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ ἕκηλοι
Nestor νεκροὺς ἂμ πεδίον συλήσετε τεθνηῶτας.”
7.124 “ὢ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει,
ἦ κε μέγ᾽ οἰμώξειε γέρων ἱππηλάτα Πηλεὺς,
ἐσθλὸς Μυρμιδόνων βουληφόρος ἠδ᾽ ἀγορητὴς,
ὅς ποτέ μ᾽ εἰρόμενος μέγ᾽ ἐγήθεεν ὧι ἐνὶ οἴκωι,
πάντων Ἀργείων ἐρέων γενεήν τε τόκον τε.
τοὺς νῦν εἰ πτώσσοντας ὑφ᾽ Ἕκτορι πάντας ἀκούσαι,
πολλά κεν ἀθανάτοισι φίλας ἀνὰ χεῖρας ἀείραι,
θυμὸν ἀπὸ μελέων δῦναι δόμον Ἄϊδος εἴσω.
◆ αἲ γὰρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
ἡβῶιμ᾽ ὡς ὅτ᾽ ἐπ᾽ ὠκυρόωι Κελάδοντι μάχοντο
ἀγρόμενοι Πύλιοί τε καὶ Ἀρκάδες ἐγχεσίμωροι,
Φειᾶς πὰρ τείχεσσιν, Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
τοῖσι δ᾽ Ἐρευθαλίων πρόμος ἵστατο, ἰσόθεος φὼς,
τεύχε᾽ ἔχων ὤμοισιν Ἀρηϊθόοιο ἄνακτος,
δίου Ἀρηϊθόου, τὸν ἐπίκλησιν Κορυνήτην
ἄνδρες κίκλησκον καλλίζωνοί τε γυναῖκες,
οὕνεκ᾽ ἄρ᾽ οὐ τόξοισι μαχέσκετο δουρί τε μακρῶι,
ἀλλὰ σιδηρείηι κορύνηι ῥήγνυσκε φάλαγγας.
τὸν Λυκόοργος ἔπεφνε δόλωι, οὔ_τι κράτεΐ γε,
στεινωπῶι ἐν ὁδῶι, ὅθ᾽ ἄρ᾽ οὐ κορύνη οἱ ὄλεθρον
χραῖσμε σιδηρείη· πριν γὰρ Λυκόοργος ὑποφθὰς
δουρὶ μέσον περόνησεν, ὁ δ᾽ ὕπτιος οὔδει ἐρείσθη·
τεύχεα δ᾽ ἐξενάριξε, τά οἱ πόρε χάλκεος Ἄρης,
καὶ τὰ μὲν αὐτὸς ἔπειτ᾽ ἐφόρει μετὰ μῶλον Ἄρηος.
αὐτὰρ ἐπεὶ Λυκόοργος ἐνὶ μεγάροισιν ἐγήρα,
δῶκε δ᾽ Ἐρευθαλίωνι, φίλωι θεράποντι, φορῆναι·
τοῦ ὅ_γε τεύχε᾽ ἔχων προκαλίζετο πάντας ἀρίστους.
οἱ δὲ μάλ᾽ ἐτρόμεον καὶ ἐδείδισαν οὐδέ τις ἔτλη·
ἀλλ᾽ ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμων πολεμίζειν
θάρσεϊ ὧι· γενεῆι δὲ νεώτατος ἔσκον ἁπάντων·
καὶ μαχόμην οἱ ἐγώ, δῶκεν δέ μοι εὖχος Ἀθήνη.
τὸν δὴ μήκιστον καὶ κάρτιστον κτάνον ἄνδρα·
πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα.
εἴθ᾽ ὣς ἡβώοιμι, βίη δέ μοι ἔμπεδος εἴη·
τῶι κε τάχ᾽ ἀντήσειε μάχης κορυθαιόλος Ἕκτωρ.
ὑμέων δ᾽ οἵ_περ ἔασιν ἀριστῆες Παναχαιῶν, Nestor
οὐδ᾽ οἱ προφρονέως μέμαθ᾽ Ἕκτορος ἀντίον ἐλθεῖν.”
“κλήρωι νῦν πεπάλαχθε διαμπερὲς, ὅς κε λάχησιν· 7.171
οὗτος γὰρ δὴ ὀνήσει ἐϋκνήμιδας Ἀχαιούς·
καὶ δ᾽ αὐτὸς ὃν θυμὸν ὀνήσεται, αἴ κε φύγησιν
δηΐου ἐκ πολέμοιο καὶ αἰνῆς δηϊοτῆτος.”
“Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν, 7.327
πολλοὶ γὰρ τεθνᾶσι κάρη_κομόωντες Ἀχαιοί,
τῶν νῦν αἷμα κελαινὸν ἐΰρροον ἀμφὶ Σκάμανδρον
ἐσκέδασ᾽ ὀξὺς Ἄρης, ψυχαὶ δ᾽ Ἄϊδόσδε κατῆλθον·
τῶι σε χρὴ πόλεμον μὲν ἅμ ἠοῖ παῦσαι Ἀχαιῶν,
αὐτοὶ δ᾽ ἀγρόμενοι κυκλήσομεν ἐνθάδε νεκροὺς ◆
βουσὶ καὶ ἡμιόνοισιν· ἀτὰρ κατακείομεν αὐτοὺς
τυτθὸν ἄποπρο νεῶν, ὥς κ᾽ ὀστέα παισὶν ἕκαστος
οἴκαδ᾽ ἄγηι, ὅτ᾽ ἂν αὖτε νεώμεθα πατρίδα γαῖαν.
τύμβον τ᾽ ἀμφὶ πύρην ἕνα χεύομεν ἐξαγαγόντες
ἄκριτον ἐκ πεδίου· ποτὶ δ᾽ αὐτὸν δείμομεν ὦκα
πύργους ὑψηλοὺς, εἶλαρ νηῶν τε καὶ αὐτῶν.
ἐν δ᾽ αὐτοῖσι πύλας ποιήσομεν εὖ ἀραρυίας,
ὄφρα δι᾽ αὐτάων ἱππηλασίη ὁδὸς εἴη·
ἔκτοσθεν δὲ βαθεῖαν ὀρύξομεν ἐγγύθι τάφρον,
ἥ χ᾽ ἵππον καὶ λαὸν ἐρυκάκοι ἀμφὶς ἐοῦσα,
μή ποτ᾽ ἐπιβρίσηι πόλεμος Τρώων ἀγερώχων.” Nestor
“Τυδεΐδη, ἄγε δὴ αὖτε φόβονδ᾽ ἔχε μώνυχας ἵππους. 8.139
ἦ οὐ γιγνώσκεις ὅ τοι ἐκ Διὸς οὐχ ἕπετ᾽ ἀλκή;
νῦν μὲν γὰρ τούτωι Κρονίδης Ζεὺς κῦδος ὀπάζει,
σήμερον· ὕστερον αὖτε καὶ ἡμῖν, αἴ κ᾽ ἐθέλησιν,
δώσει· ἀνὴρ δέ κεν οὔ_τι Διὸς νόον εἰρύσσαιτο,
οὐδὲ μάλ᾽ ἴφθιμος, ἔπειτα πολὺ φέρτερός ἐστιν.” Nestor
“ὤμοι, Τυδέος υἱὲ δαΐφρονος, οἷον ἔειπες. 8.152
εἴ_περ γάρ σ᾽ Ἕκτωρ γε κακὸν καὶ ἀνάλκιδα φήσει,
ἀλλ᾽ οὐ πείσονται Τρῶες καὶ Δαρδανίωνες
καὶ Τρώων ἄλοχοι μεγαθύμων ἀσπιστάων,
τοίων ἐν κονίηισι βάλες θαλεροὺς παρακοίτας.” Nestor
“Τυδεΐδη, περὶ μὲν πολέμωι ἔνι καρτερός ἐσσι, 9.53
καὶ βουλῆι μετὰ πάντας ὁμήλικας ἔπλε᾽ ἄριστος·
οὔ_τίς τοι τὸν μῦθον ὀνόσσεται, ὅσσοι Ἀχαιοί,
οὐδὲ πάλιν ἐρέει· ἀτὰρ οὐ τέλος ἵκεο μύθων.
ἦ μὲν καὶ νέος ἐσσί, ἐμὸς δέ κε καὶ πάϊς εἴης
ὁπλότατος γενεῆφιν· ἀτὰρ πεπνυμένα βάζεις
Ἀργείων βασιλῆας, ἐπεὶ κατὰ μοῖραν ἔειπες.
ἀλλ᾽ ἄγ᾽ ἐγών, ὃς σεῖο γεραίτερος εὔχομαι εἶναι,
ἐξείπω καὶ πάντα διίξομαι. οὐδέ κέ τίς μοι
μῦθον ἀτιμήσει, οὐδὲ κρείων Ἀγαμέμνων.
ἀφρήτωρ ἀθέμιστος ἀνέστιός ἐστιν ἐκεῖνος
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.
ἀλλ᾽ ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ
δόρπα τ᾽ ἐφοπλισόμεσθα· φυλακτῆρες δὲ ἕκαστοι
λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.
κούροισιν μὲν ταῦτ᾽ ἐπιτέλλομαι· αὐτὰρ ἔπειτα,

Ἀτρεΐδη, σὺ μὲν ἄρχε· σὺ γὰρ βασιλεύτατός ἐσσι.
δαίνυ δαῖτα γέρουσιν· ἔοικέ τοι, οὔ τοι ἀεικές.
πλεῖαί τοι οἴνου κλισίαι, τὸν νῆες Ἀχαιῶν
ἠμάτιαι Θρῄκηθεν ἐπ' εὐρέα πόντον ἄγουσιν·
πᾶσά τοί ἐσθ' ὑποδεξίη, πολέεσσι δ' ἀνάσσεις.
πολλῶν δ' ἀγρομένων τῶι πείσεαι ὅς κεν ἀρίστην
βουλὴν βουλεύσηι· μάλα δὲ χρεὼ πάντας Ἀχαιοὺς
ἐσθλῆς καὶ πυκινῆς, ὅτι δήϊοι ἐγγύθι νηῶν
καίουσιν πυρὰ πολλά· τίς ἂν τάδε γηθήσειεν;
Nestor νὺξ δ' ἥδ' ἠὲ διαρραίσει στρατὸν ἠὲ σαώσει."
9.96 "Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι, οὕνεκα πολλῶν
λαῶν ἐσσι ἄναξ, καί τοι Ζεὺς ἐγγυάλιξεν
σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφισι βουλεύηισθα.
τῶι σε χρὴ πέρι μὲν φάσθαι ἔπος ἠδ' ἐπακοῦσαι,
κρηῆναι δὲ καὶ ἄλλωι, ὅτ' ἄν τινα θυμὸς ἀνώγηι
εἰπεῖν εἰς ἀγαθόν· σέο δ' ἕξεται ὅττί κεν ἄρχηι.
αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
οὐ γάρ τις νόον ἄλλος ἀμείνονα τοῦδε νοήσει,
οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι ἠδ' ἔτι καὶ νῦν,
ἐξ ἔτι τοῦ ὅτε, διογενές, Βρισηΐδα κούρην
χωομένου Ἀχιλῆος ἔβης κλισίηθεν ἀπούρας,
οὔ τι καθ' ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἐγώ γε
πόλλ' ἀπεμυθεόμην· σὺ δὲ σῶι μεγαλήτορι θυμῶι
εἴξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν,
ἠτίμησας· ἑλὼν γὰρ ἔχεις γέρας. ἀλλ' ἔτι καὶ νῦν
φραζώμεσθ', ὥς κέν μιν ἀρεσσάμενοι πεπίθοιμεν
Nestor ✦ δώροισίν τ' ἀγανοῖσιν ἔπεσσί τε μειλιχίοισιν."
9.163 "Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
δῶρα μὲν οὐκέτ' ὀνοστὰ διδοῖς Ἀχιλῆϊ ἄνακτι·
ἀλλ' ἄγετε, κλητοὺς ὀτρύνομεν, οἵ κε τάχιστα
ἔλθωσ' ἐς κλισίην Πηληϊάδεω Ἀχιλῆος.
εἰ δ' ἄγε, τοὺς ἂν ἐγὼν ἐπιόψομαι, οἱ δὲ πιθέσθων.
Φοῖνιξ μὲν πρώτιστα διίφιλος ἡγησάσθω,
αὐτὰρ ἔπειτ' Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς·
κηρύκων δ' Ὀδίος τε καὶ Εὐρυβάτης ἅμ' ἑπέσθων.
φέρτε δὲ χερσὶν ὕδωρ, εὐφημῆσαί τε κέλεσθε,
Nestor ὄφρα Διὶ Κρονίδηι ἀρησόμεθ', αἴ κ' ἐλεήσηι."
10.82 "τίς δ' οὗτος κατὰ νῆας ἀνὰ στρατὸν ἔρχεαι οἶος
νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι;
ἠέ τιν' οὐρήων διζήμενος, ἤ τιν' ἑταίρων;
Nestor φθέγγεο, μηδ' ἀκέων ἐπ' ἔμ' ἔρχεο· τίπτε δέ σε χρεώ;"
10.103 "Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
οὔ θην Ἕκτορι πάντα νοήματα μητίετα Ζεὺς
ἐκτελέει, ὅσα πού νυν ἐέλπεται· ἀλλά μιν οἴω
κήδεσι μοχθήσειν καὶ πλείοσιν, εἴ κεν Ἀχιλλεὺς
ἐκ χόλου ἀργαλέοιο μεταστρέψηι φίλον ἦτορ.
σοὶ δὲ μάλ' ἕψομ' ἐγώ· ποτὶ δ' αὖ καὶ ἐγείρομεν ἄλλους,
ἠμὲν Τυδεΐδην δουρικλυτὸν ἠδ' Ὀδυσῆα
ἠδ' Αἴαντα ταχὺν καὶ Φυλέος ἄλκιμον υἱόν.
ἀλλ' εἴ τις καὶ τούσδε μετοιχόμενος καλέσειεν,
ἀντίθεόν τ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα·
τῶν γὰρ νῆες ἔασιν ἑκαστάτω, οὐδὲ μάλ' ἐγγύς.
ἀλλὰ φίλον περ ἐόντα καὶ αἰδοῖον Μενέλαον
νεικέσω, εἴ πέρ μοι νεμεσήσεαι, οὐδ' ἐπικεύσω,
ὡς εὕδει, σοὶ δ' οἴωι ἐπέτρεψεν πονέεσθαι.
νῦν ὄφελεν κατὰ πάντας ἀριστῆας πονέεσθαι
λισσόμενος· χρειὼ γὰρ ἱκάνεται οὐκέτ' ἀνεκτός." Nestor
"οὕτως οὔ τις οἱ νεμεσήσεται οὐδ' ἀπιθήσει ✦ 10.129
Ἀργείων, ὅτε κέν τιν' ἐποτρύνηι καὶ ἀνώγηι."
"διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ, 10.144
μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς.
ἀλλ' ἕπευ, ὄφρα καὶ ἄλλον ἐγείρομεν, ὅν τ' ἐπέοικεν
βουλὰς βουλεύειν, ἢ φευγέμεν ἠὲ μάχεσθαι." Nestor
"ἔγρεο, Τυδέος υἱέ· τί πάννυχον ὕπνον ἀωτεῖς; 10.159
οὐκ ἀΐεις, ὡς Τρῶες ἐπὶ θρωσμῶι πεδίοιο
εἵαται ἄγχι νεῶν, ὀλίγος δ' ἔτι χῶρος ἐρύκει;" Nestor
"ναὶ δὴ ταῦτά γε πάντα, φίλος, κατὰ μοῖραν ἔειπες· 10.169
εἰσὶν μέν μοι παῖδες ἀμύμονες, εἰσὶ δὲ λαοὶ
καὶ πολέες, τῶν κέν τις ἐποιχόμενος καλέσειεν·
ἀλλὰ μάλα μεγάλη χρειὼ βεβίηκεν Ἀχαιούς.
νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς,
ἢ μάλα λυγρὸς ὄλεθρος Ἀχαιοῖς, ἠὲ βιῶναι.
ἀλλ' ἴθι νῦν, Αἴαντα ταχὺν καὶ Φυλέος υἱὸν
ἄνστησον — σὺ γάρ ἐσσι νεώτερος — εἴ μ' ἐλεαίρεις." Nestor
"οὕτω νῦν, φίλα τέκνα, φυλάσσετε· μηδέ τιν' ὕπνος 10.192
αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσιν." Nestor
"ὦ φίλοι, οὐκ ἂν δή τις ἀνὴρ πεπίθοιθ' ἑῶι αὐτοῦ 10.204
θυμῶι τολμήεντι, μετὰ Τρῶας μεγαθύμους
ἐλθεῖν; εἴ τινά που δηΐων ἕλοι ἐσχατόωντα,
ἤ τινά που καὶ φῆμιν ἐνὶ Τρώεσσι πύθοιτο,
ἅσσα τε μητιόωσι μετὰ σφίσιν, ἢ μεμάασιν
αὖθι μένειν παρὰ νηυσὶν ἀπόπροθεν, ἠὲ πόλινδε
ἂψ ἀναχωρήσουσιν, ἐπεὶ δαμάσαντό γ' Ἀχαιούς.
ταῦτά τε πάντα πύθοιτο, καὶ ἂψ εἰς ἡμέας ἔλθοι
ἀσκηθής· μέγα κέν οἱ ὑπουράνιον κλέος εἴη
πάντας ἐπ' ἀνθρώπους, καί οἱ δόσις ἔσσεται ἐσθλή·
ὅσσοι γὰρ νήεσσιν ἐπικρατέουσιν ἄριστοι,
τῶν πάντων οἱ ἕκαστος ὄϊν δώσουσι μέλαιναν,
θῆλυν ὑπόρρηνον· τῆι μὲν κτέρας οὐδὲν ὁμοῖον,
αἰεὶ δ' ἐν δαίτηισι καὶ εἰλαπίνηισι παρέσται." Nestor
"ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες, 10.533
ψεύσομαι, ἦ ἔτυμον ἐρέω; κέλεται δέ με θυμός.
ἵππων μ' ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει.
αἲ γὰρ δὴ Ὀδυσεύς τε καὶ ὁ κρατερὸς Διομήδης
ὧδ' ἄφαρ ἐκ Τρώων ἐλασαίατο μώνυχας ἵππους.
ἀλλ' αἰνῶς δείδοικα κατὰ φρένα μή τι πάθωσιν
Ἀργείων οἱ ἄριστοι ὑπὸ Τρώων ὀρυμαγδοῦ." Nestor
"εἴπ' ἄγε μ', ὦ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν, 10.544
ὅππως τούσδ' ἵππους λάβετον· καταδύντες ὅμιλον

Τρώων; ἦ τίς σφωε πόρεν θεὸς ἀντιβολήσας;
αἰνῶς ἀκτίνεσσιν ἐοικότες ἠελίοιο.
αἰεὶ μὲν Τρώεσσ' ἐπιμίσγομαι, οὐδέ τί φημι
μιμνάζειν παρὰ νηυσί, γέρων περ ἐὼν πολεμιστής·
ἀλλ' οὔ πω τοίους ἵππους ἴδον οὐδ' ἐνόησα.
ἀλλά τιν' ὔμμ' ὀΐω δόμεναι θεὸν ἀντιάσαντα·
ἀμφοτέρω γὰρ σφῶϊ φιλεῖ νεφεληγερέτα Ζεὺς
κούρη τ' αἰγιόχοιο Διός, γλαυκῶπις Ἀθήνη."

Nestor

11.656 "τίπτε τ' ἄρ ὧδ' Ἀχιλεὺς ὀλοφύρεται υἷας Ἀχαιῶν,
ὅσσοι δὴ βέλεσιν βεβλήαται; οὐδέ τι οἶδεν
πένθεος, ὅσσον ὄρωρε κατὰ στρατόν· οἱ γὰρ ἄριστοι,
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε.
βέβληται μὲν ὁ Τυδεΐδης κρατερὸς Διομήδης,
οὔτασται δ' Ὀδυσεὺς δουρικλυτὸς ἠδ' Ἀγαμέμνων·
βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῶι·
τοῦτον δ' ἄλλον ἐγὼ νέον ἤγαγον ἐκ πολέμοιο,
ἰῶι ἀπὸ νευρῆς βεβλημένον· αὐτὰρ Ἀχιλλεὺς
ἐσθλὸς ἐὼν Δαναῶν οὐ κήδεται οὐδ' ἐλεαίρει.
ἦ μένει, εἰς ὅ κε δὴ νῆες θοαὶ ἄγχι θαλάσσης
Ἀργείων ἀέκητι πυρὸς δηΐοιο θέρωνται,
αὐτοί τε κτεινώμεθ' ἐπισχερώ; — οὐ γὰρ ἐμὴ ἲς
ἔσθ' οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν.
εἴθ' ὣς ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη,
ὡς ὁπότ' Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη
ἀμφὶ βοηλασίηι, ὅτ' ἐγὼ κτάνον Ἰτυμονῆα,
ἐσθλὸν Ὑπειροχίδην, ὃς ἐν Ἤλιδι ναιετάασκεν,
ῥύσι' ἐλαυνόμενος. ὁ δ' ἀμύνων ἧισι βόεσσιν
ἔβλητ' ἐν πρώτοισιν ἐμῆς ἀπὸ χειρὸς ἄκοντι,
κὰδ δ' ἔπεσεν, λαοὶ δὲ περίτρεσαν ἀγροιῶται.
ληΐδα δ' ἐκ πεδίου συνελάσσαμεν ἤλιθα πολλήν,
πεντήκοντα βοῶν ἀγέλας, τόσα πώεα οἰῶν,
τόσσα συῶν συβόσεια, τόσ' αἰπόλια πλατέ' αἰγῶν,
ἵππους δὲ ξανθὰς **ἑκατὸν καὶ πεντήκοντα**,
πάσας θηλείας, πολλῆισι δὲ πῶλοι ὑπῆσαν.
καὶ τὰ μὲν ἠλασάμεσθα Πύλον Νηλήϊον εἴσω
ἐννύχιοι προτὶ ἄστυ· γεγήθει δὲ φρένα Νηλεύς,
οὕνεκά μοι τύχε πολλὰ νέωι πόλεμόνδε κιόντι.
κήρυκες δ' ἐλίγαινον ἅμ' ἠοῖ φαινομένηφιν
τοὺς ἴμεν οἷσι χρεῖος ὀφείλετ' ἐν Ἤλιδι δίηι·
οἱ δὲ συναγρόμενοι Πυλίων ἡγήτορες ἄνδρες
δαίτρευον. πολέσιν γὰρ Ἐπειοὶ χρεῖος ὄφειλον,
ὡς ἡμεῖς παῦροι κεκακωμένοι ἐν Πύλωι ἦμεν·
ἐλθὼν γὰρ ἐκάκωσε βίη Ἡρακληείη
τῶν προτέρων ἐτέων, κατὰ δ' ἔκταθεν ὅσσοι ἄριστοι·
δώδεκα γὰρ Νηλῆος ἀμύμονος υἱέες ἦμεν·
τῶν οἶος λιπόμην, οἱ δ' ἄλλοι πάντες ὄλοντο·
ταῦθ' ὑπερηφανέοντες Ἐπειοὶ χαλκοχίτωνες,
ἡμέας ὑβρίζοντες ἀτάσθαλα μηχανόωντο.
ἐκ δ' ὁ γέρων ἀγέλην τε βοῶν καὶ πῶϋ μέγ' οἰῶν
εἵλετο, κρινάμενος τριηκόσι' ἠδὲ νομῆας.
καὶ γὰρ τῶι χρεῖος μέγ' ὀφείλετ' ἐν Ἤλιδι δίηι,
τέσσαρες ἀθλοφόροι ἵπποι αὐτοῖσιν ὄχεσφιν,
ἐλθόντες μετ' ἄεθλα· περὶ τρίποδος γὰρ ἔμελλον
θεύσεσθαι· τοὺς δ' αὖθι ἄναξ ἀνδρῶν Αὐγείας
κάσχεθε, τὸν δ' ἐλατῆρ' ἀφίει ἀκαχήμενον ἵππων.
τῶν ὁ γέρων ἐπέων κεχολωμένος ἠδὲ καὶ ἔργων
ἐξέλετ' ἄσπετα πολλά· τὰ δ' ἄλλ' ἐς δῆμον ἔδωκεν
δαιτρεύειν, μή τίς οἱ ἀτεμβόμενος κίοι ἴσης.
ἡμεῖς μὲν τὰ ἕκαστα διείπομεν, ἀμφί τε ἄστυ
ἔρδομεν ἱρὰ θεοῖς· οἱ δὲ τρίτωι ἤματι πάντες
ἦλθον ὁμῶς αὐτοί τε πολεῖς καὶ μώνυχες ἵπποι,
πασσυδίηι· μετὰ δέ σφι Μολίονε θωρήσσοντο
παῖδ' ἔτ' ἐόντ', οὔ πω μάλα εἰδότε θούριδος ἀλκῆς.
ἔστι δέ τις Θρυόεσσα πόλις, αἰπεῖα κολώνη,
τηλοῦ ἐπ' Ἀλφειῶι, νεάτη Πύλου ἠμαθόεντος·
τὴν ἀμφεστρατόωντο, διαρραῖσαι μεμαῶτες.
ἀλλ' ὅτε πᾶν πεδίον μετεκίαθον, ἄμμι δ' Ἀθήνη
ἄγγελος ἦλθε θέουσ' ἀπ' Οὐλύμπου θωρήσσεσθαι
ἔννυχος, οὐδ' ἀέκοντα Πύλον κάτα λαὸν ἄγειρεν,
ἀλλὰ μάλ' ἐσσυμένους πολεμίζειν. οὐδ' ἐμὲ Νηλεὺς
εἴα θωρήσσεσθαι, ἀπέκρυψεν δέ μοι ἵππους·
οὐ γάρ πώ τί μ' ἔφη ἴδμεν πολεμήϊα ἔργα·
ἀλλὰ καὶ ὣς ἱππεῦσι μετέπρεπον ἡμετέροισιν,
καὶ πεζός περ ἐών, ἐπεὶ ὣς ἄγε νεῖκος Ἀθήνη.
ἔστι δέ τις ποταμὸς Μινυήϊος εἰς ἅλα βάλλων
ἐγγύθεν Ἀρήνης, ὅθι μείναμεν ἠῶ δῖαν
ἱππῆες Πυλίων, τὰ δ' ἐπέρρεον ἔθνεα πεζῶν.
ἔνθεν πασσυδίηι σὺν τεύχεσι θωρηχθέντες
ἔνδιοι ἱκόμεσθ' ἱερὸν ῥόον Ἀλφειοῖο.
ἔνθα Διὶ ῥέξαντες ὑπερμενεῖ ἱερὰ καλά,
ταῦρον δ' Ἀλφειῶι, ταῦρον δὲ Ποσειδάωνι,
αὐτὰρ Ἀθηναίηι γλαυκώπιδι βοῦν ἀγελαίην,
δόρπον ἔπειθ' ἑλόμεσθα κατὰ στρατὸν ἐν τελέεσσιν,
καὶ κατεκοιμήθημεν ἐν ἔντεσιν οἷσιν ἕκαστος
ἀμφὶ ῥοὰς ποταμοῖο· ἀτὰρ μεγάθυμοι Ἐπειοὶ
ἀμφίσταντο δὴ ἄστυ διαπραθέειν μεμαῶτες.
ἀλλά σφι προπάροιθε φάνη μέγα ἔργον Ἄρηος·
εὖτε γὰρ ἠέλιος φαέθων ὑπερέσχεθε γαίης,
συμφερόμεσθα μάχηι, Διί τ' εὐχόμενοι καὶ Ἀθήνηι.
ἀλλ' ὅτε δὴ Πυλίων καὶ Ἐπειῶν ἔπλετο νεῖκος,
πρῶτος ἐγὼν ἕλον ἄνδρα, κόμισσα δὲ μώνυχας ἵππους,
Μούλιον αἰχμητήν· γαμβρὸς δ' ἦν Αὐγείαο,
πρεσβυτάτην δὲ θύγατρ' εἶχε ξανθὴν Ἀγαμήδην,
ἣ τόσα φάρμακα εἴδη ὅσα τρέφει εὐρεῖα χθών.
τὸν μὲν ἐγὼ προσιόντα βάλον χαλκήρεϊ δουρί,
ἤριπε δ' ἐν κονίηισιν· ἐγὼ δ' ἐς δίφρον ὀρούσας
στῆν ῥα μετὰ προμάχοισιν· ἀτὰρ μεγάθυμοι Ἐπειοὶ
ἔτρεσαν ἄλλυδις ἄλλος, ἐπεὶ ἴδον ἄνδρα πεσόντα
ἡγεμόν' ἱππήων, ὃς ἀριστεύεσκε μάχεσθαι.
αὐτὰρ ἐγὼν ἐνόρουσα κελαινῆι λαίλαπι ἶσος,

◆ πεντήκοντα δ' ἕλον δίφρους, δύο δ ἀμφὶς ἕκαστον
φῶτες ὀδὰξ ἕλον οὖδας, ἐμῶι ὑπὸ δουρὶ δαμέντες.
καί νύ κεν Ἀκτορίωνε Μολίονε παῖδ' ἀλάπαξα,
εἰ μή σφωε πατὴρ εὐρὺ κρείων Ἐνοσίχθων,
ἐκ πολέμου ἐσάωσε, καλύψας ἠέρι πολλῆι.
ἔνθα Ζεὺς Πυλίοισι μέγα κράτος ἐγγυάλιξεν·
τόφρα γὰρ οὖν ἑπόμεσθα διὰ σπιδέος πεδίοιο,
κτείνοντές τ' αὐτοὺς ἀνά τ' ἔντεα καλὰ λέγοντες,
ὄφρ' ἐπὶ Βουπρασίου πολυπύρου βήσαμεν ἵππους
πέτρης τ' Ὠλενίης, καὶ Ἀλησίου ἔνθα κολώνη
κέκληται· ὅθεν αὖτις ἀπέτραπε λαὸν Ἀθήνη.
ἔνθ' ἄνδρα κτείνας πύματον λίπον· αὐτὰρ Ἀχαιοὶ
ἂψ ἀπὸ Βουπρασίοιο Πύλονδ' ἔχον ὠκέας ἵππους,
πάντες δ' ηὐχετόωντο θεῶν Διὶ Νέστορί τ' ἀνδρῶν.
ὣς ἔον, εἴ ποτ' ἔην γε, μετ' ἀνδράσιν. αὐτὰρ Ἀχιλλεὺς
οἶος ἧς ἀρετῆς ἀπονήσεται· ἦ τέ μιν οἴω
πολλὰ μετακλαύσεσθαι, ἐπεί κ' ἀπὸ λαὸς ὄληται.
ὦ πέπον, ἦ μὲν σοί γε Μενοίτιος ὧδ' ἐπέτελλεν
ἤματι τῶι ὅτε σ' ἐκ Φθίης Ἀγαμέμνονι πέμπεν.
νῶϊ δὲ ἔνδον ἐόντες, ἐγὼ καὶ δῖος Ὀδυσσεύς,
πάντα μάλ' ἐν μεγάροις ἠκούομεν ὡς ἐπέτελλεν.
Πηλῆος δ' ἱκόμεσθα δόμους εὖ ναιετάοντας
λαὸν ἀγείροντες κατ' Ἀχαιΐδα πουλυβότειραν.
ἔνθα δ' ἔπειθ' ἥρωα Μενοίτιον ηὕρομεν ἔνδον
ἠδὲ σέ, πὰρ δ' Ἀχιλῆα· γέρων δ' ἱππηλάτα Πηλεὺς
πίονα μηρί' ἔκαιε βοὸς Διὶ τερπικεραύνωι
αὐλῆς ἐν χόρτωι· ἔχε δὲ χρύσειον ἄλεισον,
σπένδων αἴθοπα οἶνον ἐπ' αἰθομένοις ἱεροῖσιν·
σφῶϊ μὲν ἀμφὶ βοὸς ἕπετον κρέα, νῶϊ δ' ἔπειτα
στῆμεν ἐνὶ προθύροισι· ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς,
ἐς δ' ἄγε χειρὸς ἑλών, κατὰ δ' ἑδριάασθαι ἄνωγεν,
ξείνιά τ' εὖ παρέθηκεν, ἅ τε ξείνοις θέμις ἐστίν·
αὐτὰρ ἐπει τάρπημεν ἐδητύος ἠδὲ ποτῆτος,
ἦρχον ἐγὼ μύθοιο, κελεύων ὔμμ' ἅμ' ἕπεσθαι·
σφὼ δὲ μάλ' ἠθέλετον, τὼδ' ἄμφω πόλλ' ἐπέτελλον.
Πηλεὺς μὲν ὧι παιδὶ γέρων ἐπέτελλ' Ἀχιλῆϊ
αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων·
σοὶ δ' αὖθ' ὧδ' ἐπέτελλε Μενοίτιος Ἄκτορος υἱός·
'τέκνον ἐμόν, γενεῆι μὲν ὑπέρτερός ἐστιν Ἀχιλλεύς,
πρεσβύτερος δὲ σύ ἐσσι· βίηι δ' ὅ γε πολλὸν ἀμείνων.
ἀλλ' εὖ οἱ φάσθαι πυκινὸν ἔπος ἠδ' ὑποθέσθαι
καί οἱ σημαίνειν· ὁ δὲ πείσεται εἰς ἀγαθόν περ.'
ὣς ἐπέτελλ' ὁ γέρων, σὺ δὲ λήθεαι. ἀλλ' ἔτι καὶ νῦν
ταῦτ' εἴποις Ἀχιλῆϊ δαΐφρονι, αἴ κε πίθηται.
τίς δ' οἶδ' εἴ κέν οἱ σὺν δαίμονι θυμὸν ὀρίναις
παρειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου.
εἰ δέ τινα φρεσὶν ἧισι θεοπροπίην ἀλεείνει
καί τινά οἱ πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
ἀλλὰ σέ περ προέτω, ἅμα δ' ἄλλος λαὸς ἑπέσθω
Μυρμιδόνων, αἴ κέν τι φόως Δαναοῖσι γένηαι·
καί τοι τεύχεα καλὰ δότω πόλεμόνδε φέρεσθαι,
αἴ κέ σε τῶι ἴσκοντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ' Ἀρήϊοι υἷες Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.
ῥεῖα δέ κ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀϋτῆι
ὤσαισθε προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων." **Nestor**
"φράζεο, δῖε Μαχᾶον, ὅπως ἔσται τάδε ἔργα· **14.3**
μέζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αἴθοπα οἶνον,
εἰς ὅ κε θερμὰ λοετρὰ ἐϋπλόκαμος Ἑκαμήδη
θερμήνηι καὶ λούσηι ἄπο βρότον αἱματόεντα·
αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι ἐς περιωπήν." **Nestor**
"ἦ δὴ ταῦτά γ' ἑτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλως **14.53**
Ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο.
τεῖχος μὲν γὰρ δὴ κατερήριπεν, ὧι ἐπέπιθμεν
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·
οἱ δ' ἐπὶ νηυσὶ θοῆισι μάχην ἀλίαστον ἔχουσιν
νωλεμές· οὐδ' ἂν ἔτι γνοίης, μάλα περ σκοπιάζων,
ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται·
ὣς ἐπιμὶξ κτείνονται, ἀϋτὴ δ' οὐρανὸν ἵκει.
ἡμεῖς δὲ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα,
εἴ τι νόος ῥέξει· πόλεμον δ' οὐκ ἄμμε κελεύω
δύμεναι· οὐ γάρ πως βεβλημένον ἔστι μάχεσθαι." **Nestor**
"Ζεῦ πάτερ, εἴ ποτέ τίς τοι ἐν Ἄργεϊ περ πολυπύρωι **15.372**
ἢ βοὸς τ' ὄϊος κατὰ πίονα μηρία καίων
ηὔχετο νοστῆσαι, σὺ δ' ὑπέσχεο καὶ κατένευσας,
τῶν μνῆσαι, καὶ ἄμυνον, Ὀλύμπιε, νηλεὲς ἦμαρ,
μηδ' οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς." **Nestor**
"ὦ φίλοι, ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῶι **15.661**
ἄλλων ἀνθρώπων, ἐπὶ δὲ μνήσασθε ἕκαστος
παίδων ἠδ' ἀλόχων καὶ κτήσιος ἠδὲ τοκήων,
ἠμὲν ὅτεωι ζώουσι καὶ ὧι κατατεθνήκασιν·
τῶν ὕπερ ἐνθάδ' ἐγὼ γουνάζομαι οὐ παρεόντων
ἑστάμεναι κρατερῶς· μηδὲ τρωπᾶσθε φόβονδε." **Nestor**
"Ἀντίλοχ', ἤτοι μέν σε, νέον περ ἐόντ', ἐφίλησαν **23.306**
Ζεύς τε Ποσειδάων τε, καὶ ἱπποσύνας ἐδίδαξαν
παντοίας· τῶι καί σε διδασκέμεν οὔ τι μάλα χρεώ·
οἶσθα γὰρ εὖ περὶ τέρμαθ' ἑλισσέμεν· ἀλλά τοι ἵπποι
βάρδιστοι θείειν· τῶι τ' οἴω λοίγι' ἔσεσθαι.
τῶν δ' ἵπποι μὲν ἔασιν ἀφάρτεροι, οὐδὲ μὲν αὐτοὶ
πλείονα ἴσασιν σέθεν αὐτοῦ μητίσασθαι.
ἀλλ' ἄγε δὴ σύ, φίλος, μῆτιν ἐμβάλλεο θυμῶι
παντοίην, ἵνα μή σε παρεκπροφύγησιν ἄεθλα.
μήτι τοι δρυτόμος μέγ' ἀμείνων ἠὲ βίηφι·
μήτι δ' αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντωι
νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισιν·
μήτι δ' ἡνίοχος περιγίγνεται ἡνιόχοιο.
ἀλλ' ὃς μέν θ' ἵπποισι καὶ ἅρμασιν οἷσι πεποιθὼς
ἀφραδέως ἐπὶ πολλὸν ἑλίσσεται ἔνθα καὶ ἔνθα,
ἵπποι δὲ πλανόωνται ἀνὰ δρόμον, οὐδὲ κατίσχει·

ὃς δέ κε κέρδεα εἴδηι ἐλαύνων ἥσσονας ἵππους,
αἰεὶ τέρμ᾽ ὁρόων στρέφει ἐγγύθεν, οὐδέ ἑ λήθει
ὅππως τὸ πρῶτον τανύσηι βοέοισιν ἱμᾶσιν,
ἀλλ᾽ ἔχει ἀσφαλέως καὶ τὸν προὔχοντα δοκεύει.
σῆμα δέ τοι ἐρέω μάλ᾽ ἀριφραδές, οὐδέ σε λήσει.
ἕστηκε ξύλον αὖον, ὅσον τ᾽ ὄργυι᾽, ὑπὲρ αἴης,
ἢ δρυὸς ἢ πεύκης· τὸ μὲν οὐ καταπύθεται ὄμβρωι,
λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκὼ
ἐν ξυνοχῆισιν ὁδοῦ, λεῖος δ᾽ ἱππόδρομος ἀμφίς·
ἤ τευ σῆμα βροτοῖο πάλαι κατατεθνηῶτος,
ἢ τό γε νύσσα τέτυκτο ἐπὶ προτέρων ἀνθρώπων,
καὶ νῦν τέρματ᾽ ἔθηκε ποδάρκης δῖος Ἀχιλλεύς.
τῶι σὺ μάλ᾽ ἐγχρίμψας ἐλάαν σχεδὸν ἅρμα καὶ ἵππους,
αὐτὸς δὲ κλινθῆναι ἐϋπλέκτωι ἐνὶ δίφρωι
ἦκ᾽ ἐπ᾽ ἀριστερὰ τοῖιν· ἀτὰρ τὸν δεξιὸν ἵππον
κένσαι ὁμοκλήσας, εἶξαί τέ οἱ ἡνία χερσίν.
ἐν νύσσηι δέ τοι ἵππος ἀριστερὸς ἐγχριμφθήτω,
ὡς ἄν τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι
κύκλου ποιητοῖο· λίθου δ᾽ ἀλέασθαι ἐπαυρεῖν,
μή πως ἵππους τε τρώσηις κατά θ᾽ ἅρματα ἄξηις·
χάρμα δὲ τοῖς ἄλλοισιν, ἐλεγχείη δὲ σοὶ αὐτῶι
ἔσσεται. ἀλλά, φίλος, φρονέων πεφυλαγμένος εἶναι.
εἰ γάρ κ᾽ ἐν νύσσηι γε παρεξελάσηισθα διώκων,
οὐκ ἔσθ᾽ ὅς κέ σ᾽ ἕλησι μετάλμενος οὐδὲ παρέλθηι,
οὐδ᾽ εἴ κεν μετόπισθεν Ἀρίονα δῖον ἐλαύνοι,
Ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν,
ἢ τοὺς Λαομέδοντος, οἳ ἐνθάδε γ᾽ ἔτραφον ἐσθλοί."

Nestor
23.626

"ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες·
οὐ γὰρ ἔτ᾽ ἔμπεδα γυῖα, φίλος, πόδες, οὐδ᾽ ἔτι χεῖρες
ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί.
εἴθ᾽ ὣς ἡβώοιμι βίη τέ μοι ἔμπεδος εἴη,
ὡς ὁπότε κρείοντ᾽ Ἀμαρυγκέα θάπτον Ἐπειοὶ
Βουπρασίωι, παῖδες δ᾽ ἔθεσαν βασιλῆος ἄεθλα·
ἔνθ᾽ οὔ τίς μοι ὁμοῖος ἀνὴρ γένετ᾽, οὔτ᾽ ἄρ᾽ Ἐπειῶν
οὔτ᾽ αὐτῶν Πυλίων οὔτ᾽ Αἰτωλῶν μεγαθύμων.
πὺξ μὲν ἐνίκησα Κλυτομήδεα, Ἤνοπος υἱόν,
Ἀγκαῖον δὲ πάληι Πλευρώνιον, ὅς μοι ἀνέστη·
Ἴφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἐόντα,
δουρὶ δ᾽ ὑπειρέβαλον Φυλῆά τε καὶ Πολύδωρον.
οἴοισίν μ᾽ ἵπποισι παρήλασαν Ἀκτορίωνε,
πλήθει πρόσθε βαλόντες, ἀγασσάμενοι περὶ νίκης,
οὕνεκα δὴ τὰ μέγιστα παρ᾽ αὐτόθι λείπετ᾽ ἄεθλα.
οἱ δ᾽ ἄρ᾽ ἔσαν δίδυμοι· ὁ μὲν ἔμπεδον ἡνιόχευεν,
ἔμπεδον ἡνιόχευ᾽, ὁ δ᾽ ἄρα μάστιγι κέλευεν.
ὥς ποτ᾽ ἔον· νῦν αὖτε νεώτεροι ἀντιοώντων
ἔργων τοιούτων. ἐμὲ δὲ χρὴ γήραϊ λυγρῶι
πείθεσθαι, τότε δ᾽ αὖτε μετέπρεπον ἡρώεσσιν.
ἀλλ᾽ ἴθι, καὶ σὸν ἑταῖρον ἀέθλοισι κτερέϊζε.
τοῦτο δ᾽ ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
ὥς μευ ἀεὶ μέμνηαι ἐνηέος, οὐδέ σε λήθω
τιμῆς ἧς τέ μ᾽ ἔοικε τετιμῆσθαι μετ᾽ Ἀχαιοῖς.
σοὶ δὲ θεοὶ τῶνδ᾽ ἀντὶ χάριν μενοεικέα δοῖεν."

Nestor

Notes

Notes

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 102 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF
PATROKLOS
IN THE ILIAD

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

11.606 Pat. “τίπτε με κικλήσκεις, Ἀχιλεῦ; τί δέ σε χρεὼ ἐμεῖο;”
11.648 ✦ “οὐχ ἕδος ἐστί γεραιὲ διοτρεφές, οὐδέ με πείσεις.
Pat. αἰδοῖος νεμεσητός ὅ με προέηκε πυθέσθαι
ὅν_τινα τοῦτον ἄγεις βεβλημένον· ἀλλὰ καὶ αὐτὸς
γιγνώσκω, ὁρόω δὲ Μαχάονα, ποιμένα λαῶν.
νῦν δὲ ἔπος ἐρέων πάλιν ἄγγελος εἶμ’ Ἀχιλῆϊ.
εὖ δὲ σὺ οἶσθα, γεραιὲ διοτρεφές, οἷος ἐκεῖνος
Pat. δεινὸς ἀνήρ· τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο.”
11.816 “ἆ δειλοὶ, Δαναῶν ἡγήτορες ἠδὲ μέδοντες,
ὣς ἄρ’ ἐμέλλετε τῆλε φίλων καὶ πατρίδος αἴης
ἄσειν ἐν Τροίηι ταχέας κύνας ἀργέτι δημῶι.
ἀλλ’ ἄγε μοι τόδε εἰπὲ, διοτρεφὲς Εὐρύπυλ’ ἥρως,
ἤ ῥ’ ἔτι που σχήσουσι πελώριον Ἕκτορ’ Ἀχαιοί,
Pat. ἦ ἤδη φθείσονται ὑπ’ αὐτοῦ δουρὶ δαμέντες;”
11.838 “πῶς ταρ ἔοι τάδε ἔργα; τί ῥέξομεν, Εὐρύπυλ’ ἥρως;
ἔρχομαι, ὄφρ’ Ἀχιλῆϊ δαΐφρονι μῦθον ἐνίσπω,
ὃν Νέστωρ ἐπέτελλε Γερήνιος, οὖρος Ἀχαιῶν.
Pat. ἀλλ’ οὐδ’ ὧς περ σεῖο μεθήσω τειρομένοιο.”
15.399 “Εὐρύπυλ’, οὐκέτι τοι δύναμαι, χατέοντί περ ἔμπης,
ἐνθάδε παρμενέμεν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν·
ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω, αὐτὰρ ἐγώ_γε
σπεύσομαι εἰς Ἀχιλῆα, ἵν’ ὀτρύνω πολεμίζειν.
τίς δ’ οἶδ’, εἴ κέν οἱ σὺν δαίμονι θυμὸν ὀρίνω
παρειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου.”
16.21 “ὦ Ἀχιλεῦ, Πηλῆος υἱὲ, μέγα φέρτατ’ Ἀχαιῶν,
μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς.
οἱ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι,
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε.
βέβληται μὲν ὁ Τυδείδης κρατερὸς Διομήδης,
οὔτασται δ’ Ὀδυσεὺς δουρικλυτὸς ἠδ’ Ἀγαμέμνων,
βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῶι.
τοὺς μέν τ’ ἰητροὶ πολυφάρμακοι ἀμφιπένονται,
ἕλκε’ ἀκειόμενοι· σὺ δ’ ἀμήχανος ἔπλευ, Ἀχιλλεῦ.
μὴ ἐμέ_γ’ οὖν οὗτός γε λάβοι χόλος, ὃν σὺ φυλάσσεις,
αἰναρέτη· τί σευ ἄλλος ὀνήσεται ὀψίγονός περ,
αἴ κε μὴ Ἀργείοισιν ἀεικέα λοιγὸν ἀμύνηις;
νηλεές, οὐκ ἄρα σοί_γε πατὴρ ἦν ἱππότα Πηλεὺς,
οὐδὲ Θέτις μήτηρ· γλαυκὴ δέ σε τίκτε θάλασσα
πέτραι τ’ ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής.
εἰ δέ τινα φρεσὶ σῆισι θεοπροπίην ἀλεείνεις
καί τινά τοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
ἀλλ’ ἐμὲ περ πρόες ὦχ’, ἅμα δ’ ἄλλον λαὸν ὄπασσον
Μυρμιδόνων, ἤν πού τι φόως Δαναοῖσι γένωμαι.
δὸς δέ μοι ὤμοιιν τὰ σὰ τεύχεα θωρηχθῆναι,
αἴ κ’ ἐμὲ σοὶ ἴσκοντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ’ ἀρήϊοι υἷες Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ’ ἀνάπνευσις πολέμοιο.
ῥεῖα δέ κ’ ἀκμῆτες κεκμηότας ἄνδρας ἀϋτῆι
Pat. ὤσαιμεν προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.”
16.269 “Μυρμιδόνες, ἕταροι Πηληϊάδεω Ἀχιλῆος,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.
ὡς ἂν Πηλείδην τιμήσομεν, ὃς μέγ’ ἄριστος
Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες,
γνῶι δὲ καὶ Ἀτρείδης εὐρὺ κρείων Ἀγαμέμνων
ἣν ἄτην, ὅ_τ’ ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν.” Pat.
“Αἴαντε, νῦν σφῶϊν ἀμύνεσθαι φίλον ἔστω, 16.556
οἷοί περ πάρος ἦτε μετ’ ἀνδράσιν, ἢ καὶ ἀρείους.
κεῖται ἀνὴρ ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν,
Σαρπηδών. ἀλλ’ εἴ μιν ἀεικισσαίμεθ’ ἑλόντες,
τεύχεά τ’ ὤμοιιν ἀφελοίμεθα, καί τιν’ ἑταίρων
αὐτοῦ ἀμυνομένων δαμασαίμεθα νηλέϊ χαλκῶι.” Pat.
“ὢ πόποι, ἦ μάλ’ ἐλαφρὸς ἀνήρ· ὡς ῥεῖα κυβιστᾶι. 16.745
εἰ δή που καὶ πόντωι ἐν ἰχθυόεντι γένοιτο,
πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν,
νηὸς ἀποθρώισκων, εἰ καὶ δυσπέμφελος εἴη,
ὡς νῦν ἐν πεδίωι ἐξ ἵππων ῥεῖα κυβιστᾶι. Pat.
ἦ ῥα καὶ ἐν Τρώεσσι κυβιστητῆρες ἔασιν.”
“ἤδη νῦν, Ἕκτορ, μεγάλ’ εὔχεο· σοὶ γὰρ ἔδωκεν 16.844
νίκην Ζεὺς Κρονίδης καὶ Ἀπόλλων, οἵ μ’ ἐδάμασσαν
ῥηϊδίως· αὐτοὶ γὰρ ἀπ’ ὤμων τεύχε’ ἕλοντο.
τοιοῦτοι δ’ εἴ_πέρ μοι ἐείκοσιν ἀντεβόλησαν,
πάντες κ’ αὐτόθ’ ὄλοντο ἐμῶι ὑπὸ δουρὶ δαμέντες·
ἀλλά με Μοῖρ’ ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱὸς,
ἀνδρῶν δ’ Εὔφορβος· σὺ δέ με τρίτος ἐξεναρίζεις.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
οὔ θην οὐδ’ αὐτὸς δηρὸν βέηι, ἀλλά τοι ἤδη
ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιὴ,
χερσὶ δαμέντ’ Ἀχιλῆος ἀμύμονος Αἰακίδαο.” Pat.
“εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ, Ἀχιλλεῦ. 23.69
οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος.
θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω·
τῆλέ μ’ εἔργουσι ψυχαί, εἴδωλα καμόντων,
οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν,
ἀλλ’ αὔτως ἀλάλημαι ἀν’ εὐρυπυλὲς Ἄϊδος δῶ.
καί μοι δὸς τὴν χεῖρ’, ὀλοφύρομαι· οὐ γὰρ ἔτ’ αὖτις
νίσομαι ἐξ Ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε.
οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰς ἑζόμενοι βουλεύσομεν, ἀλλ’ ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερὴ, ἥ_περ λάχε γεινόμενόν περ·
καὶ δὲ σοὶ αὐτῶι μοῖρα, θεοῖς ἐπιείκελ’ Ἀχιλλεῦ,
τείχει ὕπο Τρώων εὐηφενέων ἀπολέσθαι.
ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι, αἴ κε πίθηαι·
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ’, Ἀχιλλεῦ,
ἀλλ’ ὁμοῦ, ὡς_τράφομέν περ ἐν ὑμετέροισι δόμοισιν,
εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
ἤγαγεν ὑμέτερόνδ’ ἀνδροκτασίης ὕπο λυγρῆς,
ἤματι τῶι, ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος,
νήπιος, οὐκ ἐθέλων, ἀμφ’ ἀστραγάλοισι χολωθείς·
ἔνθά με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς
ἔτραφέ τ’ ἐνδυκέως καὶ σὸν θεράποντ’ ὀνόμηνεν·

Dead ὣς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι

Pat. χρύσεος ἀμφιφορεὺς, τόν τοι πόρε πότνια μήτηρ."

Greek warrior Peneleus was a Boeotian Argonaut.

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 5 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF PENELEUS IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

14.501 “εἰπέμεναί μοι, Τρῶες, ἀγαυοῦ Ἰλιονῆος
πατρὶ φίλωι καὶ μητρὶ γοήμεναι ἐν μεγάροισιν·
οὐδὲ γὰρ ἡ Προμάχοιο δάμαρ Ἀλεγηνορίδαο
Pene- ἀνδρὶ φίλωι ἐλθόντι γανύσσεται, ὁππότε κεν δὴ
leus ἐκ Τροίης σὺν νηυσὶ νεώμεθα κοῦροι Ἀχαιῶν.”

Notes

Notes

Phoenix was the son of Amyntor, king of Eleon or Ormenium, who exiled him due to an incident involving his father's concubine. In exile he became king of the Dolopians (between Epirus and Thessaly) and tutored Achilles.

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 172+4 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF

PHOENIX

IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

“εἰ μὲν δὴ νόστον γε μετὰ φρεσὶ, φαίδιμ’ Ἀχιλλεῦ,
βάλλεαι, οὐδέ τι πάμπαν ἀμύνειν νηυσὶ θοῇσιν
πῦρ ἐθέλεις ἀΐδηλον, ἐπεὶ χόλος ἔμπεσε θυμῶι,
πῶς ἂν ἔπειτ’ ἀπὸ σεῖο, φίλον τέκος, αὖθι λιποίμην
οἶος; σοὶ δέ μ’ ἔπεμπε γέρων ἱππηλάτα Πηλεὺς
ἤματι τῶι, ὅτε σ’ ἐκ Φθίης Ἀγαμέμνονι πέμπεν
νήπιον, οὔ_πω εἰδόθ’ ὁμοιΐοο πτολέμοιο
οὐδ’ ἀγορέων, ἵνα τ’ ἄνδρες ἀριπρεπέες τελέθουσιν·
τοὔνεκά με προέηκε διδασκέμεναι τάδε πάντα,
μύθων τε ῥητῆρ’ ἔμεναι πρηκτῆρά τε ἔργων.
ὣς ἂν ἔπειτ’ ἀπὸ σεῖο, φίλον τέκος, οὐκ ἐθέλοιμι
λείπεσθ’, οὐδ’ εἴ κέν μοι ὑποσταίη θεὸς αὐτὸς,
γῆρας ἀποξύσας, θήσειν νέον ἡβώοντα,
οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα καλλιγύναικα,
φεύγων νείκεα πατρὸς Ἀμύντορος Ὀρμενίδαο,
ὅς μοι παλλακίδος περιχώσατο καλλικόμοιο
τὴν αὐτὸς φιλέεσκεν, ἀτιμάζεσκε δ’ ἄκοιτιν,
μητέρ’ ἐμήν· ἡ δ’ αἰὲν ἐμὲ λισσέσκετο γούνων
παλλακίδι προμιγῆναι, ἵν’ ἐχθήρειε γέροντα.
τῆι πιθόμην καὶ ἔρεξα· πατὴρ δ’ ἐμὸς αὐτίκ’ ὀϊσθεὶς
πολλὰ κατηρᾶτο, στυγερὰς δ’ ἐπεκέκλετ’ Ἐρινῦς,
μή_ποτε γούνασιν οἷσιν ἐφέσσεσθαι φίλον υἱὸν,
ἐξ ἐμέθεν γεγαῶτα· θεοὶ δ’ ἐτέλειον ἐπαρὰς,
Ζεύς τε καταχθόνιος καὶ ἐπαινὴ Περσεφόνεια.
τὸν μὲν ἐγὼ βούλευσα κατακτάμεν ὀξέϊ χαλκῶι·
ἀλλά τις ἀθανάτων παῦσεν χόλον, ὅς ῥ’ ἐνὶ θυμῶι
δήμου θῆκε φάτιν καὶ ὀνείδεα πόλλ’ ἀνθρώπων,
ὡς μὴ πατροφόνος μετ’ Ἀχαιοῖσιν καλεοίμην.
ἔνθ’ ἐμοὶ οὐκέτι πάμπαν ἐρητύετ’ ἐν φρεσὶ θυμὸς,
πατρὸς χωομένοιο κατὰ μέγαρα στρωφᾶσθαι.
ἦ μὲν πολλὰ ἔται καὶ ἀνεψιοὶ ἀμφὶς ἐόντες
αὐτοῦ λισσόμενοι κατερήτυον ἐν μεγάροισιν·
πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς
ἔσφαζον, πολλοὶ δὲ σύες θαλέθοντες ἀλοιφῆι
εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο,
πολλὸν δ’ ἐκ κεράμων μέθυ πίνετο τοῖο γέροντος.
εἰνάνυχες δὲ μοι ἀμφ’ αὐτῶι παρὰ νύκτας ἴαυον·
οἱ μὲν ἀμειβόμενοι φυλακὰς ἔχον, οὐδὲ ποτ’ ἔσβη
πῦρ, ἕτερον μὲν ὑπ’ αἰθούσηι εὐερκέος αὐλῆς,
ἄλλο δ’ ἐνὶ προδόμωι, πρόσθεν θαλάμοιο θυράων.
ἀλλ’ ὅτε δὴ δεκάτη μοι ἐπήλυθε νὺξ ἐρεβεννὴ,
καὶ τότ’ ἐγὼ θαλάμοιο θύρας πυκινῶς ἀραρυίας
ῥήξας ἐξῆλθον, καὶ ὑπέρθορον ἑρκίον αὐλῆς
ῥεῖα, λαθὼν φύλακάς τ’ ἄνδρας δμωιάς τε γυναῖκας.
φεῦγον ἔπειτ’ ἀπάνευθε δι’ Ἑλλάδος εὐρυχόροιο,
Φθίην δ’ ἐξικόμην ἐριβώλακα, μητέρα μήλων,
ἐς Πηλῆα ἄναχθ’· ὁ δέ με πρόφρων ὑπέδεκτο,
καί μ’ ἐφίλησ’ ὡς_εἴ τε πατὴρ ὃν παῖδα φιλήσηι
μοῦνον τηλύγετον πολλοῖσιν ἐπὶ κτεάτεσσιν,
καί μ’ ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε λαόν·
ναῖον δ’ ἐσχατιὴν Φθίης, Δολόπεσσιν ἀνάσσων.
καὶ σὲ τοσοῦτον ἔθηκα, θεοῖς ἐπιείκελ’ Ἀχιλλεῦ,
ἐκ θυμοῦ φιλέων, ἐπεὶ οὐκ ἐθέλεσκες ἅμ’ ἄλλωι
οὔτ’ ἐς δαῖτ’ ἰέναι οὔτ’ ἐν μεγάροισι πάσασθαι,
πρίν γ’ ὅτε δή σ’ ἐπ’ ἐμοῖσιν ἐγὼ γούνεσσι καθέσσας
ὄψου τ’ ἄσαιμι προταμὼν καὶ οἶνον ἐπισχών.
πολλάκι μοι κατέδευσας ἐπὶ στήθεσσι χιτῶνα
οἴνου ἀποβλύζων ἐν νηπιέηι ἀλεγεινῆι.
ὣς ἐπὶ σοὶ μάλα πόλλ’ ἔπαθον καὶ πόλλ’ ἐμόγησα,
τὰ φρονέων, ὅ μοι οὔ_τι θεοὶ γόνον ἐξετέλειον
ἐξ ἐμεῦ· ἀλλὰ σὲ παῖδα, θεοῖς ἐπιείκελ’ Ἀχιλλεῦ,
ποιεύμην, ἵνα μοί ποτ’ ἀεικέα λοιγὸν ἀμύνηις.
ἀλλ’, Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν· οὐδέ τί σε χρὴ
νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοὶ,
τῶν_περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε·
καὶ μὲν τοὺς θυέεσσι καὶ εὐχωλῆις ἀγανῇισιν
λοιβῆι τε κνίσηι τε παρατρωπῶσ’ ἄνθρωποι
λισσόμενοι, ὅτε κέν τις ὑπερβήηι καὶ ἁμάρτηι.
καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο,
χωλαί τε ῥυσαί τε παραβλῶπές τ’ ὀφθαλμὼ,
αἵ ῥά τε καὶ μετόπισθ’ Ἄτης ἀλέγουσι κιοῦσαι.
ἡ δ’ Ἄτη σθεναρή τε καὶ ἀρτίπος, οὕνεκα πάσας
πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ’ αἶαν
βλάπτουσ’ ἀνθρώπους· αἱ δ’ ἐξακέονται ὀπίσσω.
ὃς μέν τ’ αἰδέσεται κούρας Διὸς ἆσσον ἰούσας,
τὸν δὲ μέγ’ ὤνησαν καί τ’ ἔκλυον εὐχομένοιο·
ὃς δέ κ’ ἀνήνηται καί τε στερεῶς ἀποείπηι,
λίσσονται δ’ ἄρα ταί_γε Δία Κρονίωνα κιοῦσαι
τῶι Ἄτην ἅμ’ ἕπεσθαι, ἵνα βλαφθεὶς ἀποτείσηι.
ἀλλ’, Ἀχιλεῦ, πόρε καὶ σὺ Διὸς κούρηισιν ἕπεσθαι
τιμὴν, ἥ_τ’ ἄλλων περ ἐπιγνάμπτει νόον ἐσθλῶν.
εἰ μὲν γὰρ μὴ δῶρα φέροι, τὰ δ’ ὄπισθ’ ὀνομάζοι
Ἀτρείδης, ἀλλ’ αἰὲν ἐπιζαφελῶς χαλεπαίνοι,
οὐκ ἂν ἐγώ_γέ σε μῆνιν ἀπορρίψαντα κελοίμην
Ἀργείοισιν ἀμυνέμεναι, χατέουσί περ ἔμπης·
νῦν δ’ ἅμα τ’ αὐτίκα πολλὰ διδοῖ, τὰ δ’ ὄπισθεν ὑπέστη,
ἄνδρας δὲ λίσσεσθαι ἐπιπροέηκεν ἀρίστους
κρινάμενος κατὰ λαὸν Ἀχαιϊκὸν, οἵ_τέ σοι αὐτῶι
φίλτατοι Ἀργείων· τῶν μὴ σύ_γε μῦθον ἐλέγξηις
μηδὲ πόδας· πρὶν δ’ οὔ_τι νεμεσσητὸν κεχολῶσθαι.
οὕτω καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέα ἀνδρῶν
ἡρώων, ὅτε κέν τιν’ ἐπιζάφελος χόλος ἵκοι·
δωρητοί τε _πέλοντο παραρρητοί τ’ ἐπέεσσιν.
μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔ_τι νέον γε,
ὡς ἦν· ἐν δ’ ὑμῖν ἐρέω πάντεσσι φίλοισιν.
Κουρῆτές τ’ ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι
ἀμφὶ πόλιν Καλυδῶνα καὶ ἀλλήλους ἐνάριζον,
Αἰτωλοὶ μὲν ἀμυνόμενοι Καλυδῶνος ἐραννῆς,
Κουρῆτες δὲ διαπραθέειν μεμαῶτες Ἄρηϊ.
καὶ γὰρ τοῖσι κακὸν χρυσόθρονος Ἄρτεμις ὦρσεν

χωσαμένη ὅ οἱ οὔ_τι θαλύσια γουνῶι ἀλωῆς
Οἰνεὺς ῥέξ᾽· ἄλλοι δὲ θεοὶ δαίνυνθ᾽ ἑκατόμβας,
οἴηι δ᾽ οὐκ ἔρρεξε Διὸς κούρηι μεγάλοιο·
ἢ λάθετ᾽ ἢ οὐκ ἐνόησεν· ἀάσατο δὲ μέγα θυμῶι.
ἡ δὲ χολωσαμένη, δῖον γένος, Ἰοχέαιρα,
ὦρσεν ἔπι χλούνην σῦν ἄγριον ἀργιόδοντα,
ὃς κακὰ πόλλ᾽ ἔρδεσκεν ἔθων Οἰνῆος ἀλωήν·
πολλὰ δ᾽ ὅ_γε προθέλυμνα χαμαὶ βάλε δένδρεα μακρὰ
αὐτῆισιν ῥίζηισι καὶ αὐτοῖς ἄνθεσι μήλων.
τὸν δ᾽ υἱὸς Οἰνῆος ἀπέκτεινεν Μελέαγρος,
πολλέων ἐκ πολίων θηρήτορας ἄνδρας ἀγείρας
καὶ κύνας· οὐ μὲν γάρ κ᾽ ἐδάμη παύροισι βροτοῖσιν·
τόσσος ἔην, πολλοὺς δὲ πυρῆς ἐπέβησ᾽ ἀλεγεινῆς.
ἡ δ᾽ ἀμφ᾽ αὐτῶι θῆκε πολὺν κέλαδον καὶ ἀϋτὴν,
ἀμφὶ συὸς κεφαλῆι καὶ δέρματι λαχνήεντι,
Κουρήτων τε μεσηγὺ καὶ Αἰτωλῶν μεγαθύμων.
ὄφρα μὲν οὖν Μελέαγρος ἀρηΐφιλος πολέμιζεν,
τόφρα δὲ Κουρήτεσσι κακῶς ἦν, οὐδ᾽ ἐδύναντο
τείχεος ἔκτοσθεν μίμνειν πολέες περ ἐόντες·
ἀλλ᾽ ὅτε δὴ Μελέαγρον ἔδυ χόλος, ὅς_τε καὶ ἄλλων
οἰδάνει ἐν στήθεσσι νόον πύκα περ φρονεόντων,
ἤτοι ὁ μητρὶ φίληι Ἀλθαίηι χωόμενος κῆρ
κεῖτο παρὰ μνηστῆι ἀλόχωι, καλῆι Κλεοπάτρηι,
κούρηι Μαρπήσσης καλλισφύρου Εὐηνίνης
Ἴδεώ θ᾽, ὃς κάρτιστος ἐπιχθονίων γένετ᾽ ἀνδρῶν
τῶν τότε — καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον
Φοίβου Ἀπόλλωνος, καλλισφύρου εἵνεκα νύμφης·
τὴν δὲ τότ᾽ ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ
Ἀλκυόνην καλέεσκον ἐπώνυμον, οὕνεκ᾽ ἄρ᾽ αὐτῆς
μήτηρ ἀλκυόνος πολυπενθέος οἶτον ἔχουσα
κλαῖ᾽, ὅτε μιν ἑκάεργος ἀνήρπασε Φοῖβος Ἀπόλλων —
τῆι ὅ_γε παρκατέλεκτο χόλον θυμαλγέα πέσσων,
ἐξ ἀρέων μητρὸς κεχολωμένος, ἥ ῥα θεοῖσιν
πόλλ᾽ ἀχέουσ᾽ ἠρᾶτο κασιγνήτοιο φόνοιο,
πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην χερσὶν ἀλοία
κικλήσκουσ᾽ Ἀΐδην καὶ ἐπαινὴν Περσεφόνειαν,
πρόχνυ καθεζομένη, δεύοντο δὲ δάκρυσι κόλποι,
παιδὶ δόμεν θάνατον· τῆς δ᾽ ἠεροφοῖτις Ἐρινὺς
ἔκλυεν ἐξ Ἐρέβεσφιν, ἀμείλιχον ἦτορ ἔχουσα.
τῶν δὲ τάχ᾽ ἀμφὶ πύλας ὅμαδος καὶ δοῦπος ὀρώρει
πύργων βαλλομένων· τὸν δὲ λίσσοντο γέροντες
Αἰτωλῶν, πέμπον δὲ θεῶν ἱερῆας ἀρίστους,
ἐξελθεῖν καὶ ἀμῦναι, ὑποσχόμενοι μέγα δῶρον·
ὁππόθι πιότατον πεδίον Καλυδῶνος ἐραννῆς,
ἔνθα μιν ἤνωγον τέμενος περικαλλὲς ἑλέσθαι
πεντηκοντόγυον, τὸ μὲν ἥμισυ οἰνοπέδοιο,
ἥμισυ δὲ ψιλὴν ἄροσιν πεδίοιο ταμέσθαι.
πολλὰ δέ μιν λιτάνευε γέρων ἱππηλάτα Οἰνεὺς,
οὐδοῦ ἐπεμβεβαὼς ὑψηρεφέος θαλάμοιο,
σείων κολλητὰς σανίδας, γουνούμενος υἱόν·
πολλὰ δὲ τόν_γε κασίγνηται καὶ πότνια μήτηρ
ἐλλίσσονθ᾽· ὁ δὲ μᾶλλον ἀναίνετο· πολλὰ δ᾽ ἑταῖροι,
οἵ οἱ κεδνότατοι καὶ φίλτατοι ἦσαν ἁπάντων·
ἀλλ᾽ οὐδ᾽ ὧς τοῦ θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον,
πρίν γ᾽ ὅτε δὴ θάλαμος πύκ᾽ ἐβάλλετο, τοι δ᾽ ἐπὶ πύργων
βαῖνον Κουρῆτες καὶ ἐνέπρηθον μέγα ἄστυ.
καὶ τότε δὴ Μελέαγρον ἐΰζωνος παράκοιτις
λίσσετ᾽ ὀδυρομένη, καί οἱ κατέλεξεν ἅπαντα
κήδε᾽, ὅσ᾽ ἀνθρώποισι πέλει τῶν ἄστυ ἁλώηι·
ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ᾽ ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας.
τοῦ δ᾽ ὠρίνετο θυμὸς ἀκούοντος κακὰ ἔργα,
βῆ δ᾽ ἰέναι, χροῒ δ᾽ ἔντε᾽ ἐδύσετο παμφανόωντα.
ὣς ὁ μὲν Αἰτωλοῖσιν ἀπήμυνεν κακὸν ἦμαρ
εἴξας ὧι θυμῶι· τῶι δ᾽ οὐκέτι δῶρ᾽ ἐτέλεσσαν
πολλά τε καὶ χαρίεντα, κακὸν δ᾽ ἤμυνε καὶ αὔτως.
ἀλλὰ σὺ μή μοι ταῦτα νόει φρεσί, μηδέ σε δαίμων
ἐνταῦθα τρέψειε, φίλος· κάκιον δέ κεν εἴη,
νηυσὶν καιομένηισιν ἀμυνέμεν· ἀλλ᾽ ἐπὶ δώροις
ἔρχεο· ἶσον γάρ σε θεῶι τίσουσιν Ἀχαιοί·
εἰ δέ κ᾽ ἄτερ δώρων πόλεμον φθεισήνορα δύηις,
οὐκέθ᾽ ὁμῶς τιμῆς ἔσεαι, πόλεμόν περ ἀλαλκών." **Phoenix**

"σοὶ μὲν δή, Μενέλαε, κατηφείη καὶ ὄνειδος **17.556**
ἔσσεται, εἴ κ᾽ Ἀχιλῆος ἀγαυοῦ πιστὸν ἑταῖρον
τείχει ὕπο Τρώων ταχέες κύνες ἑλκήσουσιν. **Athena**
ἀλλ᾽ ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα." **as Phoenix**

17.556 Ἀθήνη (εἰσαμένη Φοίνικι)

Greek warrior Sthenelos, son of Capaneus, was among those inside the Trojan Horse.

ILIAD ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 15 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF STHENELOS IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

4.404 "Ἀτρείδη, μὴ ψεύδε' ἐπιστάμενος σάφα εἰπεῖν.
ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι·
ἡμεῖς καὶ Θήβης ἕδος εἵλομεν ἑπταπύλοιο,
παυρότερον λαὸν ἀγαγόνθ' ὑπὸ τεῖχος Ἄρειον,
Sthe- πειθόμενοι τεράεσσι θεῶν καὶ Ζηνὸς ἀρωγῇι·
nelos κεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.
τῶι μή μοι πατέρας ποθ' ὁμοίῃ ἔνθεο τιμῇι.
5.243 "Τυδείδη Διόμηδες, ἐμῶι κεχαρισμένε θυμῶι,
ἄνδρ' ὁρόω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι,
ἶν' ἀπέλεθρον ἔχοντας· ὁ μὲν τόξων εὖ εἰδὼς,
Πάνδαρος, υἱὸς δ' αὖτε Λυκάονος εὔχεται εἶναι·
Αἰνείας δ υἱὸς μὲν ἀμύμονος Ἀγχίσαο
Sthe- εὔχεται ἐκγεγάμεν, μήτηρ δέ οἵ ἐστ' Ἀφροδίτη.
nelos ἀλλ ἄγε δὴ χαζώμεθ ἐφ' ἵππων, μηδὲ μοι οὕτως
θῦνε διὰ προμάχων, μή_πως φίλον ἦτορ ὀλέσσῃς."

4.404 "Ἀτρείδη, μὴ ψεύδε' ἐπιστάμενος σάφα εἰπεῖν.
ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι·
ἡμεῖς καὶ Θήβης ἕδος εἵλομεν ἑπταπύλοιο,
παυρότερον λαὸν ἀγαγόνθ' ὑπὸ τεῖχος Ἄρειον,
Sthe- πειθόμενοι τεράεσσι θεῶν καὶ Ζηνὸς ἀρωγῇι·
nelos κεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.
τῶι μή μοι πατέρας ποθ' ὁμοίῃ ἔνθεο τιμῇι.

"Τυδείδη Διόμηδες, ἐμῶι κεχαρισμένε θυμῶι, 5.243
ἄνδρ' ὁρόω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι,
ἶν' ἀπέλεθρον ἔχοντας· ὁ μὲν τόξων εὖ εἰδὼς,
Πάνδαρος, υἱὸς δ' αὖτε Λυκάονος εὔχεται εἶναι·
Αἰνείας δ υἱὸς μὲν ἀμύμονος Ἀγχίσαο
εὔχεται ἐκγεγάμεν, μήτηρ δέ οἵ ἐστ' Ἀφροδίτη. Sthe-
ἀλλ ἄγε δὴ χαζώμεθ ἐφ' ἵππων, μηδὲ μοι οὕτως nelos
θῦνε διὰ προμάχων, μή_πως φίλον ἦτορ ὀλέσσῃς."

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 4 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF GREEK HERALD
TALTHYBIUS
IN THE ILIAD

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

4.204 “ὄρσ’, Ἀσκληπιάδη, καλέει κρείων Ἀγαμέμνων,
ὄφρα ἴδηις Μενέλαον Ἀρήϊον ἀρχὸν Ἀχαιῶν,
Talth- ὅν τις ὀϊστεύσας ἔβαλεν, τόξων εὖ εἰδὼς,
ybios Τρώων ἢ Λυκίων, τῶι μὲν κλέος, ἄμμι δὲ πένθος.”

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 11 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES
OF GREEK ARCHER

TEUKER

IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

8.293 “Ἀτρεΐδη κύδιστε, τί με σπεύδοντα καὶ αὐτὸν
ὀτρύνεις; οὐ μέν τοι, ὅση δύναμίς γε πάρεστιν,
παύομαι, ἀλλ᾽ ἐξ οὗ προτὶ Ἴλιον ὠσάμεθ᾽ αὐτοὺς,
ἐκ τοῦ δὴ τόξοισι δεδεγμένος ἄνδρας ἐναίρω.
ὀκτὼ δὴ προέηκα τανυγλώχινας ὀϊστοὺς,
πάντες δ᾽ ἐν χροῒ πῆχθεν ἀρηϊθόων αἰζηῶν·
Teuker τοῦτον δ᾽ οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα.”
15.467 “<u>ὢ</u> πόποι, ἦ δή πάγχυ μάχης ἐπὶ μήδεα κείρει
δαίμων ἡμετέρης, ὅ τέ μοι βιὸν ἔκβαλε χειρὸς,
Teuker νευρὴν δ᾽ ἐξέρρηξε νεόστροφον, ἣν ἐνέδησα
πρώϊον, ὄφρ᾽ ἀνέχοιτο θαμὰ θρώσκοντας ὀϊστούς.”

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 18 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES OF
GREEK RABBLE-ROUSER
THERSITES
IN **THE ILIAD**

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

"Ἀτρείδη, τέο δὴ αὖτ’ ἐπιμέμφεαι ἠδὲ χατίζεις;
πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες
◆ εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἅς τοι Ἀχαιοὶ
πρωτίστωι δίδομεν, εὖτ’ ἂν πτολίεθρον ἕλωμεν.
ἦ ἔτι καὶ χρυσοῦ ἐπιδεύεαι, ὅν κέ τις οἴσει
Τρώων ἱπποδάμων ἐξ Ἰλίου υἷος ἄποινα,
ὅν κεν ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν,
ἠὲ γυναῖκα νέην, ἵνα μίσγεαι ἐν φιλότητι,
ἥν_τ’ αὐτὸς ἀπὸ_νόσφι κατίσχεαι; οὐ μὲν ἔοικεν
ἀρχὸν ἐόντα κακῶν ἐπιβασκέμεν υἷας Ἀχαιῶν.
ὦ πέπονες, κάκ’ ἐλέγχε’, Ἀχαιΐδες, οὐκέτ’ Ἀχαιοὶ,
οἴκαδε περ σὺν νηυσὶ νεώμεθα, τόνδε δ’ ἐῶμεν
αὐτοῦ ἐνὶ Τροίῃ γέρα πεσσέμεν, ὄφρα ἴδηται
ἤ ῥά τί οἱ χ’_ἡμεῖς προσαμύνομεν, ἦε καὶ οὐκί·
ὃς καὶ νῦν Ἀχιλῆα, ἕο μέγ’ ἀμείνονα φῶτα,
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.
Ther- ἀλλὰ μάλ’ οὐκ Ἀχιλῆϊ χόλος φρεσὶν, ἀλλὰ μεθήμων·
sites ἦ γὰρ ἄν, Ἀτρείδη, νῦν ὕστατα λωβήσαιο."

"Ἀτρείδη, τέο δὴ αὖτ’ ἐπιμέμφεαι ἠδὲ χατίζεις;
πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες
◆ εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἅς τοι Ἀχαιοὶ
πρωτίστωι δίδομεν, εὖτ’ ἂν πτολίεθρον ἕλωμεν.
ἦ ἔτι καὶ χρυσοῦ ἐπιδεύεαι, ὅν κέ τις οἴσει
Τρώων ἱπποδάμων ἐξ Ἰλίου υἷος ἄποινα,
ὅν κεν ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν,
ἠὲ γυναῖκα νέην, ἵνα μίσγεαι ἐν φιλότητι,
ἥν_τ’ αὐτὸς ἀπὸ_νόσφι κατίσχεαι; οὐ μὲν ἔοικεν
ἀρχὸν ἐόντα κακῶν ἐπιβασκέμεν υἷας Ἀχαιῶν.
ὦ πέπονες, κάκ’ ἐλέγχε’, Ἀχαιΐδες, οὐκέτ’ Ἀχαιοί,
οἴκαδε περ σὺν νηυσὶ νεώμεθα, τόνδε δ’ ἐῶμεν
αὐτοῦ ἐνὶ Τροίῃ γέρα πεσσέμεν, ὄφρα ἴδηται
ἤ ῥά τί οἱ χἠμεῖς προσαμύνομεν, ἦε καὶ οὐκί·
ὃς καὶ νῦν Ἀχιλῆα, ἕο μέγ’ ἀμείνονα φῶτα,
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.
ἀλλὰ μάλ’ οὐκ Ἀχιλῆϊ χόλος φρεσίν, ἀλλὰ μεθήμων· Ther-
ἦ γὰρ ἄν, Ἀτρείδη, νῦν ὕστατα λωβήσαιο." sites

Thoas, son of Dionysius and Ariadne, was king of Lemnos — and the only man who survived the Lemnian women's massacre of Lemnian men.

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 14 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF THOAS IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

15.286 “ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
οἷον δὴ αὖτ' ἐξαῦτις ἀνέστη, κῆρας ἀλύξας,
Ἕκτωρ. ἦ θήν μιν μάλα ἔλπετο θυμὸς ἑκάστου
χερσὶν ὑπ' Αἴαντος θανέειν Τελαμωνιάδαο·
ἀλλά τις αὖτε θεῶν ἐρρύσατο καὶ ἐσάωσεν
Ἕκτορ', ὃ δὴ πολλῶν Δαναῶν ὑπὸ γούνατ' ἔλυσεν,
ὡς καὶ νῦν ἔσσεσθαι ὀΐομαι· οὐ γὰρ ἄτερ γε
Ζηνὸς ἐριγδούπου πρόμος ἵσταται ὧδε μενοινῶν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες
πληθὺν μὲν ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι·
αὐτοὶ δ', ὅσσοι ἄριστοι ἐνὶ στρατῶι εὐχόμεθ' εἶναι,
στείομεν, εἴ κεν πρῶτον ἐρύξομεν ἀντιάσαντες,
δούρατ' ἀνασχόμενοι· τὸν δ' οἴω καὶ μεμαῶτα
Thoas θυμῶι δείσεσθαι Δαναῶν καταδῦναι ὅμιλον.”

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 10 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF GREEK HERALD

THOOS

IN **THE ILIAD**

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

12.354 “Αἴαντ’, Ἀργείων ἡγήτορε χαλκοχιτώνων,
ἠνώγει Πετεῶιο διοτρεφέος φίλος υἱὸς
κεῖσ’ ἴμεν, ὄφρα πόνοιο μίνυνθά περ ἀντιάσητον,
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ’ ὄχ’ ἄριστον ἁπάντων
εἴη, ἐπεὶ τάχα κεῖθι τετεύξεται αἰπὺς ὄλεθρος·
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοὶ, οἳ τὸ πάρος περ
ζαχρηεῖς τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
εἰ δὲ καὶ ἐνθάδε περ πόλεμος καὶ νεῖκος ὄρωρεν,
ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας,
Thoos καί οἱ Τεῦκρος ἅμ’ ἑσπέσθω τόξων εὖ εἰδώς.”

Thoas, son of Dionysius and Ariadne, was king of Lemnos — and the only man who survived the Lemnian women's massacre of Lemnian men.

Thoos was a Greek herald.

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 14 v 10 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES

OF

THOAS vs THOOS

IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

15.286 "ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
οἷον δὴ αὖτ' ἐξαῦτις ἀνέστη, κῆρας ἀλύξας,
Ἕκτωρ. ἦ θήν μιν μάλα ἔλπετο θυμὸς ἑκάστου
χερσὶν ὑπ' **Αἴαντος** θανέειν Τελαμωνιάδαο·
ἀλλά τις αὖτε θεῶν ἐρρύσατο καὶ ἐσάωσεν
Ἕκτορ', ὃ δὴ πολλῶν Δαναῶν ὑπὸ γούνατ' ἔλυσεν,
ὡς καὶ νῦν ἔσσεσθαι ὀΐομαι· οὐ γὰρ ἄτερ γε
Ζηνὸς ἐριγδούπου πρόμος ἵσταται ὧδε μενοινῶν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες
πληθὺν μὲν ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι·
αὐτοὶ δ', ὅσσοι ἄριστοι ἐνὶ στρατῶι εὐχόμεθ' εἶναι,
στείομεν, εἴ κεν πρῶτον ἐρύξομεν ἀντιάσαντες,
δούρατ' ἀνασχόμενοι· τὸν δ' οἴω καὶ μεμαῶτα
Thoas θυμῶι δείσεσθαι Δαναῶν καταδῦναι ὅμιλον."

"**Αἴαντ'**, Ἀργείων ἡγήτορε χαλκοχιτώνων, 12.354
ἠνώγει Πετεῶιο διοτρεφέος φίλος υἱὸς
κεῖσ' ἴμεν, ὄφρα πόνοιο μίνυνθά περ ἀντιάσητον,
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ' ὄχ' ἄριστον ἁπάντων
εἴη, ἐπεὶ τάχα κεῖθι τετεύξεται αἰπὺς ὄλεθρος·
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἳ τὸ πάρος περ
ζαχρηεῖς τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
εἰ δὲ καὶ ἐνθάδε περ πόλεμος καὶ νεῖκος ὄρωρεν,
ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος **Αἴας**,
καί οἱ Τεῦκρος ἅμ' ἑσπέσθω τόξων εὖ εἰδώς." Thoos

"**Αἴαντ'**, Ἀργείων ἡγήτορε χαλκοχιτώνων, 12.354
ἠνώγει Πετεῶιο διοτρεφέος φίλος υἱὸς
κεῖσ' ἴμεν, ὄφρα πόνοιο μίνυνθά περ ἀντιάσητον,
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ' ὄχ' ἄριστον ἁπάντων
εἴη, ἐπεὶ τάχα κεῖθι τετεύξεται αἰπὺς ὄλεθρος·
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἳ τὸ πάρος περ
ζαχρηεῖς τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
εἰ δὲ καὶ ἐνθάδε περ πόλεμος καὶ νεῖκος ὄρωρεν,
ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος **Αἴας**,
καί οἱ Τεῦκρος ἅμ' ἑσπέσθω τόξων εὖ εἰδώς." Thoos

15.286 "ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
οἷον δὴ αὖτ' ἐξαῦτις ἀνέστη, κῆρας ἀλύξας,
Ἕκτωρ. ἦ θήν μιν μάλα ἔλπετο θυμὸς ἑκάστου
χερσὶν ὑπ' **Αἴαντος** θανέειν Τελαμωνιάδαο·
ἀλλά τις αὖτε θεῶν ἐρρύσατο καὶ ἐσάωσεν
Ἕκτορ', ὃ δὴ πολλῶν Δαναῶν ὑπὸ γούνατ' ἔλυσεν,
ὡς καὶ νῦν ἔσσεσθαι ὀΐομαι· οὐ γὰρ ἄτερ γε
Ζηνὸς ἐριγδούπου πρόμος ἵσταται ὧδε μενοινῶν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες
πληθὺν μὲν ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι·
αὐτοὶ δ', ὅσσοι ἄριστοι ἐνὶ στρατῶι εὐχόμεθ' εἶναι,
στείομεν, εἴ κεν πρῶτον ἐρύξομεν ἀντιάσαντες,
δούρατ' ἀνασχόμενοι· τὸν δ' οἴω καὶ μεμαῶτα
Thoas θυμῶι δείσεσθαι Δαναῶν καταδῦναι ὅμιλον."

Greek warrior Tlepolemos was from Rhodes. He is slain by Sarpedon.

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 14 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF
TLEPOLEMOS
IN **THE ILIAD**

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

5.633 “Σαρπῆδον, Λυκίων βουληφόρε, τίς τοι ἀνάγκη
πτώσσειν ἐνθάδ᾽ ἐόντι μάχης ἀδαήμονι φωτί;
ψευδόμενοι δέ σέ φασι Διὸς γόνον αἰγιόχοιο
εἶναι, ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν
οἳ Διὸς ἐξεγένοντο ἐπὶ προτέρων ἀνθρώπων,
ἀλλοῖόν τινά φασι βίην Ἡρακληείην
εἶναι, ἐμὸν πατέρα θρασυμέμνονα θυμολέοντα·
ὅς ποτε δεῦρ᾽ ἐλθὼν ἕνεχ᾽ ἵππων Λαομέδοντος
ἓξ οἴῃς σὺν νηυσὶ καὶ ἀνδράσι παυροτέροισιν
Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωσε δ᾽ ἀγυιάς·
σοὶ δὲ κακὸς μὲν θυμός, ἀποφθινύθουσι δὲ λαοί.
οὐδέ τί σε Τρώεσσιν ὀΐομαι ἄλκαρ ἔσεσθαι
Tle- ἐλθόντ᾽ ἐκ Λυκίης, οὐδ᾽ εἰ μάλα καρτερός ἐσσι,
polemos ἀλλ᾽ ὑπ᾽ ἐμοὶ δμηθέντα πύλας Ἀΐδαο περήσειν.”

5.633 “Σαρπῆδον, Λυκίων βουληφόρε, τίς τοι ἀνάγκη
πτώσσειν ἐνθάδ᾽ ἐόντι μάχης ἀδαήμονι φωτί;
ψευδόμενοι δέ σέ φασι Διὸς γόνον αἰγιόχοιο
εἶναι, ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν
οἳ Διὸς ἐξεγένοντο ἐπὶ προτέρων ἀνθρώπων,
ἀλλοῖόν τινά φασι βίην Ἡρακληείην
εἶναι, ἐμὸν πατέρα θρασυμέμνονα θυμολέοντα·
ὅς ποτε δεῦρ᾽ ἐλθὼν ἕνεχ᾽ ἵππων Λαομέδοντος
ἓξ οἴῃς σὺν νηυσὶ καὶ ἀνδράσι παυροτέροισιν
Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωσε δ᾽ ἀγυιάς·
σοὶ δὲ κακὸς μὲν θυμός, ἀποφθινύθουσι δὲ λαοί.
οὐδέ τί σε Τρώεσσιν ὀΐομαι ἄλκαρ ἔσεσθαι
ἐλθόντ᾽ ἐκ Λυκίης, οὐδ᾽ εἰ μάλα καρτερός ἐσσι, Tle-
ἀλλ᾽ ὑπ᾽ ἐμοὶ δμηθέντα πύλας Ἀΐδαο περήσειν.” polemos

Peisistratos of Pylos was a son of Nestor and brother of Antilochos.

ODYSSEY ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 **48** lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF
PEISISTRATOS
IN **THE ODYSSEY**

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

3.43 “εὔχεο νῦν, ὦ ξεῖνε, Ποσειδάωνι ἄνακτι·
τοῦ γὰρ καὶ δαίτης ἠντήσατε δεῦρο μολόντες.
αὐτὰρ ἐπὴν σπείσῃς τε καὶ εὔξεαι, ἣ θέμις ἐστὶν,
δὸς καὶ τούτωι ἔπειτα δέπας μελιηδέος οἴνου
◆ σπεῖσαι, ἐπεὶ καὶ τοῦτον ὀΐομαι ἀθανάτοισιν
Peisi- εὔχεσθαι· πάντες δὲ θεῶν χατέουσ’ ἄνθρωποι.
stratos ἀλλὰ νεώτερός ἐστιν, ὁμηλικίη δ’ ἐμοὶ αὐτῶι·
τοὔνεκα σοὶ προτέρωι δώσω χρύσειον ἄλεισον.”
4.156 “Ἀτρείδη Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
κείνου μέν τοι ὅδ’ υἱὸς ἐτήτυμον, ὡς ἀγορεύεις·
ἀλλὰ σαόφρων ἐστὶ, νεμεσσᾶται δ’ ἐνὶ θυμῶι
ὧδ’ ἐλθὼν τὸ πρῶτον ἐπεσβολίας ἀναφαίνειν
ἄντα σέθεν, τοῦ νῶϊ θεοῦ ὣς τερπόμεθ’ αὐδῆι.
αὐτὰρ ἐμὲ προέηκε Γερήνιος ἱππότα Νέστωρ
τῶι ἅμα πομπὸν ἕπεσθαι· ἐέλδετο γάρ σε ἰδέσθαι,
ὄφρα οἱ ἤ τι ἔπος ὑποθήσεαι ἠέ τι ἔργον.
πολλὰ γὰρ ἄλγε’ ἔχει πατρὸς παῖς οἰχομένοιο
ἐν μεγάροις, ὧι μὴ ἄλλοι ἀοσσητῆρες ἔωσιν,
Peisi- ὡς νῦν Τηλεμάχωι ὁ μὲν οἴχεται, οὐδέ οἱ ἄλλοι
stratos εἶσ’ οἵ κεν κατὰ δῆμον ἀλάλκοιεν κακότητα.”
4.190 “Ἀτρείδη, περὶ μέν σε βροτῶν πεπνυμένον εἶναι
Νέστωρ φάσχ’ ὁ γέρων, ὅτ’ ἐπιμνησαίμεθα σεῖο
οἷσιν ἐνὶ μεγάροισι καὶ ἀλλήλους ἐρέοιμεν,
καὶ νῦν, εἴ τί που ἔστι, πίθοιό μοι· οὐ γὰρ ἐγώ γε
τέρπομ’ ὀδυρόμενος μεταδόρπιος, ἀλλὰ καὶ ἠὼς
ἔσσεται ἠριγένεια· νεμεσσῶμαί γε μὲν οὐδὲν
κλαίειν, ὅς κε θάνησι βροτῶν καὶ πότμον ἐπίσπηι.
τοῦτό νυ καὶ γέρας οἶον ὀϊζυροῖσι βροτοῖσιν,
κείρασθαί τε κόμην βαλέειν τ’ ἀπὸ δάκρυ παρειῶν.
καὶ γὰρ ἐμὸς τέθνηκεν ἀδελφεός, οὔ τι κάκιστος
Ἀργείων· μέλλεις δὲ σὺ ἴδμεναι· οὐ γὰρ ἐγώ γε
Peisi- ἤντησ’ οὐδὲ ἴδον· περὶ δ’ ἄλλων φασὶ γενέσθαι
stratos? Ἀντίλοχον, περὶ μὲν θείειν ταχὺν ἠδὲ μαχητήν.”
15.49 “Τηλέμαχ’, οὔ πως ἔστιν ἐπειγομένους περ ὁδοῖο
νύκτα διὰ δνοφερὴν ἐλάαν· τάχα δ’ ἔσσεται ἠώς.
ἀλλὰ μέν’ εἰς ὅ κε δῶρα φέρων ἐπιδίφρια θήηι
ἥρως Ἀτρείδης, δουρικλειτὸς Μενέλαος,
καὶ μύθοις ἀγανοῖσι παραυδήσας ἀποπέμψηι.
Peisi- τοῦ γάρ τε ξεῖνος μιμνήσκεται ἤματα πάντα
stratos ἀνδρὸς ξεινοδόκου, ὅς κεν φιλότητα παράσχηι.”
15.167 “φράζεο δή, Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
Peisistratos ἢ νῶϊν τόδ’ ἔφηνε θεὸς τέρας ἦε σοὶ αὐτῶι.”
15.209 “σπουδῆι νῦν ἀνάβαινε κέλευέ τε πάντας ἑταίρους,
πρὶν ἐμὲ οἴκαδ’ ἱκέσθαι ἀπαγγεῖλαί τε γέροντι.
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
οἷος ἐκείνου θυμὸς ὑπέρβιος, οὔ σε μεθήσει,
Peisi- ἀλλ’ αὐτὸς καλέων δεῦρ’ εἴσεται, οὐδὲ ἕ φημι
stratos ἄψ ἴέναι κενεόν· μάλα γὰρ κεχολώσεται ἔμπης.”

3.43 “εὔχεο νῦν, ὦ ξεῖνε, Ποσειδάωνι ἄνακτι·
τοῦ γὰρ καὶ δαίτης ἠντήσατε δεῦρο μολόντες.
αὐτὰρ ἐπὴν σπείσηις τε καὶ εὔξεαι, ἣ θέμις ἐστὶν,
δὸς καὶ τούτωι ἔπειτα δέπας μελιηδέος οἴνου
✦ σπεῖσαι, ἐπεὶ καὶ τοῦτον ὀΐομαι ἀθανάτοισιν
Peisistratos εὔχεσθαι· πάντες δὲ θεῶν χατέουσ’ ἄνθρωποι.
ἀλλὰ νεώτερός ἐστιν, ὁμηλικίη δ’ ἐμοὶ αὐτῶι·
τοὔνεκα σοὶ προτέρωι δώσω χρύσειον ἄλεισον.”

“Ἀτρείδη Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν, **4.156**
κείνου μέν τοι ὅδ’ υἱὸς ἐτήτυμον, ὡς ἀγορεύεις·
ἀλλὰ σαόφρων ἐστὶ, νεμεσσᾶται δ’ ἐνὶ θυμῶι
ὧδ’ ἐλθὼν τὸ πρῶτον ἐπεσβολίας ἀναφαίνειν
ἄντα σέθεν, τοῦ νῶϊ θεοῦ ὣς τερπόμεθ’ αὐδῆι.
αὐτὰρ ἐμὲ προέηκε Γερήνιος ἱππότα Νέστωρ
τῶι ἅμα πομπὸν ἕπεσθαι· ἐέλδετο γάρ σε ἰδέσθαι,
ὄφρα οἱ ἤ τι ἔπος ὑποθήσεαι ἠέ τι ἔργον.
πολλὰ γὰρ ἄλγε’ ἔχει πατρὸς παῖς οἰχομένοιο
ἐν μεγάροις, ὧι μὴ ἄλλοι ἀοσσητῆρες ἔωσιν,
ὡς νῦν Τηλεμάχωι ὁ μὲν οἴχεται, οὐδέ οἱ ἄλλοι **Peisistratos**
εἶσ’ οἵ κεν κατὰ δῆμον ἀλάλκοιεν κακότητα.”

4.190 “Ἀτρεΐδη, περὶ μέν σε βροτῶν πεπνυμένον εἶναι
Νέστωρ φάσχ’ ὁ γέρων, ὅτ’ ἐπιμνησαίμεθα σεῖο
οἷσιν ἐνὶ μεγάροισι καὶ ἀλλήλους ἐρέοιμεν,
καὶ νῦν, εἴ τί που ἔστι, πίθοιό μοι· οὐ γὰρ ἐγώ γε
τέρπομ’ ὀδυρόμενος μεταδόρπιος, ἀλλὰ καὶ ἠὼς
ἔσσεται ἠριγένεια· νεμεσσῶμαί γε μὲν οὐδὲν
κλαίειν, ὅς κε θάνησι βροτῶν καὶ πότμον ἐπίσπηι.
τοῦτό νυ καὶ γέρας οἶον ὀϊζυροῖσι βροτοῖσιν,
κείρασθαί τε κόμην βαλέειν τ’ ἀπὸ δάκρυ παρειῶν.
καὶ γὰρ ἐμὸς τέθνηκεν ἀδελφεός, οὔ τι κάκιστος
Ἀργείων· μέλλεις δὲ σὺ ἴδμεναι· οὐ γὰρ ἐγώ γε
Peisistratos? ἤντησ’ οὐδὲ ἴδον· περὶ δ’ ἄλλων φασὶ γενέσθαι
Ἀντίλοχον, περὶ μὲν θείειν ταχὺν ἠδὲ μαχητήν.”

“Τηλέμαχ’, οὔ πως ἔστιν ἐπειγομένους περ ὁδοῖο **15.49**
νύκτα διὰ δνοφερὴν ἐλάαν· τάχα δ’ ἔσσεται ἠώς.
ἀλλὰ μέν’ εἰς ὅ κε δῶρα φέρων ἐπιδίφρια θήηι
ἥρως Ἀτρεΐδης, δουρικλειτὸς Μενέλαος,
καὶ μύθοις ἀγανοῖσι παραυδήσας ἀποπέμψηι.
τοῦ γάρ τε ξεῖνος μιμνήσκεται ἤματα πάντα **Peisistratos**
ἀνδρὸς ξεινοδόκου, ὅς κεν φιλότητα παράσχηι.”

“φράζεο δή, Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν, **15.167**
ἢ νῶϊν τόδ’ ἔφηνε θεὸς τέρας ἦε σοὶ αὐτῶι.” **Peisistratos**

“σπουδῆι νῦν ἀνάβαινε κέλευέ τε πάντας ἑταίρους, **15.209**
πρὶν ἐμὲ οἴκαδ’ ἱκέσθαι ἀπαγγεῖλαί τε γέροντι.
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
οἷος ἐκείνου θυμὸς ὑπέρβιος, οὔ σε μεθήσει,
ἀλλ’ αὐτὸς καλέων δεῦρ’ εἴσεται, οὐδὲ ἕ φημι **Peisistratos**
ἂψ ἰέναι κενεόν· μάλα γὰρ κεχολώσεται ἔμπης.”

Notes

Notes

Trojan Polites was a son of Priam; another Polites was a crewman of Odysseus.

ILIAD AND OD.
ASCEND FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 14 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF POLITES IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

2.796 “ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσιν,
ὥς ποτ᾽ ἐπ᾽ εἰρήνης· πόλεμος δ᾽ ἀλίαστος ὄρωρεν.
ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰσήλυθον ἀνδρῶν,
ἀλλ᾽ οὔ_πω τοιόνδε τοσόνδέ τε λαὸν ὄπωπα·
λίην γὰρ φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν
Iris as ἔρχονται πεδίοιο μαχησόμενοι προτὶ ἄστυ.
Polites Ἕκτορ, σοὶ δὲ μάλιστ᾽ ἐπιτέλλομαι ὧδέ γε ῥέξαι·
πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου ἐπίκουροι,
ἄλλη δ᾽ ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων·
τοῖσιν ἕκαστος ἀνὴρ σημαινέτω οἷσί περ ἄρχει,
τῶν δ᾽ ἐξηγείσθω, κοσμησάμενος πολιήτας.”
“ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἱστὸν 10.226
καλὸν ἀοιδιάει — δάπεδον δ᾽ ἅπαν ἀμφιμέμυκεν —
ἢ θεὸς ἠὲ γυνή· ἀλλὰ φθεγγώμεθα θᾶσσον.” Polites

2.796 Ἶρις (εἴσατο δὲ φθογγὴν υἷι Πριάμοιο Πολίτηι)

10.226 Πολίτης

2.796 “ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσιν,
ὥς ποτ’ ἐπ’ εἰρήνης· πόλεμος δ’ ἀλίαστος ὄρωρεν.
ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰσήλυθον ἀνδρῶν,
ἀλλ’ οὔ_πω τοιόνδε τοσόνδέ τε λαὸν ὄπωπα·
λίην γὰρ φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν
Polites ἔρχονται πεδίοιο μαχησόμενοι προτὶ ἄστυ.

Ἕκτορ, σοὶ δὲ μάλιστ' ἐπιτέλλομαι ὧδέ <u>γε</u> ῥέξαι·
πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου ἐπίκουροι,
ἄλλη δ' ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων·
τοῖσιν ἕκαστος ἀνὴρ σημαινέτω οἷσί περ ἄρχει,
τῶν δ' ἐξηγείσθω, κοσμησάμενος πολιήτας." Iris as Polites
"ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἱστὸν <u>10.226</u>
καλὸν ἀοιδιάει — δάπεδον δ' ἅπαν ἀμφιμέμυκεν —
ἢ θεὸς ἠὲ γυνή· ἀλλὰ φθεγγώμεθα θ<u>ᾶ</u>σσον." Polites

2.796 Ἶρις (εἴσατο δὲ φθογγὴν υἷι Πριάμοιο Πολίτῃ)

<u>10.226</u> Πολίτης

Peisistrator was a benevolent tyrant of Athens. This presents tyrant vs citizen.

ILIAD AND OD.
ASCEND FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 35 v 14 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES

OF

PEISISTRATOS vs POLITES

IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

3.43 “εὔχεο νῦν, ὦ ξεῖνε, Ποσειδάωνι ἄνακτι·
τοῦ γὰρ καὶ δαίτης ἠντήσατε δεῦρο μολόντες.
αὐτὰρ ἐπὴν σπείσῃς τε καὶ εὔξεαι, ἣ θέμις ἐστὶν,
δὸς καὶ τούτωι ἔπειτα δέπας μελιηδέος οἴνου
◆ σπεῖσαι, ἐπεὶ καὶ τοῦτον ὀΐομαι ἀθανάτοισιν
Peisi- εὔχεσθαι· πάντες δὲ θεῶν χατέουσ' ἄνθρωποι.
stratos ἀλλὰ νεώτερός ἐστιν, ὁμηλικίη δ' ἐμοὶ αὐτῶι·
τοὔνεκα σοὶ προτέρωι δώσω χρύσειον ἄλεισον.”
4.156 “Ἀτρείδη Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
κείνου μέν τοι ὅδ' υἱὸς ἐτήτυμον, ὡς ἀγορεύεις·
ἀλλὰ σαόφρων ἐστὶ, νεμεσσᾶται δ' ἐνὶ θυμῶι
ὧδ' ἐλθὼν τὸ πρῶτον ἐπεσβολίας **ἀναφ**αίνειν
ἄντα σέθεν, τοῦ νῶϊ θεοῦ ὣς τερπόμεθ' αὐδῆι.
αὐτὰρ ἐμὲ προέηκε Γερήνιος ἱππότα Νέστωρ
τῶι ἅμα πομπὸν ἕπεσθαι· ἐέλδετο γάρ σε ἰδέσθαι,
ὄφρα οἱ ἤ τι ἔπος ὑποθήσεαι ἠέ τι ἔργον.
πολλὰ γὰρ ἄλγε' ἔχει πατρὸς παῖς οἰχομένοιο
ἐν μεγάροις, ὧι μὴ ἄλλοι ἀοσσητῆρες ἔωσιν,
Peisi- ὡς νῦν Τηλεμάχωι ὁ μὲν οἴχεται, οὐδέ οἱ ἄλλοι
stratos εἶσ' οἵ κεν κατὰ δῆμον ἀλάλκοιεν κακότητα.”
15.49 “Τηλέμαχ', οὔ πως ἔστιν ἐπειγομένους περ ὁδοῖο
νύκτα διὰ δνοφερὴν ἐλάαν· τάχα δ' ἔσσεται ἠώς.
ἀλλὰ μέν' εἰς ὅ κε δῶρα φέρων ἐπιδίφρια θήηι
ἥρως Ἀτρείδης, δουρικλειτὸς Μενέλαος,
καὶ μύθοις ἀγανοῖσι παραυδήσας ἀποπέμψηι.
Peisi- τοῦ γάρ τε ξεῖνος μιμνήσκεται ἤματα πάντα
stratos ἀνδρὸς ξεινοδόκου, ὅς κεν φιλότητα παράσχηι.”
15.167 “φράζεο δὴ, Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
Peisistratos ἢ νῶϊν τόδ' ἔφηνε θεὸς τέρας' ἠὲ σοὶ αὐτῶι.”
15.209 “σπουδῆι νῦν ἀνάβαινε κέλευέ τε πάντας ἑταίρους,
πρὶν ἐμὲ οἴκαδ' ἱκέσθαι ἀπαγγεῖλαί τε γέροντι.
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
οἷος ἐκείνου θυμὸς ὑπέρβιος, οὔ σε μεθήσει,
Peisi- ἀλλ' αὐτὸς καλέων δεῦρ' εἴσεται, οὐδέ ἕ φημι
stratos ἄψ ἰέναι κενεόν· μάλα γὰρ κε**χολ**ώσεται ἔμπης.”

“ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσιν, 2.796
ὥς ποτ' ἐπ' εἰρήνης· πόλεμος δ' ἀλίαστος ὄρωρεν.
ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰσήλυθον ἀνδρῶν,
ἀλλ' οὔ πω τοιόνδε τοσόνδέ τε λαὸν ὄπωπα·
λίην γὰρ **φύλλοισιν ἐοικότες** ἢ **ψαμάθοισιν**
ἔρχονται πεδίοιο μαχησόμενοι προτὶ ἄστυ. Iris as
Ἕκτορ, σοὶ δὲ μάλιστ' ἐπιτέλλομαι ὧδέ γε ῥέξαι· Polites
πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου ἐπίκουροι,
ἄλλη δ' ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων·
τοῖσιν ἕκαστος ἀνὴρ σημαινέτω οἷσί περ ἄρχει,
τῶν δ' ἐξηγείσθω, κοσμησάμενος πολιήτας.”
“ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἱστὸν 10.226
καλὸν ἀοιδιάει — δάπεδον δ' ἅπαν ἀμφιμέμυκεν —
ἢ θεὸς ἠὲ γυνή· ἀλλὰ φθεγγώμεθα θᾶσσον.” Polites

“ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσιν, 2.796
ὥς ποτ' ἐπ' εἰρήνης· πόλεμος δ' ἀλίαστος ὄρωρεν.
ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰσήλυθον ἀνδρῶν,
ἀλλ' οὔ πω τοιόνδε τοσόνδέ τε λαὸν ὄπωπα·
λίην γὰρ **φύλλοισιν ἐοικότες** ἢ **ψαμάθοισιν**
ἔρχονται πεδίοιο μαχησόμενοι προτὶ ἄστυ. Iris as
Ἕκτορ, σοὶ δὲ μάλιστ' ἐπιτέλλομαι ὧδέ γε ῥέξαι· Polites
πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου ἐπίκουροι,
ἄλλη δ' ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων·
τοῖσιν ἕκαστος ἀνὴρ σημαινέτω οἷσί περ ἄρχει,
τῶν δ' ἐξηγείσθω, **κοσμησάμενος** πολιήτας.”
“ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἱστὸν 10.226
καλὸν ἀοιδιάει — δάπεδον δ' ἅπαν ἀμφιμέμυκεν —
ἢ θεὸς ἠὲ γυνή· ἀλλὰ φθεγγώμεθα θᾶσσον.” Polites

Hebrew ~ ἄλλων γλῶσσα
Hebrew עלה (“aleh”) = leaf ~ ἄλεισον ~ ἄλλη
Hebrew עָנָף (“anaf) = branch, sprig ~ **ἀναφ**αίνειν
Hebrew חול (“chol”) = sand ~ κε**χολ**ώσεται

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 103 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF TROJAN WARRIOR
AENEAS
IN THE ILIAD

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

5.171 “Πάνδαρε, ποῦ τοι τόξον ἰδὲ πτερόεντες ὀϊστοὶ
καὶ κλέος; ὧι οὔ_τίς τοι ἐρίζεται ἐνθάδε γ’ ἀνὴρ,
οὐδέ τις ἐν Λυκίηι σέο γ’ εὔχεται εἶναι ἀμείνων.
ἀλλ’ ἄγε τῶιδ’ ἔφες ἀνδρὶ βέλος, Διὶ χεῖρας ἀνασχὼν,
ὅς_τις ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ἔοργεν
Τρῶας, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ’ ἔλυσεν·
εἰ μή τις θεός ἐστι κοτεσσάμενος Τρώεσσιν,
Aeneas ἱρῶν μηνίσας· χαλεπὴ δὲ θεοῦ ἔπι μῆνις.”
5.218 “μὴ δὴ οὕτως ἀγόρευε· πάρος δ’ οὐκ ἔσσεται ἄλλως,
πρίν γ’ ἐπὶ νὼ τῶιδ’ ἀνδρὶ σὺν ἵπποισιν καὶ ὄχεσφιν
ἀντιβίην ἐλθόντε σὺν ἔντεσι πειρηθῆναι.
ἀλλ’ ἄγ’ ἐμῶν ὀχέων ἐπιβήσεο, ὄφρα ἴδηαι
οἷοι Τρώϊοι ἵπποι, ἐπιστάμενοι πεδίοιο
κραιπνὰ μάλ’ ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι·
τὼ καὶ νῶϊ· πόλινδε σαώσετον, εἴ_περ ἂν αὖτε
Ζεὺς ἐπὶ Τυδεΐδηι Διομήδεϊ κῦδος ὀρέξηι.
ἀλλ’ ἄγε νῦν μάστιγα καὶ ἡνία σιγαλόεντα
δέξαι, ἐγὼ δ’ ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι·
Aeneas ἠὲ σὺ τόνδε δέδεξο, μελήσουσιν δ’ ἐμοὶ ἵπποι.”
16.617 “Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα,
Aeneas ἔγχος ἐμὸν κατέπαυσε διαμπερὲς, εἴ σ’ ἔβαλόν περ.”
17.335 “Ἕκτορ τ’ ἠδ’ ἄλλοι Τρώων ἀγοὶ ἠδ’ ἐπικούρων,
αἰδὼς μὲν νῦν ἥδε γ’, ἀρηϊφίλων ὑπ’ Ἀχαιῶν
Ἴλιον εἰσαναβῆναι ἀναλκίηισι δαμέντας.
ἀλλ’ ἔτι γάρ τίς φησι θεῶν, ἐμοὶ ἄγχι παραστὰς,
Ζῆν’, ὕπατον μήστωρα, μάχης ἐπιτάρροθον εἶναι·
τῶι ῥ’ ἰθὺς Δαναῶν ἴομεν, μηδ’ οἵ_γε ἕκηλοι
Aeneas Πάτροκλον νηυσὶν πελασαίατο τεθνηῶτα.”
20.87 “Πριαμίδη, τί με ταῦτα καὶ οὐκ ἐθέλοντα κελεύεις
ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι;
οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεος ἄντ’ Ἀχιλῆος
στήσομαι, ἀλλ’ ἤδη με καὶ ἄλλοτε δουρὶ φόβησεν
ἐξ Ἴδης, ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρηισιν,
πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον· αὐτὰρ ἐμὲ Ζεὺς
εἰρύσαθ’, ὅς μοι ἐπῶρσε μένος λαιψηρά τε γοῦνα.
ἦ κ’ ἐδάμην ὑπὸ χερσὶν Ἀχιλλῆος καὶ Ἀθήνης,
ἥ οἱ πρόσθεν ἰοῦσα τίθει φάος ἠδ’ ἐκέλευεν
ἔγχεϊ χαλκείωι Λέλεγας καὶ Τρῶας ἐναίρειν.
τῶι οὐκ ἔστ’ Ἀχιλῆος ἐναντίον ἄνδρα μάχεσθαι·
αἰεὶ γὰρ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει.
καὶ δ’ ἄλλως τοῦ_γ’ ἰθὺ βέλος πέτετ’, οὐδ’ ἀπολήγει
πρὶν χροὸς ἀνδρομέοιο διελθεῖν. εἰ δὲ θεός περ
ἶσον τείνειεν πολέμου τέλος, οὔ κε μάλα ῥέα
Aeneas νικήσει_, οὐδ’ εἰ παγχάλκεος εὔχεται εἶναι.”
20.200 “Πηλεΐδη, μὴ δή μ’ ἐπέεσσί γε νηπύτιον ὣς
ἔλπεο δειδίξεσθαι, ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς
ἠμὲν κερτομίας ἠδ’ αἴσυλα μυθήσασθαι.
◆ ἴδμεν δ’ ἀλλήλων γενεὴν, ἴδμεν δὲ τοκῆας,
πρόκλυτ’ ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων·
ὄψει δ’ οὔτ’ ἄρ πω σὺ ἐμοὺς ἴδες οὔτ’ ἄρ’ ἐγὼ σούς·
φασὶ σὲ μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι,
μητρὸς τ’ ἐκ Θέτιδος καλλιπλοκάμου ἁλοσύδνης·
αὐτὰρ ἐγὼν υἱὸς μεγαλήτορος Ἀγχίσαο
εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοί ἐστ’ Ἀφροδίτη·
τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύσονται
σήμερον· οὐ γάρ φημ’ ἐπέεσσί γε νηπυτίοισιν
ὧδε διακρινθέντε μάχης ἒξ ἀπονέεσθαι.
“εἰ δ’ ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ’ εὖ εἰδῆις
ἡμετέρην γενεὴν, πολλοὶ δέ μιν ἄνδρες ἴσασιν·
Δάρδανον ἂρ πρῶτον τέκετο νεφεληγερέτα Ζεὺς,
κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔ_πω Ἴλιος ἱρὴ
ἐν πεδίωι πεπόλιστο, πόλις μερόπων ἀνθρώπων,
ἀλλ’ ἔθ’ ὑπωρείας ὤικεον πολυπίδακος Ἴδης.
Δάρδανος αὖ τέκεθ’ υἱὸν Ἐριχθόνιον βασιλῆα,
ὃς δὴ ἀφνειότατος γένετο θνητῶν ἀνθρώπων·
τοῦ τρισχείλιαι ἵπποι ἕλος κάτα βουκολέοντο
θήλειαι, πώλοισιν ἀγαλλόμεναι ἀταλῆισιν. —
τάων καὶ Βορέης ἠράσσατο βοσκομενάων,
ἵππωι δ’ εἰσάμενος παρελέξατο κυανοχαίτηι·
αἱ δ’ ὑποκυσάμεναι ἔτεκον δυοκαίδεκα πώλους.
αἱ δ’ ὅτε μὲν σκιρτῶιεν ἐπὶ ζείδωρον ἄρουραν,
ἄκρον ἐπ’ ἀνθερίκων καρπὸν θέον οὐδὲ κατέκλων·
ἀλλ’ ὅτε δὴ σκιρτῶιεν ἐπ’ εὐρέα νῶτα θαλάσσης,
ἄκρον ἐπὶ ῥηγμῖνα ἁλὸς πολιοῖο θέεσκον. —
Τρῶα δ’ Ἐριχθόνιος τέκετο Τρώεσσιν ἄνακτα·
Τρωὸς δ’ αὖ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
Ἶλός τ’ Ἀσσάρακός τε καὶ ἀντίθεος Γανυμήδης,
ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων·
τὸν καὶ ἀνηρέψαντο θεοὶ Διὶ οἰνοχοεύειν
κάλλεος εἵνεκα οἷο, ἵν’ ἀθανάτοισι μετείη.
Ἶλος δ’ αὖ τέκεθ’ υἱὸν ἀμύμονα Λαομέδοντα,
Λαομέδων δ’ ἄρα Τιθωνὸν τέκετο Πρίαμόν τε
Λάμπόν τε Κλυτίον θ’ Ἱκετάονά τ’, ὄζον Ἄρηος.
Ἀσσάρακος δὲ Κάπυν, ὁ δ’ ἄρ’ Ἀγχίσην τέκε παῖδα·
αὐτὰρ ἔμ’ Ἀγχίσης, Πρίαμος δ’ ἔτεχ’ Ἕκτορα δῖον.
ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι·
Ζεὺς δ’ ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε,
ὅππως κεν ἐθέλησιν· ὁ γὰρ κάρτιστος ἁπάντων.
“ἀλλ’ ἄγε, μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὣς,
ἑσταότ’ ἐν μέσσηι ὑσμίνηι δηϊοτῆτος.
ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι
πολλὰ μάλ’· οὐδ’ ἂν νηῦς ἑκατόζυγος ἄχθος ἄροιτο.
στρεπτὴ δὲ γλῶσσ’ ἐστὶ βροτῶν, πολέες δ’ ἔνι μῦθοι
παντοῖοι, ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.
ὁπποῖόν κ’ εἴπησθα ἔπος, τοῖόν κ’ ἐπακούσαις.
ἀλλὰ τίη ἔριδας καὶ νείκεα νῶϊν ἀνάγκη
νεικεῖν ἀλλήλοισιν ἐναντίον, ὥς_τε γυναῖκας,
αἵ_τε χολωσάμεναι ἔριδος πέρι θυμοβόροιο
νεικεῦσ’ ἀλλήληισι μέσην ἐς ἄγυιαν ἰοῦσαι,
πόλλ’ ἐτεά τε καὶ οὐκί· χόλος δέ τε καὶ τὰ κελεύει;

ἀλκῆς δ’ οὔ μ’ ἐπέεσσιν ἀποστρέψεις μεμαῶτα,
πρὶν χαλκῶι μαχέσασθαι ἐναντίον· ἀλλ’ ἄγε, θᾶσσον
Aeneas γευσόμεθ’ ἀλλήλων χαλκήρεσιν ἐγχείῃσιν.”

Agenor is son of Antenor and Theano.

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 25 lines 3.0

THE
SPOKEN LINES
OF TROJAN WARRIOR
AGENOR
IN **THE ILIAD**

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

21.553 “ὤ_ μοι ἐγών· εἰ μέν κεν ὑπὸ κρατεροῦ Ἀχιλῆος
φεύγω, τῆι_περ οἱ ἄλλοι ἀτυζόμενοι κλονέονται,
αἱρήσει με καὶ ὣς, καὶ ἀνάλκιδα δειροτομήσει.
εἰ δ’ ἂν ἐγὼ τούτους μὲν ὑποκλονέεσθαι ἐάσω
Πηλεΐδηι Ἀχιλῆϊ, ποσὶν δ’ ἀπὸ τείχεος ἄλληι
φεύγω πρὸς πεδίον Ἰλήϊον, ὄφρ’ ἂν ἵκωμαι
Ἴδης τε κνημοὺς κατά τε ῥωπήϊα δύω·
ἑσπέριος δ’ ἂν ἔπειτα λοεσσάμενος ποταμοῖο,
ἱδρῶ ἀποψυχθεὶς, προτὶ Ἴλιον ἀπονεοίμην.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
μή μ’ ἀπαειρόμενον πόλιος πεδίονδε νοήσηι
καί με μεταΐξας μάρψηι ταχέεσσι πόδεσσιν.
οὐκέτ’ ἔπειτ’ ἔσται θάνατον καὶ κῆρας ἀλύξαι·
λίην γὰρ κρατερὸς περὶ πάντων ἔστ’ ἀνθρώπων.
εἰ δέ κέν οἱ προπάροιθε πόλιος κατ’ ἐναντίον ἔλθω·
καὶ γάρ θην τούτωι τρωτὸς χρὼς ὀξέϊ χαλκῶι,
ἐν δὲ ἴα ψυχὴ, θνητὸν δέ ἕ φασ’ ἄνθρωποι
ἔμμεναι· αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει.” Agenor
“ἦ δή που μάλ’ ἔολπας ἐνὶ φρεσὶ, φαίδιμ’ Ἀχιλλεῦ, 21.583
ἤματι τῶιδε πόλιν πέρσειν Τρώων ἀγερώχων,
νηπύτι’, ἦ τ’ ἔτι πολλὰ τετεύξεται ἄλγε’ ἐπ’ αὐτῆι.
ἐν γάρ οἱ πολέες τε καὶ ἄλκιμοι ἀνέρες εἰμὲν,
οἵ κεν πρόσθε φίλων τοκέων ἀλόχων τε καὶ υἱῶν
Ἴλιον εἰρυόμεσθα· σὺ δ’ ἐνθάδε πότμον ἐφέψεις,
ὧδ’ ἔκπαγλος ἐὼν καὶ θαρσαλέος πολεμιστής.” Agenor

Trojan warrior Akamas is son of Antenor; another Akamas, son of Eussorus of Thrace, was killed by Aias or Idomenaeus.

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 7 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF TROJAN WARRIOR
AKAMAS
IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

14.479 “Ἀργεῖοι ἰόμωροι, ἀπειλάων ἀκόρητοι,
οὔ θην οἴοισίν γε πόνος τ’ ἔσεται καὶ ὀϊζὺς
ἡμῖν, ἀλλά ποθ’ ὧδε κατακτενέεσθε καὶ ὔμμες.
φράζεσθ’ ὡς ὑμῖν Πρόμαχος δεδμημένος εὕδει
ἔγχει ἐμῶι, ἵνα μή τι κασιγνήτοιό γε ποινὴ
δηρὸν ἄτιτος ἔηι· τῶι καί τέ τις εὔχεται ἀνὴρ
Akamas γνωτὸν ἐνὶ μεγάροισιν ἀρῆς ἀλκτῆρα λιπέσθαι.”

Notes

Notes

ATTRIBUTED TO Πάρις:

3.438 “μή με, γύναι, χαλεποῖσιν ὀνείδεσι θυμὸν ἔνιπτε.
νῦν μὲν γὰρ Μενέλαος ἐνίκησεν σὺν Ἀθήνηι,
κεῖνον δ’ αὖτις ἐγώ· πάρα γὰρ θεοί εἰσι καὶ ἡμῖν.
ἀλλ’ ἄγε δὴ φιλότητι τραπείομεν εὐνηθέντε·
οὐ γάρ πώ_ποτέ μ’ ὧδέ γ’ ἔρως φρένας ἀμφεκάλυψεν,
οὐδ’ ὅτε σε πρῶτον Λακεδαίμονος ἐξ ἐρατεινῆς
ἔπλεον ἁρπάξας ἐν ποντοπόροισι νέεσσιν,
νήσωι δ’ ἐν Κραναῆι ἐμίγην φιλότητι καὶ εὐνῆι,
Paris ὥς σεο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ.”

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 53 lines 3.0

As some way-faring Man, who wanders o’er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF TROJAN PRINCE
ALEXANDER
IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

Version A

attributed to Ἀλέξανδρος:

3.59 "Ἕκτορ, ἐπεί με κατ' αἶσαν ἐνείκεσας οὐδ' ὑπὲρ αἶσαν,
αἰεί τοι κραδίη πέλεκυς ὥς ἐστιν ἀτειρὴς,
ὅς_τ' εἶσιν διὰ δουρὸς ὑπ' ἀνέρος, ὅς ῥά τε τέχνηι
νήϊον ἐκτάμνησιν, ὀφέλλει δ' ἀνδρὸς ἐρωήν·
ὣς σοὶ ἐνὶ στήθεσσιν ἀτάρβητος νόος ἐστίν.
μή μοι δῶρ' ἐρατὰ πρόφερε χρυσῆς Ἀφροδίτης·
οὔ_τοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα,
ὅσσ<u>ά</u> κεν αὐτοὶ δῶσιν, ἑκὼν δ' οὐκ ἄν τις ἕλοιτο.
νῦν αὖτ' εἴ μ' ἐθέλεις πολεμίζειν ἠδὲ μάχεσθαι,
ἄλλους μὲν κάθεσον Τρῶας καὶ πάντας Ἀχαιοὺς,
αὐτὰρ ἔμ' ἐν μέσσωι καὶ ἀρηΐφιλον Μενέλαον
συμβάλετ' ἀμφ' Ἑλένηι καὶ κτήμασι πᾶσι μάχεσθαι.
ὁππότερος δέ κε νικήσηι κρέσσων τε γένηται,
κτήμαθ' ἑλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ' ἀγέσθω·
οἱ δ' ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες
ναίοιτε Τροίην ἐριβώλακα, τοι δὲ νεέσθων
Alex Ἄργος ἐς ἱππόβοτον καὶ Ἀχαιΐδα καλλιγύναικα."

"Ἕκτορ, ἐπεί με κατ' αἶσαν ἐνείκεσας οὐδ' ὑπὲρ αἶσαν, 6.333
το<u>ὔ</u>νεκά τοι ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον,
οὔ_τοι ἐγὼ Τρώων τόσσον χόλωι οὐδὲ νεμέσσι
ἥμην ἐν θαλάμωι, ἔθελον δ' ἄχεϊ προτραπέσθαι.
νῦν δέ με παρειποῦσ' ἄλοχος μαλακοῖς ἐπέεσσιν
ὥρμησ' ἐς πόλεμον· δοκέει δέ μοι ὧδε καὶ αὐτῶι
λώϊον ἔσσεσθαι· νίκη δ' ἐπαμείβεται ἄνδρας.
ἀλλ' ἄγε νῦν ἐπίμεινον, <u>Ἀ</u>ρήϊα τεύχεα δύω·
<u>ἢ</u> ἴθ', ἐγὼ δὲ μέτειμι· κιχήσεσθαι δέ σ' ὀΐω." Alex
"ἠθεῖ', ἦ μάλα δή σε καὶ ἐσσύμενον κατερύκω 6.518
δηθύνων, οὐδ' ἦλθον ἐναίσιμον, ὡς ἐκελεύες." Alex
"Ἀντῆνορ, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις· 7.357
οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.
εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις,
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί.
αὐτὰρ ἐγὼ Τρώεσσι μεθ' ἱπποδάμοις ἀγορεύσω.
ἀντικρὺ δ' ἀπόφημι, γυναῖκα μὲν οὐκ ἀποδώσω·
κτήματα δ' ὅσσ' ἀγόμην ἐξ Ἄργεος ἡμέτερον δῶ
πάντ' ἐθέλω δόμεναι καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι." Alex

	attributed to:	
3.59-75	Ἀλέξανδρος	
3.333-341	Ἀλέξανδρος θεοειδής	(to Hektor)
3.438-446	Πάρις	
6.518-519	Ἀλέξανδρος θεοειδής	(to Hektor)
7.357-364	Ἀλέξανδρος	
11.380-383	Ἀλέξανδρος	(to Diomedes)
13.775-787	Ἀλέξανδρος	

11.380 “βέβλεαι, οὐδ’ ἅλιον βέλος ἔκφυγεν· ὡς ὄφελόν τοι
νείατον ἐς κενεῶνα βαλὼν ἐκ θυμὸν ἑλέσθαι.
οὕτω κεν καὶ Τρῶες ἀνέπνευσαν κακότητος,
Alex οἵ_τέ σε πεφρίκασι λέονθ’ ὣς μηκάδες αἶγες.”
13.775 “Ἕκτορ, ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι,
ἄλλοτε δή ποτε μᾶλλον ἐρωῆσαι πολέμοιο
μέλλω, ἐπεὶ οὐδ’ ἐμὲ πάμπαν ἀνάλκιδα γείνατο μήτηρ.
ἐξ οὗ γὰρ παρὰ νηυσὶ μάχην ἤγειρας ἑταίρων,
ἐκ τοῦ_δ’ ἐνθάδ’ ἐόντες ὁμιλέομεν Δαναοῖσιν
νωλεμέως. ἕταροι δὲ κατέκταθεν, οὓς σὺ μεταλλᾷς·
οἴω Δηΐφοβός τε βίη θ’ Ἑλένοιο ἄνακτος
οἴχεσθον, μακρῇσι τετυμμένω ἐγχείῃσιν
ἀμφοτέρω κατὰ χεῖρα· φόνον δ’ ἤμυνε Κρονίων.
νῦν δ’ ἄρχ’, ὅππῃ σε κραδίη θυμός τε κελεύει·
ἡμεῖς δ’ ἐμμεμαῶτες ἅμ’ ἑψόμεθ’, οὐδέ τί φημι
ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστιν·
Alex πὰρ δύναμιν δ’ οὐκ ἔστι, καὶ ἐσσύμενον, πολεμίζειν.”

Notes

Notes

ILIAD ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 27 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF TROJAN ELDER ANTENOR IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

3.204 “ὦ γύναι, ἦ μάλα τοῦτο ἔπος νημερτὲς ἔειπες·
ἤδη γὰρ καὶ δεῦρό ποτ’ ἤλυθε δῖος Ὀδυσσεὺς,
σεῦ ἕνεκ’ ἀγγελίης, σὺν ἀρηϊφίλωι Μενελάωι·
τοὺς δ’ ἐγὼ ἐξείνισσα καὶ ἐν μεγάροισι φίλησα,
ἀμφοτέρων δὲ φυὴν ἐδάην καὶ μήδεα πυκνά.
ἀλλ’ ὅτε δὴ Τρώεσσιν ἐν ἀγρομένοισιν ἔμιχθεν,
στάντων μὲν Μενέλαος ὑπείρεχεν εὐρέας ὤμους,
✦ ἄμφω δ’ ἑζομένω, γεραρώτερος ἦεν Ὀδυσσεύς·
ἀλλ’ ὅτε δὴ μύθους καὶ μήδεα πᾶσιν ὕφαινον,
ἤτοι μὲν Μενέλαος ἐπιτροχάδην ἀγόρευεν,
παῦρα μὲν, ἀλλὰ μάλα λιγέως, ἐπεὶ οὐ πολύμυθος
οὐδ’ ἀφαμαρτοεπὴς, ἦ καὶ γένει ὕστερος ἦεν.
ἀλλ’ ὅτε δὴ πολύμητις ἀναΐξειεν Ὀδυσσεὺς,
στάσκεν, ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς ὄμματα πήξας,
σκῆπτρον δ’ οὔτ’ ὀπίσω οὔτε προπρηνὲς ἐνώμα,
ἀλλ’ ἀστεμφὲς ἔχεσκεν, ἀΐδρει φωτὶ ἐοικώς·
φαίης κε ζάκοτόν τέ τιν’ ἔμμεναι ἄφρονά τ’ αὔτως·
ἀλλ’ ὅτε δὴ ὄπα τε μεγάλην ἐκ στήθεος ἵει
καὶ ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσιν,
οὐκ ἂν ἔπειτ’ Ὀδυσῆΐ γ’ ἐρίσσειε βροτὸς ἄλλος·
Antenor οὐ τότε γ’ ὧδ’ Ὀδυσῆος ἀγασσάμεθ’ εἶδος ἰδόντες.”
7.348 “κέκλυτέ μευ, Τρῶες καὶ Δάρδανοι ἠδ’ ἐπίκουροι,
ὄφρ’ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
δεῦτ’ ἄγετ’, Ἀργείην Ἑλένην καὶ κτήμαθ’ ἅμ’ αὐτῆι
δώομεν Ἀτρείδῃσιν ἄγειν· νῦν δ’ ὅρκια πιστὰ
ψευσάμενοι μαχόμεσθα· τῶι οὔ νύ τι κέρδιον ἡμῖν
Antenor ἔλπομαι ἐκτελέεσθαι, ἵνα μὴ ῥέξομεν ὧδε.”

3.204 “ὦ γύναι, ἦ μάλα τοῦτο ἔπος νημερτὲς ἔειπες·
ἤδη γὰρ καὶ δεῦρό ποτ’ ἤλυθε δῖος Ὀδυσσεὺς,
σεῦ ἕνεκ’ ἀγγελίης, σὺν ἀρηϊφίλωι Μενελάωι·
τοὺς δ’ ἐγὼ ἐξείνισσα καὶ ἐν μεγάροισι φίλησα,
ἀμφοτέρων δὲ φυὴν ἐδάην καὶ μήδεα πυκνά.
ἀλλ’ ὅτε δὴ Τρώεσσιν ἐν ἀγρομένοισιν ἔμιχθεν,
στάντων μὲν Μενέλαος ὑπείρεχεν εὐρέας ὤμους,
ἄμφω δ’ ἑζομένω, γεραρώτερος ἦεν Ὀδυσσεύς·
ἀλλ’ ὅτε δὴ μύθους καὶ μήδεα πᾶσιν ὕφαινον,
ἤτοι μὲν Μενέλαος ἐπιτροχάδην ἀγόρευεν,
παῦρα μὲν, ἀλλὰ μάλα λιγέως, ἐπεὶ οὐ πολύμυθος
οὐδ’ ἀφαμαρτοεπὴς, ἦ καὶ γένει ὕστερος ἦεν.
ἀλλ’ ὅτε δὴ πολύμητις ἀναΐξειεν Ὀδυσσεὺς,
στάσκεν, ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς ὄμματα πήξας,
σκῆπτρον δ’ οὔτ’ ὀπίσω οὔτε προπρηνὲς ἐνώμα,
ἀλλ’ ἀστεμφὲς ἔχεσκεν, ἀΐδρει φωτὶ ἐοικώς·
φαίης κε ζάκοτόν τέ τιν’ ἔμμεναι ἄφρονά τ’ αὔτως·
ἀλλ’ ὅτε δὴ ὄπα τε μεγάλην ἐκ στήθεος ἵει
καὶ ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσιν,
οὐκ ἂν ἔπειτ’ Ὀδυσῆΐ γ’ ἐρίσσειε βροτὸς ἄλλος·
οὐ τότε γ’ ὧδ’ Ὀδυσῆος ἀγασσάμεθ’ εἶδος ἰδόντες.” **Antenor**
“κέκλυτέ μευ, Τρῶες καὶ Δάρδανοι ἠδ’ ἐπίκουροι, **7.348**
ὄφρ’ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
δεῦτ’ ἄγετ’, Ἀργείην Ἑλένην καὶ κτήμαθ’ ἅμ’ αὐτῆι
δώομεν Ἀτρείδῃσιν ἄγειν· νῦν δ’ ὅρκια πιστὰ
ψευσάμενοι μαχόμεσθα· τῶι οὔ νύ τι κέρδιον ἡμῖν
ἔλπομαι ἐκτελέεσθαι, ἵνα μὴ ῥέξομεν ὧδε.” **Antenor**

Asios, son of Hyrtacus, was from the Dardanelles, or the Phrygian son of Dymas.

ILIAD ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 14 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF ASIOS IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

12.164 "Ζεῦ πάτερ, ἦ ῥά νυ καὶ σὺ φιλοψευδὴς ἐτέτυξο
πάγχυ μάλ'· οὐ γὰρ ἐγώ_γ' ἐφάμην ἥρωας Ἀχαιοὺς
σχήσειν ἡμέτερόν γε μένος καὶ χεῖρας ἀάπτους.
οἱ δ', ὥς_τε σφῆκες μέσον αἰόλοι ἠὲ μέλισσαι
οἰκία ποιήσωνται ὁδῶι ἔπι παιπαλοέσσηι,
οὐδ' ἀπολείπουσιν κοῖλον δόμον, ἀλλὰ μένοντες
ἄνδρας θηρητῆρας ἀμύνονται περὶ τέκνων,
ὣς οἵδ' οὐκ ἐθέλουσι πυλάων καὶ δύ' ἐόντε
Asios χάσσασθαι, πρίν γ' ἠὲ κατακτάμεν ἠὲ ἁλῶναι."
16.721 "Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή.
αἴθ' ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἴην·
τῶι κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.
Apollo ἀλλ' ἄγε, Πατρόκλωι ἔφεπε κρατερώνυχας ἵππους,
as Asios αἴ κέν πώς μιν ἕλῃς, δώῃ δέ τοι εὖχος Ἀπόλλων."

"Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή. 16.721
αἴθ' ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἴην·
τῶι κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.
ἀλλ' ἄγε, Πατρόκλωι ἔφεπε κρατερώνυχας ἵππους, Apollo
αἴ κέν πώς μιν ἕλῃς, δώῃ δέ τοι εὖχος Ἀπόλλων." as Asios

12.164 "Ζεῦ πάτερ, ἦ ῥά νυ καὶ σὺ φιλοψευδὴς ἐτέτυξο
πάγχυ μάλ'· οὐ γὰρ ἐγώ_γ' ἐφάμην ἥρωας Ἀχαιοὺς
σχήσειν ἡμέτερόν γε μένος καὶ χεῖρας ἀάπτους.
οἱ δ', ὥς_τε σφῆκες μέσον αἰόλοι ἠὲ μέλισσαι
οἰκία ποιήσωνται ὁδῶι ἔπι παιπαλοέσσηι,
οὐδ' ἀπολείπουσιν κοῖλον δόμον, ἀλλὰ μένοντες
ἄνδρας θηρητῆρας ἀμύνονται περὶ τέκνων,
ὣς οἵδ' οὐκ ἐθέλουσι πυλάων καὶ δύ' ἐόντε
Asios χάσσασθαι, πρίν γ' ἠὲ κατακτάμεν ἠὲ ἁλῶναι."

Notes

Notes

Trojan prince Deiphobos marries Helen after the death of Alexander. Helenos wanted to marry her then, and betrayed Troy in an act of anticipatory revenge because, as a seer, he knew she would marry Deiphobos.

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 8 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES
OF TROJAN WARRIOR
DEIPHOBOS
IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

13.414 “οὐ μὰν αὖτ’ ἄτιτος κεῖτ’ Ἄσιος, ἀλλά ἕ φημι
Dei- εἰς Ἄϊδός περ ἰόντα πυλάρταο κρατεροῖο
phobos γηθήσειν κατὰ θυμόν, ἐπεί ῥά οἱ ὤπασα πομπόν.”
13.463 “Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ
γαμβρῶι ἀμυνέμεναι, εἰ_περ τί σε κῆδος ἱκάνει.
ἀλλ’ ἕπευ, Ἀλκαθόωι ἐπαμύνομεν, ὅς σε πάρος περ
Dei- γαμβρὸς ἐὼν ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα·
phobos τὸν δέ τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν.”

13.414 “οὐ μὰν αὖτ’ ἄτιτος κεῖτ’ Ἄσιος, ἀλλά ἕ φημι
Dei- εἰς Ἄϊδός περ ἰόντα πυλάρταο κρατεροῖο
phobos γηθήσειν κατὰ θυμόν, ἐπεί ῥά οἱ ὤπασα πομπόν.”
13.463 “Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ
γαμβρῶι ἀμυνέμεναι, εἰ_περ τί σε κῆδος ἱκάνει.
ἀλλ’ ἕπευ, Ἀλκαθόωι ἐπαμύνομεν, ὅς σε πάρος περ
γαμβρὸς ἐὼν ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα· Dei-
τὸν δέ τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν.” phobos

13.414 “οὐ μὰν αὖτ’ ἄτιτος κεῖτ’ Ἄσιος, ἀλλά ἕ φημι
Dei- εἰς Ἄϊδός περ ἰόντα πυλάρταο κρατεροῖο
phobos γηθήσειν κατὰ θυμόν, ἐπεί ῥά οἱ ὤπασα πομπόν.”
“Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ 13.463
γαμβρῶι ἀμυνέμεναι, εἰ_περ τί σε κῆδος ἱκάνει.
ἀλλ’ ἕπευ, Ἀλκαθόωι ἐπαμύνομεν, ὅς σε πάρος περ

γαμβρὸς ἐὼν ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα· Dei-
τὸν δέ τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν." phobos

Euphorbos, son of Panthous, brother of Polydamas and Hyperenor; first to wound Patroklos. Menelaus killed Euphorbos.

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 15 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF
EUPHORBOS
IN **THE ILIAD**

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

17.12 "Ἀτρείδη Μενέλαε, διοτρεφὲς, ὄρχαμε λαῶν,
χάζεο, λεῖπε δὲ νεκρὸν, ἔα δ' ἔναρα βροτόεντα·
οὐ γάρ τις πρότερος Τρώων κλειτῶν τ' ἐπικούρων
Πάτροκλον βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην·
τῶι με ἔα κλέος ἐσθλὸν ἐνὶ Τρώεσσιν ἀρέσθαι,
μή σε βάλω, ἀπὸ δὲ μελιηδέα θυμὸν ἕλωμαι."
17.34 "νῦν μὲν δὴ, Μενέλαε διοτρεφὲς, ἦ μάλα τείσεις
γνωτὸν ἐμὸν, τὸν ἔπεφνες, ἐπευχόμενος δ' ἀγορεύεις,
χήρωσας δὲ γυναῖκα μυχῶι θαλάμοιο νέοιο,
ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας.
ἦ κέ σφιν δειλοῖσι γόου κατάπαυμα γενοίμην,
εἴ κεν ἐγὼ κεφαλήν τε τεὴν καὶ τεύχε' ἐνείκας
Πανθόωι ἐν χείρεσσι βάλω καὶ Φρόντιδι δίηι.
ἀλλ' οὐ μὰν ἔτι δηρὸν ἀπείρητος πόνος ἔσται
οὐδὲ τ' ἀδήριτος ἤ τ' ἀλκῆς ἤ τε φόβοιο." **Euphorbos**

Notes

Notes

VERSION:

15.347 *νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ' ἔναρα βροτόεντα·*
is not spoken

ILIAD ASCENDS **FROM START**

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 507 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF TROJAN WARRIOR
HEKTOR
IN **THE ILIAD**

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

3.39 “Δύσπαρι, εἶδος ἄριστε, γυναιμανὲς, ἠπεροπευτὰ,
αἴθ' ὄφελες ἄγονός τ' ἔμεναι ἄγαμός τ' ἀπολέσθαι.
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον ἦεν
ἢ οὕτω λώβην τ' ἔμεναι καὶ ὑπόψιον ἄλλων.
ἦ που καγχαλόωσι κάρη κομόωντες Ἀχαιοὶ,
φάντες ἀριστῆα πρόμον ἔμμεναι, οὕνεκα καλὸν
εἶδος ἔπ', ἀλλ' οὐκ ἔστι βίη φρεσὶν οὐδέ τις ἀλκή.
ἦ τοιόσδε ἐὼν ἐν ποντοπόροισι νέεσσιν
πόντον ἐπιπλώσας, ἑτάρους ἐρίηρας ἀγείρας,
μιχθεὶς ἀλλοδαποῖσι γυναῖκ' εὐειδέ' ἀνῆγες
ἐξ ἀπίης γαίης, νυὸν ἀνδρῶν αἰχμητάων,
3.50 πατρί τε σῶι μέγα πῆμα πόληΐ τε παντί τε δήμωι,
δυσμενέσιν μὲν χάρμα, κατηφείην δὲ σοὶ αὐτῶι;
οὐκ ἂν δὴ μείνειας ἀρηΐφιλον Μενέλαον;
γνοίης χ' οἵου φωτὸς ἔχεις θαλερὴν παράκοιτιν.
οὐκ ἄν τοι χραίσμηι κίθαρις τά τε δῶρ' Ἀφροδίτης,
ἥ τε κόμη τό τε εἶδος, ὅτ' ἐν κονίηισι μιγείης.
ἀλλὰ μάλα Τρῶες δειδήμονες· ἦ τέ κεν ἤδη
Hektor λαϊνον ἕσσο χιτῶνα κακῶν ἕνεχ' ὅσσα ἔοργας.”
3.86 “κέκλυτέ μοι, Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοὶ,
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρεν.
ἄλλους μὲν κέλεται Τρῶας καὶ πάντας Ἀχαιοὺς
τεύχεα κάλ' ἀποθέσθαι ἐπὶ χθονὶ πουλυβοτείρηι,
αὐτὸν δ' ἐν μέσσωι καὶ ἀρηΐφιλον Μενέλαον
οἴους ἀμφ' Ἑλένηι καὶ κτήμασι πᾶσι μάχεσθαι.
ὁππότερος δέ κε νικήσηι κρέσσων τε γένηται,
κτήμαθ' ἑλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ' ἀγέσθω·
Hektor οἱ δ' ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ τάμωμεν.”
6.111 “Τρῶες ὑπέρθυμοι τηλεκλειτοί τ' ἐπίκουροι,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
ὄφρ' ἂν ἐγὼ βείω προτὶ Ἴλιον ἠδὲ γέρουσιν
εἴπω βουλευτῆισι καὶ ἡμετέρηις ἀλόχοισιν
Hektor δαίμοσιν ἀρήσασθαι, ὑποσχέσθαι δ' ἑκατόμβας.”
6.264 “μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ,
μή μ' ἀπογυιώσηις, μένεος τ' ἀλκῆς τε λάθωμαι·
χερσὶ δ' ἀνίπτηισιν Διὶ λείβειν αἴθοπα οἶνον
ἅζομαι· οὐδέ πηι ἔστι κελαινεφέϊ Κρονίωνι
αἵματι καὶ λύθρωι πεπαλαγμένον εὐχετάασθαι.
ἀλλὰ σύ γε πρὸς νηὸν Ἀθηναίης ἀγελείης
ἔρχεο σὺν θυέεσσιν, ἀολλίσσασα γεραιάς·
πέπλον δ', ὅς τίς τοι χαριέστατος ἠδὲ μέγιστος
ἔστιν ἐνὶ μεγάρωι καί τοι πολὺ φίλτατος αὐτῆι,
τὸν θὲς Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο,
καί οἱ ὑποσχέσθαι δυοκαίδεκα βοῦς ἐνὶ νηῶι
ἤνις ἠκέστας ἱερευσέμεν, αἴ κ' ἐλεήσηι
ἄστύ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα,
αἴ κεν Τυδέος υἱὸν ἀπόσχηι Ἰλίου ἱρῆς,
ἄγριον αἰχμητὴν, κρατερὸν μήστωρα φόβοιο.
ἀλλὰ σὺ μὲν πρὸς νηὸν Ἀθηναίης ἀγελείης
ἔρχε', ἐγὼ δὲ Πάριν μετελεύσομαι, ὄφρα καλέσσω,
αἴ κ' ἐθέλησ' εἰπόντος ἀκουέμεν. ὥς κέ οἱ αὖθι
γαῖα χάνοι· μέγα γάρ μιν Ὀλύμπιος ἔτρεφε πῆμα
Τρωσί τε καὶ Πριάμωι μεγαλήτορι τοῖό τε παισίν.
εἰ κεῖνόν γε ἴδοιμι κατελθόντ' Ἄϊδος εἴσω,
φαίην κεν φρέν' ἀτέρπου ὀϊζύος ἐκλελαθέσθαι.” Hektor
“δαιμόνι', οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο θυμῶι. 6.326
λαοὶ μὲν φθινύθουσι περὶ πτόλιν αἰπύ τε τεῖχος
μαρνάμενοι, σέο δ' εἵνεκ' ἀϋτή τε πτόλεμός τε
ἄστυ τόδ' ἀμφιδέδηε· σὺ δ' ἂν μαχέσαιο καὶ ἄλλωι,
ὅντινά που μεθιέντα ἴδοις στυγεροῦ πολέμοιο.
ἀλλ' ἄνα, μὴ τάχα ἄστυ πυρὸς δηίοιο θέρηται.” Hektor
“μή με κάθιζ', Ἑλένη, φιλέουσά περ· οὐδέ με πείσεις. 6.360
ἤδη γάρ μοι θυμὸς ἐπέσσυται ὄφρ' ἐπαμύνω
Τρώεσσ', οἳ μέγ' ἐμεῖο ποθὴν ἀπεόντος ἔχουσιν.
ἀλλὰ σύ γ' ὄρνυθι τοῦτον, ἐπειγέσθω δὲ καὶ αὐτὸς,
ὥς κεν ἔμ' ἔντοσθεν πόλιος καταμάρψηι ἐόντα.
καὶ γὰρ ἐγὼν οἶκόνδ' ἐσελεύσομαι, ὄφρα ἴδωμαι
οἰκῆας ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν.
οὐ γάρ τ' οἶδ' εἰ ἔτι σφιν ὑπότροπος ἵξομαι αὖτις,
ἦ ἤδη μ' ὑπὸ χερσὶ θεοὶ δαμόωσιν Ἀχαιῶν.” Hektor
“εἰ δ' ἄγε μοι δμωαὶ, νημερτέα μυθήσασθε· 6.376
πῆι ἔβη Ἀνδρομάχη λευκώλενος ἐκ μεγάροιο;
ἠέ πηι ἐς γαλόων, ἢ εἰνατέρων εὐπέπλων,
ἢ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι
Τρωιαὶ ἐϋπλόκαμοι δεινὴν θεὸν ἱλάσκονται;” Hektor
“ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει, γύναι· ἀλλὰ μάλ' αἰνῶς 6.441
αἰδέομαι Τρῶας καὶ Τρωιάδας ἑλκεσιπέπλους,
αἴ κε κακὸς ὣς νόσφιν ἀλυσκάζω πολέμοιο·
οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς
αἰεὶ καὶ πρώτοισι μετὰ Τρώεσσι μάχεσθαι,
ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ' ἐμὸν αὐτοῦ.
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
ἔσσεται ἦμαρ ὅτ' ἄν ποτ' ὀλώληι Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
ἀλλ' οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσσω,
οὔτ' αὐτῆς Ἑκάβης οὔτε Πριάμοιο ἄνακτος,
οὔτε κασιγνήτων, οἵ κεν πολέες τε καὶ ἐσθλοὶ
ἐν κονίηισι πέσοιεν ὑπ' ἀνδράσι δυσμενέεσσιν,
ὅσσον σεῦ, ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων
δακρυόεσσαν ἄγηται, ἐλεύθερον ἦμαρ ἀπούρας.
καί κεν ἐν Ἄργει ἐοῦσα πρὸς ἄλλης ἱστὸν ὑφαίνοις,
καί κεν ὕδωρ φορέοις Μεσσηΐδος ἢ Ὑπερείης
πόλλ' ἀεκαζομένη, κρατερὴ δ' ἐπικείσετ' ἀνάγκη·
καί ποτέ τις εἴπησιν ἰδὼν κατὰ δάκρυ χέουσαν·
‘Ἕκτορος ἥδε γυνὴ, ὃς ἀριστεύεσκε μάχεσθαι
Τρώων ἱπποδάμων, ὅτε Ἴλιον ἀμφεμάχοντο.’
ὥς ποτέ τις ἐρέει· σοὶ δ' αὖ νέον ἔσσεται ἄλγος.
χήτεϊ τοιοῦδ' ἀνδρὸς, ἀμύνειν δούλιον ἦμαρ.
ἀλλά με τεθνηῶτα χυτὴ κατὰ γαῖα καλύπτοι,
πρίν γ' ἔτι σῆς τε βοῆς σοῦ θ' ἑλκηθμοῖο πυθέσθαι.” Hektor

6.476 “Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι
παῖδ’ ἐμόν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεσσιν,
ὧδε βίην τ’ ἀγαθόν, καὶ Ἰλίου ἶφι ἀνάσσειν.
καί ποτέ τις εἴποι ‘πατρός γ’ ὅδε πολλὸν ἀμείνων’
ἐκ πολέμου ἀνιόντα· φέροι δ’ ἔναρα βροτόεντα
Hektor κτείνας δήιον ἄνδρα, χαρείη δὲ φρένα μήτηρ.”

6.521 “δαιμόνι’, οὐκ ἄν τίς τοι ἀνήρ, ὃς ἐναίσιμος εἴη,
ἔργον ἀτιμήσειε μάχης, ἐπεὶ ἄλκιμός ἐσσι·
ἀλλὰ ἑκὼν μεθιεῖς τε καὶ οὐκ ἐθέλεις· τὸ δ’ ἐμὸν κῆρ
ἄχνυται ἐν θυμῶι, ὅθ’ ὑπὲρ σέθεν αἴσχε’ ἀκούω
πρὸς Τρώων, οἳ ἔχουσι πολὺν πόνον εἵνεκα σεῖο.
ἀλλ’ ἴομεν· τὰ δ’ ὄπισθεν ἀρεσσόμεθ’, αἴ κέ ποθι Ζεὺς
δώηι ἐπουρανίοισι θεοῖς αἰειγενέτῃσιν
κρητῆρα στήσασθαι ἐλεύθερον ἐν μεγάροισιν,
Hektor ◆ ἐκ Τροίης ἐλάσαντας ἐϋκνήμιδας Ἀχαιούς.”

7.67 “κέκλυτέ μευ, Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοί,
ὄφρ’ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
ὅρκια μὲν Κρονίδης ὑψίζυγος οὐκ ἐτέλεσσεν,
ἀλλὰ κακὰ φρονέων τεκμαίρεται ἀμφοτέροισιν,
εἰς ὅ κεν ἢ ὑμεῖς Τροίην εὔπυργον ἕλητε,
ἢ αὐτοὶ παρὰ νηυσὶ δαμείετε ποντοπόροισιν.
ὑμῖν δ’ ἐν γὰρ ἔασιν ἀριστῆες Παναχαιῶν·
τῶν νῦν ὅν τινα θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγηι,
δεῦρ’ ἴτω ἐκ πάντων πρόμος ἔμμεναι Ἕκτορι δίωι.
ὧδε δὲ μυθέομαι, Ζεὺς δ’ ἄμμ’ ἐπὶ μάρτυρος ἔστω·
εἰ μέν κεν ἐμὲ κεῖνος ἕληι ταναήκεϊ χαλκῶι,
τεύχεα συλήσας φερέτω κοίλας ἐπὶ νῆας,
σῶμα δὲ οἴκαδ’ ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.
εἰ δέ κ’ ἐγὼ τὸν ἕλω, δώηι δέ μοι εὖχος Ἀπόλλων,
τεύχεα συλήσας οἴσω προτὶ Ἴλιον ἱρὴν
καὶ κρεμόω προτὶ νηὸν Ἀπόλλωνος ἑκάτοιο,
τὸν δὲ νέκυν ἐπὶ νῆας ἐϋσσέλμους ἀποδώσω,
ὄφρα ἑ ταρχύσωσι κάρη κομόωντες Ἀχαιοί,
σῆμά τέ οἱ χεύωσιν ἐπὶ πλατεῖ Ἑλλησπόντωι·
καί ποτέ τις εἴπηισι καὶ ὀψιγόνων ἀνθρώπων,
νηῒ πολυκληῗδι πλέων ἐπὶ οἴνοπα πόντον,
‘ἀνδρὸς μὲν τόδε σῆμα πάλαι κατατεθνηῶτος,
ὅν ποτ’ ἀριστεύοντα κατέκτανε φαίδιμος Ἕκτωρ.’
Hektor ὥς ποτε τις ἐρέει· τὸ δ’ ἐμὸν κλέος οὔ ποτ’ ὀλεῖται.”

7.234 “Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν,
μή τί με’ ἠΰτε παιδὸς ἀφαυροῦ πειρήτιζε
ἠὲ γυναικός, ἣ οὐκ οἶδεν πολεμήϊα ἔργα.
αὐτὰρ ἐγὼν εὖ οἶδα μάχας τ’ ἀνδροκτασίας τε·
οἶδ’ ἐπὶ δεξιά, οἶδ’ ἐπ’ ἀριστερὰ νωμῆσαι βῶν
ἀζαλέην, τό μοί ἐστι ταλαύρινον πολεμίζειν·
οἶδα δ’ ἐπαΐξαι μόθον ἵππων ὠκειάων·
οἶδα δ’ ἐνὶ σταδίηι δηΐωι μέλπεσθαι Ἄρηϊ.
ἀλλ οὐ γάρ σ’ ἐθέλω βαλέειν τοιοῦτον ἐόντα
Hektor λάθρηι ὀπιπεύσας, ἀλλ’ ἀμφαδόν, αἴ κε τύχωμι.”

“Αἶαν, ἐπεί τοι δῶκε θεὸς μέγεθός τε βίην τε 7.288
καὶ πινυτήν, περὶ δ’ ἔγχει Ἀχαιῶν φέρτατός ἐσσι,
νῦν μὲν παυσώμεσθα μάχης καὶ δηϊοτῆτος
σήμερον· ὕστερον αὖτε μαχησόμεθ’, εἰς ὅ κε δαίμων
ἄμμε διακρίνηι, δώηι δ’ ἑτέροισί γε νίκην·
νὺξ δ’ ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι,
ὡς σύ τ’ ἐϋφρήνηις πάντας παρὰ νηυσὶν Ἀχαιούς,
σούς τε μάλιστα ἔτας καὶ ἑταίρους, οἵ τοι ἔασιν·
αὐτὰρ ἐγὼ κατὰ ἄστυ μέγα Πριάμοιο ἄνακτος
Τρῶας ἐϋφρανέω καὶ Τρωάδας ἑλκεσιπέπλους,
αἵ τέ μοι εὐχόμεναι θεῖον δύσονται ἀγῶνα.
δῶρα δ’ ἄγ’ ἀλλήλοισι περικλυτὰ δώομεν ἄμφω,
ὄφρα τις ὧδ’ εἴπησιν Ἀχαιῶν τε Τρώων τε·
‘ἠμὲν ἐμαρνάσθην ἔριδος πέρι θυμοβόροιο,
ἠδ’ αὖτ’ ἐν φιλότητι διέτμαγεν ἀρθμήσαντε.’” Hektor

“Τυδεΐδη, περὶ μέν σε τίον Δαναοὶ ταχύπωλοι 8.161
ἕδρηι τε κρέασίν τε ἰδὲ πλείοις δεπάεσσιν·
νῦν δέ σ’ ἀτιμήσουσι· γυναικὸς ἄρ’ ἀντὶ τέτυξο.
ἔρρε, κακὴ γλήνη, ἐπεὶ οὐκ εἴξαντος ἐμεῖο
πύργων ἡμετέρων ἐπιβήσεαι, οὐδὲ γυναῖκας
ἄξεις ἐν νήεσσι· πάρος τοι δαίμονα δώσω.” Hektor

“Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί, 8.173
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς·
γιγνώσκω δ’ ὅτι μοι πρόφρων κατένευσε Κρονίων
νίκην καὶ μέγα κῦδος, ἀτὰρ Δαναοῖσί γε πῆμα·
νήπιοι, οἳ ἄρα δὴ τάδε τείχεα μηχανόωντο
ἀβλήχρ’ οὐδενόσωρα· τὰ δ’ οὐ μένος ἀμὸν ἐρύξει·
ἵπποι δὲ ῥέα τάφρον ὑπερθορέονται ὀρυκτήν.
ἀλλ’ ὅτε κεν δὴ νηυσὶν ἔπι γλαφυρῆισι γένωμαι,
μνημοσύνη τις ἔπειτα πυρὸς δηΐοιο γενέσθω,
ὡς πυρὶ νῆας ἐνιπρήσω, κτείνω δὲ καὶ αὐτούς
Ἀργείους παρὰ νηυσὶν, ἀτυζομένους ὑπὸ καπνοῦ.” Hektor

“Ξάνθέ τε καὶ σύ, Πόδαργε, καὶ Αἴθων Λάμπέ τε δῖε, 8.185
νῦν μοι τὴν κομιδὴν ἀποτίνετον, ἣν μάλα πολλὴν
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος,
ὑμῖν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκεν
οἶνόν τ’ ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγοι,
ἢ ἐμοί, ὅς περ οἱ θαλερὸς πόσις εὔχομαι εἶναι.
ἀλλ’ ἐφαμαρτεῖτον καὶ σπεύδετον, αἴ κε λάβωμεν
ἀσπίδα Νεστορέην, τῆς νῦν κλέος οὐρανὸν ἵκει,
πᾶσαν χρυσείην ἔμεναι, κανόνας τε καὶ αὐτήν,
αὐτὰρ ἀπ’ ὤμοιιν Διομήδεος ἱπποδάμοιο
δαιδάλεον θώρηκα, τὸν Ἥφαιστος κάμε τεύχων.
εἰ τούτω κε λάβοιμεν, ἐελποίμην κεν Ἀχαιοὺς
αὐτονυχεὶ νηῶν ἐπιβησέμεν ὠκειάων.” Hektor

“κέκλυτέ μοι, Τρῶες καὶ Δάρδανοι ἠδ’ ἐπίκουροι, 8.497
νῦν ἐφάμην νῆάς τ’ ὀλέσας καὶ πάντας Ἀχαιοὺς
ἂψ ἀπονοστήσειν προτὶ Ἴλιον ἠνεμόεσσαν·
ἀλλὰ πρὶν κνέφας ἦλθε, τὸ νῦν ἐσάωσε μάλιστα
Ἀργείους καὶ νῆας ἐπὶ ῥηγμῖνι θαλάσσης.

ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνηι
δόρπά τ' ἐφοπλισόμεσθα· ἀτὰρ καλλίτριχας ἵππους
λύσαθ' ὑπὲξ ὀχέων, παρὰ δέ σφισι βάλλετ' ἐδωδήν·
ἐκ πόλιος δ' ἄξεσθε βόας καὶ ἴφια μῆλα
καρπαλίμως, οἶνον δὲ μελίφρονα οἰνίζεσθε
σῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγεσθε,
ὥς κεν παννύχιοι μέσφ' ἠοῦς ἠριγενείης
καίωμεν πυρὰ πολλά, σέλας δ' εἰς οὐρανὸν ἵκηι,
μή πως καὶ διὰ νύκτα κάρη κομόωντες Ἀχαιοὶ
φεύγειν ὁρμήσωνται ἐπ' εὐρέα νῶτα θαλάσσης.
μὴ μὰν ἀσπουδί γε νεῶν ἐπιβαῖεν ἕκηλοι,
ἀλλ' ὥς τις τούτων γε βέλος καὶ οἴκοθι πέσσηι,
βλήμενος ἢ ἰῶι ἢ ἔγχεϊ ὀξυόεντι
νηὸς ἐπιθρώισκων, ἵνα τις στυγέηισι καὶ ἄλλος
Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν ἄρηα.
κήρυκες δ' ἀνὰ ἄστυ διίφιλοι ἀγγελλόντων
παῖδας πρωθήβας πολιοκροτάφους τε γέροντας
λέξασθαι περὶ ἄστυ θεοδμήτων ἐπὶ πύργων·
θηλύτεραι δὲ γυναῖκες ἐνὶ μεγάροισιν ἑκάστη
πῦρ μέγα καιόντων· φυλακὴ δέ τις ἔμπεδος ἔστω,
μὴ λόχος εἰσέλθηισι πόλιν λαῶν ἀπεόντων.
ὧδ' ἔστω, Τρῶες μεγαλήτορες, ὡς ἀγορεύω·
μῦθος δ', ὃς μὲν νῦν ὑγιὴς εἰρημένος ἔστω
τὸν δ' ἠοῦς Τρώεσσι μέθ' ἱπποδάμοις ἀγορεύσω.
εὔχομαι ἐλπόμενος Διί τ' ἄλλοισίν τε θεοῖσιν
ἐξελάαν ἐνθένδε κύνας κηρεσσιφορήτους.
οὓς κῆρες φορέουσι μελαινάων ἐπὶ νηῶν.
ἀλλ' ἤτοι ἐπὶ νυκτὶ φυλάξομεν ἡμέας αὐτούς,
πρωῒ δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
νηυσὶν ἔπι γλαφυρῆισιν ἐγείρομεν ὀξὺν ἄρηα·
εἴσομαι εἴ κέ μ' ὁ Τυδεΐδης κρατερὸς Διομήδης
πὰρ νηῶν πρὸς τεῖχος ἀπώσεται, ἤ κεν ἐγὼ τὸν
χαλκῶι δηιώσας ἔναρα βροτόεντα φέρωμαι.
αὔριον ἣν ἀρετὴν διαείσεται, εἴ κ' ἐμὸν ἔγχος
μείνηι ἐπερχόμενον· ἀλλ' ἐν πρώτοισιν, ὀΐω,
κείσεται οὐτηθείς, πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι,
ἠελίου ἀνιόντος ἐς αὔριον. εἰ γὰρ ἐγὼν ὣς
εἴην ἀθάνατος καὶ ἀγήρως ἤματα πάντα,
τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
Hektor ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισιν."
10.303 "τίς κέν μοι τόδε ἔργον ὑποσχόμενος τελέσειεν
δώρωι ἔπι μεγάλωι; μισθὸς δέ οἱ ἄρκιος ἔσται.
δώσω γὰρ δίφρον τε δύω τ' ἐριαύχενας ἵππους,
οἵ κεν ἄριστοι ἔωσι θοῆις ἐπὶ νηυσὶν Ἀχαιῶν,
ὅς τίς κε τλαίη, οἷ τ' αὐτῶι κῦδος ἄροιτο,
νηῶν ὠκυπόρων σχεδὸν ἐλθέμεν, ἔκ τε πυθέσθαι
ἠὲ φυλάσσονται νῆες θοαὶ ὡς τὸ πάρος περ,
ἦ ἤδη χείρεσσιν ὑφ' ἡμετέρηισι δαμέντες
φύξιν βουλεύουσι μετὰ σφίσιν, οὐδ' ἐθέλουσιν
Hektor νύκτα φυλασσέμεναι, καμάτωι ἀδηκότες αἰνῶι."

"ἴστω νῦν Ζεὺς αὐτὸς, ἐρίγδουπος πόσις Ἥρης· 10.329
μὴ μὲν τοῖς ἵπποισιν ἀνὴρ ἐποχήσεται ἄλλος
Τρώων, ἀλλὰ σέ φημι διαμπερὲς ἀγλαϊεῖσθαι." Hektor
"Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί, 11.286
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.
οἴχετ' ἀνὴρ ὤριστος, ἐμοὶ δὲ μέγ' εὖχος ἔδωκεν
Ζεὺς Κρονίδης. ἀλλ' ἰθὺς ἐλαύνετε μώνυχας ἵππους
ἰφθίμων Δαναῶν, ἵν' ὑπέρτερον εὖχος ἄρησθε."
"Πουλυδάμα, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις· 12.231
οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.
εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις,
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί,
ὃς κέλεαι Ζηνὸς μὲν ἐριγδούποιο λαθέσθαι
βουλέων, ἅς τέ μοι αὐτὸς ὑπέσχετο καὶ κατένευσεν·
τύνη δ' οἰωνοῖσι τανυπτερύγεσσι κελεύεις
πείθεσθαι, τῶν οὔ τι μετατρέπομ' οὐδ' ἀλεγίζω,
εἴτ' ἐπὶ δεξί' ἴωσι πρὸς ἠῶ τ' ἠέλιόν τε
εἴτ' ἐπ' ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα.
ἡμεῖς δὲ μεγάλοιο Διὸς πειθώμεθα βουλῆι,
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.
εἷς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης.
τίπτε σὺ δείδοικας πόλεμον καὶ δηϊοτῆτα;
εἴ περ γάρ τ' ἄλλοι γε περὶ κτεινώμεθα πάντες
νηυσὶν ἔπ' Ἀργείων, σοὶ δ' οὐ δέος ἔστ' ἀπολέσθαι·
οὐ γάρ τοι κραδίη μενεδήϊος οὐδὲ μαχήμων.
εἰ δὲ σὺ δηϊοτῆτος ἀφέξεαι, ἠέ τιν' ἄλλον
παρφάμενος ἐπέεσσιν ἀποστρέψεις πολέμοιο,
αὐτίκ' ἐμῶι ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσεις." Hektor
"ὄρνυσθ', ἱππόδαμοι Τρῶες, ῥήγνυσθε δὲ τεῖχος 12.440
Ἀργείων καὶ νηυσὶν ἐνίετε θεσπιδαὲς πῦρ." Hektor
"Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί, 13.150
παρμένετ'· οὔ τοι δηρὸν ἐμὲ σχήσουσιν Ἀχαιοί,
καὶ μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες,
ἀλλ', οἴω, χάσσονται ὑπ' ἔγχεος, εἰ ἐτεόν με
ὦρσε θεῶν ὤριστος, ἐρίγδουπος πόσις Ἥρης." Hektor
"Πουλυδάμα, σὺ μὲν αὐτοῦ ἐρύκακε πάντας ἀρίστους· 13.751
αὐτὰρ ἐγὼ κεῖσ' εἶμι καὶ ἀντιόω πολέμοιο·
αἶψα δ' ἐλεύσομαι αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω." Hektor
"Δύσπαρι, εἶδος ἄριστε, γυναιμανὲς ἠπεροπευτά, 13.769
ποῦ τοι Δηΐφοβός τε βίη θ' Ἑλένοιο ἄνακτος
Ἀσιάδης τ' Ἀδάμας ἠδ' Ἄσιος Ὑρτάκου υἱός;
ποῦ δέ τοι Ὀθρυονεύς; νῦν ὤλετο πᾶσα κατ' ἄκρης
Ἴλιος αἰπεινή· νῦν τοι σῶς αἰπὺς ὄλεθρος." Hektor
"Αἶαν ἁμαρτοεπές, βουγάϊε, ποῖον ἔειπες· 13.824
εἰ γὰρ ἐγὼν οὕτω γε Διὸς παῖς αἰγιόχοιο
εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισιν
πᾶσι μάλ', ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴ κε ταλάσσηις
μεῖναι ἐμὸν δόρυ μακρόν, ὅ τοι χρόα λειριόεντα

δάψει· ἀτὰρ Τρώων κορέεις κύνας ἠδ' οἰωνοὺς
Hektor δημῶι καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν."
15.247 "τίς δὲ σύ ἐσσι, φέριστε, θεῶν, ὅς μ' εἴρεαι ἄντην;
O οὐκ ἀΐεις ὅ με νηυσὶν ἔπι πρυμνῇσιν Ἀχαιῶν,
οὓς ἑτάρους ὀλέκοντα, βοὴν ἀγαθὸς βάλεν Αἴας
χερμαδίωι πρὸς στῆθος, ἔπαυσε δὲ θούριδος ἀλκῆς;
καὶ δὴ ἐγώ_γ' ἐφάμην νέκυας καὶ δῶμ' Ἀΐδαο
Hektor ἤματι τῶιδ' ἵξεσθαι, ἐπεὶ φίλον ἄϊον ἦτορ."
15.348 "ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω,
αὐτοῦ οἱ θάνατον μητίσομαι, οὐδὲ νυ τόν_γε
γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα,
Hektor ἀλλὰ κύνες ἐρύουσι πρὸ ἄστεος ἡμετέροιο."
15.425 "Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
μὴ δή πω χάζεσθε μάχης ἐν στείνεϊ τῶιδε,
ἀλλ' υἷα Κλυτίοιο σαώσετε, μή μιν Ἀχαιοὶ
Hektor τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα."
15.553 "οὕτω δή, Μελάνιππε, μεθήσομεν; οὐδέ νυ σοί περ
ἐντρέπεται φίλον ἦτορ ἀνεψιόο κταμένοιο;
οὐχ ὁράαις οἷον Δόλοπος περὶ τεύχε' ἕπουσιν;
ἀλλ' ἕπευ· οὐ γὰρ ἔτ' ἐστὶν ἀποσταδὸν Ἀργείοισιν
μάρνασθαι, πρίν γ' ἠὲ κατακτάμεν ἠὲ κατ' ἄκρης
Hektor Ἴλιον αἰπεινὴν ἑλέειν κτάσθαί τε πολίτας."
15.718 "οἴσετε πῦρ, ἅμα δ' αὐτοὶ ἀολλέες ὄρνυτ' ἀϋτήν·
νῦν ἡμῖν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκεν,
νῆας ἑλεῖν, αἳ δεῦρο θεῶν ἀέκητι μολοῦσαι
ἡμῖν πήματα πολλὰ θέσαν, κακότητι γερόντων,
οἵ μ' ἐθέλοντα μάχεσθαι ἐπὶ πρυμνῇσι νέεσσιν
αὐτόν τ' ἰσχανάασκον ἐρητύοντό τε λαόν.
ἀλλ' εἰ δή ῥα τότε βλάπτε φρένας εὐρύοπα Ζεὺς
Hektor ἡμετέρας, νῦν αὐτὸς ἐποτρύνει καὶ ἀνώγει."
16.830 "Πάτροκλ', ἦ που ἔφησθα πόλιν κεραϊξέμεν ἀμήν,
Τρωϊάδας δὲ γυναῖκας ἐλεύθερον ἦμαρ ἀπούρας,
ἄξειν ἐν νήεσσι φίλην ἐς πατρίδα γαῖαν,
νήπιε· τάων δὲ πρόσθ' Ἕκτορος ὠκέες ἵπποι
ποσσὶν ὀρωρέχαται πολεμίζειν· ἔγχεϊ δ' αὐτὸς
Τρωσὶ φιλοπτολέμοισι μεταπρέπω, ὅ σφιν ἀμύνω
ἦμαρ ἀναγκαῖον· σὲ δέ τ' ἐνθάδε γῦπες ἔδονται.
ἆ δείλ', οὐδέ τοι ἐσθλὸς ἐὼν χραίσμησεν Ἀχιλλεύς,
ὅς πού τοι μάλα πολλὰ μένων ἐπετέλλετ' ἰόντι·
'μή μοι πρὶν ἰέναι, Πατρόκλεις ἱπποκέλευθε,
νῆας ἔπι γλαφυράς, πρὶν Ἕκτορος ἀνδροφόνοιο
αἱματόεντα χιτῶνα περὶ στήθεσσι δαΐξαι.'
Hektor ὥς πού σε προσέφη, σοὶ δὲ φρένας ἄφρονι πεῖθεν."
16.859 "Πατρόκλεις, τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;
τίς δ' οἶδ', εἴ κ' Ἀχιλεύς, Θέτιδος παῖς ἠϋκόμοιο,
Hektor φθήηι ἐμῶι ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσαι;"
17.91 "ὤι μοι ἐγών, εἰ μέν κε λίπω κατὰ τεύχεα καλὰ
Πάτροκλόν θ', ὃς κεῖται ἐμῆς ἕνεκ' ἐνθάδε τιμῆς,
μή τίς μοι Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται.
εἰ δέ κεν Ἕκτορι μοῦνος ἐὼν καὶ Τρωσὶ μάχωμαι
αἰδεσθείς, μή πώς με περιστείωσ' ἕνα πολλοί·
Τρῶας δ' ἐνθάδε πάντας ἄγει κορυθαιόλος Ἕκτωρ.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
ὁππότ' ἀνὴρ ἐθέληι πρὸς δαίμονα φωτὶ μάχεσθαι
ὅν κε θεὸς τιμᾶι, τάχα οἱ μέγα πῆμα κυλίσθη.
τῶι μ' οὔ_τις Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται
Ἕκτορι χωρήσαντ', ἐπεὶ ἐκ θεόφιν πολεμίζει.
εἰ δέ που Αἴαντός γε βοὴν ἀγαθοῖο πυθοίμην,
ἄμφω κ' αὖτις ἰόντες ἐπιμνησαίμεθα χάρμης
καὶ πρὸς δαίμονά περ, εἴ πως ἐρυσαίμεθα νεκρὸν
Πηλεΐδηι Ἀχιλῆϊ· κακῶν δέ κε φέρτατον εἴη." Hektor
"Γλαῦκε, τίη δὲ σὺ τοῖος ἐὼν ὑπέροπλον ἔειπες; 17.170
ὢ πόποι, ἦ τ' ἐφάμην σε περὶ φρένας ἔμμεναι ἄλλων,
τῶν ὅσσοι Λυκίην ἐριβώλακα ναιετάουσιν·
νῦν δέ σε' ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες,
ὅς_τ' ἐμὲ φῇς Αἴαντα πελώριον οὐχ ὑπομεῖναι.
οὔ_τοι ἐγὼν ἔρριγα μάχην οὐδὲ κτύπον ἵππων·
ἀλλ' αἰεί τε Διὸς κρέσσων νόος αἰγιόχοιο,
ὅς_τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην
ῥηϊδίως, ὁτὲ δ' αὐτὸς ἐποτρύνει μαχέσασθαι.
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵσταο καὶ ἴδε ἔργον,
ἠὲ πανημέριος κακὸς ἔσσομαι, ὡς ἀγορεύεις,
ἤ τινα καὶ Δαναῶν, ἀλκῆς μάλα περ μεμαῶτα,
σχήσω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντος." Hektor
"Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί, 17.184
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
ὄφρ' ἂν ἐγὼν Ἀχιλῆος ἀμύμονος ἔντεα δύω
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξα κατακτάς." Hektor
"κέκλυτε, μυρία φῦλα περικτιόνων ἐπικούρων· 17.220
οὐ γὰρ ἐγὼ πληθὺν διζήμενος οὐδὲ χατίζων
ἐνθάδ' ἀφ' ὑμετέρων πολίων ἤγειρα ἕκαστον,
ἀλλ' ἵνα μοι Τρώων ἀλόχους καὶ νήπια τέκνα
προφρονέως ῥύοισθε φιλοπτολέμων ὑπ' Ἀχαιῶν.
τὰ φρονέων δώροισι κατατρύχω καὶ ἐδωδῆι
λαούς, ὑμέτερον δὲ ἑκάστου θυμὸν ἀέξω.
τῶι τις νῦν ἰθὺς τετραμμένος ἢ ἀπολέσθω,
ἠὲ σαωθήτω· ἡ γὰρ πολέμου ὀαριστύς.
ὃς δέ κε Πάτροκλον, καὶ τεθνηῶτά περ, ἔμπης
Τρῶας ἐς ἱπποδάμους ἐρύσηι, εἴξηι δέ οἱ Αἴας,
ἥμισυ τῶι ἐνάρων ἀποδάσσομαι, ἥμισυ δ' αὐτὸς
ἕξω ἐγώ· τὸ δέ οἱ κλέος ἔσσεται ὅσσον ἐμοί περ." Hektor
"Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων, 17.485
ἵππω τώδ' ἐνόησα ποδώκεος Αἰακίδαο
ἐς πόλεμον προφανέντε σὺν ἡνιόχοισι κακοῖσιν.
τῶι κεν ἐελποίμην αἱρησέμεν, εἰ σύ_γε θυμῶι
σῶι ἐθέλοις, ἐπεὶ οὐκ ἂν ἐφορμηθέντε γε νῶϊ
τλαῖεν ἐναντίβιον στάντες μαχέσασθαι ἄρηϊ." Hektor
"Πουλυδάμα, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις, 18.285
ὃς κέλεαι κατὰ ἄστυ ἀλήμεναι αὖτις ἰόντας.
ἦ οὔ_πω κεκόρησθε ἐελμένοι ἔνδοθι πύργων;

πρὶν μὲν γὰρ Πριάμοιο πόλιν μέροπες ἄνθρωποι
πάντες μυθέσκοντο πολύχρυσον πολύχαλκον·
νῦν δὲ δὴ ἐξαπόλωλε δόμων κειμήλια καλά,
πολλὰ δὲ δὴ Φρυγίην καὶ Μηιονίην ἐρατεινὴν
κτήματα περνάμεν' ἵκει, ἐπεὶ μέγας ὠδύσατο Ζεύς.
νῦν δ' ὅτε πέρ μοι ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω
κῦδος ἀρέσθ' ἐπὶ νηυσί, θαλάσσηι τ' ἔλσαι Ἀχαιούς,
νήπιε, μηκέτι ταῦτα νοήματα φαῖν' ἐνὶ δήμωι.
οὐ γάρ τις Τρώων ἐπιπείσεται· οὐ γὰρ ἐάσω.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
νῦν μὲν δόρπον ἕλεσθε κατὰ στρατὸν ἐν τελέεσσιν,
καὶ φυλακῆς μνήσασθε καὶ ἐγρήγορθε ἕκαστος·
Τρώων δ' ὃς κτεάτεσσιν ὑπερφιάλως ἀνιάζει,
συλλέξας λαοῖσι δότω καταδημοβορῆσαι·
τῶν τινὰ βέλτερόν ἐστιν ἐπαυρέμεν ἤ περ Ἀχαιούς.
πρωῒ δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
νηυσὶν ἔπι γλαφυρῆισιν ἐγείρομεν ὀξὺν Ἄρηα.
εἰ δ' ἐτεὸν παρὰ ναῦφιν ἀνέστη δῖος Ἀχιλλεύς,
ἄλγιον, αἴ κ' ἐθέλησι, τῶι ἔσσεται· οὔ μιν ἐγώ γε
φεύξομαι ἐκ πολέμοιο δυσηχέος, ἀλλὰ μάλ' ἄντην
στήσομαι, ἤ κε φέρησι μέγα κράτος, ἦ κε φεροίμην.
Hektor ξυνὸς Ἐνυάλιος· καί τε κτενέοντα κατέκτα."
20.366 "Τρῶες ὑπέρθυμοι, μὴ δείδιτε Πηλεΐωνα.
καί κεν ἐγὼν ἐπέεσσι καὶ ἀθανάτοισι μαχοίμην·
ἔγχεϊ δ' ἀργαλέον, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσιν.
οὐδ' Ἀχιλεὺς πάντεσσι τέλος μύθοις ἐπιθήσει,
ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεσσηγὺ κολούσει.
τῶι δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
Hektor εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρωι."
20.431 "Πηλεΐδη, μὴ δή μ' ἐπέεσσί γε νηπύτιον ὥς
ἔλπεο δειδίξεσθαι, ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς
ἠμὲν κερτομίας ἠδ' αἴσυλα μυθήσασθαι.
οἶδα δ' ὅτι σὺ μὲν ἐσθλός, ἐγὼ δὲ σέθεν πολὺ χείρων.
ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
αἴ κε σε χειρότερός περ ἐὼν ἀπὸ θυμὸν ἕλωμαι
Hektor δουρὶ βαλών, ἐπεὶ ἦ καὶ ἐμὸν βέλος ὀξὺ πάροιθεν."
22.99 "ὤ μοι ἐγών, εἰ μέν κε πύλας καὶ τείχεα δύω,
Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει,
ὅς μ' ἐκέλευεν Τρωσὶ ποτὶ πτόλιν ἡγήσασθαι
νύχθ' ὕπο τήνδ' ὀλοήν, ὅτε τ' ὤρετο δῖος Ἀχιλλεύς.
ἀλλ' ἐγὼ οὐ πιθόμην· ἦ τ' ἂν πολὺ κέρδιον ἦεν·
νῦν δ' ἐπεὶ ὤλεσα λαὸν ἀτασθαλίηισιν ἐμῆισιν,
αἰδέομαι Τρῶας καὶ Τρωιάδας ἑλκεσιπέπλους,
μή ποτέ τις εἴπησι κακώτερος ἄλλος ἐμεῖο,
'Ἕκτωρ ἧφι βίηφι πιθήσας ὤλεσε λαόν.'
ὣς ἐρέουσιν· ἐμοὶ δὲ τότ' ἂν πολὺ κέρδιον εἴη
ἄντην ἢ Ἀχιλῆα κατακτείναντα νέεσθαι,
ἠέ κεν αὐτῶι ὀλέσθαι ἐϋκλείως πρὸ πόληος.
εἰ δέ κεν ἀσπίδα μὲν καταθείομαι ὀμφαλόεσσαν
καὶ κόρυθα βριαρήν, δόρυ δὲ πρὸς τεῖχος ἐρείσας
αὐτὸς ἰὼν Ἀχιλῆος ἀμύμονος ἀντίος ἔλθω
καί οἱ ὑπόσχωμαι Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῆι,
πάντα μάλ' ὅσσα τ' Ἀλέξανδρος κοίληις ἐνὶ νηυσὶν
ἠγάγετο Τροίηνδ', ἥ τ' ἔπλετο νείκεος ἀρχή,
δωσέμεν Ἀτρεΐδηισιν ἄγειν, ἅμα τ' ἀμφὶς Ἀχαιοῖς
ἄλλ' ἀποδάσσεσθαι, ὅσα τε πτόλις ἥδε κέκευθεν·
Τρωσὶν δ' αὖ μετόπισθε γερούσιον ὅρκον ἕλωμαι
μή τι κατακρύψειν, ἀλλ' ἄνδιχα πάντα δάσεσθαι·
κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει·
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
μή μιν ἐγὼ μὲν ἵκωμαι ἰών, ὁ δέ μ' οὐκ ἐλεήσει
οὐδέ τί μ' αἰδέσεται, κτενέει δέ με γυμνὸν ἐόντα
αὔτως ὥς τε γυναῖκα, ἐπεί κ' ἀπὸ τεύχεα δύω.
οὐ μέν πως νῦν ἔστιν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης
τῶι ὀαριζέμεναι, ἅ τε παρθένος ἠΐθεός τε,
παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοιιν.
βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν· ὅττι τάχιστα
εἴδομεν ὁπποτέρωι κεν Ὀλύμπιος εὖχος ὀρέξηι." **Hektor**
"Δηΐφοβ', ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦσθα **22.233**
γνωτῶν, οὓς Ἑκάβη ἠδὲ Πρίαμος τέκε παῖδας·
νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι,
ὃς ἔτλης ἐμέ' εἵνεκ', ἐπεὶ ἴδες ὀφθαλμοῖσιν,
τείχεος ἐξελθεῖν, ἄλλοι δ' ἔντοσθε μένουσιν." **Hektor**
"οὔ σ' ἔτι, Πηλέος υἱέ, φοβήσομαι, ὡς τὸ πάρος περ **22.250**
τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον, οὐδέ ποτ' ἔτλην
μεῖναι ἐπερχόμενον· νῦν αὖτέ με θυμὸς ἀνῆκεν
στήμεναι ἀντία σεῖο· ἕλοιμί κεν, ἤ κεν ἁλοίην.
ἀλλ' ἄγε δεῦρο θεοὺς ἐπιδώμεθα· τοὶ γὰρ ἄριστοι
μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων·
οὐ γὰρ ἐγώ σ' ἔκπαγλον ἀεικιῶ, αἴ κεν ἐμοὶ Ζεὺς
δώηι καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι·
ἀλλ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε', Ἀχιλλεῦ,
νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν· ὣς δὲ σὺ ῥέζειν." **Hektor**
"ἤμβροτες, οὐδ' ἄρα πώ τι, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ, **22.279**
ἐκ Διὸς ἠείδης τὸν ἐμὸν μόρον. ἤτοι ἔφης γε·
ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων,
ὄφρα σ' ὑποδδείσας μένεος ἀλκῆς τε λάθωμαι.
οὐ μέν μοι φεύγοντι μεταφρένωι ἐν δόρυ πήξεις,
ἀλλ' ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον,
εἴ τοι ἔδωκε θεός· νῦν αὖτ' ἐμὸν ἔγχος ἄλευαι
χάλκεον. ὡς δή μιν σῶι ἐν χροῒ πᾶν κομίσαιο.
καί κεν ἐλαφρότερος πόλεμος Τρώεσσι γένοιτο
σεῖο καταφθιμένοιο· σὺ γάρ σφισι πῆμα μέγιστον." **Hektor**
"ὢ πόποι, ἦ μάλα δή με θεοὶ θάνατόνδε κάλεσσαν· **22.297**
Δηΐφοβον γὰρ ἐγώ γ' ἐφάμην ἥρωα παρεῖναι·
ἀλλ' ὁ μὲν ἐν τείχει, ἐμὲ δ' ἐξαπάτησεν Ἀθήνη.
νῦν δὲ δή ἐγγύθι μοι θάνατος κακός, οὐδ' ἔτ' ἄνευθεν,
οὐδ' ἀλέη· ἦ γάρ ῥα πάλαι τό γε φίλτερον ἦεν
Ζηνί τε καὶ Διὸς υἷι Ἑκηβόλωι, οἵ με πάρος γε
πρόφρονες εἰρύατο· νῦν αὖτέ με μοῖρα κιχάνει.

μὴ μὰν ἀσπουδεὶ γε καὶ ἀκλειίως ἀπολοίμην,
Hektor ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι.”
20.356 “ἦ σ’ εὖ γιγνώσκων προτιόσσομαι, οὐδ’ ἄρ’ ἔμελλον
πείσειν· ἦ γὰρ σοί_γε σιδήρεος ἐν φρεσὶ θυμός.
φράζεο νῦν μή τοί τι θεῶν μήνιμα γένωμαι,
ἤματι τῶι ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων
Hektor ἐσθλὸν ἐόντ’ ὀλέσωσιν ἐνὶ Σκαιῇισι πύλῃσιν.”

Notes

Notes

VERSION:

15.347 *νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ’ ἔναρα βροτόεντα·*
is spoken

ILIAD ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 508 lines 3.0

As some way-faring Man, who wanders o’er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF TROJAN WARRIOR
HEKTOR
IN THE ILIAD

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

3.39 “Δύσπαρι, εἶδος ἄριστε, γυναιμανές, ἠπεροπευτά,
αἴθ' ὄφελες ἄγονός τ' ἔμεναι ἄγαμός τ' ἀπολέσθαι.
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον ἦεν
ἢ οὕτω λώβην τ' ἔμεναι καὶ ὑπόψιον ἄλλων.
ἦ που καγχαλόωσι κάρη κομόωντες Ἀχαιοί,
φάντες ἀριστῆα πρόμον ἔμμεναι, οὕνεκα καλὸν
εἶδος ἔπ', ἀλλ' οὐκ ἔστι βίη φρεσὶν οὐδέ τις ἀλκή.
ἦ τοιόσδε ἐὼν ἐν ποντοπόροισι νέεσσιν
πόντον ἐπιπλώσας, ἑτάρους ἐρίηρας ἀγείρας,
μιχθεὶς ἀλλοδαποῖσι γυναῖκ' εὐειδέ' ἀνῆγες
ἐξ ἀπίης γαίης, νυὸν ἀνδρῶν αἰχμητάων,
3.50 πατρί τε σῶι μέγα πῆμα πόληΐ τε παντί τε δήμωι,
δυσμενέσιν μὲν χάρμα, κατηφείην δὲ σοὶ αὐτῶι;
οὐκ ἂν δὴ μείνειας ἀρηΐφιλον Μενέλαον;
γνοίης χ' οἵου φωτὸς ἔχεις θαλερὴν παράκοιτιν.
οὐκ ἄν τοι χραίσμηι κίθαρις τά τε δῶρ' Ἀφροδίτης,
ἥ τε κόμη τό τε εἶδος, ὅτ' ἐν κονίηισι μιγείης.
ἀλλὰ μάλα Τρῶες δειδήμονες· ἦ τέ κεν ἤδη
Hektor λαΐνον ἕσσο χιτῶνα κακῶν ἕνεχ' ὅσσα ἔοργας.”
3.86 “κέκλυτέ μοι, Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοί,
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρεν.
ἄλλους μὲν κέλεται Τρῶας καὶ πάντας Ἀχαιοὺς
τεύχεα κάλ' ἀποθέσθαι ἐπὶ χθονὶ πουλυβοτείρηι,
αὐτὸν δ' ἐν μέσσωι καὶ ἀρηΐφιλον Μενέλαον
οἴους ἀμφ' Ἑλένηι καὶ κτήμασι πᾶσι μάχεσθαι.
ὁππότερος δέ κε νικήσηι κρέσσων τε γένηται,
κτήμαθ' ἑλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ' ἀγέσθω·
Hektor οἱ δ' ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ τάμωμεν.”
6.111 “Τρῶες ὑπέρθυμοι τηλεκλειτοί τ' ἐπίκουροι,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
ὄφρ' ἂν ἐγὼ βείω προτὶ Ἴλιον ἠδὲ γέρουσιν
εἴπω βουλευτῆισι καὶ ἡμετέρηις ἀλόχοισιν
Hektor δαίμοσιν ἀρήσασθαι, ὑποσχέσθαι δ' ἑκατόμβας.”
6.264 “μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ,
μή μ' ἀπογυιώσηις, μένεος τ' ἀλκῆς τε λάθωμαι·
χερσὶ δ' ἀνίπτηισιν Διὶ λείβειν αἴθοπα οἶνον
ἅζομαι· οὐδέ πηι ἔστι κελαινεφέϊ Κρονίωνι
αἵματι καὶ λύθρωι πεπαλαγμένον εὐχετάασθαι.
ἀλλὰ σύ γε πρὸς νηὸν Ἀθηναίης ἀγελείης
ἔρχεο σὺν θυέεσσιν, ἀολλίσσασα γεραιάς·
πέπλον δ', ὅς τίς τοι χαριέστατος ἠδὲ μέγιστος
ἔστιν ἐνὶ μεγάρωι καί τοι πολὺ φίλτατος αὐτῆι,
τὸν θὲς Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο,
καί οἱ ὑποσχέσθαι δυοκαίδεκα βοῦς ἐνὶ νηῶι
ἤνις ἠκέστας ἱερευσέμεν, αἴ κ' ἐλεήσηι
ἄστυ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα,
αἴ κεν Τυδέος υἱὸν ἀπόσχηι Ἰλίου ἱρῆς,
ἄγριον αἰχμητὴν, κρατερὸν μήστωρα φόβοιο.
ἀλλὰ σὺ μὲν πρὸς νηὸν Ἀθηναίης ἀγελείης
ἔρχε', ἐγὼ δὲ Πάριν μετελεύσομαι, ὄφρα καλέσσω,
αἴ κ' ἐθέλησ' εἰπόντος ἀκουέμεν. ὥς κέ οἱ αὖθι
γαῖα χάνοι· μέγα γάρ μιν Ὀλύμπιος ἔτρεφε πῆμα
Τρωσί τε καὶ Πριάμωι μεγαλήτορι τοῖό τε παισίν.
εἰ κεῖνόν γε ἴδοιμι κατελθόντ' Ἄϊδος εἴσω,
φαίην κεν φρέν' ἀτέρπου ὀϊζύος ἐκλελαθέσθαι.” Hektor
“δαιμόνι', οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο θυμῶι. 6.326
λαοὶ μὲν φθινύθουσι περὶ πτόλιν αἰπύ τε τεῖχος
μαρνάμενοι, σέο δ' εἵνεκ' ἀϋτή τε πτόλεμός τε
ἄστυ τόδ' ἀμφιδέδηε· σὺ δ' ἂν μαχέσαιο καὶ ἄλλωι,
ὅντινά που μεθιέντα ἴδοις στυγεροῦ πολέμοιο.
ἀλλ' ἄνα, μὴ τάχα ἄστυ πυρὸς δηΐοιο θέρηται.” Hektor
“μή με κάθιζ', Ἑλένη, φιλέουσά περ· οὐδέ με πείσεις. 6.360
ἤδη γάρ μοι θυμὸς ἐπέσσυται ὄφρ' ἐπαμύνω
Τρώεσσ', οἳ μέγ' ἐμεῖο ποθὴν ἀπεόντος ἔχουσιν.
ἀλλὰ σύ γ' ὄρνυθι τοῦτον, ἐπειγέσθω δὲ καὶ αὐτὸς,
ὥς κεν ἔμ' ἔντοσθεν πόλιος καταμάρψηι ἐόντα.
καὶ γὰρ ἐγὼν οἶκόνδ' ἐσελεύσομαι, ὄφρα ἴδωμαι
οἰκῆας ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν.
οὐ γάρ τ' οἶδ' εἰ ἔτι σφιν ὑπότροπος ἵξομαι αὖτις,
ἦ ἤδη μ' ὑπὸ χερσὶ θεοὶ δαμόωσιν Ἀχαιῶν.” Hektor
“εἰ δ' ἄγε μοι δμωαὶ, νημερτέα μυθήσασθε· 6.376
πῆι ἔβη Ἀνδρομάχη λευκώλενος ἐκ μεγάροιο;
ἠέ πηι ἐς γαλόων, ἢ εἰνατέρων εὐπέπλων,
ἢ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι
Τρωιαὶ ἐϋπλόκαμοι δεινὴν θεὸν ἱλάσκονται;” Hektor
“ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει, γύναι· ἀλλὰ μάλ' αἰνῶς 6.441
αἰδέομαι Τρῶας καὶ Τρωιάδας ἑλκεσιπέπλους,
αἴ κε κακὸς ὣς νόσφιν ἀλυσκάζω πολέμοιο·
οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς
αἰεὶ καὶ πρώτοισι μετὰ Τρώεσσι μάχεσθαι,
ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ' ἐμὸν αὐτοῦ.
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
ἔσσεται ἦμαρ ὅτ' ἄν ποτ' ὀλώληι Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
ἀλλ' οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσσω,
οὔτ' αὐτῆς Ἑκάβης οὔτε Πριάμοιο ἄνακτος,
οὔτε κασιγνήτων, οἵ κεν πολέες τε καὶ ἐσθλοὶ
ἐν κονίηισι πέσοιεν ὑπ' ἀνδράσι δυσμενέεσσιν,
ὅσσον σεῦ, ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων
δακρυόεσσαν ἄγηται, ἐλεύθερον ἦμαρ ἀπούρας.
καί κεν ἐν Ἄργει ἐοῦσα πρὸς ἄλλης ἱστὸν ὑφαίνοις,
καί κεν ὕδωρ φορέοις Μεσσηΐδος ἢ Ὑπερείης
πόλλ' ἀεκαζομένη, κρατερὴ δ' ἐπικείσετ' ἀνάγκη·
καί ποτέ τις εἴπησιν ἰδὼν κατὰ δάκρυ χέουσαν·
‘Ἕκτορος ἥδε γυνὴ, ὃς ἀριστεύεσκε μάχεσθαι
Τρώων ἱπποδαμων, ὅτε Ἴλιον ἀμφεμάχοντο.’
ὥς ποτέ τις ἐρέει· σοὶ δ' αὖ νέον ἔσσεται ἄλγος
χήτεϊ τοιοῦδ' ἀνδρὸς, ἀμύνειν δούλιον ἦμαρ.
ἀλλά με τεθνηῶτα χυτὴ κατὰ γαῖα καλύπτοι,
πρίν γ' ἔτι σῆς τε βοῆς σοῦ θ' ἑλκηθμοῖο πυθέσθαι.” Hektor

6.476 “Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι
παῖδ’ ἐμὸν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεσσιν,
ὧδε βίην τ’ ἀγαθὸν, καὶ Ἰλίου ἶφι ἀνάσσειν.
καί ποτέ τις εἴποι ‘πατρός γ’ ὅδε πολλὸν ἀμείνων’
ἐκ πολέμου ἀνιόντα· φέροι δ’ ἔναρα βροτόεντα
Hektor κτείνας δήιον ἄνδρα, χαρείη δὲ φρένα μήτηρ.”

6.521 “δαιμόνι’, οὐκ ἄν τίς τοι ἀνὴρ, ὃς ἐναίσιμος εἴη,
ἔργον ἀτιμήσειε μάχης, ἐπεὶ ἄλκιμός ἐσσι·
ἀλλὰ ἑκὼν μεθίεις τε καὶ οὐκ ἐθέλεις· τὸ δ’ ἐμὸν κῆρ
ἄχνυται ἐν θυμῶι, ὅθ’ ὑπὲρ σέθεν αἴσχε’ ἀκούω
πρὸς Τρώων, οἳ ἔχουσι πολὺν πόνον εἵνεκα σεῖο.
ἀλλ’ ἴομεν· τὰ δ’ ὄπισθεν ἀρεσσόμεθ’, αἴ κέ ποθι Ζεὺς
δώηι ἐπουρανίοισι θεοῖς αἰειγενέτῃσιν
κρητῆρα στήσασθαι ἐλεύθερον ἐν μεγάροισιν,
Hektor ◆ ἐκ Τροίης ἐλάσαντας ἐϋκνήμιδας Ἀχαιούς.”

7.67 “κέκλυτέ μευ, Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοὶ,
ὄφρ’ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
ὅρκια μὲν Κρονίδης ὑψίζυγος οὐκ ἐτέλεσσεν,
ἀλλὰ κακὰ φρονέων τεκμαίρεται ἀμφοτέροισιν,
εἰς ὅ κεν ἢ ὑμεῖς Τροίην εὔπυργον ἕλητε,
ἢ αὐτοὶ παρὰ νηυσὶ δαμείετε ποντοπόροισιν.
ὑμῖν δ’ ἐν γὰρ ἔασιν ἀριστῆες Παναχαιῶν·
τῶν νῦν ὅν τινα θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγηι,
δεῦρ’ ἴτω ἐκ πάντων πρόμος ἔμμεναι Ἕκτορι δίωι.
ὧδε δὲ μυθέομαι, Ζεὺς δ’ ἄμμ’ ἐπὶ μάρτυρος ἔστω·
εἰ μέν κεν ἐμὲ κεῖνος ἕληι ταναήκεϊ χαλκῶι,
τεύχεα συλήσας φερέτω κοίλας ἐπὶ νῆας,
σῶμα δὲ οἴκαδ’ ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.
εἰ δέ κ’ ἐγὼ τὸν ἕλω, δώηι δέ μοι εὖχος Ἀπόλλων,
τεύχεα συλήσας οἴσω προτὶ Ἴλιον ἱρὴν
καὶ κρεμόω προτὶ νηὸν Ἀπόλλωνος ἑκάτοιο,
τὸν δὲ νέκυν ἐπὶ νῆας ἐϋσσέλμους ἀποδώσω,
ὄφρα ἑ ταρχύσωσι κάρη κομόωντες Ἀχαιοὶ,
σῆμά τέ οἱ χεύωσιν ἐπὶ πλατεῖ Ἑλλησπόντωι·
καί ποτέ τις εἴπησι καὶ ὀψιγόνων ἀνθρώπων,
νηῒ πολυκλήϊδι πλέων ἐπὶ οἴνοπα πόντον,
‘ἀνδρὸς μὲν τόδε σῆμα πάλαι κατατεθνηῶτος,
ὅν ποτ’ ἀριστεύοντα κατέκτανε φαίδιμος Ἕκτωρ.’
Hektor ὥς ποτε τις ἐρέει· τὸ δ’ ἐμὸν κλέος οὔ ποτ’ ὀλεῖται.”

7.234 “Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν,
μή τί με ἠΰτε παιδὸς ἀφαυροῦ πειρήτιζε
ἠὲ γυναικὸς, ἣ οὐκ οἶδεν πολεμήϊα ἔργα.
αὐτὰρ ἐγὼν εὖ οἶδα μάχας τ’ ἀνδροκτασίας τε·
οἶδ’ ἐπὶ δεξιὰ, οἶδ’ ἐπ’ ἀριστερὰ νωμῆσαι βῶν
ἀζαλέην, τό μοί ἐστι ταλαύρινον πολεμίζειν·
οἶδα δ’ ἐπαΐξαι μόθον ἵππων ὠκειάων·
οἶδα δ’ ἐνὶ σταδίηι δηΐωι μέλπεσθαι Ἄρηϊ.
ἀλλ οὐ γάρ σ’ ἐθέλω βαλέειν τοιοῦτον ἐόντα
Hektor λάθρηι ὀπιπεύσας, ἀλλ’ ἀμφαδὸν, αἴ κε τύχωμι.”

“Αἶαν, ἐπεί τοι δῶκε θεὸς μέγεθός τε βίην τε 7.288
καὶ πινυτὴν, περὶ δ’ ἔγχει Ἀχαιῶν φέρτατός ἐσσι,
νῦν μὲν παυσώμεσθα μάχης καὶ δηϊοτῆτος
σήμερον· ὕστερον αὖτε μαχησόμεθ’, εἰς ὅ κε δαίμων
ἄμμε διακρίνηι, δώηι δ’ ἑτέροισί γε νίκην·
νὺξ δ’ ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι,
ὡς σύ τ’ ἐϋφρήνηις πάντας παρὰ νηυσὶν Ἀχαιοὺς,
σούς τε μάλιστα ἔτας καὶ ἑταίρους, οἵ τοι ἔασιν·
αὐτὰρ ἐγὼ κατὰ ἄστυ μέγα Πριάμοιο ἄνακτος
Τρῶας ἐϋφρανέω καὶ Τρωάδας ἑλκεσιπέπλους,
αἵ τέ μοι εὐχόμεναι θεῖον δύσονται ἀγῶνα.
δῶρα δ’ ἄγ’ ἀλλήλοισι περικλυτὰ δώομεν ἄμφω,
ὄφρα τις ὧδ’ εἴπησιν Ἀχαιῶν τε Τρώων τε·
‘ἠμὲν ἐμαρνάσθην ἔριδος πέρι θυμοβόροιο,
ἠδ’ αὖτ’ ἐν φιλότητι διέτμαγεν ἀρθμήσαντε.’” Hektor

“Τυδεΐδη, περὶ μέν σε τίον Δαναοὶ ταχύπωλοι 8.161
ἕδρηι τε κρέασίν τε ἰδὲ πλείοις δεπάεσσιν·
νῦν δέ σ’ ἀτιμήσουσι· γυναικὸς ἄρ’ ἀντὶ τέτυξο.
ἔρρε, κακὴ γλήνη, ἐπεὶ οὐκ εἴξαντος ἐμεῖο
πύργων ἡμετέρων ἐπιβήσεαι, οὐδὲ γυναῖκας
ἄξεις ἐν νήεσσι· πάρος τοι δαίμονα δώσω.” Hektor

“Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταὶ, 8.173
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς·
γιγνώσκω δ’ ὅτι μοι πρόφρων κατένευσε Κρονίων
νίκην καὶ μέγα κῦδος, ἀτὰρ Δαναοῖσί γε πῆμα·
νήπιοι, οἳ ἄρα δὴ τάδε τείχεα μηχανόωντο
ἀβλήχρ’ οὐδενόσωρα· τὰ δ’ οὐ μένος ἀμὸν ἐρύξει·
ἵπποι δὲ ῥέα τάφρον ὑπερθορέονται ὀρυκτήν.
ἀλλ’ ὅτε κεν δὴ νηυσὶν ἔπι γλαφυρῆισι γένωμαι,
μνημοσύνη τις ἔπειτα πυρὸς δηΐοιο γενέσθω,
ὡς πυρὶ νῆας ἐνιπρήσω, κτείνω δὲ καὶ αὐτούς
Ἀργείους παρὰ νηυσὶν, ἀτυζομένους ὑπὸ καπνοῦ.” Hektor

“Ξάνθέ τε καὶ σὺ, Πόδαργε, καὶ Αἴθων Λάμπέ τε δῖε, 8.185
νῦν μοι τὴν κομιδὴν ἀποτίνετον, ἣν μάλα πολλὴν
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος,
ὑμῖν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκεν
οἶνόν τ’ ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγοι,
ἢ ἐμοὶ, ὅς περ οἱ θαλερὸς πόσις εὔχομαι εἶναι.
ἀλλ’ ἐφαμαρτεῖτον καὶ σπεύδετον, αἴ κε λάβωμεν
ἀσπίδα Νεστορέην, τῆς νῦν κλέος οὐρανὸν ἵκει,
πᾶσαν χρυσείην ἔμεναι, κανόνας τε καὶ αὐτὴν,
αὐτὰρ ἀπ’ ὤμοιιν Διομήδεος ἱπποδάμοιο
δαιδάλεον θώρηκα, τὸν Ἥφαιστος κάμε τεύχων.
εἰ τούτω κε λάβοιμεν, ἐελποίμην κεν Ἀχαιοὺς
αὐτονυχεὶ νηῶν ἐπιβησέμεν ὠκειάων.” Hektor

“κέκλυτέ μοι, Τρῶες καὶ Δάρδανοι ἠδ’ ἐπίκουροι, 8.497
νῦν ἐφάμην νῆάς τ’ ὀλέσας καὶ πάντας Ἀχαιοὺς
ἂψ ἀπονοστήσειν προτὶ Ἴλιον ἠνεμόεσσαν·
ἀλλὰ πρὶν κνέφας ἦλθε, τὸ νῦν ἐσάωσε μάλιστα
Ἀργείους καὶ νῆας ἐπὶ ῥηγμῖνι θαλάσσης.

ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνηι
δόρπά τ' ἐφοπλισόμεσθα· ἀτὰρ καλλίτριχας ἵππους
λύσαθ' ὕπεξ ὀχέων, παρὰ δέ σφισι βάλλετ' ἐδωδήν·
ἐκ πόλιος δ' ἄξεσθε βόας καὶ ἴφια μῆλα
καρπαλίμως, οἶνον δὲ μελίφρονα οἰνίζεσθε
σῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγεσθε,
ὥς κεν παννύχιοι μέσφ' ἠοῦς ἠριγενείης
καίωμεν πυρὰ πολλά, σέλας δ' εἰς οὐρανὸν ἵκηι,
μή πως καὶ διὰ νύκτα κάρη κομόωντες Ἀχαιοὶ
φεύγειν ὁρμήσωνται ἐπ' εὐρέα νῶτα θαλάσσης.
μὴ μὰν ἀσπουδί γε νεῶν ἐπιβαῖεν ἕκηλοι,
ἀλλ' ὥς τις τούτων γε βέλος καὶ οἴκοθι πέσσηι,
βλήμενος ἢ ἰῶι ἢ ἔγχεϊ ὀξυόεντι
◆ νηὸς ἐπιθρώισκων, ἵνα τις στυγέησι καὶ ἄλλος
Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν ἄρηα.
κήρυκες δ' ἀνὰ ἄστυ διίφιλοι ἀγγελλόντων
παῖδας πρωθήβας πολιοκροτάφους τε γέροντας
λέξασθαι περὶ ἄστυ θεοδμήτων ἐπὶ πύργων·
θηλύτεραι δὲ γυναῖκες ἐνὶ μεγάροισιν ἑκάστη
πῦρ μέγα καιόντων· φυλακὴ δέ τις ἔμπεδος ἔστω,
μὴ λόχος εἰσέλθηισι πόλιν λαῶν ἀπεόντων.
ὧδ' ἔστω, Τρῶες μεγαλήτορες, ὡς ἀγορεύω·
μῦθος δ', ὃς μὲν νῦν ὑγιὴς εἰρημένος ἔστω
τὸν δ' ἠοῦς Τρώεσσι μεθ' ἱπποδάμοις ἀγορεύσω.
εὔχομαι ἐλπόμενος Διί τ' ἄλλοισίν τε θεοῖσιν
ἐξελάαν ἐνθένδε κύνας κηρεσσιφορήτους.
οὓς κῆρες φορέουσι μελαινάων ἐπὶ νηῶν.
ἀλλ' ἤτοι ἐπὶ νυκτὶ φυλάξομεν ἡμέας αὐτούς,
πρωῒ δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
νηυσὶν ἔπι γλαφυρῆισιν ἐγείρομεν ὀξὺν ἄρηα·
εἴσομαι εἴ κέ μ' ὁ Τυδείδης κρατερὸς Διομήδης
πὰρ νηῶν πρὸς τεῖχος ἀπώσεται, ἤ κεν ἐγὼ τὸν
χαλκῶι δηιώσας ἔναρα βροτόεντα φέρωμαι.
αὔριον ἣν ἀρετὴν διαείσεται, εἴ κ' ἐμὸν ἔγχος
μείνηι ἐπερχόμενον· ἀλλ' ἐν πρώτοισιν, ὀΐω,
κείσεται οὐτηθείς, πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι,
ἠελίου ἀνιόντος ἐς αὔριον. εἰ γὰρ ἐγὼν ὣς
εἴην ἀθάνατος καὶ ἀγήρως ἤματα πάντα,
τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
Hektor ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισιν.”
10.303 “τίς κέν μοι τόδε ἔργον ὑποσχόμενος τελέσειεν
δώρωι ἔπι μεγάλωι; μισθὸς δέ οἱ ἄρκιος ἔσται.
δώσω γὰρ δίφρον τε δύω τ' ἐριαύχενας ἵππους,
οἵ κεν ἄριστοι ἔωσι θοῆις ἐπὶ νηυσὶν Ἀχαιῶν,
ὅς τίς κε τλαίη, οἷ τ' αὐτῶι κῦδος ἄροιτο,
νηῶν ὠκυπόρων σχεδὸν ἐλθέμεν, ἔκ τε πυθέσθαι
ἠὲ φυλάσσονται νῆες θοαὶ ὡς τὸ πάρος περ,
ἢ ἤδη χείρεσσιν ὑφ' ἡμετέρηισι δαμέντες
φύξιν βουλεύουσι μετὰ σφίσιν, οὐδ' ἐθέλουσιν
Hektor νύκτα φυλασσέμεναι, καμάτωι ἀδηκότες αἰνῶι.”

“ἴστω νῦν Ζεὺς αὐτός, ἐρίγδουπος πόσις Ἥρης· 10.329
μὴ μὲν τοῖς ἵπποισιν ἀνὴρ ἐποχήσεται ἄλλος
Τρώων, ἀλλὰ σέ φημι διαμπερὲς ἀγλαϊεῖσθαι.” Hektor
“Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί, 11.286
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.
οἴχετ' ἀνὴρ ὤριστος, ἐμοὶ δὲ μέγ' εὖχος ἔδωκεν
Ζεὺς Κρονίδης. ἀλλ' ἰθὺς ἐλαύνετε μώνυχας ἵππους
ἰφθίμων Δαναῶν, ἵν' ὑπέρτερον εὖχος ἄρησθε.”
“Πουλυδάμα, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις· 12.231
οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.
εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις,
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί,
ὃς κέλεαι Ζηνὸς μὲν ἐριγδούποιο λαθέσθαι
βουλέων, ἅς τέ μοι αὐτὸς ὑπέσχετο καὶ κατένευσεν·
τύνη δ' οἰωνοῖσι τανυπτερύγεσσι κελεύεις
πείθεσθαι, τῶν οὔ τι μετατρέπομ' οὐδ' ἀλεγίζω,
εἴτ' ἐπὶ δεξί' ἴωσι πρὸς ἠῶ τ' ἠέλιόν τε
εἴτ' ἐπ' ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα.
ἡμεῖς δὲ μεγάλοιο Διὸς πειθώμεθα βουλῆι,
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.
εἷς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης.
τίπτε σὺ δείδοικας πόλεμον καὶ δηϊοτῆτα;
εἴ περ γάρ τ' ἄλλοι γε περὶ κτεινώμεθα πάντες
νηυσὶν ἔπ' Ἀργείων, σοὶ δ' οὐ δέος ἔστ' ἀπολέσθαι·
οὐ γάρ τοι κραδίη μενεδήϊος οὐδὲ μαχήμων.
εἰ δὲ σὺ δηϊοτῆτος ἀφέξεαι, ἠέ τιν' ἄλλον
παρφάμενος ἐπέεσσιν ἀποστρέψεις πολέμοιο,
αὐτίκ' ἐμῶι ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσεις.” Hektor
“ὄρνυσθ', ἱππόδαμοι Τρῶες, ῥήγνυσθε δὲ τεῖχος 12.440
Ἀργείων καὶ νηυσὶν ἐνίετε θεσπιδαὲς πῦρ.” Hektor
“Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί, 13.150
παρμένετ'· οὔ τοι δηρὸν ἐμὲ σχήσουσιν Ἀχαιοί,
καὶ μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες,
ἀλλ', οἴω, χάσσονται ὑπ' ἔγχεος, εἰ ἐτεόν με
ὦρσε θεῶν ὤριστος, ἐρίγδουπος πόσις Ἥρης.” Hektor
“Πουλυδάμα, σὺ μὲν αὐτοῦ ἐρύκακε πάντας ἀρίστους· 13.751
αὐτὰρ ἐγὼ κεῖσ' εἶμι καὶ ἀντιόω πολέμοιο·
αἶψα δ' ἐλεύσομαι αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω.” Hektor
“Δύσπαρι, εἶδος ἄριστε, γυναιμανὲς ἠπεροπευτά, 13.769
ποῦ τοι Δηΐφοβός τε βίη θ' Ἑλένοιο ἄνακτος
Ἀσιάδης τ' Ἀδάμας ἠδ' Ἄσιος Ὑρτάκου υἱός;
ποῦ δέ τοι Ὀθρυονεύς; νῦν ὤλετο πᾶσα κατ' ἄκρης
Ἴλιος αἰπεινή· νῦν τοι σῶς αἰπὺς ὄλεθρος.” Hektor
“Αἶαν ἁμαρτοεπές, βουγάϊε, ποῖον ἔειπες· 13.824
εἰ γὰρ ἐγὼν οὕτω γε Διὸς παῖς αἰγιόχοιο
εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισιν
πᾶσι μάλ', ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴ κε ταλάσσηις
μεῖναι ἐμὸν δόρυ μακρόν, ὅ τοι χρόα λειριόεντα

δάψει· ἀτὰρ Τρώων κορέεις κύνας ἠδ' οἰωνοὺς
Hektor δημῶι καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν."
15.247 "τίς δὲ σύ ἐσσι, φέριστε, θεῶν, ὅς μ' εἴρεαι ἄντην;
οὐκ ἀΐεις ὅ με νηυσὶν ἔπι πρυμνῆισιν Ἀχαιῶν,
οὓς ἑτάρους ὀλέκοντα, βοὴν ἀγαθὸς βάλεν Αἴας
χερμαδίωι πρὸς στῆθος, ἔπαυσε δὲ θούριδος ἀλκῆς;
καὶ δὴ ἐγώ_γ' ἐφάμην νέκυας καὶ δῶμ' Ἀΐδαο
Hektor ἤματι τῶιδ' ἵξεσθαι, ἐπεὶ φίλον ἄϊον ἦτορ."
15.347 "νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ' ἔναρα βροτόεντα·
ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω,
αὐτοῦ οἱ θάνατον μητίσομαι, οὐδὲ νυ τόν_γε
γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα,
Hektor ἀλλὰ κύνες ἐρύουσι πρὸ ἄστεος ἡμετέροιο."
15.425 "Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
μὴ δή πω χάζεσθε μάχης ἐν στείνεϊ τῶιδε,
ἀλλ' υἷα Κλυτίοιο σαώσετε, μή μιν Ἀχαιοὶ
Hektor τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα."
15.553 "οὕτω δή, Μελάνιππε, μεθήσομεν; οὐδέ νυ σοί περ
ἐντρέπεται φίλον ἦτορ ἀνεψιόο κταμένοιο;
οὐχ ὁράαις οἷον Δόλοπος περὶ τεύχε' ἔπουσιν;
ἀλλ' ἕπευ· οὐ γὰρ ἔτ' ἐστὶν ἀποσταδὸν Ἀργείοισιν
μάρνασθαι, πρίν γ' ἠὲ κατακτάμεν ἠὲ κατ' ἄκρης
Hektor Ἴλιον αἰπεινὴν ἑλέειν κτάσθαί τε πολίτας."
15.718 "οἴσετε πῦρ, ἅμα δ' αὐτοὶ ἀολλέες ὄρνυτ' ἀϋτήν·
νῦν ἡμῖν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκεν,
νῆας ἑλεῖν, αἳ δεῦρο θεῶν ἀέκητι μολοῦσαι
ἡμῖν πήματα πολλὰ θέσαν, κακότητι γερόντων,
οἵ μ' ἐθέλοντα μάχεσθαι ἐπὶ πρυμνῆισι νέεσσιν
αὐτόν τ' ἰσχανάασκον ἐρητύοντό τε λαόν.
ἀλλ' εἰ δή ῥα τότε βλάπτε φρένας εὐρύοπα Ζεὺς
Hektor ἡμετέρας, νῦν αὐτὸς ἐποτρύνει καὶ ἀνώγει."
16.830 "Πάτροκλ', ἦ που ἔφησθα πόλιν κεραϊξέμεν ἀμὴν,
Τρωϊάδας δὲ γυναῖκας ἐλεύθερον ἦμαρ ἀπούρας,
ἄξειν ἐν νήεσσι φίλην ἐς πατρίδα γαῖαν,
νήπιε· τάων δὲ πρόσθ' Ἕκτορος ὠκέες ἵπποι
ποσσὶν ὀρωρέχαται πολεμίζειν· ἔγχεϊ δ' αὐτὸς
Τρωσὶ φιλοπτολέμοισι μεταπρέπω, ὅ σφιν ἀμύνω
ἦμαρ ἀναγκαῖον· σὲ δέ τ' ἐνθάδε γῦπες ἔδονται.
ἆ δείλ', οὐδέ τοι ἐσθλὸς ἐὼν χραίσμησεν Ἀχιλλεύς,
ὅς πού τοι μάλα πολλὰ μένων ἐπετέλλετ' ἰόντι·
'μή μοι πρὶν ἰέναι, Πατρόκλεις ἱπποκέλευθε,
νῆας ἔπι γλαφυράς, πρὶν Ἕκτορος ἀνδροφόνοιο
αἱματόεντα χιτῶνα περὶ στήθεσσι δαΐξαι.'
Hektor ὥς πού σε προσέφη, σοὶ δὲ φρένας ἄφρονι πεῖθεν."
16.859 "Πατρόκλεις, τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;
τίς δ' οἶδ', εἴ κ' Ἀχιλεύς, Θέτιδος παῖς ἠϋκόμοιο,
Hektor φθήηι ἐμῶι ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσαι;"
17.91 "ὤι μοι ἐγών, εἰ μέν κε λίπω κατὰ τεύχεα καλὰ
Πάτροκλόν θ', ὃς κεῖται ἐμῆς ἕνεκ' ἐνθάδε τιμῆς,
μή τίς μοι Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται.
εἰ δέ κεν Ἕκτορι μοῦνος ἐὼν καὶ Τρωσὶ μάχωμαι
αἰδεσθείς, μή πώς με περιστείωσ' ἕνα πολλοί·
Τρῶας δ' ἐνθάδε πάντας ἄγει κορυθαιόλος Ἕκτωρ.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
ὁππότ' ἀνὴρ ἐθέληι πρὸς δαίμονα φωτὶ μάχεσθαι
ὅν κε θεὸς τιμᾶι, τάχα οἱ μέγα πῆμα κυλίσθη.
τῶι μ' οὔ_τις Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται
Ἕκτορι χωρήσαντ', ἐπεὶ ἐκ θεόφιν πολεμίζει.
εἰ δέ που Αἴαντός γε βοὴν ἀγαθοῖο πυθοίμην,
ἄμφω κ' αὖτις ἰόντες ἐπιμνησαίμεθα χάρμης
καὶ πρὸς δαίμονά περ, εἴ πως ἐρυσαίμεθα νεκρὸν
Πηλεΐδηι Ἀχιλῆϊ· κακῶν δέ κε φέρτατον εἴη." Hektor
"Γλαῦκε, τίη δὲ σὺ τοῖος ἐὼν ὑπέροπλον ἔειπες; 17.170
ὢ πόποι, ἦ τ' ἐφάμην σε περὶ φρένας ἔμμεναι ἄλλων,
τῶν ὅσσοι Λυκίην ἐριβώλακα ναιετάουσιν·
νῦν δέ σε' ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες,
ὅς_τ' ἐμὲ φῂς Αἴαντα πελώριον οὐχ ὑπομεῖναι.
οὔ_τοι ἐγὼν ἔρριγα μάχην οὐδὲ κτύπον ἵππων·
ἀλλ' αἰεί τε Διὸς κρέσσων νόος αἰγιόχοιο,
ὅς_τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην
ῥηϊδίως, ὁτὲ δ' αὐτὸς ἐποτρύνει μαχέσασθαι.
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵσταο καὶ ἴδε ἔργον,
ἠὲ πανημέριος κακὸς ἔσσομαι, ὡς ἀγορεύεις,
ἤ τινα καὶ Δαναῶν, ἀλκῆς μάλα περ μεμαῶτα,
σχήσω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντος." Hektor
"Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί, 17.184
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
ὄφρ' ἂν ἐγὼν Ἀχιλῆος ἀμύμονος ἔντεα δύω
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξα κατακτάς." Hektor
"κέκλυτε, μυρία φῦλα περικτιόνων ἐπικούρων· 17.220
οὐ γὰρ ἐγὼ πληθὺν διζήμενος οὐδὲ χατίζων
ἐνθάδ' ἀφ' ὑμετέρων πολίων ἤγειρα ἕκαστον,
ἀλλ' ἵνα μοι Τρώων ἀλόχους καὶ νήπια τέκνα
προφρονέως ῥύοισθε φιλοπτολέμων ὑπ' Ἀχαιῶν.
τὰ φρονέων δώροισι κατατρύχω καὶ ἐδωδῆι
λαούς, ὑμέτερον δὲ ἑκάστου θυμὸν ἀέξω.
τῶι τις νῦν ἰθὺς τετραμμένος ἢ ἀπολέσθω,
ἠὲ σαωθήτω· ἣ γὰρ πολέμου ὀαριστύς.
ὃς δέ κε Πάτροκλον, καὶ τεθνηῶτά περ, ἔμπης
Τρῶας ἐς ἱπποδάμους ἐρύσηι, εἴξηι δέ οἱ Αἴας,
ἥμισυ τῶι ἐνάρων ἀποδάσσομαι, ἥμισυ δ' αὐτὸς
ἕξω ἐγώ· τὸ δέ οἱ κλέος ἔσσεται ὅσσον ἐμοί περ." Hektor
"Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων, 17.485
ἵππω τώδ' ἐνόησα ποδώκεος Αἰακίδαο
ἐς πόλεμον προφανέντε σὺν ἡνιόχοισι κακοῖσιν.
τῶι κεν ἐελποίμην αἱρησέμεν, εἰ σύ_γε θυμῶι
σῶι ἐθέλοις, ἐπεὶ οὐκ ἂν ἐφορμηθέντε γε νῶϊ
τλαῖεν ἐναντίβιον στάντες μαχέσασθαι Ἄρηϊ." Hektor
"Πουλυδάμα, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις, 18.285
ὃς κέλεαι κατὰ ἄστυ ἀλήμεναι αὖτις ἰόντας.

ἦ οὔ_πω κεκόρησθε ἐελμένοι ἔνδοθι πύργων;
πρὶν μὲν γὰρ Πριάμοιο πόλιν μέροπες ἄνθρωποι
πάντες μυθέσκοντο πολύχρυσον πολύχαλκον·
νῦν δὲ δὴ ἐξαπόλωλε δόμων κειμήλια καλὰ,
πολλὰ δὲ δὴ Φρυγίην καὶ Μηιονίην ἐρατεινὴν
κτήματα περνάμεν' ἵκει, ἐπεὶ μέγας ὠδύσατο Ζεύς.
νῦν δ' ὅτε πέρ μοι ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω
κῦδος ἀρέσθ' ἐπὶ νηυσὶ, θαλάσσηι τ' ἔλσαι Ἀχαιοὺς,
νήπιε, μηκέτι ταῦτα νοήματα φαίν' ἐνὶ δήμωι.
οὐ γάρ τις Τρώων ἐπιπείσεται· οὐ γὰρ ἐάσω.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
νῦν μὲν δόρπον ἕλεσθε κατὰ στρατὸν ἐν τελέεσσιν,
καὶ φυλακῆς μνήσασθε καὶ ἐγρήγορθε ἕκαστος·
Τρώων δ' ὃς κτεάτεσσιν ὑπερφιάλως ἀνιάζει,
συλλέξας λαοῖσι δότω καταδημοβορῆσαι·
τῶν τινὰ βέλτερόν ἐστιν ἐπαυρέμεν ἤ_περ Ἀχαιούς.
πρωῒ δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγείρομεν ὀξὺν Ἄρηα.
εἰ δ' ἐτεὸν παρὰ ναῦφιν ἀνέστη δῖος Ἀχιλλεὺς,
ἄλγιον, αἴ κ' ἐθέλησι, τῶι ἔσσεται· οὔ μιν ἐγώ_γε
φεύξομαι ἐκ πολέμοιο δυσηχέος, ἀλλὰ μάλ' ἄντην
στήσομαι, ἤ κε φέρησι μέγα κράτος, ἦ κε φεροίμην.
Hektor ξυνὸς Ἐνυάλιος· καί τε κτενέοντα κατέκτα."
20.366 "Τρῶες ὑπέρθυμοι, μὴ δείδιτε Πηλείωνα.
καί κεν ἐγὼν ἐπέεσσι καὶ ἀθανάτοισι μαχοίμην·
ἔγχεϊ δ' ἀργαλέον, ἐπεὶ_ἦ πολὺ φέρτεροί εἰσιν.
οὐδ' Ἀχιλεὺς πάντεσσι τέλος μύθοις ἐπιθήσει,
ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεσσηγὺ κολούσει.
τῶι δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
Hektor εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρωι."
20.431 "Πηλείδη, μὴ δή μ' ἐπέεσσί γε νηπύτιον ὥς
ἔλπεο δειδίξεσθαι, ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς
ἠμὲν κερτομίας ἠδ' αἴσυλα μυθήσασθαι.
οἶδα δ' ὅτι σὺ μὲν ἐσθλὸς, ἐγὼ δὲ σέθεν πολὺ χείρων.
ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
αἴ κε σε χειρότερός περ ἐὼν ἀπὸ θυμὸν ἕλωμαι
Hektor δουρὶ βαλὼν, ἐπεὶ_ἦ καὶ ἐμὸν βέλος ὀξὺ πάροιθεν."
22.99 "ὤ μοι ἐγὼν, εἰ μέν κε πύλας καὶ τείχεα δύω,
Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει,
ὅς μ' ἐκέλευεν Τρωσὶ ποτὶ πτόλιν ἡγήσασθαι
νύχθ' ὕπο τήνδ' ὀλοὴν, ὅτε τ' ὤρετο δῖος Ἀχιλλεύς.
ἀλλ' ἐγὼ οὐ πιθόμην· ἦ τ' ἂν πολὺ κέρδιον ἦεν·
νῦν δ' ἐπεὶ ὤλεσα λαὸν ἀτασθαλίῃσιν ἐμῇσιν,
αἰδέομαι Τρῶας καὶ Τρωιάδας ἑλκεσιπέπλους,
μή ποτέ τις εἴπησι κακώτερος ἄλλος ἐμεῖο,
'Ἕκτωρ ἧφι βίηφι πιθήσας ὤλεσε λαόν.'
ὣς ἐρέουσιν· ἐμοὶ δὲ τότ' ἂν πολὺ κέρδιον εἴη
ἄντην ἢ Ἀχιλῆα κατακτείναντα νέεσθαι,
ἠέ κεν αὐτῶι ὀλέσθαι ἐϋκλείως πρὸ πόληος.
εἰ δέ κεν ἀσπίδα μὲν καταθείομαι ὀμφαλόεσσαν
καὶ κόρυθα βριαρὴν, δόρυ δὲ πρὸς τεῖχος ἐρείσας
αὐτὸς ἰὼν Ἀχιλῆος ἀμύμονος ἀντίος ἔλθω
καί οἱ ὑπόσχωμαι Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῆι,
πάντα μάλ' ὅσσα τ' Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσὶν
ἠγάγετο Τροίηνδ', ἥ_τ' ἔπλετο νείκεος ἀρχὴ,
δωσέμεν Ἀτρείδῃσιν ἄγειν, ἅμα τ' ἀμφὶς Ἀχαιοῖς
ἄλλ' ἀποδάσσεσθαι, ὅσα τε πτόλις ἥδε κέκευθεν·
Τρωσὶν δ' αὖ μετόπισθε γερούσιον ὅρκον ἕλωμαι
μή_τι κατακρύψειν, ἀλλ' ἄνδιχα πάντα δάσεσθαι·
κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει·
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
μή μιν ἐγὼ μὲν ἵκωμαι ἰών, ὁ δέ μ' οὐκ ἐλεήσει
οὐδέ τί μ' αἰδέσεται, κτενέει δέ με γυμνὸν ἐόντα
αὔτως ὥς_τε γυναῖκα, ἐπεὶ κ' ἀπὸ τεύχεα δύω.
οὐ μέν πως νῦν ἔστιν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης
τῶι ὀαριζέμεναι, ἅ_τε παρθένος ἠΐθεός τε,
παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοιιν.
βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν· ὅττι τάχιστα
εἴδομεν ὁπποτέρωι κεν Ὀλύμπιος εὖχος ὀρέξηι." **Hektor**
"Δηΐφοβ', ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦσθα **22.233**
γνωτῶν, οὓς Ἑκάβη ἠδὲ Πρίαμος τέκε παῖδας·
νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι,
ὃς ἔτλης ἐμέ' εἵνεκ', ἐπεὶ ἴδες ὀφθαλμοῖσιν,
τείχεος ἐξελθεῖν, ἄλλοι δ' ἔντοσθε μένουσιν." **Hektor**
"οὔ σ' ἔτι, Πηλέος υἱὲ, φοβήσομαι, ὡς τὸ πάρος περ **22.250**
τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον, οὐδὲ ποτ' ἔτλην
μεῖναι ἐπερχόμενον· νῦν αὖτε με θυμὸς ἀνῆκεν
στήμεναι ἀντία σεῖο· ἕλοιμί κεν, ἤ κεν ἁλοίην.
ἀλλ' ἄγε δεῦρο θεοὺς ἐπιδώμεθα· τοὶ γὰρ ἄριστοι
μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων·
οὐ γὰρ ἐγὼ σ' ἔκπαγλον ἀεικίω, αἴ κεν ἐμοὶ Ζεὺς
δώηι καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι·
ἀλλ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε', Ἀχιλλεῦ,
νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν· ὣς δὲ σὺ ῥέζειν." **Hektor**
"ἤμβροτες, οὐδ' ἄρα πώ τι, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ, **22.279**
ἐκ Διὸς ἠείδης τὸν ἐμὸν μόρον. ἤτοι ἔφης γε·
ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων,
ὄφρα σ' ὑποδδείσας μένεος ἀλκῆς τε λάθωμαι.
οὐ μὲν μοι φεύγοντι μεταφρένωι ἐν δόρυ πήξεις,
ἀλλ' ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον,
εἴ τοι ἔδωκε θεός· νῦν αὖτ' ἐμὸν ἔγχος ἄλευαι
χάλκεον. ὡς δή μιν σῶι ἐν χροῒ πᾶν κομίσαιο.
καί κεν ἐλαφρότερος πόλεμος Τρώεσσι γένοιτο
σεῖο καταφθιμένοιο· σὺ γάρ σφισι πῆμα μέγιστον." **Hektor**
"ὢ πόποι, ἦ μάλα δή με θεοὶ θάνατόνδε κάλεσσαν· **22.297**
Δηΐφοβον γὰρ ἐγώ_γ' ἐφάμην ἥρωα παρεῖναι·
ἀλλ' ὁ μὲν ἐν τείχει, ἐμὲ δ' ἐξαπάτησεν Ἀθήνη.
νῦν δὲ δὴ ἐγγύθι μοι θάνατος κακὸς, οὐδ' ἔτ' ἄνευθεν,
οὐδ' ἀλέη· ἦ γάρ ῥα πάλαι τό γε φίλτερον ἦεν
Ζηνί τε καὶ Διὸς υἷι Ἑκηβόλωι, οἵ με πάρος γε

πρόφρονες εἰρύατο· νῦν αὖτέ με μοῖρα κιχάνει.
μὴ μὰν ἀσπουδεὶ γε καὶ ἀκλειῶς ἀπολοίμην,
Hektor ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι."
20.356 "ἦ σ' εὖ γιγνώσκων προτιόσσομαι, οὐδ' ἄρ' ἔμελλον
πείσειν· ἦ γὰρ σοί_γε σιδήρεος ἐν φρεσὶ θυμός.
φράζεο νῦν μή τοί τι θεῶν μήνιμα γένωμαι,
ἤματι τῶι ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων
Hektor ἐσθλὸν ἐόντ' ὀλέσωσιν ἐνὶ Σκαιῇισι πύλῃσιν."

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 26 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES

OF TROJAN HERALD

IDAIOS

IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

3.250 “ὄρσεο, Λαομεδοντιάδη, καλέουσιν ἄριστοι
Τρώων θ’ ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων
ἐς πεδίον καταβῆναι, ἵν’ ὅρκια πιστὰ τάμητε·
αὐτὰρ Ἀλέξανδρος καὶ ἀρηΐφιλος Μενέλαος
μακρῇις ἐγχείῃισι μαχήσοντ’ ἀμφὶ γυναικί·
τῶι δέ κε νικήσαντι γυνὴ καὶ κτήμαθ’ ἕποιτο·
οἱ δ’ ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες
ναίοιμεν Τροίην ἐριβώλακα, τοι δὲ νέονται
Idaios Ἄργος ἐς ἱππόβοτον καὶ Ἀχαΐδα καλλιγύναικα.”
7.278 “μηκέτι, παῖδε φίλω, πολεμίζετε μηδὲ μάχεσθον·
ἀμφοτέρω γὰρ σφῶϊ φιλεῖ νεφεληγερέτα Ζεύς·
ἄμφω δ’ αἰχμητά· τό_γε δὴ καὶ ἴδμεν ἅπαντες·
Idaios νὺξ δ’ ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι.”
7.385 “Ἀτρείδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
ἠνώγει Πρίαμός τε καὶ ἄλλοι Τρῶες ἀγαυοὶ
εἰπεῖν, αἴ κέ περ ὔμμι φίλον καὶ ἡδὺ γένοιτο,
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρεν·
κτήματα μὲν ὅσ’ Ἀλέξανδρος κοίλῃις ἐνὶ νηυσὶν
ἠγάγετο Τροίηνδ’ — ὡς πρὶν ὤφελλ’ ἀπολέσθαι —
πάντ’ ἐθέλει δόμεναι καὶ ἔτ’ οἴκοθεν ἄλλ’ ἐπιθεῖναι·
κουριδίην δ’ ἄλοχον Μενελάου κυδαλίμοιο
οὔ φησιν δώσειν· ἦ μὲν Τρῶές γε κέλονται.
καὶ δὲ τόδ’ ἠνώγεον εἰπεῖν ἔπος, αἴ κ’ ἐθέλητε
παύσασθαι πολέμοιο δυσηχέος, εἰς_ὅ_κε νεκροὺς
κήομεν· ὕστερον αὖτε μαχησόμεθ’, εἰς_ὅ_κε δαίμων
Idaios ἄμμε διακρίνῃι, δώῃι δ’ ἑτέροισί γε νίκην.”

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 8 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF HEKTOR'S CHARTIOTEER KEBRIONES IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

11.523 "Ἕκτορ, νῶϊ μὲν ἐνθάδ' ὁμιλέομεν Δαναοῖσιν
ἐσχατιῇ πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι
Τρῶες ὀρίνονται ἐπιμὶξ, ἵπποι τε καὶ αὐτοί.
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἡμεῖς
κεῖσ' ἵππους τε καὶ ἅρμ' ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε, κακὴν ἔριδα προβαλόντες,
Kebriones ἀλλήλους ὀλέκουσι, βοὴ δ' ἄσβεστος ὄρωρεν."

11.523 "Ἕκτορ, νῶϊ μὲν ἐνθάδ' ὁμιλέομεν Δαναοῖσιν
ἐσχατιῇ πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι
Τρῶες ὀρίνονται ἐπιμὶξ, ἵπποι τε καὶ αὐτοί.
Kebriones Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἡμεῖς
κεῖσ' ἵππους τε καὶ ἅρμ' ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε, κακὴν ἔριδα προβαλόντες,
ἀλλήλους ὀλέκουσι, βοὴ δ' ἄσβεστος ὄρωρεν."

Notes

Notes

Polydamas is the son of Panthoos,
a Trojan elder.

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 94 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF HEKTOR'S LIEUTENANT POLYDAMAS IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

12.61 “῞Εκτορ τ’ ἠδ’ ἄλλοι Τρώων ἀγοὶ ἠδ’ ἐπικούρων,
ἀφραδέως διὰ τάφρον ἐλαύνομεν ὠκέας ἵππους.
ἡ δὲ μάλ’ ἀργαλέη περάαν· σκόλοπες γὰρ ἐν αὐτῆι
ὀξέες ἑστᾶσιν, ποτὶ δ’ αὐτοὺς τεῖχος Ἀχαιῶν.
ἔνθ’ οὔ_πως ἔστιν καταβήμεναι οὐδὲ μάχεσθαι
ἱππεῦσι· στεῖνος γάρ, ὅθι τρώσεσθαι ὀΐω.
εἰ μὲν γὰρ τοὺς πάγχυ κακὰ φρονέων ἀλαπάζει
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ ἵετ’ ἀρήγειν,
ἦ τ’ ἂν ἐγώ_γ’ ἐθέλοιμι καὶ αὔτικα τοῦτο γενέσθαι,
νωνύμνους ἀπολέσθαι ἀπ’ Ἄργεος ἐνθάδ’ Ἀχαιούς·
εἰ δέ χ’ ὑποστρέψωσι, παλίωξις δὲ γένηται
ἐκ νηῶν, καὶ τάφρωι ἐνιπλήξωμεν ὀρυκτῆι,
οὐκέτ’ ἔπειτ’ οἴω οὐδ’ ἄγγελον ἀπονέεσθαι
ἄψορρον προτὶ ἄστυ ἑλιχθέντων ὑπ’ Ἀχαιῶν.
ἀλλ’ ἄγεθ’, ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
ἵππους μὲν θεράποντες ἐρυκόντων ἐπὶ τάφρωι,
αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες
Poly- ῞Εκτορι πάντες ἑπώμεθ’ ἀολλέες· αὐτὰρ Ἀχαιοὶ
damas οὐ μενέουσ’, εἰ δὴ σφιν ὀλέθρου πείρατ’ ἐφῆπται.”
12.211 “῞Εκτορ, ἀεὶ μέν πώς μοι ἐπιπλήσσεις ἀγορῆισιν
ἐσθλὰ φραζομένωι, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικεν
δῆμον ἐόντα πάρεξ ἀγορευέμεν, οὔτ’ ἐνὶ βουλῆι
οὔτέ ποτ’ ἐν πολέμωι, σὸν δὲ κράτος αἰὲν ἀέξειν·
νῦν αὖτ’ ἐξερέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
μὴ ἴομεν Δαναοῖσι μαχησόμενοι περὶ νηῶν.
ὧδε γὰρ ἐκτελέεσθαι ὀΐομαι, εἰ ἐτεόν γε
Τρωσὶν ὅδ’ ὄρνις ἦλθε περησέμεναι μεμαῶσιν,
αἰετὸς ὑψιπέτης ἐπ’ ἀριστερὰ λαὸν ἐέργων,
φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον
◆ ζωόν· ἄφαρ δ’ ἀφέηκε, πάρος φίλα οἰκί’ ἱκέσθαι,
οὐδ’ ἐτέλεσσε φέρων δόμεναι τεκέεσσιν ἑοῖσιν.
ὣς ἡμεῖς, εἴ_πέρ τε πύλας καὶ τεῖχος Ἀχαιῶν
ῥηξόμεθα σθένεϊ μεγάλωι, εἴξωσι δ’ Ἀχαιοί,
οὐ κόσμωι παρὰ ναῦφιν ἐλευσόμεθ’ αὐτὰ κέλευθα·
πολλοὺς γὰρ Τρώων καταλείψομεν, οὕς κεν Ἀχαιοὶ
χαλκῶι δηιώσωσιν, ἀμυνόμενοι περὶ νηῶν.
Poly- ὧδέ χ’ ὑποκρίναιτο θεοπρόπος, ὃς σάφα θυμῶι
damas εἰδείη τεράων καί οἱ πειθοίατο λαοί.”
13.726 “῞Εκτορ, ἀμήχανός ἐσσι παραρρητοῖσι πιθέσθαι.
οὕνεκά τοι περὶ δῶκε θεὸς πολεμήϊα ἔργα,
τοὔνεκα καὶ βουλῆι ἐθέλεις περιίδμεναι ἄλλων.
ἀλλ’ οὔ_πως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι.
ἄλλωι μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα·
ἄλλωι δ’ ὀρχηστύν, ἑτέρωι κίθαριν καὶ ἀοιδήν·
ἄλλωι δ’ ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεὺς
ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ’ ἄνθρωποι,
καί τε πολέας ἐσάωσε, μάλιστα δέ κ’_αὐτὸς ἀνέγνω.
αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
πάντηι γάρ σε περὶ στέφανος πολέμοιο δέδηεν·
◆ Τρῶες δὲ μεγάθυμοι, ἐπεὶ κατὰ τεῖχος ἔβησαν,
οἱ μὲν ἀφεστᾶσιν σὺν τεύχεσιν, οἱ δὲ μάχονται
παυρότεροι πλεόνεσσι, κεδασθέντες κατὰ νῆας.
ἀλλ’ ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους·
ἔνθεν δ’ ἂν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βουλήν,
ἤ κεν ἐν_ νήεσσι πολυκλήϊσι πέσωμεν,
αἴ κ’ ἐθέλησι θεὸς δόμεναι κράτος, ἤ κεν ἔπειτα
πὰρ νηῶν ἔλθοιμεν ἀπήμονες. ἦ γὰρ ἐγώ_γε
δείδω, μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοὶ
χρεῖος, ἐπεὶ παρὰ νηυσὶν ἀνὴρ ἆτος πολέμοιο Poly-
μίμνει, ὃν οὐκέτι πάγχυ μάχης σχήσεσθαι ὀΐω.” damas
“οὐ μὰν αὖτ’ οἴω μεγαθύμου Πανθοΐδαο 14.454
χειρὸς ἄπο στιβαρῆς ἅλιον πηδῆσαι ἄκοντα,
ἀλλά τις Ἀργείων κόμισε χροΐ, καί μιν ὀΐω Poly-
αὐτῶι σκηπτόμενον κατίμεν δόμον Ἄϊδος εἴσω.” damas
“ἀμφὶ μάλα φράζεσθε, φίλοι· κέλομαι γὰρ ἐγώ_γε 18.254
ἄστυδε νῦν ἰέναι, μὴ μίμνειν Ἠῶ δῖαν
ἐν πεδίωι παρὰ νηυσίν· ἑκὰς δ’ ἀπὸ τείχεός εἰμεν.
ὄφρα μὲν οὗτος ἀνὴρ Ἀγαμέμνονι μήνιε δίωι,
τόφρα δὲ ῥηΐτεροι πολεμίζειν ἦσαν Ἀχαιοί·
χαίρεσκον γὰρ ἐγώ_γε θοῆις ἐπὶ νηυσὶν ἰαύων,
ἐλπόμενος νῆας αἱρησέμεν ἀμφιελίσσας.
νῦν δ’ αἰνῶς δείδοικα ποδώκεα Πηλεΐωνα·
οἷος ἐκείνου θυμὸς ὑπέρβιος, οὐκ ἐθελήσει
μίμνειν ἐν πεδίωι, ὅθι περ Τρῶες καὶ Ἀχαιοὶ
ἐν μέσωι ἀμφότεροι μένος Ἄρηος δατέονται,
ἀλλὰ περὶ πτόλιός τε μαχήσεται ἠδὲ γυναικῶν.
ἀλλ’ ἴομεν προτὶ ἄστυ, πιθέσθέ μοι· ὧδε γὰρ ἔσται.
νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλεΐωνα
ἀμβροσίη· εἰ δ’ ἄμμε κιχήσεται ἐνθάδ’ ἐόντας
αὔριον ὁρμηθεὶς σὺν τεύχεσιν, εὖ νύ τις αὐτὸν
γνώσεται· ἀσπασίως γὰρ ἀφίξεται Ἴλιον ἱρὴν
ὅς κε φύγηι, πολλοὺς δὲ κύνες καὶ γῦπες ἔδονται
Τρώων· αἲ γὰρ δή μοι ἀπ’ οὔατος ὧδε γένοιτο.
εἰ δ’ ἂν ἐμοῖς ἐπέεσσι πιθώμεθα, κηδόμενοί περ,
νύκτα μὲν εἰν ἀγορῆι σθένος ἕξομεν, ἄστυ δὲ πύργοι
ὑψηλαί τε πύλαι σανίδες τ’ ἐπὶ τῆις ἀραρυῖαι
μακραὶ ἐΰξεστοι ἐζευγμέναι εἰρύσσονται·
πρωῒ δ’ ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
στησόμεθ’ ἂμ πύργους. τῶι δ’ ἄλγιον, αἴ κ’ ἐθέλησιν
ἐλθὼν ἐκ νηῶν περὶ τείχεος ἄμμι μάχεσθαι.
ἂψ πάλιν εἶσ’ ἐπὶ νῆας, ἐπεί κ’ ἐριαύχενας ἵππους
παντοίου δρόμου ἄσηι ὑπὸ πτόλιν ἠλασκάζων.
εἴσω δ’ οὔ μιν θυμὸς ἐφορμηθῆναι ἐάσει, Poly-
οὐδέ ποτ’ ἐκπέρσει· πρίν μιν κύνες ἀργοὶ ἔδονται.” damas

12.61 "Ἕκτορ τ' ἠδ' ἄλλοι Τρώων ἀγοὶ ἠδ' ἐπικούρων,
ἀφραδέως διὰ τάφρον ἐλαύνομεν ὠκέας ἵππους.
ἡ δὲ μάλ' ἀργαλέη περάαν· σκόλοπες γὰρ ἐν αὐτῆι
ὀξέες ἑστᾶσιν, ποτὶ δ' αὐτοὺς τεῖχος Ἀχαιῶν.
ἔνθ' οὔ_πως ἔστιν καταβήμεναι οὐδὲ μάχεσθαι
ἱππεῦσι· στεῖνος γάρ, ὅθι τρώσεσθαι ὀΐω.
εἰ μὲν γὰρ τοὺς πάγχυ κακὰ φρονέων ἀλαπάζει
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ ἵετ' ἀρήγειν,
ἦ τ' ἂν ἐγώ_γ' ἐθέλοιμι καὶ αὔτικα τοῦτο γενέσθαι,
νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς·
εἰ δέ χ' ὑποστρέψωσι, παλίωξις δὲ γένηται
ἐκ νηῶν, καὶ τάφρωι ἐνιπλήξωμεν ὀρυκτῆι,
οὐκέτ' ἔπειτ' ὀΐω οὐδ' ἄγγελον ἀπονέεσθαι
ἄψορρον προτὶ ἄστυ ἑλιχθέντων ὑπ' Ἀχαιῶν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
ἵππους μὲν θεράποντες ἐρυκόντων ἐπὶ τάφρωι,
αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες
Poly- Ἕκτορι πάντες ἑπώμεθ' ἀολλέες· αὐτὰρ Ἀχαιοὶ
damas οὐ μενέουσ', εἰ δὴ σφιν ὀλέθρου πείρατ' ἐφῆπται."

12.211 "Ἕκτορ, ἀεὶ μέν πώς μοι ἐπιπλήσσεις ἀγορῆισιν
ἐσθλὰ φραζομένωι, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικεν
δῆμον ἐόντα πάρεξ ἀγορευέμεν, οὔτ' ἐνὶ βουλῆι
οὔτέ ποτ' ἐν πολέμωι, σὸν δὲ κράτος αἰὲν ἀέξειν·
νῦν αὖτ' ἐξερέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
μὴ ἴομεν Δαναοῖσι μαχησόμενοι περὶ νηῶν.
ὧδε γὰρ ἐκτελέεσθαι ὀΐομαι, εἰ ἐτεόν γε
Τρωσὶν ὅδ' ὄρνις ἦλθε περησέμεναι μεμαῶσιν,
αἰετὸς ὑψιπέτης ἐπ' ἀριστερὰ λαὸν ἐέργων,
φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον
ζωόν· ἄφαρ δ' ἀφέηκε, πάρος φίλα οἰκί' ἱκέσθαι,
οὐδ' ἐτέλεσσε φέρων δόμεναι τεκέεσσιν ἑοῖσιν.
ὣς ἡμεῖς, εἴ_πέρ τε πύλας καὶ τεῖχος Ἀχαιῶν
ῥηξόμεθα σθένεϊ μεγάλωι, εἴξωσι δ' Ἀχαιοί,
οὐ κόσμωι παρὰ ναῦφιν ἐλευσόμεθ' αὐτὰ κέλευθα·
πολλοὺς γὰρ Τρώων καταλείψομεν, οὕς κεν Ἀχαιοὶ
χαλκῶι δηιώσωσιν, ἀμυνόμενοι περὶ νηῶν.
Poly- ὧδέ χ' ὑποκρίναιτο θεοπρόπος, ὃς σάφα θυμῶι
damas εἰδείη τεράων καί οἱ πειθοίατο λαοί."

13.726 "Ἕκτορ, ἀμήχανός ἐσσι παραρρητοῖσι πιθέσθαι.
οὕνεκά τοι περὶ δῶκε θεὸς πολεμήϊα ἔργα,
τοὔνεκα καὶ βουλῆι ἐθέλεις περιίδμεναι ἄλλων.
ἀλλ' οὔ_πως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι.
ἄλλωι μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα·
ἄλλωι δ' ὀρχηστύν, ἑτέρωι κίθαριν καὶ ἀοιδήν·
ἄλλωι δ' ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεὺς
ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι,
καί τε πολέας ἐσάωσε, μάλιστα δέ κ' αὐτὸς ἀνέγνω.

Version B αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
πάντηι γάρ σε περὶ στέφανος πολέμοιο δέδηεν·
Τρῶες δὲ μεγάθυμοι, ἐπεὶ κατὰ τεῖχος ἔβησαν,
οἱ μὲν ἀφεστᾶσιν σὺν τεύχεσιν, οἱ δὲ μάχονται
παυρότεροι πλεόνεσσι, κεδασθέντες κατὰ νῆας.
ἀλλ' ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους·
ἔνθεν δ' ἂν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βουλήν,
ἤ κεν ἐν_ νήεσσι πολυκλήϊσι πέσωμεν,
αἴ κ' ἐθέλησι θεὸς δόμεναι κράτος, ἤ κεν ἔπειτα
πὰρ νηῶν ἔλθοιμεν ἀπήμονες. ἦ γὰρ ἐγώ_γε
δείδω, μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοὶ
χρεῖος, ἐπεὶ παρὰ νηυσὶν ἀνὴρ ἆτος πολέμοιο Poly-
μίμνει, ὃν οὐκέτι πάγχυ μάχης σχήσεσθαι ὀΐω." damas

"οὐ μὰν αὖτ' οἴω μεγαθύμου Πανθοΐδαο 14.454
χειρὸς ἄπο στιβαρῆς ἅλιον πηδῆσαι ἄκοντα,
ἀλλά τις Ἀργείων κόμισε χροΐ, καί μιν ὀΐω Poly-
αὐτῶι σκηπτόμενον κατίμεν δόμον Ἄϊδος εἴσω." damas

"ἀμφὶ μάλα φράζεσθε, φίλοι· κέλομαι γὰρ ἐγώ_γε 18.254
ἄστυδε νῦν ἰέναι, μὴ μίμνειν Ἠῶ δῖαν
ἐν πεδίωι παρὰ νηυσίν· ἑκὰς δ' ἀπὸ τείχεός εἰμεν.
ὄφρα μὲν οὗτος ἀνὴρ Ἀγαμέμνονι μήνιε δίωι,
τόφρα δὲ ῥηΐτεροι πολεμίζειν ἦσαν Ἀχαιοί·
χαίρεσκον γὰρ ἐγώ_γε θοῆις ἐπὶ νηυσὶν ἰαύων,
ἐλπόμενος νῆας αἱρησέμεν ἀμφιελίσσας.
νῦν δ' αἰνῶς δείδοικα ποδώκεα Πηλείωνα·
οἷος ἐκείνου θυμὸς ὑπέρβιος, οὐκ ἐθελήσει
μίμνειν ἐν πεδίωι, ὅθι περ Τρῶες καὶ Ἀχαιοὶ
ἐν μέσωι ἀμφότεροι μένος Ἄρηος δατέονται,
ἀλλὰ περὶ πτόλιός τε μαχήσεται ἠδὲ γυναικῶν.
ἀλλ' ἴομεν προτὶ ἄστυ, πιθέσθε μοι· ὧδε γὰρ ἔσται.
νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλείωνα
ἀμβροσίη· εἰ δ' ἄμμε κιχήσεται ἐνθάδ' ἐόντας
αὔριον ὁρμηθεὶς σὺν τεύχεσιν, εὖ νύ τις αὐτὸν
γνώσεται· ἀσπασίως γὰρ ἀφίξεται Ἴλιον ἱρὴν
ὅς κε φύγηι, πολλοὺς δὲ κύνες καὶ γῦπες ἔδονται
Τρώων· αἳ γὰρ δή μοι ἀπ' οὔατος ὧδε γένοιτο.
εἰ δ' ἂν ἐμοῖς ἐπέεσσι πιθώμεθα, κηδόμενοί περ,
νύκτα μὲν εἰν ἀγορῆι σθένος ἕξομεν, ἄστυ δὲ πύργοι
ὑψηλαί τε πύλαι σανίδες τ' ἐπὶ τῆις ἀραρυῖαι
μακραὶ ἐΰξεστοι ἐζευγμέναι εἰρύσσονται·
πρωῒ δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
στησόμεθ' ἂμ πύργους. τῶι δ' ἄλγιον, αἴ κ' ἐθέλησιν
ἐλθὼν ἐκ νηῶν περὶ τείχεος ἄμμι μάχεσθαι.
ἂψ πάλιν εἶσ' ἐπὶ νῆας, ἐπεί κ' ἐριαύχενας ἵππους
παντοίου δρόμου ἄσηι ὑπὸ πτόλιν ἠλασκάζων.
εἴσω δ' οὔ μιν θυμὸς ἐφορμηθῆναι ἐάσει, Poly-
οὐδέ ποτ' ἐκπέρσει· πρίν μιν κύνες ἀργοὶ ἔδονται." damas

12.61 "Ἕκτορ τ' ἠδ' ἄλλοι Τρώων ἀγοὶ ἠδ' ἐπικούρων,
ἀφραδέως διὰ τάφρον ἐλαύνομεν ὠκέας ἵππους.
ἡ δὲ μάλ' ἀργαλέη περάαν· σκόλοπες γὰρ ἐν αὐτῆι
ὀξέες ἑστᾶσιν, ποτὶ δ' αὐτοὺς τεῖχος Ἀχαιῶν.
ἔνθ' οὔ_πώς ἐστιν καταβήμεναι οὐδὲ μάχεσθαι
ἱππεῦσι· στεῖνος γάρ, ὅθι τρώσεσθαι ὀΐω.
εἰ μὲν γὰρ τοὺς πάγχυ κακὰ φρονέων ἀλαπάζει
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ ἵετ' ἀρήγειν,
ἦ τ' ἂν ἐγώ_γ' ἐθέλοιμι καὶ αὔτικα τοῦτο γενέσθαι,
νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς·
εἰ δέ χ' ὑποστρέψωσι, παλίωξις δὲ γένηται
ἐκ νηῶν, καὶ τάφρωι ἐνιπλήξωμεν ὀρυκτῆι,
οὐκέτ' ἔπειτ' ὀΐω οὐδ' ἄγγελον ἀπονέεσθαι
ἄψορρον προτὶ ἄστυ ἐλιχθέντων ὑπ' Ἀχαιῶν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
ἵππους μὲν θεράποντες ἐρυκόντων ἐπὶ τάφρωι,
αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες
Poly- Ἕκτορι πάντες ἑπώμεθ' ἀολλέες· αὐτὰρ Ἀχαιοὶ
damas οὐ μενέουσ', εἰ δὴ σφιν ὀλέθρου πείρατ' ἐφῆπται."
12.211 "Ἕκτορ, ἀεὶ μέν πώς μοι ἐπιπλήσσεις ἀγορῆισιν
ἐσθλὰ φραζομένωι, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικεν
δῆμον ἐόντα πάρεξ ἀγορευέμεν, οὔτ' ἐνὶ βουλῆι
οὔτέ ποτ' ἐν πολέμωι, σὸν δὲ κράτος αἰὲν ἀέξειν·
νῦν αὖτ' ἐξερέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
μὴ ἴομεν Δαναοῖσι μαχησόμενοι περὶ νηῶν.
ὧδε γὰρ ἐκτελέεσθαι ὀΐομαι, εἰ ἐτεόν γε
Τρωσὶν ὅδ' ὄρνις ἦλθε περησέμεναι μεμαῶσιν,
αἰετὸς ὑψιπέτης ἐπ' ἀριστερὰ λαὸν ἐέργων,
φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον
ζωόν· ἄφαρ δ' ἀφέηκε, πάρος φίλα οἰκί' ἱκέσθαι,
οὐδ' ἐτέλεσσε φέρων δόμεναι τεκέεσσιν ἑοῖσιν.
ὣς ἡμεῖς, εἴ_πέρ τε πύλας καὶ τεῖχος Ἀχαιῶν
ῥηξόμεθα σθένεϊ μεγάλωι, εἴξωσι δ' Ἀχαιοί,
οὐ κόσμωι παρὰ ναῦφιν ἐλευσόμεθ' αὐτὰ κέλευθα·
πολλοὺς γὰρ Τρώων καταλείψομεν, οὕς κεν Ἀχαιοὶ
χαλκῶι δηιώσωσιν, ἀμυνόμενοι περὶ νηῶν.
ὧδέ χ' ὑποκρίναιτο θεοπρόπος, ὃς σάφα θυμῶι Poly-
εἰδείη τεράων καί οἱ πειθοίατο λαοί." damas
"Ἕκτορ, ἀμήχανός ἐσσι παραρρητοῖσι πιθέσθαι. 13.726
οὕνεκά τοι περὶ δῶκε θεὸς πολεμήϊα ἔργα,
τοὔνεκα καὶ βουλῆι ἐθέλεις περιίδμεναι ἄλλων.
ἀλλ' οὔ_πως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι.
ἄλλωι μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα·
ἄλλωι δ' ὀρχηστύν, ἑτέρωι κίθαριν καὶ ἀοιδήν·
ἄλλωι δ' ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεὺς
ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι,
καί τε πολέας ἐσάωσε, μάλιστα δέ κ'_αὐτὸς ἀνέγνω.
αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
πάντηι γάρ σε περὶ στέφανος πολέμοιο δέδηεν·
Τρῶες δὲ μεγάθυμοι, ἐπεὶ κατὰ τεῖχος ἔβησαν,
οἱ μὲν ἀφεστᾶσιν σὺν τεύχεσιν, οἱ δὲ μάχονται
παυρότεροι πλεόνεσσι, κεδασθέντες κατὰ νῆας.
ἀλλ' ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους·
ἔνθεν δ' ἂν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βουλήν,
ἤ κεν ἐν_ νήεσσι πολυκλήϊσι πέσωμεν,
αἴ κ' ἐθέλησι θεὸς δόμεναι κράτος, ἦ κεν ἔπειτα
πὰρ νηῶν ἔλθοιμεν ἀπήμονες. ἦ γὰρ ἐγώ_γε
δείδω, μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοὶ
χρεῖος, ἐπεὶ παρὰ νηυσὶν ἀνὴρ ἆτος πολέμοιο Poly-
μίμνει, ὃν οὐκέτι πάγχυ μάχης σχήσεσθαι ὀΐω." damas
"οὐ μὰν αὖτ' οἴω μεγαθύμου Πανθοΐδαο 14.454
χειρὸς ἄπο στιβαρῆς ἄλιον πηδῆσαι ἄκοντα,

Version C

Poly- ἀλλά τις Ἀργείων κόμισε χροΐ, καί μιν ὀΐω
damas αὐτῶι σκηπτόμενον κατίμεν δόμον Ἄϊδος εἴσω."
18.254 "ἀμφὶ μάλα φράζεσθε, φίλοι· κέλομαι γὰρ ἐγώ_γε
ἄστυδε νῦν ἰέναι, μὴ μίμνειν Ἠῶ δῖαν
ἐν πεδίωι παρὰ νηυσίν· ἑκὰς δ᾽ ἀπὸ τείχεός εἰμεν.
ὄφρα μὲν οὗτος ἀνὴρ Ἀγαμέμνονι μήνιε δίωι,
τόφρα δὲ ῥηΐτεροι πολεμίζειν ἦσαν Ἀχαιοί·
χαίρεσκον γὰρ ἐγώ_γε θοῆις ἐπὶ νηυσὶν ἰαύων,
ἐλπόμενος νῆας αἱρησέμεν ἀμφιελίσσας.
νῦν δ᾽ αἰνῶς δείδοικα ποδώκεα Πηλείωνα·
οἷος ἐκείνου θυμὸς ὑπέρβιος, οὐκ ἐθελήσει
μίμνειν ἐν πεδίωι, ὅθι περ Τρῶες καὶ Ἀχαιοὶ
ἐν μέσωι ἀμφότεροι μένος Ἄρηος δατέονται,
ἀλλὰ περὶ πτόλιός τε μαχήσεται ἠδὲ γυναικῶν.
ἀλλ᾽ ἴομεν προτὶ ἄστυ, πιθέσθε μοι· ὧδε γὰρ ἔσται.
νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλείωνα
ἀμβροσίη· εἰ δ᾽ ἄμμε κιχήσεται ἐνθάδ᾽ ἐόντας
αὔριον ὁρμηθεὶς σὺν τεύχεσιν, εὖ νύ τις αὐτὸν
γνώσεται· ἀσπασίως γὰρ ἀφίξεται Ἴλιον ἱρὴν
ὅς κε φύγηι, πολλοὺς δὲ κύνες καὶ γῦπες ἔδονται
Τρώων· αἲ γὰρ δή μοι ἀπ᾽ οὔατος ὧδε γένοιτο.
εἰ δ᾽ ἂν ἐμοῖς ἐπέεσσι πιθώμεθα, κηδόμενοί περ,
νύκτα μὲν εἰν ἀγορῆι σθένος ἕξομεν, ἄστυ δὲ πύργοι
ὑψηλαί τε πύλαι σανίδες τ᾽ ἐπὶ τῆις ἀραρυῖαι
μακραὶ ἐΰξεστοι ἐζευγμέναι εἰρύσσονται·
πρωῒ δ᾽ ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
στησόμεθ᾽ ἂμ πύργους. τῶι δ᾽ ἄλγιον, αἴ κ᾽ ἐθέλησιν
ἐλθὼν ἐκ νηῶν περὶ τείχεος ἄμμι μάχεσθαι.
ἂψ πάλιν εἶσ᾽ ἐπὶ νῆας, ἐπεί κ᾽ ἐριαύχενας ἵππους
παντοίου δρόμου ἄσηι ὑπὸ πτόλιν ἠλασκάζων.
Poly- εἴσω δ᾽ οὔ μιν θυμὸς ἐφορμηθῆναι ἐάσει,
damas οὐδέ ποτ᾽ ἐκπέρσει· πρίν μιν κύνες ἀργοὶ ἔδονται."

12.61 “Ἕκτορ τ’ ἠδ’ ἄλλοι Τρώων ἀγοὶ ἠδ’ ἐπικούρων,
ἀφραδέως διὰ τάφρον ἐλαύνομεν ὠκέας ἵππους.
ἡ δὲ μάλ’ ἀργαλέη περάαν· σκόλοπες γὰρ ἐν αὐτῆι
ὀξέες ἑστᾶσιν, ποτὶ δ’ αὐτοὺς **τεῖχος Ἀχαιῶν.**
ἔνθ’ οὔ_πώς ἔστιν καταβήμεναι οὐδὲ μάχεσθαι
ἱππεῦσι· στεῖνος γάρ, ὅθι τρώσεσθαι ὀΐω.
εἰ μὲν γὰρ τοὺς πάγχυ κακὰ φρονέων ἀλαπάζει
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ ἵετ’ ἀρήγειν,
ἦ τ’ ἂν ἐγώ_γ’ ἐθέλοιμι καὶ αὔτικα τοῦτο γενέσθαι,
νωνύμνους ἀπολέσθαι ἀπ’ Ἄργεος ἐνθάδ’ Ἀχαιούς·
εἰ δέ χ’ ὑποστρέψωσι, παλίωξις δὲ γένηται
ἐκ νηῶν, καὶ τάφρωι ἐνιπλήξωμεν ὀρυκτῆι,
οὐκέτ’ ἔπειτ’ ὀΐω οὐδ’ ἄγγελον ἀπονέεσθαι
ἄψορρον προτὶ ἄστυ ἑλιχθέντων ὑπ’ Ἀχαιῶν.
ἀλλ’ ἄγεθ’, ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
ἵππους μὲν θεράποντες ἐρυκόντων ἐπὶ τάφρωι,
αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες
Poly- Ἕκτορι πάντες ἑπώμεθ’ ἀολλέες· αὐτὰρ Ἀχαιοὶ
damas οὐ μενέουσ’, εἰ δή σφιν ὀλέθρου πείρατ’ ἐφῆπται.”
12.211 “Ἕκτορ, ἀεὶ μέν πώς μοι ἐπιπλήσσεις ἀγορῆισιν
ἐσθλὰ φραζομένωι, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικεν
δῆμον ἐόντα πάρεξ **ἀγορευέμεν**, οὔτ’ **ἐνὶ βουλῆι**
οὔτέ ποτ’ ἐν πολέμωι, σὸν δὲ κράτος αἰὲν ἀέξειν·
νῦν αὖτ’ ἐξερέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
μὴ ἴομεν Δαναοῖσι μαχησόμενοι περὶ νηῶν.
ὧδε γὰρ ἐκτελέεσθαι ὀΐομαι, εἰ ἐτεόν γε
Τρωσὶν ὅδ’ ὄρνις ἦλθε περησέμεναι μεμαῶσιν,
αἰετὸς ὑψιπέτης ἐπ’ ἀριστερὰ λαὸν ἐέργων,
φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον
ζωόν· ἄφαρ δ’ ἀφέηκε, πάρος φίλα οἰκί’ ἱκέσθαι,
οὐδ’ ἐτέλεσσε φέρων δόμεναι τεκέεσσιν ἑοῖσιν.
ὣς ἡμεῖς, εἴ_πέρ τε πύλας καὶ τεῖχος Ἀχαιῶν
ῥηξόμεθα σθένεϊ μεγάλωι, εἴξωσι δ’ Ἀχαιοὶ,
οὐ κόσμωι παρὰ ναῦφιν ἐλευσόμεθ’ αὐτὰ κέλευθα·
πολλοὺς γὰρ Τρώων καταλείψομεν, οὕς κεν **Ἀχαιοὶ**
χαλκῶι δηιώσωσιν, ἀμυνόμενοι περὶ νηῶν.
ὧδέ χ’ ὑποκρίναιτο θεοπρόπος, ὃς σάφα θυμῶι Poly-
εἰδείη τεράων καί οἱ πειθοίατο λαοί.” damas
“Ἕκτορ, ἀμήχανός ἐσσι παραρρητοῖσι πιθέσθαι. 13.726
οὕνεκά τοι περὶ δῶκε θεὸς πολεμήϊα ἔργα,
τοὔνεκα καὶ βουλῆι ἐθέλεις **περιίδμεναι ἄλλων.**
ἀλλ’ οὔ_πως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι.
ἄλλωι μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα·
ἄλλωι δ’ ὀρχηστὺν, ἑτέρωι κίθαριν καὶ ἀοιδήν·
ἄλλωι δ’ ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεὺς
ἐσθλὸν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ’ ἄνθρωποι,
καί τε πολέας ἐσάωσε, μάλιστα δέ κ’_αὐτὸς ἀνέγνω.
αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
πάντηι γάρ σε περὶ στέφανος πολέμοιο δέδηεν·
Τρῶες δὲ μεγάθυμοι, ἐπεὶ κατὰ τεῖχος ἔβησαν,
οἱ μὲν ἀφεστᾶσιν σὺν τεύχεσιν, οἱ δὲ μάχονται
παυρότεροι πλεόνεσσι, κεδασθέντες κατὰ νῆας.
ἀλλ’ ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους·
ἔνθεν δ’ ἂν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βουλὴν,
ἤ κεν ἐν_ νήεσσι πολυκλήϊσι πέσωμεν,
αἴ κ’ ἐθέλησι θεὸς δόμεναι κράτος, ἤ κεν ἔπειτα
πὰρ νηῶν ἔλθοιμεν ἀπήμονες. ἦ γὰρ ἐγώ_γε
δείδω, μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοὶ
χρεῖος, ἐπεὶ παρὰ νηυσῖν ἀνὴρ ἆτος πολέμοιο Poly-
μίμνει, ὃν οὐκέτι πάγχυ μάχης σχήσεσθαι ὀΐω.” damas
“οὐ μὰν αὖτ’ οἴω μεγαθύμου Πανθοίδαο 14.454
χειρὸς ἄπο στιβαρῆς ἅλιον πηδῆσαι ἄκοντα,

Poly- ἀλλά τις Ἀργείων κόμισε χροΐ, καί μιν ὀΐω
damas αὐτῶι σκηπτόμενον κατίμεν δόμον Ἄϊδος εἴσω."
18.254 "ἀμφὶ μάλα φράζεσθε, φίλοι· κέλομαι γὰρ ἐγώ_γε
ἄστυδε νῦν ἰέναι, μὴ μίμνειν Ἠῶ δῖαν
ἐν πεδίωι παρὰ νηυσίν· ἑκὰς δ' ἀπὸ τείχεός εἰμεν.
ὄφρα μὲν οὗτος ἀνὴρ Ἀγαμέμνονι μήνιε δίωι,
τόφρα δὲ ῥηΐτεροι πολεμίζειν ἦσαν Ἀχαιοί·
χαίρεσκον γὰρ ἐγώ_γε θοῆις ἐπὶ νηυσὶν ἰαύων,
ἐλπόμενος νῆας αἱρησέμεν ἀμφιελίσσας.
νῦν δ' αἰνῶς δείδοικα ποδώκεα Πηλείωνα·
οἷος ἐκείνου θυμὸς ὑπέρβιος, οὐκ ἐθελήσει
μίμνειν ἐν πεδίωι, ὅθι περ Τρῶες καὶ Ἀχαιοὶ
ἐν μέσωι ἀμφότεροι μένος Ἄρηος δατέονται,
ἀλλὰ περὶ πτόλιός τε μαχήσεται ἠδὲ γυναικῶν.
ἀλλ' ἴομεν προτὶ ἄστυ, πιθέσθε μοι· ὧδε γὰρ ἔσται.
νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλείωνα
ἀμβροσίη· εἰ δ' ἄμμε κιχήσεται ἐνθάδ' ἐόντας
αὔριον ὁρμηθεὶς σὺν τεύχεσιν, εὖ νύ τις αὐτὸν
γνώσεται· ἀσπασίως γὰρ ἀφίξεται Ἴλιον ἱρὴν
ὅς κε φύγηι, πολλοὺς δὲ κύνες καὶ γῦπες ἔδονται
Τρώων· αἲ γὰρ δή μοι ἀπ' οὔατος ὧδε γένοιτο.
εἰ δ' ἂν ἐμοῖς ἐπέεσσι πιθώμεθα, κηδόμενοί περ,
νύκτα μὲν εἰν ἀγορῆι σθένος ἕξομεν, ἄστυ δὲ πύργοι
ὑψηλαί τε πύλαι σανίδες τ' ἐπὶ τῆις ἀραρυῖαι
μακραὶ ἐΰξεστοι ἐζευγμέναι εἰρύσσονται·
πρωῒ δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
στησόμεθ' ἂμ πύργους. τῶι δ' ἄλγιον, αἴ κ' ἐθέλησιν
ἐλθὼν ἐκ νηῶν περὶ τείχεος ἄμμι μάχεσθαι.
ἂψ πάλιν εἶσ' ἐπὶ νῆας, ἐπεί κ' ἐριαύχενας ἵππους
παντοίου δρόμου ἄσηι ὑπὸ πτόλιν ἠλασκάζων.
Poly- εἴσω δ' οὔ μιν θυμὸς ἐφορμηθῆναι ἐάσει,
damas οὐδέ ποτ' ἐκπέρσει· πρίν μιν κύνες ἀργοὶ ἔδονται."

Notes

Notes

INCLUDED:

3.226-227

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 213 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES

OF TROJAN KING

PRIAM

IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

3.162 “δεῦρο πάροιθ’ ἐλθοῦσα, φίλον τέκος, ἵζε’ ἐμεῖο,
ὄφρα ἴδηις πρότερόν τε πόσιν πηούς τε φίλους τε —
οὔ τί μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν,
οἵ μοι ἐφώρμησαν πόλεμον πολύδακρυν Ἀχαιῶν —
ὥς μοι καὶ τόνδ’ ἄνδρα πελώριον ἐξονομήνηις,
ὅς τις ὅδ’ ἐστὶν Ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε.
ἤτοι μὲν κεφαλῆι καὶ μείζονες ἄλλοι ἔασιν·
καλὸν δ’ οὕτω ἐγὼν οὔ πω ἴδον ὀφθαλμοῖσιν,
Priam οὐδ’ οὕτω γεραρόν· βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικεν.”
3.183 “ὦ μάκαρ Ἀτρεΐδη, μοιρηγενές, ὀλβιόδαιμον,
ἦ ῥά νύ τοι πολλοὶ δεδμήατο κοῦροι Ἀχαιῶν.
ἤδη καὶ Φρυγίην εἰσήλυθον ἀμπελόεσσαν,
ἔνθα ἴδον πλείστους Φρύγας ἀνέρας αἰολοπώλους,
λαοὺς Ὀτρῆος καὶ Μυγδόνος ἀντιθέοιο,
οἵ ῥα τότ’ ἐστρατόωντο παρ’ ὄχθας Σαγγαρίοιο·
καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐὼν μετὰ τοῖσιν ἐλέχθην
ἤματι τῶι ὅτε τ’ ἦλθον Ἀμαζόνες ἀντιάνειραι·
Priam ἀλλ’ οὐδ’ οἱ τόσοι ἦσαν ὅσοι ἑλίκωπες Ἀχαιοί.”
3.192 “εἴπ’ ἄγε μοι καὶ τόνδε, φίλον τέκος, ὅς τις ὅδ’ ἐστίν·
μείων μὲν κεφαλῆι Ἀγαμέμνονος Ἀτρεΐδαο,
εὐρύτερος δ’ ὤμοισιν ἰδὲ στέρνοισιν ἰδέσθαι.
τεύχεα μέν οἱ κεῖται ἐπὶ χθονὶ πουλυβοτείρηι,
αὐτὸς δὲ κτίλος ὣς ἐπιπωλεῖται στίχας ἀνδρῶν,
ἀρνειῶι μιν ἐγώ γε ἐΐσκω πηγεσιμάλλωι,
Priam ὅς τ’ οἰῶν μέγα πῶυ διέρχεται ἀργεννάων.”
3.226 “τίς ταρ ὅδ’ ἄλλος Ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε,
Priam ἔξοχος Ἀργείων κεφαλήν τε καὶ εὐρέας ὤμους;”
3.304 “κέκλυτέ μευ, Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοί·
ἤτοι ἐγὼν εἶμι προτὶ Ἴλιον ἠνεμόεσσαν
ἄψ, ἐπεὶ οὔ πω τλήσομ’ ἐν ὀφθαλμοῖσιν ὁρᾶσθαι
μαρνάμενον φίλον υἱὸν ἀρηϊφίλωι Μενελάωι·
Ζεὺς μέν που τό γε οἶδε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Priam ὁτιποτέρωι θανάτοιο τέλος πεπρωμένον ἐστίν.”
7.368 “κέκλυτέ μευ, Τρῶες καὶ Δάρδανοι ἠδ’ ἐπίκουροι,
ὄφρ’ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
νῦν μὲν δόρπον ἕλεσθε κατὰ πτόλιν, ὡς τὸ πάρος περ,
καὶ φυλακῆς μνήσασθε καὶ ἐγρήγορθε ἕκαστος·
ἠῶθεν δ’ Ἰδαῖος ἴτω κοίλας ἐπὶ νῆας
εἰπέμεν Ἀτρεΐδηις, Ἀγαμέμνονι καὶ Μενελάωι,
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρεν·
καὶ δὲ τόδ’ εἰπέμεναι πυκινὸν ἔπος, αἴ κ’ ἐθέλωσιν
παύσασθαι πολέμοιο δυσηχέος, εἰς ὅ κε νεκροὺς
κήομεν· ὕστερον αὖτε μαχησόμεθ’, εἰς ὅ κε δαίμων
Priam ἄμμε διακρίνηι, δώηι δ’ ἑτέροισί γε νίκην.”
21.531 “πεπταμένας ἐν χερσὶ πύλας ἔχετ’, εἰς ὅ κε λαοὶ
ἔλθωσι προτὶ ἄστυ πεφυζότες· ἦ γὰρ Ἀχιλλεὺς
ἐγγὺς ὅδε κλονέων· νῦν οἴω λοίγι’ ἔσεσθαι.
αὐτὰρ ἐπεί κ’ ἐς τεῖχος ἀναπνεύσωσιν ἀλέντες,
αὖτις ἐπ’ ἂψ θέμεναι σανίδας πυκινῶς ἀραρυίας·
Priam δείδια γάρ, μὴ οὗλος ἀνὴρ ἐς τεῖχος ἅληται.”

“Ἕκτορ, μή μοι μίμνε, φίλον τέκος, ἀνέρα τοῦτον 22.38
οἶος ἄνευθ’ ἄλλων, ἵνα μὴ τάχα πότμον ἐπίσπηις
Πηλεΐωνι δαμείς, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστιν,
σχέτλιος· αἴθε θεοῖσι φίλος τοσσόνδε γένοιτο
ὅσσον ἐμοί· τάχα κέν ἑ κύνες καὶ γῦπες ἔδοιεν
κείμενον· ἦ κέ μοι αἰνὸν ἀπὸ πραπίδων ἄχος ἔλθοι·
ὅς μ’ υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὖνιν ἔθηκεν,
κτείνων καὶ περνὰς νήσων ἔπι τηλεδαπάων.
καὶ γὰρ νῦν δύο παῖδε, Λυκάονα καὶ Πολύδωρον,
οὐ δύναμαι ἰδέειν Τρώων εἰς ἄστυ ἀλέντων,
τούς μοι Λαοθόη τέκετο, κρείουσα γυναικῶν.
ἀλλ’ εἰ μὲν ζώουσι μετὰ στρατῶι, ἦ τ’ ἂν ἔπειτα
χαλκοῦ τε χρυσοῦ τ’ ἀπολυσόμεθ’· ἔστι γὰρ ἔνδον·
πολλὰ γὰρ ὤπασε παιδὶ γέρων ὀνομάκλυτος Ἄλτης.
εἰ δ’ ἤδη τεθνᾶσι καὶ εἰν Ἀΐδαο δόμοισιν,
ἄλγος ἐμῶι θυμῶι καὶ μητέρι, τοὶ τεκόμεσθα·
λαοῖσιν δ’ ἄλλοισι μινυνθαδιώτερον ἄλγος
ἔσσεται, ἢν μὴ καὶ σὺ θάνηις Ἀχιλῆϊ δαμασθείς.
ἀλλ’ εἰσέρχεο τεῖχος, ἐμὸν τέκος, ὄφρα σαώσηις
Τρῶας καὶ Τρωιάς, μηδὲ μέγα κῦδος ὀρέξηις
Πηλεΐδηι, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῆις.
πρὸς δ’ ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ’ ἐλέησον,
δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῶι
αἴσηι ἐν ἀργαλέηι φθείσει, κακὰ πόλλ’ ἐπιδόντα,
υἷάς τ’ ὀλλυμένους ἑλκηθείσας τε θύγατρας,
καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
βαλλόμενα προτὶ γαίηι ἐν αἰνῆι δηϊοτῆτι,
ἑλκομένας τε νυοὺς ὀλοῆις ὑπὸ χερσὶν Ἀχαιῶν.
αὐτὸν δ’ ἂν πύματόν με κύνες πρώτηισι θύρηισιν
ὠμησταὶ ἐρύουσιν, ἐπεί κέ τις ὀξέϊ χαλκῶι
τύψας ἠὲ βαλὼν ῥεθέων ἐκ θυμὸν ἕληται,
οὓς τρέφον ἐν μεγάροισι τραπεζῆας θυραωρούς,
οἵ κ’ ἐμὸν αἷμα πιόντες, ἀλύσσοντες περὶ θυμῶι,
κείσοντ’ ἐν προθύροισι. νέωι δέ τε πάντ’ ἐπέοικεν,
ἄρηϊ κταμένωι, δεδαϊγμένωι ὀξέϊ χαλκῶι,
κεῖσθαι· πάντα δὲ καλὰ θανόντι περ, ὅττι φανήηι·
ἀλλ’ ὅτε δὴ πολιόν τε κάρη πολιόν τε γένειον,
αἰδῶ τ’ αἰσχύνωσι κύνες κταμένοιο γέροντος,
τοῦτο δὴ οἴκτιστον πέλεται δειλοῖσι βροτοῖσιν.” Priam
“σχέσθε, φίλοι, καί μ’ οἶον ἐάσατε, κηδόμενοί περ, 22.416
ἐξελθόντα πόληος ἱκέσθ’ ἐπὶ νῆας Ἀχαιῶν,
λίσσωμ’ ἀνέρα τοῦτον ἀτάσθαλον ὀβριμοεργόν,
ἤν πως ἡλικίην αἰδέσσεται ἠδ’ ἐλεήσηι
γῆρας. καὶ δέ νυ τῶι γε πατὴρ τοιόσδε τέτυκται,
Πηλεύς, ὅς μιν ἔτικτε καὶ ἔτρεφε πῆμα γενέσθαι
Τρωσί· μάλιστα δ’ ἐμοὶ περὶ πάντων ἄλγε’ ἔθηκεν.
τόσσους γάρ μοι παῖδας ἀπέκτανε τηλεθάοντας·
τῶν πάντων οὐ τόσσον ὀδύρομαι ἀχνύμενός περ,
ὡς ἑνός, οὗ μ’ ἄχος ὀξὺ κατοίσεται Ἄϊδος εἴσω,
Ἕκτορος· ὡς ὄφελεν θανέειν ἐν χερσὶν ἐμῆισιν·

τῶι κε κορεσσάμεθα κλαίοντέ τε μυρομένω τε,
Priam μήτηρ θ', ἥ μιν ἔτικτε δυσάμμορος, ἠδ' ἐγὼ αὐτός."
24.194 "δαιμονίη, Διόθεν μοι Ὀλύμπιος ἄγγελος ἦλθεν,
λύσασθαι φίλον υἱὸν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνηι.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ, τί τοι φρεσὶν εἴδεται εἶναι;
αἰνῶς γάρ μ' αὐτόν γε μένος καὶ θυμὸς ἄνωγεν
Priam κεῖσ' ἰέναι ἐπὶ νῆας ἔσω στρατὸν εὐρὺν Ἀχαιῶν."
24.218 "μή μ' ἐθέλοντ' ἰέναι κατερύκανε, μηδέ μοι αὐτὴ
ὄρνις ἐν μεγάροισι κακὸς πέλευ· οὐδέ με πείσεις.
εἰ μὲν γάρ τίς μ' ἄλλος ἐπιχθονίων ἐκέλευεν.
ἢ οἳ μάντιές εἰσι, θυοσκόοι ἢ ἱερῆες,
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·
νῦν δ' — αὐτὸς γὰρ ἄκουσα θεοῦ καὶ ἐσέδρακον ἄντην —
εἶμι, καὶ οὐχ ἅλιον ἔπος ἔσσεται. εἰ δέ μοι αἶσα
τεθνάμεναι παρὰ νηυσὶν Ἀχαιῶν χαλκοχιτώνων,
βούλομαι· αὐτίκα γάρ με κατακτείνειεν Ἀχιλλεὺς
Priam ἀγκὰς ἑλόντ' ἐμὸν υἱόν, ἐπὴν γόου ἐξ ἔρον εἵην."
24.239 "ἔρρετε, λωβητῆρες, ἐλεγχέες· οὔ νυ καὶ ὑμῖν
οἴκοι ἔνεστι γόος, ὅτι μ' ἤλθετε κηδήσοντες;
ἦ ὀνόσασθ' ὅτι μοι Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν,
παῖδ' ὀλέσαι τὸν ἄριστον; — ἀτὰρ γνώσεσθε καὶ ὔμμες·
ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσιν δὴ ἔσεσθε
κείνου τεθνηῶτος ἐναιρέμεν. αὐτὰρ ἐγώ γε,
πρὶν ἀλαπαζομένην τε πόλιν κεραϊζομένην τε
Priam ὀφθαλμοῖσιν ἰδεῖν, βαίην δόμον Ἄϊδος εἴσω."
24.253 "σπεύσατέ μοι, κακὰ τέκνα, κατηφόνες. αἴθ' ἅμα πάντες
Ἕκτορος ὠφέλετ' ἀντὶ θοῇς ἐπὶ νηυσὶ πεφάσθαι·
ὤ μοι ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίηι ἐν εὐρείηι, τῶν δ' οὔ τινά φημι λελεῖφθαι,
Μήστορά τ' ἀντίθεον καὶ Τρωΐλον ἱππιοχάρμην
Ἕκτορά θ', ὃς θεὸς ἔσκε μετ' ἀνδράσιν, οὐδὲ ἐώικει
ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι, ἀλλὰ θεοῖο·
τοὺς μὲν ἀπώλεσ' Ἄρης, τὰ δ' ἐλέγχεα πάντα λέλειπται,
ψεῦσταί τ' ὀρχησταί τε, χοροιτυπίηισιν ἄριστοι,
ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.
οὐκ ἂν δή μοι ἄμαξαν ἐφοπλίσσαιτε τάχιστα,
Priam ταῦτά τε πάντ' ἐπιθεῖτε, ἵνα πρήσσωμεν ὁδοῖο;"
24.300 "ὦ γύναι, οὐ μέν τοι τόδ' ἐφιεμένηι ἀπιθήσω·
Priam ἐσθλὸν γὰρ Διὶ χεῖρας ἀνασχέμεν, αἴ κ' ἐλεήσηι."
24.308 "Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε,
δός μ' ἐς Ἀχιλλῆος φίλον ἐλθεῖν ἠδ' ἐλεεινὸν,
πέμψον δ' οἰωνὸν, ταχὺν ἄγγελον, ὅς τέ τοι αὐτῶι
φίλτατος οἰωνῶν, καί εὑ κράτος ἐστὶ μέγιστον,
δεξιὸν, ὄφρα μιν αὐτὸς ἐν ὀφθαλμοῖσι νοήσας
Priam τῶι πίσυνος ἐπὶ νῆας ἴω Δαναῶν ταχυπώλων."
24.373 "οὕτω πηι τάδε γ' ἐστὶ, φίλον τέκος, ὡς ἀγορεύεις.
ἀλλ' ἔτι τις καὶ ἐμεῖο θεῶν ὑπερέσχεθε χεῖρα,
ὅς μοι τοιόνδ' ἧκεν ὁδοιπόρον ἀντιβολῆσαι,
αἴσιον, οἷος δὴ σὺ δέμας καὶ εἶδος ἀγητὸς,

πέπνυσαί τε νόωι, μακάρων δ' ἔξ ἐσσι τοκήων." Priam
"τίς δὲ σύ ἐσσι, φέριστε, τέων δ' ἔξ ἐσσι τοκήων; 24.387
ὥς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἔνισπες." Priam
"εἰ μὲν δὴ θεράπων Πηληϊάδεω Ἀχιλῆος 24.406
εἶς, ἄγε δή μοι πᾶσαν ἀληθείην κατάλεξον,
ἢ ἔτι πὰρ νήεσσιν ἐμὸς πάϊς, ἦέ μιν ἤδη
ἧισι κυσὶν μελεϊστὶ ταμὼν προὔθηκεν Ἀχιλλεύς." Priam
"ὦ τέκος, ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι 24.425
ἀθανάτοις, ἐπεὶ οὔ ποτ' ἐμὸς παῖς, εἴ ποτ' ἔην γε,
λήθετ' ἐνὶ μεγάροισι θεῶν, οἳ Ὄλυμπον ἔχουσιν·
τῶν οἱ ἀπεμνήσαντο καὶ ἐν θανάτοιό περ αἴσηι.
ἀλλ' ἄγε δὴ τόδε δέξαι ἐμεῦ πάρα καλὸν ἄλεισον,
αὐτόν τε ῥῦσαι, πέμψον δέ με σύν γε θεοῖσιν,
ὄφρα κεν ἐς κλισίην Πηληϊάδεω ἀφίκωμαι." Priam
"μνῆσαι πατρὸς σοῖο, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ, 24.486
τηλίκου ὥς περ ἐγὼν, ὀλοῶι ἐπὶ γήραος οὐδῶι.
καὶ μέν που κεῖνον περιναιέται ἀμφὶς ἐόντες
τείρουσ', οὐδέ τίς ἐστιν ἀρὴν καὶ λοιγὸν ἀμῦναι.
ἀλλ' ἤτοι κεῖνός γε σέθεν ζώοντος ἀκούων
χαίρει τ' ἐν θυμῶι, ἐπὶ τ' ἔλπεται ἤματα πάντα
ὄψεσθαι φίλον υἱὸν ἀπὸ Τροίηθεν μολόντα·
αὐτὰρ ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίηι ἐν εὐρείηι, τῶν δ' οὔ τινά φημι λελεῖφθαι.
πεντήκοντά μοι ἦσαν, ὅτ' ἤλυθον υἷες Ἀχαιῶν·
ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν,
τοὺς δ' ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες.
τῶν μὲν πολλῶν θοῦρος Ἄρης ὑπὸ γούνατ' ἔλυσεν·
ὃς δέ μοι οἶος ἔην, εἴρυτο δὲ ἄστυ καὶ αὐτοὺς,
τὸν σὺ πρώιην κτεῖνας ἀμυνόμενον περὶ πάτρης, 24.500
Ἕκτορα. τοῦ νῦν εἵνεχ' ἱκάνω νῆας Ἀχαιῶν,
λυσόμενος παρὰ σεῖο, φέρω δ' ἀπερείσι' ἄποινα.
ἀλλ' αἰδεῖο θεοὺς, Ἀχιλεῦ, αὐτόν τ' ἐλέησον,
μνησάμενος σοῦ πατρός· ἐγὼ δ' ἐλεεινότερός περ, ◆
ἔτλην δ' οἷ' οὔ πώ τις ἐπιχθόνιος βροτὸς ἄλλος,
ἀνδρὸς παιδοφόνοιο ποτὶ στόμα χεῖρ' ὀρέγεσθαι." Priam
"μή πώ μ' ἐς θρόνον ἵζε, διοτρεφὲς, ὄφρα κεν Ἕκτωρ 24.553
κεῖται ἐνὶ κλισίηισιν ἀκηδὴς, ἀλλὰ τάχιστα
λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω· σὺ δὲ δέξαι ἄποινα
πολλὰ, τά τοι φέρομεν. σὺ δὲ τῶνδ' ἀπόναιο, καὶ ἔλθοις
σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔασας
αὐτόν τε ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο." Priam
"λέξον νῦν με τάχιστα, διοτρεφὲς, ὄφρα καὶ ἤδη 24.635
ὕπνωι ὕπο γλυκερῶι ταρπώμεθα κοιμηθέντες·
οὐ γάρ πω μύσαν ὄσσε ὑπὸ βλεφάροισιν ἐμοῖσιν,
ἐξ οὗ σῆις ὑπὸ χερσὶν ἐμὸς πάϊς ὤλεσε θυμὸν,
ἀλλ' αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω,
αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον.
νῦν δὴ καὶ σίτου πασάμην καὶ αἴθοπα οἶνον
λαυκανίης καθέηκα· πάρος γε μὲν οὔ τι πεπάσμην." Priam
"εἰ μὲν δή μ' ἐθέλεις τελέσαι τάφον Ἕκτορι δίωι, 24.660

ὧδέ κε μοι ῥέζων, Ἀχιλεῦ, κεχαρισμένα θείης.
οἶσθα γάρ ὡς κατὰ ἄστυ ἐέλμεθα, τηλόθι δ᾽ ὕλη
ἀξέμεν ἐξ ὄρεος· μάλα δὲ Τρῶες δεδίασιν·
ἐννῆμαρ μὲν κ᾽ αὐτὸν ἐνὶ μεγάροις γοάοιμεν,
τῆι δεκάτηι δέ κε θάπτοιμεν δαινῦ̱τό τε λαὸς,
ἑνδεκάτηι δέ κε τύμβον ἐπ᾽ αὐτῶι ποιήσαιμεν,
Priam τῆι δὲ δυωδεκάτηι πτολεμίξομεν, εἴ_περ ἀνάγκη."
24.716 "εἴξατέ μοι οὐρεῦσι διελθέμεν· αὐτὰρ ἔπειτα
Priam ἄσεσθε κλαυθμοῖο, ἐπὴν ἀγάγωμι δόμονδε."
24.778 "ἄξετε νῦν, Τρῶες, ξύλα ἄστυδε, μηδὲ τι θυμῶι
δείσητ᾽ Ἀργείων πυκινὸν λόχον· ἦ γὰρ Ἀχιλλεὺς
πέμπων μ᾽ ὧδ᾽ ἐπέτελλε μελαινάων ἀπὸ νηῶν,
Priam μὴ πρὶν πημανέειν, πρὶν δωδεκάτη μόληι ἠώς."

Trojan warrior Sokos is the son of Hippassus. Odysseus kills him.

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 4 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF TROJAN WARRIOR
SOKOS
IN **THE ILIAD**

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

"ὦ Ὀδυσεῦ πολύαινε, δόλων ἆτ' ἠδὲ πόνοιο,
σήμερον ἢ δοιοῖσιν ἐπεύξεαι Ἱππασίδῃσιν,
τοιώδ' ἄνδρε κατακτείνας καὶ τεύχε' ἀπούρας,
Sokos ἤ κεν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃς."

"ὦ Ὀδυσεῦ πολύαινε, δόλων ἆτ' ἠδὲ πόνοιο,
Sokos σήμερον ἢ δοιοῖσιν ἐπεύξεαι Ἱππασίδῃσιν,
τοιώδ' ἄνδρε κατακτείνας καὶ τεύχε' ἀπούρας,
ἤ κεν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃς."

Adrestos is the hard-to-kill son of Merops and brother of Amphion.

ILIAD ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 5 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES

OF

ADRESTOS

IN **THE ILIAD**

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

6.46 “ζώγρει, Ἀτρέος υἱὲ, σὺ δ’ ἄξια δέξαι ἄποινα.
πολλὰ δ’ ἐν ἀφνειοῦ πατρὸς κειμήλια κεῖται,
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος,
τῶν κέν τοι χαρίσαιτο πατὴρ ἀπερείσι’ ἄποινα,
Adrestos εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ’ ἐπὶ νηυσὶν Ἀχαιῶν.”

6.46 “ζώγρει, Ἀτρέος υἱὲ, σὺ δ’ ἄξια δέξαι ἄποινα.
πολλὰ δ’ ἐν ἀφνειοῦ πατρὸς κειμήλια κεῖται,
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος,
τῶν κέν τοι χαρίσαιτο πατὴρ ἀπερείσι’ ἄποινα,
εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ’ ἐπὶ νηυσὶν Ἀχαιῶν.” Adrestos

FIRST (POSSIBLE) DEATH OF ADRESTOS

6.51 ὣς φάτο, τῶι δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν.
καὶ δή μιν τάχ' ἔμελλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
δώσειν ὧι θεράποντι καταξέμεν· ἀλλ' Ἀγαμέμνων
ἀντίος ἦλθε θέων, καὶ ὁμοκλήσας ἔπος ηὔδα·
"ὦ πέπον, ὦ Μενέλαε, τίη δὲ σὺ κήδεαι οὕτως
ἀνδρῶν; ἦ σοὶ ἄριστα πεποίηται κατὰ οἶκον
πρὸς Τρώων· τῶν μή τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον
χεῖράς θ' ἡμετέρας, μηδ' ὅν τινα γαστέρι μήτηρ
κοῦρον ἐόντα φέροι, μηδ' ὃς φύγοι, ἀλλ' ἅμα πάντες
Ἰλίου ἐξαπολοίατ' ἀκήδεστοι καὶ ἄφαντοι."
ὣς εἰπὼν ἔτρεψεν ἀδελφειοῦ φρένας ἥρως,
αἴσιμα παρειπών. ὁ δ' ἀπὸ ἕθεν ὤσατο χειρὶ
ἥρω' Ἄδρηστον· τὸν δὲ κρείων Ἀγαμέμνων
οὖτα κατὰ λαπάρην· ὁ δ' ἀνετράπετ', Ἀτρείδης δὲ
λὰξ ἐν στήθεσι βὰς ἐξέσπασε μείλινον ἔγχος.
Νέστωρ δ' Ἀργείοισιν ἐκέκλετο μακρὸν ἀΰσας·
"ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
μή τις νῦν ἐνάρων ἐπιβαλλόμενος μετόπισθεν
μιμνέτω, ὥς κεν πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται,
ἀλλ' ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ ἕκηλοι
νεκροὺς ἂμ πεδίον συλήσετε τεθνηῶτας."

SECOND (OR FIRST) DEATH OF ADRESTOS

11.328 ἔνθ' ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμου ἀρίστω,
υἷε δύω Μέροπος Περκωσίου, ὃς περὶ πάντων
ἤιδεε μαντοσύνας, οὐδὲ οὓς παῖδας ἔασκεν
στείχειν ἐς πόλεμον φθεισήνορα· τὼ δέ οἱ οὔ τι
πειθέσθην· κῆρες γὰρ ἄγον μέλανος θανάτοιο.
τοὺς μὲν Τυδείδης δουρικλειτὸς Διομήδης
θυμοῦ καὶ ψυχῆς κεκαδὼν κλυτὰ τεύχε' ἀπηύρα·

THIRD (OR SECOND) DEATH OF ADRESTOS

16.692 ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξας,
Πατρόκλεις, ὅτε δή σε θεοὶ θάνατόνδε κάλεσσαν;
Ἄδρηστον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ἔχεκλον
καὶ Πέριμον Μεγάδην καὶ Ἐπίστορα καὶ Μελάνιππον,
αὐτὰρ ἔπειτ' Ἔλασον καὶ Μούλιον ἠδὲ Πυλάρτην·

TWO OR THREE

DEATHS

OF

ADRESTOS

IN THE ILIAD

EPIC POEM

.ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

THE SPECIAL ARMOR OF ADRESTOS

οἳ δ' Ἀδρήστειάν τ' εἶχον καὶ δῆμον Ἀπαισοῦ, 2.828
καὶ Πιτύειαν ἔχον καὶ Τηρείης ὄρος αἰπύ,
τῶν ἦρχ' Ἄδρηστός τε καὶ Ἄμφιος λινοθώρηξ,
υἷε δύω Μέροπος Περκωσίου, ὃς περὶ πάντων
ἤιδεε μαντοσύνας, οὐδὲ οὓς παῖδας ἔασκεν
στείχειν ἐς πόλεμον φθεισήνορα· τὼ δέ οἱ οὔ τι
πειθέσθην· κῆρες γὰρ ἄγον μέλανος θανάτοιο.

ἀλλὰ πολὺ μείων· ὀλίγος μὲν ἔην, λινοθώρηξ, 2.529
ἐγχείηι δ' ἐκέκαστο Πανέλληνας καὶ Ἀχαιούς·

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 8 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES

OF TROJAN ALLY

ASTEROPAEOS

IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

21.153 "Πηλείδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις;
εἴμ' ἐκ Παιονίης ἐριβώλου, τηλόθ' ἐούσης,
Astero- Παίονας ἄνδρας ἄγων δολιχεγχέας· ἥδε δέ μοι νῦν
paeos ἠὼς ἑνδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα.
αὐτὰρ ἐμοὶ γενεὴ ἐξ Ἀξιοῦ εὐρὺ ῥέοντος,
Ἀξιοῦ, ὃς κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησιν,
ὃς τέκε Πηλεγόνα κλυτὸν ἔγχεϊ· τὸν δ' ἐμέ φασιν
γείνασθαι· νῦν αὖτε μαχώμεθα, φαίδιμ' Ἀχιλλεῦ."

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 51 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF TROJAN ALLY AND SPY DOLON IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

10.319 "Ἕκτορ, ἔμ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ
νηῶν ὠκυπόρων σχεδὸν ἐλθέμεν ἔκ τε πυθέσθαι.
ἀλλ' ἄγε μοι τὸ σκῆπτρον ἀνάσχεο, καί μοι ὄμοσσον,
ἦ μὲν τοὺς ἵππους τε καὶ ἅρματα ποικίλα χαλκῶι
δωσέμεν, οἳ φορέουσιν ἀμύμονα Πηλείωνα.
σοὶ δ' ἐγὼ οὐχ ἅλιος σκοπὸς ἔσσομαι οὐδ' ἀπὸ δόξης.
τόφρα γὰρ ἐς στρατὸν εἶμι διαμπερὲς, ὄφρ' ἂν ἵκωμαι
νῆ' Ἀγαμεμνονέην, ὅθι που μέλλουσιν ἄριστοι
Dolon βουλὰς βουλεύειν, ἢ φευγέμεν, ἠὲ μάχεσθαι."
10.378 "ζωγρεῖτ', αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι· ἔστι γὰρ ἔνδον
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος,
τῶν κ' ὔμμιν χαρίσαιτο πατὴρ ἀπερείσι' ἄποινα,
εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ' ἐπὶ νηυσὶν Ἀχαιῶν."
10.391 "πολλῆισίν μ' ἄτηισι παρὲκ νόον ἤγαγεν Ἕκτωρ,
ὅς μοι Πηλείωνος ἀγαυοῦ μώνυχας ἵππους
δωσέμεναι κατένευσε καὶ ἅρματα ποικίλα χαλκῶι·
ἠνώγει δέ μ' ἰόντα θοὴν διὰ νύκτα μέλαιναν
ἀνδρῶν δυσμενέων σχεδὸν ἐλθέμεν, ἔκ τε πυθέσθαι,
ἠὲ φυλάσσονται νῆες θοαὶ ὡς τὸ πάρος περ,
ἦ ἤδη χείρεσσιν ὕφ' ἡμετέρηισι δαμέντες
φύξιν βούλεύοιτε μετὰ σφίσιν, οὐδ' ἐθέλοιτε
Dolon νύκτα φυλασσέμεναι καμάτωι ἀδηκότες αἰνῶι."
10.413 "τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως καταλέξω.
Ἕκτωρ μὲν μετὰ τοῖσιν, ὅσοι βουληφόροι εἰσὶν,
βουλὰς βουλεύει θείου παρὰ σήματι Ἴλου,
νόσφιν ἀπὸ φλοίσβου· φυλακὰς δ' ἃς εἴρεαι, ἥρως,
οὔ τις κεκριμένη ῥύεται στρατὸν οὐδὲ φυλάσσει.
ὅσσαι μὲν Τρώων πυρὸς ἐσχάραι, οἷσιν ἀνάγκη,
οἱ δ' ἐγρηγόρθασι φυλασσέμεναί τε κέλονται
ἀλλήλοις· ἀτὰρ αὖτε πολύκλητοι ἐπίκουροι
εὕδουσι· Τρωσὶν γὰρ ἐπιτραπέουσι φυλάσσειν·
Dolon οὐ γάρ σφιν παῖδες σχεδὸν εἵαται οὐδὲ γυναῖκες."
10.427 "τοιγὰρ ἐγὼ καὶ ταῦτα μάλ' ἀτρεκέως καταλέξω.
πρὸς μὲν ἁλὸς Κᾶρες καὶ Παίονες ἀγκυλότοξοι
✦ καὶ Λέλεγες καὶ Καύκωνες δῖοι τε Πελασγοί·
πρὸς Θύμβρης δ' ἔλαχον Λύκιοι Μυσοί τ' ἀγέρωχοι
καὶ Φρύγες ἱππόδαμοι καὶ Μηιόνες ἱπποκορυσταί.
ἀλλὰ τίη ἐμὲ ταῦτα διεξερέεσθε ἕκαστα;
εἰ γὰρ δὴ μέματον Τρώων καταδῦναι ὅμιλον,
Θρήϊκες οἵδ' ἀπάνευθε νεήλυδες, ἔσχατοι ἄλλων·
ἐν δέ σφι Ῥῆσος βασιλεὺς, πάϊς Ἠϊονῆος.
τοῦ δὴ καλλίστους ἵππους ἴδον ἠδὲ μεγίστους·
λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι.
ἅρμα δέ οἱ χρυσῶι τε καὶ ἀργύρωι εὖ ἤσκηται·
τεύχεα δὲ χρύσεια πελώρια, θαῦμα ἰδέσθαι,
ἤλυθ' ἔχων· τὰ μὲν οὔ τι καταθνητοῖσιν ἔοικεν
ἄνδρεσσιν φορέειν, ἀλλ' ἀθανάτοισι θεοῖσιν.
ἀλλ' ἐμὲ μὲν νῦν νηυσὶ πελάσσετον ὠκυπόροισιν,
ἠέ με δήσαντες λίπετ' αὐτόθι νηλέϊ δεσμῶι,
ὄφρα κεν ἔλθητον καὶ πειρηθῆτον ἐμεῖο,
ἠὲ κατ' αἶσαν ἔειπον ἐν ὑμῖν, ἠὲ καὶ οὐκί." Dolon

10.319 "Ἕκτορ, ἔμ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ
νηῶν ὠκυπόρων σχεδὸν ἐλθέμεν ἔκ τε πυθέσθαι.
ἀλλ' ἄγε μοι τὸ σκῆπτρον ἀνάσχεο, καί μοι ὄμοσσον,
ἦ μὲν τοὺς ἵππους τε καὶ ἅρματα ποικίλα χαλκῶι
δωσέμεν, οἳ φορέουσιν ἀμύμονα Πηλεΐωνα.
σοὶ δ' ἐγὼ οὐχ ἅλιος σκοπὸς ἔσσομαι οὐδ' ἀπὸ δόξης.
τόφρα γὰρ ἐς στρατὸν εἶμι διαμπερὲς, ὄφρ' ἂν ἵκωμαι
νῆ' Ἀγαμεμνονέην, ὅθι που μέλλουσιν ἄριστοι
Dolon βουλὰς βουλεύειν, ἢ φευγέμεν, ἠὲ μάχεσθαι."
10.378 "ζωγρεῖτ', αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι· ἔστι γὰρ ἔνδον
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος,
τῶν κ' ὔμμιν χαρίσαιτο πατὴρ ἀπερείσι' ἄποινα,
εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ' ἐπὶ νηυσὶν Ἀχαιῶν."

"πολλῇσίν μ' ἄτῃσι παρὲκ νόον ἤγαγεν Ἕκτωρ, 10.391
ὅς μοι Πηλεΐωνος ἀγαυοῦ μώνυχας ἵππους
δωσέμεναι κατένευσε καὶ ἅρματα ποικίλα χαλκῶι·
ἠνώγει δέ μ' ἰόντα θοὴν διὰ νύκτα μέλαιναν
ἀνδρῶν δυσμενέων σχεδὸν ἐλθέμεν, ἔκ τε πυθέσθαι,
ἠὲ φυλάσσονται νῆες θοαὶ ὡς τὸ πάρος περ,
ἦ ἤδη χείρεσσιν ὑφ' ἡμετέρῃσι δαμέντες
φύξιν βουλεύοιτε μετὰ σφίσιν, οὐδ' ἐθέλοιτε
νύκτα φυλασσέμεναι καμάτωι ἀδηκότες αἰνῶι." Dolon
"τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως καταλέξω. 10.413
Ἕκτωρ μὲν μετὰ τοῖσιν, ὅσοι βουληφόροι εἰσὶν,
βουλὰς βουλεύει θείου παρὰ σήματι Ἴλου,
νόσφιν ἀπὸ φλοίσβου· φυλακὰς δ' ἃς εἴρεαι, ἥρως,
οὔ τις κεκριμένη ῥύεται στρατὸν οὐδὲ φυλάσσει.
ὅσσαι μὲν Τρώων πυρὸς ἐσχάραι, οἷσιν ἀνάγκη,
οἱ δ' ἐγρηγόρθασι φυλασσέμεναί τε κέλονται
ἀλλήλοις· ἀτὰρ αὖτε πολύκλητοι ἐπίκουροι
εὕδουσι· Τρωσὶν γὰρ ἐπιτραπέουσι φυλάσσειν·
οὐ γάρ σφιν παῖδες σχεδὸν εἴαται οὐδὲ γυναῖκες." Dolon

10.427 “τοιγὰρ ἐγὼ καὶ ταῦτα μάλ’ ἀτρεκέως καταλέξω.
πρὸς μὲν ἁλὸς Κᾶρες καὶ Παίονες ἀγκυλότοξοι
◆ καὶ Λέλεγες καὶ Καύκωνες δῖοι τε Πελασγοί·
πρὸς Θύμβρης δ’ ἔλαχον Λύκιοι Μυσοί τ’ ἀγέρωχοι
καὶ Φρύγες ἱππόδαμοι καὶ Μηιόνες ἱπποκορυσταί.
ἀλλὰ τίη ἐμὲ ταῦτα διεξερέεσθε ἕκαστα;
εἰ γὰρ δὴ μέματον Τρώων καταδῦναι ὅμιλον,
Θρήϊκες οἵδ’ ἀπάνευθε νεήλυδες, ἔσχατοι ἄλλων·
ἐν δέ σφι Ῥῆσος βασιλεὺς, πάϊς Ἠϊονῆος.
τοῦ δὴ καλλίστους ἵππους ἴδον ἠδὲ μεγίστους·
λευκότεροι χιόνος, θείειν δ’ ἀνέμοισιν ὁμοῖοι.
ἅρμα δέ οἱ χρυσῶι τε καὶ ἀργύρωι εὖ ἤσκηται·
τεύχεα δὲ χρύσεια πελώρια, θαῦμα ἰδέσθαι,
ἤλυθ’ ἔχων· τὰ μὲν οὔ τι καταθνητοῖσιν ἔοικεν
ἄνδρεσσιν φορέειν, ἀλλ’ ἀθανάτοισι θεοῖσιν.
ἀλλ’ ἐμὲ μὲν νῦν νηυσὶ πελάσσετον ὠκυπόροισιν,
ἠέ με δήσαντες λίπετ’ αὐτόθι νηλέϊ δεσμῶι,
ὄφρα κεν ἔλθητον καὶ πειρηθῆτον ἐμεῖο,
Dolon ἠὲ κατ’ αἶσαν ἔειπον ἐν ὑμῖν, ἠὲ καὶ οὐκί.”

Notes

Notes

Trojan ally warrior Glaukos, son of Hippolochos was cousin to Sarpedon and a grandson of Bellerophon. He was Lycian.

Note on **6.146-149**: just as in each spring tree leaves do not grow back in the same location as the fallen leaves they replace, generations of scribes and later constructors who did not care about layout did not copy lines to the same position on the page.

ILIAD ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 117 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF GLAUKOS IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

6.145 “Τυδεΐδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις;
οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν.
φύλλα τὰ μέν τ’ ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ’ ὕλη
τηλεθόωσα φύει, ἔαρος δ’ ἐπιγίνεται ὥρηι·
ὣς ἀνδρῶν γενεὴ ἡ μὲν φύει, ἡ δ’ ἀπολήγει.
εἰ δ’ ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ’ εὖ εἰδῆις
ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασιν.
ἔστι πόλις Ἐφύρη μυχῶι Ἄργεος ἱπποβότοιο,
ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ’ ἀνδρῶν,
Σίσυφος Αἰολίδης· ὁ δ’ ἄρα Γλαῦκον τέκεθ’ υἱόν,
αὐτὰρ Γλαῦκος ἔτικτεν ἀμύμονα Βελλεροφόντην·
τῶι δὲ θεοὶ κάλλος τε καὶ ἠνορέην ἐρατεινὴν
ὤπασαν· αὐτάρ οἱ Προῖτος κακὰ μήσατο θυμῶι,
ὅς ῥ’ ἐκ δήμου ἔλασσεν, ἐπεὶ πολὺ φέρτερος ἦεν,
Ἀργείων· Ζεὺς γάρ οἱ ὑπὸ σκήπτρωι ἐδάμασσεν.
τῶι δὲ γυνὴ Προίτου ἐπεμήνατο, δῖ’ Ἄντεια,
κρυπταδίηι φιλότητι μιγήμεναι· ἀλλὰ τὸν οὔ τι
πεῖθ’ ἀγαθὰ φρονέοντα δαΐφρονα Βελλεροφόντην.
ἡ δὲ ψευσαμένη Προῖτον βασιλῆα προσηύδα
‘τεθναίης, ὦ Προῖτ’, ἢ κάκτανε Βελλεροφόντην,
ὅς μ’ ἔθελεν φιλότητι μιγήμεναι, οὐκ ἐθελούσηι.’
ὣς φάτο, τὸν δὲ ἄνακτα χόλος λάβεν, οἷον ἄκουσεν·
κτεῖναι μέν ῥ’ ἀλέεινε, σεβάσσατο γὰρ τό γε θυμῶι,
πέμπε δέ μιν Λυκίηνδε, πόρεν δ’ ὅ γε σήματα λυγρά,
γράψας ἐν πίνακι πτυκτῶι θυμοφθόρα πολλά,
δεῖξαι δ’ ἠνώγειν ὧι πενθερῶι, ὄφρ’ ἀπόλοιτο.
αὐτὰρ ὁ βῆ Λυκίηνδε θεῶν ὑπ’ ἀμύμονι πομπῆι.
ἀλλ’ ὅτε δὴ Λυκίην ἷξε Ξάνθον τε ῥέοντα,
προφρονέως μιν τῖεν ἄναξ Λυκίης εὐρείης.
ἐννῆμαρ ξείνισσε καὶ ἐννέα βοῦς ἱέρευσεν.
ἀλλ’ ὅτε δὴ δεκάτη ἐφάνη ῥοδοδάκτυλος Ἠώς,
καὶ τότε μιν ἐρέεινε καὶ ἤιτεε σῆμα ἰδέσθαι,
ὅττί ῥά οἱ γαμβροῖο πάρα Προίτοιο φέροιτο.
αὐτὰρ ἐπεὶ δὴ σῆμα κακὸν παρεδέξατο γαμβροῦ,
πρῶτον μέν ῥα Χίμαιραν ἀμαιμακέτην ἐκέλευσεν
πεφνέμεν· ἡ δ’ ἄρ’ ἔην θεῖον γένος οὐδ’ ἀνθρώπων,
πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα,
δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο.
καὶ τὴν μὲν κατέπεφνε θεῶν τεράεσσι πιθήσας,
δεύτερον αὖ Σολύμοισι μαχέσσατο κυδαλίμοισιν·
καρτίστην δὴ τήν γε μάχην φάτο δύμεναι ἀνδρῶν.
τὸ τρίτον αὖ κατέπεφνεν Ἀμαζόνας ἀντιανείρας.
τῶι δ’ ἄρ’ ἀνερχομένωι πυκινὸν δόλον ἄλλον ὕφαινεν·
κρίνας ἐκ Λυκίης εὐρείης φῶτας ἀρίστους
εἷσε λόχον. τοὶ δ’ οὔ τι πάλιν οἶκόνδε νέοντο·
πάντας γὰρ κατέπεφνεν ἀμύμων Βελλεροφόντης.
ἀλλ’ ὅτε δὴ γίγνωσκε θεοῦ γόνον ἠὺν ἐόντα,
αὐτοῦ μιν κατέρυκε, δίδου δ’ ὅ γε θυγατέρα ἥν,
δῶκε δέ οἱ τιμῆς βασιληΐδος ἥμισυ πάσης·
καὶ μέν οἱ Λύκιοι τέμενος τάμον ἔξοχον ἄλλων,
καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμοιτο.
ἡ δ’ ἔτεκε τρία τέκνα δαΐφρονι Βελλεροφόντηι,
Ἴσανδρόν τε καὶ Ἱππόλοχον καὶ Λαοδάμειαν.
Λαοδαμείηι μὲν παρελέξατο μητίετα Ζεύς,
ἡ δ’ ἔτεκ’ ἀντίθεον Σαρπηδόνα χαλκοκορυστήν.
ἀλλ’ ὅτε δὴ καὶ κεῖνος ἀπήχθετο πᾶσι θεοῖσιν,
ἤτοι ὁ κὰπ πεδίον τὸ Ἀλήϊον οἶος ἀλᾶτο,
ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων,
Ἴσανδρον δέ οἱ υἱὸν Ἄρης ἆτος πολέμοιο
μαρνάμενον Σολύμοισι κατέκτανε κυδαλίμοισιν,
τὴν δὲ χολωσαμένη χρυσήνιος Ἄρτεμις ἔκτα.
Ἱππόλοχος δ’ ἔμ’ ἔτικτε, καὶ ἐκ τοῦ φημὶ γενέσθαι·
πέμπε δέ μ’ ἐς Τροίην, καί μοι μάλα πόλλ’ ἐπέτελλεν,
αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων,
μηδὲ γένος πατέρων αἰσχυνέμεν, οἳ μέγ’ ἄριστοι
ἔν τ’ Ἐφύρηι ἐγένοντο καὶ ἐν Λυκίηι εὐρείηι.
ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.” **Glaukos**
“κλῦθι, ἄναξ, ὅς που Λυκίης ἐν πίονι δήμωι **16.514**
εἷς ἢ ἐνὶ Τροίηι· δύνασαι δὲ σὺ πάντοσ’ ἀκούειν
ἀνέρι κηδομένωι, ὡς νῦν ἐμὲ κῆδος ἱκάνει.
ἕλκος μὲν γὰρ ἔχω τόδε καρτερόν, ἀμφὶ δέ μοι χεὶρ ✦
ὀξείηις ὀδύνηισιν ἐλήλαται, οὐδέ μοι αἷμα
τερσῆναι δύναται, βαρύθει δέ μοι ὦμος ὑπ’ αὐτοῦ·
ἔγχος δ’ οὐ δύναμαι σχεῖν ἔμπεδον, οὐδὲ μάχεσθαι
ἐλθὼν δυσμενέεσσιν. ἀνὴρ δ’ ὤριστος ὄλωλεν,
Σαρπηδών, Διὸς υἱός· ὁ δ’ οὐδ’ ὧι παιδὶ ἀμύνει.
ἀλλὰ σύ πέρ μοι, ἄναξ, τόδε καρτερὸν ἕλκος ἄκεσσαι,
κοίμησον δ’ ὀδύνας, δὸς δὲ κράτος, ὄφρ’ ἑτάροισιν
κεκλόμενος Λυκίοισιν ἐποτρύνω πολεμίζειν,
αὐτός τ’ ἀμφὶ νέκυι κατατεθνηῶτι μάχωμαι.” **Glaukos**
“Ἕκτορ, νῦν δὴ πάγχυ λελασμένος εἰς ἐπικούρων, **16.538**
οἳ σέθεν εἵνεκα τῆλε φίλων καὶ πατρίδος αἴης
θυμὸν ἀποφθινύθουσι· σὺ δ’ οὐκ ἐθέλεις ἐπαμύνειν.
κεῖται Σαρπηδών, Λυκίων ἀγὸς ἀσπιστάων,
ὃς Λυκίην εἴρυτο δίκηισί τε καὶ σθένεϊ ὧι·
τὸν δ’ ὑπὸ Πατρόκλωι δάμασ’ ἔγχεϊ χάλκεος Ἄρης.
ἀλλὰ φίλοι, πάρστητε, νεμεσσήθητε δὲ θυμῶι,
μὴ ἀπὸ τεύχε’ ἕλωνται, ἀεικίσσωσι δὲ νεκρὸν
Μυρμιδόνες, Δαναῶν κεχολωμένοι ὅσσοι ὄλοντο,
τοὺς ἐπὶ νηυσὶ θοῆισιν ἐπέφνομεν ἐγχείηισιν.”
“Ἕκτορ, εἶδος ἄριστε, μάχης ἄρα πολλὸν ἐδεύεο. **17.142**
ἦ σ’ αὔτως κλέος ἐσθλὸν ἔχει, φύξηλιν ἐόντα.
φράζεο νῦν ὅππως κε πόλιν καὶ ἄστυ σαώσεις
οἶος σὺν λαοῖσι, τοὶ Ἰλίωι ἐγγεγάασιν·
οὐ γάρ τις Λυκίων γε μαχησόμενος Δαναοῖσιν
εἶσι περὶ πτόλιος, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
μάρνασθαι δηΐοισιν ἐπ’ ἀνδράσι νωλεμὲς αἰεί.
πῶς κε σὺ χείρονα φῶτα σαώσειας μεθ’ ὅμιλον,
σχέτλι’, ἐπεὶ Σαρπηδόν’, ἅμα ξεῖνον καὶ ἑταῖρον,
κάλλιπες Ἀργείοισιν ἕλωρ καὶ κύρμα γενέσθαι,

ὅς τοι πόλλ' ὄφελος γένετο, πτόλεΐ τε καὶ αὐτῶι,
ζωὸς ἐών· νῦν δ' οὔ οἱ ἀλαλκέμεναι κύνας ἔτλης.
τῶι νῦν, εἴ τις ἐμοὶ Λυκίων ἐπιπείσεται ἀνδρῶν,
οἴκαδ' ἴμεν, Τροίηι δὲ πεφήσεται αἰπὺς ὄλεθρος.
εἰ γὰρ νῦν Τρώεσσι μένος πολυθαρσὲς ἐνείη
ἄτρομον, οἷόν τ' ἄνδρας ἐσέρχεται οἳ περὶ πάτρης
ἀνδράσι δυσμενέεσσι πόνον καὶ δῆριν ἔθεντο,
αἶψά κε Πάτροκλον ἐρυσαίμεθα Ἴλιον εἴσω.
εἰ δ' οὗτος προτὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος
ἔλθοι τεθνηὼς καί μιν ἐρυσαίμεθα χάρμης,
αἶψά κεν Ἀργεῖοι Σαρπηδόνος ἔντεα καλὰ
λύσειαν, καί κ' αὐτὸν ἀγοίμεθα Ἴλιον εἴσω·
τοίου γὰρ θεράπων πέφατ' ἀνέρος, ὃς μέγ' ἄριστος
Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες.
ἀλλὰ σύ_γ' Αἴαντος μεγαλήτορος οὐκ ἐτάλασσας
στήμεναι ἄντα, κατ' ὄσσε ἰδὼν δηίων ἐν ἀϋτῆι,
Glaukos οὐδ' ἰθὺς μαχέσασθαι, ἐπεὶ σέο φέρτερός ἐστιν."

Achilles captured Lykaon and sold him into slavery on Lemnos, then killed him twelve days after Lykaon returned to Troy.

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 23 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF TROJAN PRINCE LYKAON IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

21.74 “γουνοῦμαί σ’, Ἀχιλεῦ· σὺ δέ μ’ αἴδεο καί μ’ ἐλέησον·
ἀντί τοί εἰμ’ ἱκέταο, διοτρεφὲς, αἰδοίοιο·
πὰρ γὰρ σοὶ πρώτωι πασάμην Δημήτερος ἀκτὴν,
ἤματι τῶι ὅτε μ’ εἷλες ἐϋκτιμένηι ἐν ἀλωῆι,
καί μ’ ἐπέρασσας ἄνευθεν ἄγων πατρός τε φίλων τε
Λῆμνον ἐς ἠγαθέην, ἑκατόμβοιον δέ τοι ἦλφον.
νῦν δ’ ἐλύμην τρὶς τόσσα πορών· ἠὼς δέ μοί ἐστιν
ἥδε δυωδεκάτη, ὅτ’ ἐς Ἴλιον εἰλήλουθα
πολλὰ παθών· νῦν αὖ με τεῆις ἐν χερσὶν ἔθηκεν
μοῖρ’ ὀλοή. μέλλω που ἀπεχθέσθαι Διὶ πατρὶ,
ὅς μέ σοι αὖτις ἔδωκε· μινυνθάδιον δέ με μήτηρ
γείνατο Λαοθόη, θυγάτηρ Ἄλταο γέροντος,
Ἄλτεω, ὃς Λελέγεσσι φιλοπτολέμοισιν ἀνάσσει,
Πήδασον αἰπήεσσαν ἔχων ἐπὶ Σατνιόεντι.
τοῦ δ’ ἔχε θυγατέρα Πρίαμος, πολλὰς δὲ καὶ ἄλλας·
τῆς δὲ δύω γενόμεσθα, σὺ δ’ ἄμφω δειροτομήσεις.
ἤτοι τὸν πρώτοισι μετὰ πρυλέεσσι δάμασσας,
ἀντίθεον Πολύδωρον, ἐπεὶ βάλες ὀξέϊ δουρί·
νῦν δὲ δὴ ἐνθάδ’ ἐμοὶ κακὸν ἔσσεαι· οὐ γὰρ ὀΐω
σὰς χεῖρας φεύξεσθαι, ἐπεί ῥ’ ἐπέλασσέ γε δαίμων.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
μή με κτεῖν’, ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορός εἰμι,
Lykaon ὅς τοι ἑταῖρον ἔπεφνεν ἐνηέα τε κρατερόν τε.”

21.74 “γουνοῦμαί σ’, Ἀχιλεῦ· σὺ δέ μ’ αἴδεο καί μ’ ἐλέησον·
ἀντί τοί εἰμ’ ἱκέταο, διοτρεφὲς, αἰδοίοιο·
πὰρ γὰρ σοὶ πρώτωι πασάμην Δημήτερος ἀκτὴν,
ἤματι τῶι ὅτε μ’ εἷλες ἐϋκτιμένηι ἐν ἀλωῆι,
καί μ’ ἐπέρασσας ἄνευθεν ἄγων πατρός τε φίλων τε
Λῆμνον ἐς ἠγαθέην, ἑκατόμβοιον δέ τοι ἦλφον.
νῦν δ’ ἐλύμην τρὶς τόσσα πορών· ἠὼς δέ μοί ἐστιν
ἥδε δυωδεκάτη, ὅτ’ ἐς Ἴλιον εἰλήλουθα
πολλὰ παθών· νῦν αὖ με τεῆις ἐν χερσὶν ἔθηκεν
Lykaon μοῖρ’ ὀλοή. μέλλω που ἀπεχθέσθαι Διὶ πατρὶ,
ὅς μέ σοι αὖτις ἔδωκε· μινυνθάδιον δέ με μήτηρ
γείνατο Λαοθόη, θυγάτηρ Ἄλταο γέροντος,
Ἄλτεω, ὃς Λελέγεσσι φιλοπτολέμοισιν ἀνάσσει,
Πήδασον αἰπήεσσαν ἔχων ἐπὶ Σατνιόεντι.
τοῦ δ’ ἔχε θυγατέρα Πρίαμος, πολλὰς δὲ καὶ ἄλλας·
τῆς δὲ δύω γενόμεσθα, σὺ δ’ ἄμφω δειροτομήσεις.
ἤτοι τὸν πρώτοισι μετὰ πρυλέεσσι δάμασσας,
ἀντίθεον Πολύδωρον, ἐπεὶ βάλες ὀξέϊ δουρί·
νῦν δὲ δὴ ἐνθάδ’ ἐμοὶ κακὸν ἔσσεαι· οὐ γὰρ ὀΐω
σὰς χεῖρας φεύξεσθαι, ἐπεί ῥ’ ἐπέλασσέ γε δαίμων.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
μή με κτεῖν’, ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορός εἰμι,
ὅς τοι ἑταῖρον ἔπεφνεν ἐνηέα τε κρατερόν τε.” Lykaon

Trojan ally and archer Pandarus
is a son of Lykaon.

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 57 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF TROJAN ALLY AND ARCHER PANDARUS IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

5.102 “ὄρνυσθε, Τρῶες μεγάθυμοι, κέντορες ἵππων·
βέβληται γὰρ ἄριστος Ἀχαιῶν, οὐδέ ἕ φημι
✦ δήθ’ ἀνσχήσεσθαι κρατερὸν βέλος, εἰ ἐτεόν με
Pandarus ὦρσεν ἄναξ, Διὸς υἱός, ἀπορνύμενον Λυκίηθεν.”
5.109 “ὄρσο, πέπον Καπανηϊάδη, καταβήσεο δίφρου,
Pandarus ὄφρα μοι ἐξ ὤμοιο ἐρύσσῃς πικρὸν ὀϊστόν.”
5.180 “Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων,
Τυδεΐδῃ μιν ἐγώ_γε δαΐφρονι πάντα ἐΐσκω,
ἀσπίδι γιγνώσκων αὐλώπιδί τε τρυφαλείῃ,
ἵππους τ’ εἰσορόων· σάφα δ’ οὐκ οἶδ’ εἰ θεός ἐστιν.
εἰ δ’ ὅ_γ’ ἀνὴρ ὅν φημι, δαΐφρων Τυδέος υἱὸς,
οὐχ ὅ_γ’ ἄνευθε θεοῦ τάδε μαίνεται, ἀλλά τις ἄγχι
ἕστηκ’ ἀθανάτων, νεφέλῃ εἰλυμένος ὤμους,
ὃς τούτου βέλος ὠκὺ κιχήμενον ἔτραπεν ἄλλῃ.
ἤδη γάρ οἱ ἐφῆκα βέλος, καί μιν βάλον ὦμον
δεξιὸν ἀντικρὺ διὰ θώρηκος γυάλοιο·
καί μιν ἐγώ γ’ ἐφάμην Ἀϊδωνῆϊ προϊάψειν,
ἔμπης δ’ οὐκ ἐδάμασσα· θεός νύ τίς ἐστι κοτήεις.
ἵπποι δ’ οὐ παρέασι καὶ ἅρματα, τῶν κ’ ἐπιβαίην·
ἀλλά που ἐν μεγάροισι Λυκάονος ἕνδεκα δίφροι
καλοὶ πρωτοπαγεῖς νεοτευχέες· ἀμφὶ δὲ πέπλοι
πέπτανται· παρὰ δέ σφιν ἑκάστῳ δίζυγες ἵπποι
ἑστᾶσι, κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας.
ἦ μέν μοι μάλα πολλὰ γέρων αἰχμητὰ Λυκάων
ἐρχομένῳ ἐπέτελλε δόμοις ἐνὶ ποιητοῖσιν·
ἵπποισιν μ’ ἐκέλευε καὶ ἅρμασιν ἐμβεβαῶτα
ἀρχεύειν Τρώεσσι κατὰ κρατερὰς ὑσμίνας·
ἀλλ’ ἐγὼ οὐ πιθόμην — ἦ τ’ ἂν πολὺ κέρδιον ἦεν —
ἵππων φειδόμενος, μή μοι δευοίατο φορβῆς
ἀνδρῶν εἰλομένων, εἰωθότες ἔδμεναι ἄδην.
ὣς λίπον, αὐτὰρ πεζὸς ἐς Ἴλιον εἰλήλουθα,
τόξοισιν πίσυνος· τὰ δέ μ’ οὐκ ἄρ’ ἔμελλον ὀνήσειν.
ἤδη γὰρ δοιοῖσιν ἀριστήεσσιν ἐφῆκα,
Τυδεΐδῃ τε καὶ Ἀτρεΐδῃ, ἐκ δ’ ἀμφοτέροιιν
ἀτρεκὲς αἷμ’ ἔσσευα βαλὼν, ἤγειρα δὲ μᾶλλον.
✦ τῶι ῥα κακῆι αἴσῃ ἀπὸ πασσάλου ἀγκύλα τόξα
ἤματι τῷ ἑλόμην ὅτε Ἴλιον εἰς ἐρατεινὴν
ἡγεόμην Τρώεσσι, φέρων χάριν Ἕκτορι δίῳ.
εἰ δέ κε νοστήσω καὶ ἐσόψομαι ὀφθαλμοῖσιν
πατρίδ’ ἐμὴν ἄλοχόν τε καὶ ὑψερεφὲς μέγα δῶμα,
αὐτίκ’ ἔπειτ’ ἀπ’ ἐμεῖο κάρη τάμοι ἀλλότριος φώς,
εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην
Pandarus χερσὶ διακλάσσας· ἀνεμώλια γάρ μοι ὀπηδεῖ.”
5.230 “Αἰνεία, σὺ μὲν αὐτὸς ἔχ’ ἡνία καὶ τεὼ ἵππω·
μᾶλλον ὑφ’ ἡνιόχῳ εἰωθότι καμπύλον ἅρμα
οἴσετον, εἴ_περ ἂν αὖτε φεβώμεθα Τυδέος υἱόν.
μὴ τὼ μὲν δείσαντε ματήσετον, οὐδ’ ἐθέλητον
ἐκφερέμεν πολέμοιο, τεὸν φθόγγον ποθέοντε,
νῶϊ δ’ ἐπαΐξας μεγαθύμου Τυδέος υἱὸς
αὐτώ τε κτείνῃ καὶ ἐλάσσῃ μώνυχας ἵππους.
ἀλλὰ σύ_γ’ αὐτὸς ἔλαυνε τέ’ ἅρματα καὶ τεὼ ἵππω,
τόνδε δ’ ἐγὼν ἐπιόντα δεδέξομαι ὀξέϊ δουρί.”
“καρτερόθυμε δαΐφρον ἀγαυοῦ Τυδέος υἱὲ, 5.277
ἦ μάλα σ’ οὐ βέλος ὠκὺ δαμάσσατο, πικρὸς ὀϊστός·
νῦν αὖτ’ ἐγχείῃ πειρήσομαι, αἴ κε τύχωμι.” Pandarus
“βέβληαι κενεῶνα διαμπερὲς, οὐδέ σ’ ὀΐω 5.284
δηρὸν ἔτ’ ἀνσχήσεσθαι· ἐμοὶ δὲ μέγ’ εὖχος ἔδωκας.” Pandarus

5.102 “ὄρνυσθε, Τρῶες μεγάθυμοι, κέντορες ἵππων·
βέβληται γὰρ ἄριστος Ἀχαιῶν, οὐδέ ἕ φημι
◆ δήθ’ ἀνσχήσεσθαι κρατερὸν βέλος, εἰ ἐτεόν με
Pandarus ὦρσεν ἄναξ, Διὸς υἱός, ἀπορνύμενον Λυκίηθεν.”
5.109 “ὄρσο, πέπον Καπανηϊάδη, καταβήσεο δίφρου,
Pandarus ὄφρα μοι ἐξ ὤμοιο ἐρύσσηις πικρὸν ὀϊστόν.”
5.180 “Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων,
Τυδείδηι μιν ἐγώ_γε δαΐφρονι πάντα ἐΐσκω,
ἀσπίδι γιγνώσκων αὐλώπιδί τε τρυφαλείηι,
ἵππους τ’ εἰσορόων· σάφα δ’ οὐκ οἶδ’ εἰ θεός ἐστιν.
εἰ δ’ ὅ_γ’ ἀνὴρ ὅν φημι, δαΐφρων Τυδέος υἱὸς,
οὐχ ὅ_γ’ ἄνευθε θεοῦ τάδε μαίνεται, ἀλλά τις ἄγχι
ἕστηκ’ ἀθανάτων, νεφέληι εἰλυμένος ὤμους,
ὃς τούτου βέλος ὠκὺ κιχήμενον ἔτραπεν ἄλληι.
ἤδη γάρ οἱ ἐφῆκα βέλος, καί μιν βάλον ὦμον
δεξιὸν ἀντικρὺ διὰ θώρηκος γυάλοιο·
καί μιν ἐγώ γ’ ἐφάμην Ἀϊδωνῆϊ προϊάψειν,
ἔμπης δ’ οὐκ ἐδάμασσα· θεός νύ τίς ἐστι κοτήεις.
ἵπποι δ’ οὐ παρέασι καὶ ἅρματα, τῶν κ’ ἐπιβαίην·
ἀλλά που ἐν μεγάροισι Λυκάονος ἕνδεκα δίφροι
καλοὶ πρωτοπαγεῖς νεοτευχέες· ἀμφὶ δὲ πέπλοι
πέπτανται· παρὰ δέ σφιν ἑκάστωι δίζυγες ἵπποι
ἑστᾶσι, κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας.
ἦ μέν μοι μάλα πολλὰ γέρων αἰχμητὰ Λυκάων
ἐρχομένωι ἐπέτελλε δόμοις ἐνὶ ποιητοῖσιν·
ἵπποισίν μ’ ἐκέλευε καὶ ἅρμασιν ἐμβεβαῶτα
ἀρχεύειν Τρώεσσι κατὰ κρατερὰς ὑσμίνας·
ἀλλ’ ἐγὼ οὐ πιθόμην — ἦ τ’ ἂν πολὺ κέρδιον ἦεν —
ἵππων φειδόμενος, μή μοι δευοίατο φορβῆς
ἀνδρῶν εἰλομένων, εἰωθότες ἔδμεναι ἄδην.
ὣς λίπον, αὐτὰρ πεζὸς ἐς Ἴλιον εἰλήλουθα,
τόξοισιν πίσυνος· τὰ δέ μ’ οὐκ ἄρ’ ἔμελλον ὀνήσειν.
ἤδη γὰρ δοιοῖσιν ἀριστήεσσιν ἐφῆκα,
Τυδείδηι τε καὶ Ἀτρείδηι, ἐκ δ’ ἀμφοτέροιιν
ἀτρεκὲς αἷμ’ ἔσσευα βαλών, ἤγειρα δὲ μᾶλλον.
τῶι ῥα κακῆι αἴσηι ἀπὸ πασσάλου ἀγκύλα τόξα ◆
ἤματι τῶι ἑλόμην ὅτε Ἴλιον εἰς ἐρατεινὴν
ἡγεόμην Τρώεσσι, φέρων χάριν Ἕκτορι δίωι.
εἰ δέ κε νοστήσω καὶ ἐσόψομαι ὀφθαλμοῖσιν
πατρίδ’ ἐμὴν ἄλοχόν τε καὶ ὑψερεφὲς μέγα δῶμα,
αὐτίκ’ ἔπειτ’ ἀπ’ ἐμεῖο κάρη τάμοι ἀλλότριος φώς,
εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῶι ἐν πυρὶ θείην
χερσὶ διακλάσσας· ἀνεμώλια γάρ μοι ὀπηδεῖ.” Pandarus
“Αἰνεία, σὺ μὲν αὐτὸς ἔχ’ ἡνία καὶ τεὼ ἵππω· 5.230
μᾶλλον ὑφ’ ἡνιόχωι εἰωθότι καμπύλον ἅρμα
οἴσετον, εἴ_περ ἂν αὖτε φεβώμεθα Τυδέος υἱόν.
μὴ τὼ μὲν δείσαντε ματήσετον, οὐδ’ ἐθέλητον
ἐκφερέμεν πολέμοιο, τεὸν φθόγγον ποθέοντε,
νῶϊ δ’ ἐπαΐξας μεγαθύμου Τυδέος υἱὸς
αὐτώ τε κτείνηι καὶ ἐλάσσηι μώνυχας ἵππους.
ἀλλὰ σύ_γ’ αὐτὸς ἔλαυνε τέ’ ἅρματα καὶ τεὼ ἵππω,
τόνδε δ’ ἐγὼν ἐπιόντα δεδέξομαι ὀξέϊ δουρί.”
“καρτερόθυμε δαΐφρον ἀγανοῦ Τυδέος υἱὲ, 5.277
ἦ μάλα σ’ οὐ βέλος ὠκὺ δαμάσσατο, πικρὸς ὀϊστός·
νῦν αὖτ’ ἐγχείηι πειρήσομαι, αἴ κε τύχωμι.” Pandarus
“βέβληαι κενεῶνα διαμπερὲς, οὐδὲ σ’ ὀΐω 5.284
δηρὸν ἔτ’ ἀνσχήσεσθαι· ἐμοὶ δὲ μέγ’ εὖχος ἔδωκας.” Pandarus

5.102 “ὄρνυσθε, Τρῶες μεγάθυμοι, κέντορες **ἵππων**·
βέβληται γὰρ ἄριστος Ἀχαιῶν, οὐδέ ἕ φημι
✦ δήθ’ ἀνσχήσεσθαι κρατερὸν βέλος, εἰ ἐτεόν με
Pandarus ὦρσεν ἄναξ, Διὸς υἱός, ἀπορνύμενον Λυκίηθεν.”
5.109 “ὄρσο, πέπον Καπανηϊάδη, καταβήσεο δίφρου,
Pandarus ὄφρα μοι ἐξ ὤμοιο ἐρύσσηις πικρὸν ὀϊστόν.”
5.180 “**Αἰνεία**, Τρώων βουληφόρε χαλκοχιτώνων,
Τυδεΐδηι μιν ἐγώ_γε **δαΐφρονι** πάντα ἐΐσκω,
ἀσπίδι γιγνώσκων αὐλώπιδί τε τρυφαλείηι,
ἵππους τ’ εἰσορόων· σάφα δ’ οὐκ οἶδ’ εἰ θεός ἐστιν.
εἰ δ’ ὅ_γ’ ἀνὴρ ὅν φημι, **δαΐφρων** Τυδέος υἱὸς,
οὐχ ὅ_γ’ ἄνευθε θεοῦ τάδε μαίνεται, ἀλλά τις ἄγχι
ἕστηκ’ ἀθανάτων, νεφέληι εἰλυμένος ὤμους,
ὃς τούτου βέλος ὠκὺ κιχήμενον ἔτραπεν **ἄλληι**.
ἤδη γάρ οἱ ἐφῆκα βέλος, καί μιν βάλον ὦμον
δεξιὸν ἀντικρὺ διὰ θώρηκος γυάλοιο·
καί μιν ἐγώ γ’ ἐφάμην **Ἀϊδωνῆϊ προϊάψειν**,
ἔμπης δ’ οὐκ ἐδάμασσα· θεός νύ τίς ἐστι κοτήεις.
ἵπποι δ’ οὐ παρέασι καὶ ἅρματα, τῶν κ’ ἐπιβαίην·
ἀλλά που ἐν μεγάροισι Λυκάονος ἕνδεκα δίφροι
καλοὶ πρωτοπαγεῖς νεοτευχέες· ἀμφὶ δὲ πέπλοι
πέπτανται· παρὰ δέ σφιν ἑκάστωι δίζυγες ἵπποι
ἑστᾶσι, κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας.
ἦ μέν μοι μάλα πολλὰ γέρων αἰχμητὰ Λυκάων
ἐρχομένωι ἐπέτελλε δόμοις ἐνὶ ποιητοῖσιν·
ἵπποισιν μ’ ἐκέλευε καὶ ἅρμασιν ἐμβεβαῶτα
ἀρχεύειν Τρώεσσι κατὰ κρατερὰς ὑσμίνας·
ἀλλ’ ἐγὼ οὐ πιθόμην — ἦ τ’ ἂν πολὺ κέρδιον ἦεν —
ἵππων φειδόμενος, μή μοι δευοίατο φορβῆς
ἀνδρῶν εἰλομένων, εἰωθότες ἔδμεναι ἄδην.
ὣς λίπον, αὐτὰρ πεζὸς ἐς Ἴλιον εἰλήλουθα,
τόξοισιν πίσυνος· τὰ δέ μ’ οὐκ ἄρ’ ἔμελλον ὀνήσειν.
ἤδη γὰρ δοιοῖσιν ἀριστήεσσιν ἐφῆκα,
Τυδεΐδηι τε καὶ Ἀτρεΐδηι, ἐκ δ’ ἀμφοτέροιιν
ἀτρεκὲς αἷμ’ ἔσσευα βαλών, ἤγειρα δὲ μᾶλλον.
✦ τῶι ῥα κακῆι αἴσηι ἀπὸ πασσάλου ἀγκύλα τόξα
ἤματι τῶι ἑλόμην ὅτε Ἴλιον εἰς ἐρατεινὴν
ἡγεόμην Τρώεσσι, φέρων χάριν Ἕκτορι δίωι.
εἰ δέ κε νοστήσω καὶ ἐσόψομαι ὀφθαλμοῖσιν
πατρίδ’ ἐμὴν ἄλοχόν τε καὶ ὑψερεφὲς μέγα δῶμα,
αὐτίκ’ ἔπειτ’ ἀπ’ ἐμεῖο κάρη τάμοι ἀλλότριος φώς,
εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῶι ἐν πυρὶ θείην
Pandarus χερσὶ διακλάσσας· ἀνεμώλια γάρ μοι ὀπηδεῖ.”

“**Αἰνεία**, σὺ μὲν αὐτὸς ἔχ’ ἡνία καὶ τεὼ **ἵππω**· 5.230
μᾶλλον ὑφ’ ἡνιόχωι εἰωθότι καμπύλον ἅρμα
οἴσετον, εἴ_περ ἂν αὖτε φεβώμεθα Τυδέος υἱόν.
μὴ τὼ μὲν δείσαντε ματήσετον, οὐδ’ ἐθέλητον
ἐκφερέμεν πολέμοιο, τεὸν **φθόγγον ποθέοντε**,
νῶϊ δ’ ἐπαΐξας μεγαθύμου Τυδέος υἱὸς
αὐτώ τε κτείνηι καὶ ἐλάσσηι μώνυχας ἵππους.
ἀλλὰ σύ_γ’ αὐτὸς ἔλαυνε τέ’ ἅρματα καὶ τεὼ ἵππω,
τόνδε δ’ ἐγὼν ἐπιόντα δεδέξομαι ὀξέϊ δουρί.”
“καρτερόθυμε δαΐφρον ἀγαυοῦ Τυδέος υἱὲ, 5.277
ἦ μάλα σ’ οὐ βέλος ὠκὺ δαμάσσατο, πικρὸς ὀϊστός·
νῦν αὖτ’ ἐγχείηι πειρήσομαι, αἴ κε τύχωμι.” Pandarus
“βέβληαι κενεῶνα διαμπερὲς, οὐδέ σ’ ὀΐω 5.284
δηρὸν ἔτ’ ἀνσχήσεσθαι· ἐμοὶ δὲ μέγ’ εὖχος ἔδωκας.” Pandarus

Lycian Trojan ally and demigod Sarpedon was the son of Zeus and Laodamia, the daughter of Bellerophon (according to some accounts), and cousin to Glaukos. Patroklos killed Sarpedon, whose death is described like and anticipates his own.

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 70 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF TROJAN ALLY SARPEDON IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

5.472 "Ἕκτορ, πῆι δή τοι μένος οἴχεται, ὃ πρὶν ἔχεσκες;
φῆς που ἄτερ λαῶν πόλιν ἑξέμεν ἠδ᾽ ἐπικούρων
οἶος σὺν γαμβροῖσι κασιγνήτοισί τε σοῖσιν.
τῶν νῦν οὔ τιν᾽ ἐγὼν ἰδέειν δύναμ᾽ οὐδὲ νοῆσαι,
ἀλλὰ καταπτώσσουσι, κύνες ὣς ἀμφὶ λέοντα·
ἡμεῖς δὲ μαχόμεσθ᾽, οἵ πέρ τ᾽ ἐπίκουροι ἔνειμεν.
καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐὼν μάλα τηλόθεν ἥκω·
τηλοῦ γὰρ Λυκίη, Ξάνθωι ἔπι δινήεντι,
ἔνθ᾽ ἄλοχόν τε φίλην ἔλιπον καὶ νήπιον υἱόν,
κὰδ δὲ κτήματα πολλά, τά τ᾽ ἔλδεται ὅς κ᾽ ἐπιδευής.
ἀλλὰ καὶ ὣς Λυκίους ὀτρύνω καὶ μέμον᾽ αὐτὸς
ἀνδρὶ μαχέσσασθαι· ἀτὰρ οὔ τί μοι ἐνθάδε τοῖον
οἷόν κ᾽ ἠὲ φέροιεν Ἀχαιοὶ ἤ κεν ἄγοιεν·
τύνη δ᾽ ἕστηκας, ἀτὰρ οὐδ᾽ ἄλλοισι κελεύεις
λαοῖσιν μενέμεν καὶ ἀμυνέμεναι ὤρεσσιν.
μή πως, ὡς ἀψῖσι λίνου ἁλόντε πανάγρου,
ἀνδράσι δυσμενέεσσιν ἕλωρ καὶ κύρμα γένησθε·
οἱ δὲ τάχ᾽ ἐκπέρσουσ᾽ εὖ ναιομένην πόλιν ὑμήν.
σοὶ δὲ χρὴ τάδε πάντα μέλειν νύκτάς τε καὶ ἦμαρ,
ἀρχοὺς λισσομένωι τηλεκλειτῶν ἐπικούρων
Sarpedon νωλεμέως ἐχέμεν, κρατερὴν δ᾽ ἀποθέσθαι ἐνιπήν."
5.648 "Τληπόλεμ᾽, ἤτοι κεῖνος ἀπώλεσεν Ἴλιον ἱρὴν
ἀνέρος ἀφραδίηισιν ἀγαυοῦ Λαομέδοντος,
ὅς ῥά μιν εὖ ἔρξαντα κακῶι ἠνίπαπε μύθωι,
οὐδ᾽ ἀπέδωχ᾽ ἵππους, ὧν εἵνεκα τηλόθεν ἦλθεν.
σοὶ δ᾽ ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν
ἐξ ἐμέθεν τεύξεσθαι, ἐμῶι δ᾽ ὑπὸ δουρὶ δαμέντα
Sarpedon εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ᾽ Ἄϊδι κλυτοπώλωι."
5.684 "Πριαμίδη, μὴ δή με ἕλωρ Δαναοῖσιν ἐάσηις
κεῖσθαι, ἀλλ᾽ ἐπάμυνον. ἔπειτά με καὶ λίποι αἰὼν
ἐν πόλει ὑμετέρηι, ἐπεὶ οὐκ ἄρ᾽ ἔμελλον ἐγώ γε
νοστήσας οἶκόνδε, φίλην ἐς πατρίδα γαῖαν,
Sarpedon εὐφρανέειν ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν."
12.310 "Γλαῦκε, τίη δὴ νῶϊ τετιμήμεσθα μάλιστα
ἕδρηι τε κρέασίν τε ἰδὲ πλείοις δεπάεσσιν
ἐν Λυκίηι, πάντες δὲ θεοὺς ὣς εἰσορόωσιν;
καὶ τέμενος νεμόμεσθα μέγα Ξάνθοιο παρ᾽ ὄχθας,
καλὸν φυταλιῆς καὶ ἀρούρης πυροφόροιο;
τὼ νῦν χρὴ Λυκίοισι μέτα πρώτοισιν ἐόντας
ἑστάμεν ἠδὲ μάχης καυστειρῆς ἀντιβολῆσαι,
ὄφρα τις ὧδ᾽ εἴπηι Λυκίων πύκα θωρηκτάων·
'οὐ μὰν ἀκλεεῖς Λυκίην κάτα κοιρανέουσιν
ἡμέτεροι βασιλῆες, ἔδουσί τε πίονα μῆλα
οἶνόν τ᾽ ἔξαιτον μελιηδέα· ἀλλ᾽ ἄρα καὶ ἲς
◆ ἐσθλή, ἐπεὶ Λυκίοισι μέτα πρώτοισι μάχονται.'
ὦ πέπον, εἰ μὲν γὰρ πόλεμον περὶ τόνδε φυγόντε
αἰεὶ δὴ μέλλοιμεν ἀγήρω τ᾽ ἀθανάτω τε
ἔσσεσθ᾽, οὔτε κεν αὐτὸς ἐνὶ πρώτοισι μαχοίμην
οὔτε κε σὲ στέλλοιμι μάχην ἐς κυδιάνειραν·
νῦν δ᾽ — ἔμπης γὰρ κῆρες ἐφεστᾶσιν θανάτοιο
μυρίαι, ἃς οὐκ ἔστι φυγεῖν βροτὸν οὐδ᾽ ὑπαλύξαι —
ἴομεν, ἠέ τωι εὖχος ὀρέξομεν, ἠέ τις ἡμῖν." Sarpedon
"ὦ Λύκιοι, τί τ᾽ ἄρ᾽ ὧδε μεθίετε θούριδος ἀλκῆς; 12.409
ἀργαλέον δέ μοί ἐστι, καὶ ἰφθιμῶι περ ἐόντι,
μούνωι ῥηξαμένωι θέσθαι παρὰ νηυσὶ κέλευθον·
ἀλλ᾽ ἐφαμαρτεῖτε· πλεόνων δέ τοι ἔργον ἄμεινον." Sarpedon
"αἰδώς, ὦ Λύκιοι, πόσε φεύγετε; νῦν θοοὶ ἔστε. 16.422
ἀντήσω γὰρ ἐγὼ τοῦδ᾽ ἀνέρος, ὄφρα δαείω
ὅς τις ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ἔοργεν
Τρῶας, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ᾽ ἔλυσεν." Sarpedon
"Γλαῦκε πέπον, πολεμιστὰ μετ᾽ ἀνδράσι, νῦν σε μάλα χρὴ 16.492
αἰχμητήν τ᾽ ἔμεναι καὶ θαρσαλέον πολεμιστήν·
νῦν τοι ἐελδέσθω πόλεμος κακός, εἰ θοός ἐσσι.
πρῶτα μὲν ὄτρυνον Λυκίων ἡγήτορας ἄνδρας,
πάντηι ἐποιχόμενος, Σαρπηδόνος ἀμφιμάχεσθαι·
αὐτὰρ ἔπειτα καὶ αὐτὸς ἐμεῦ πέρι μάρναο χαλκῶι.
σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα κατηφείη καὶ ὄνειδος
ἔσσομαι ἤματα πάντα διαμπερές, εἴ κέ μ᾽ Ἀχαιοὶ
τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα.
ἀλλ᾽ ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα." Sarpedon

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 22 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES OF
ACHILLES' CHARIOTEER

AUTOMEDON

IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

17.475 "Ἀλκίμεδον, τίς τάρ τοι Ἀχαιῶν ἄλλος ὁμοῖος
ἵππων ἀθανάτων ἐχέμεν δμῆσίν τε μένος τε,
εἰ μὴ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος,
ζωὸς ἐών; νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
Auto- ἀλλὰ σὺ μὲν μάστιγα καὶ ἡνία σιγαλόεντα
medon δέξαι, ἐγὼ δ' ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι."
17.501 "Ἀλκίμεδον, μὴ δή μοι ἀπόπροθεν ἰσχέμεν ἵππους,
ἀλλὰ μάλ' ἐμπνείοντε μεταφρένωι· οὐ γὰρ ἐγώ_γε
Ἕκτορα Πριαμίδην μένεος σχήσεσθαι ὀΐω,
πρίν γ' ἐπ' Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω
Auto- νῶϊ κατακτείναντα, φοβῆσαί τε στίχας ἀνδρῶν
medon Ἀργείων, ἤ κ' αὐτὸς ἐνὶ πρώτοισιν ἁλοίη."
17.508 "Αἴαντ', Ἀργείων ἡγήτορε, καὶ Μενέλαε,
ἤτοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ' οἵ περ ἄριστοι,
ἀμφ' αὐτῶι βεβάμεν καὶ ἀμύνεσθαι στίχας ἀνδρῶν,
νῶϊν δὲ ζωοῖσιν ἀμύνετε νηλεὲς ἦμαρ·
τῆιδε γὰρ ἔβρισαν πόλεμον κάτα δακρυόεντα
Ἕκτωρ τ' Αἰνείας θ', οἳ Τρώων εἰσὶν ἄριστοι.
Auto- ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·
medon ἥσω γὰρ καὶ ἐγώ, τὰ δέ κεν Διὶ πάντα μελήσει."
17.538 "ἦ δὴ μὰν ὀλίγον γε Μενοιτιάδαο θανόντος
Auto- κῆρ ἄχεος μεθέηκα, χερείονά περ καταπεφνών."
medon

17.475 "Ἀλκίμεδον, τίς τάρ τοι Ἀχαιῶν ἄλλος ὁμοῖος
ἵππων ἀθανάτων ἐχέμεν δμῆσίν τε μένος τε,
εἰ μὴ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος,
ζωὸς ἐών; νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
Auto- ἀλλὰ σὺ μὲν μάστιγα καὶ ἡνία σιγαλόεντα
medon δέξαι, ἐγὼ δ' ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι."
17.501 "Ἀλκίμεδον, μὴ δή μοι ἀπόπροθεν ἰσχέμεν ἵππους,
ἀλλὰ μάλ' ἐμπνείοντε μεταφρένωι· οὐ γὰρ ἐγώ_γε
Ἕκτορα Πριαμίδην μένεος σχήσεσθαι ὀΐω,
πρίν γ' ἐπ' Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω
Auto- νῶϊ κατακτείναντα, φοβῆσαί τε στίχας ἀνδρῶν
Ἀργείων, ἤ κ' αὐτὸς ἐνὶ πρώτοισιν ἁλοίη."
"Αἴαντ', Ἀργείων ἡγήτορε, καὶ Μενέλαε, 17.508
ἤτοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ' οἵ περ ἄριστοι,
ἀμφ' αὐτῶι βεβάμεν καὶ ἀμύνεσθαι στίχας ἀνδρῶν,
νῶϊν δὲ ζωοῖσιν ἀμύνετε νηλεὲς ἦμαρ·
τῆιδε γὰρ ἔβρισαν πόλεμον κάτα δακρυόεντα
Ἕκτωρ τ' Αἰνείας θ', οἳ Τρώων εἰσὶν ἄριστοι.
ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται· Auto-
ἥσω γὰρ καὶ ἐγώ, τὰ δέ κεν Διὶ πάντα μελήσει." medon
"ἦ δὴ μὰν ὀλίγον γε Μενοιτιάδαο θανόντος 17.538
κῆρ ἄχεος μεθέηκα, χερείονά περ καταπεφνών." Auto-
medon

language: Homeric Greek

copy text: Dindorf (Teubner 1861)

typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 8 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF HEKTOR'S CHARIOTEER KEBRIONES IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

11.523 “Ἕκτορ, νῶϊ μὲν ἐνθάδ’ ὁμιλέομεν Δαναοῖσιν
ἐσχατιῇ πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι
Τρῶες ὀρίνονται ἐπιμὶξ, ἵπποι τε καὶ αὐτοί.
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ’ ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἡμεῖς
κεῖσ’ ἵππους τε καὶ ἅρμ’ ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε, κακὴν ἔριδα προβαλόντες,
Kebriones ἀλλήλους ὀλέκουσι, βοὴ δ’ ἄσβεστος ὄρωρεν.”

11.523 “Ἕκτορ, νῶϊ μὲν ἐνθάδ’ ὁμιλέομεν Δαναοῖσιν
ἐσχατιῇ πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι
Τρῶες ὀρίνονται ἐπιμὶξ, ἵπποι τε καὶ αὐτοί.
Kebriones Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ’ ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἡμεῖς
κεῖσ’ ἵππους τε καὶ ἅρμ’ ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε, κακὴν ἔριδα προβαλόντες,
ἀλλήλους ὀλέκουσι, βοὴ δ’ ἄσβεστος ὄρωρεν.”

Notes

note: Kebriones is Hektor’s chartioteer; Automedon the charioteer of Achilles.

ILIAD ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 8x3 v 22 lines 3.0

As some way-faring Man, who wanders o’er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES
OF THE CHARIOTEERS
KEBRIONES vs AUTOMEDON
IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

[repeated three times]

11.523 "Ἕκτορ, νῶϊ μὲν ἐνθάδ' ὁμιλέομεν Δαναοῖσιν
ἐσχατιῆι πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι
Τρῶες ὀρίνονται ἐπιμὶξ, ἵπποι τε καὶ αὐτοί.
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἡμεῖς
κεῖσ' ἵππους τε καὶ ἅρμ' ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε, κακὴν ἔριδα προβαλόντες,
Kebriones ἀλλήλους ὀλέκουσι, βοὴ δ' ἄσβεστος ὄρωρεν."

11.523 "Ἕκτορ, νῶϊ μὲν ἐνθάδ' ὁμιλέομεν Δαναοῖσιν
ἐσχατιῆι πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι
Τρῶες ὀρίνονται ἐπιμὶξ, ἵπποι τε καὶ αὐτοί.
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἡμεῖς
κεῖσ' ἵππους τε καὶ ἅρμ' ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε, κακὴν ἔριδα προβαλόντες,
Kebriones ἀλλήλους ὀλέκουσι, βοὴ δ' ἄσβεστος ὄρωρεν."

11.523 "Ἕκτορ, νῶϊ μὲν ἐνθάδ' ὁμιλέομεν Δαναοῖσιν
ἐσχατιῆι πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι
Τρῶες ὀρίνονται ἐπιμὶξ, ἵπποι τε καὶ αὐτοί.
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἡμεῖς
κεῖσ' ἵππους τε καὶ ἅρμ' ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε, κακὴν ἔριδα προβαλόντες,
Kebriones ἀλλήλους ὀλέκουσι, βοὴ δ' ἄσβεστος ὄρωρεν."

"Ἀλκίμεδον, τίς τάρ τοι Ἀχαιῶν ἄλλος ὁμοῖος 17.475
ἵππων ἀθανάτων ἐχέμεν δμῆσίν τε μένος τε,
εἰ μὴ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος,
ζωὸς ἐών; νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
ἀλλὰ σὺ μὲν μάστιγα καὶ ἡνία σιγαλόεντα Auto-
δέξαι, ἐγὼ δ' ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι." medon

"Ἀλκίμεδον, μὴ δή μοι ἀπόπροθεν ἰσχέμεν ἵππους, 17.501
ἀλλὰ μάλ' ἐμπνείοντε μεταφρένωι· οὐ γὰρ ἐγώ γε
Ἕκτορα Πριαμίδην μένεος σχήσεσθαι ὀΐω,
πρίν γ' ἐπ' Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω
νῶϊ κατακτείναντα, φοβῆσαί τε στίχας ἀνδρῶν Auto-
Ἀργείων, ἤ κ' αὐτὸς ἐνὶ πρώτοισιν ἁλοίη." medon

"Αἴαντ', Ἀργείων ἡγήτορε, καὶ Μενέλαε, 17.508
ἤτοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ' οἵ περ ἄριστοι,
ἀμφ' αὐτῶι βεβάμεν καὶ ἀμύνεσθαι στίχας ἀνδρῶν,
νῶϊν δὲ ζωοῖσιν ἀμύνετε νηλεὲς ἦμαρ·
τῆιδε γὰρ ἔβρισαν πόλεμον κάτα δακρυόεντα
Ἕκτωρ τ' Αἰνείας θ', οἳ Τρώων εἰσὶν ἄριστοι.
ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται· Auto-
ἥσω γὰρ καὶ ἐγώ, τὰ δέ κεν Διὶ πάντα μελήσει." medon

"ἦ δὴ μὰν ὀλίγον γε Μενοιτιάδαο θανόντος 17.538
κῆρ ἄχεος μεθέηκα, χερείονά περ καταπεφνών." Auto-
medon

[repeated three times]

11.523 "Ἕκτορ, νῶϊ μὲν ἐνθάδ᾽ ὁμιλέομεν Δαναοῖσιν
ἐσχατιῆι πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι
Τρῶες ὀρίνονται ἐπιμὶξ, ἵπποι τε καὶ αὐτοί.
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ᾽ ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἡμεῖς
κεῖσ᾽ ἵππους τε καὶ ἅρμ᾽ ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε, κακὴν ἔριδα προβαλόντες,
Kebriones ἀλλήλους ὀλέκουσι, βοὴ δ᾽ ἄσβεστος ὄρωρεν."

11.523 "Ἕκτορ, νῶϊ μὲν ἐνθάδ᾽ ὁμιλέομεν Δαναοῖσιν
ἐσχατιῆι πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι
Τρῶες ὀρίνονται ἐπιμὶξ, ἵπποι τε καὶ αὐτοί.
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ᾽ ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἡμεῖς
κεῖσ᾽ ἵππους τε καὶ ἅρμ᾽ ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε, κακὴν ἔριδα προβαλόντες,
Kebriones ἀλλήλους ὀλέκουσι, βοὴ δ᾽ ἄσβεστος ὄρωρεν."

11.523 "Ἕκτορ, νῶϊ μὲν ἐνθάδ᾽ ὁμιλέομεν Δαναοῖσιν
ἐσχατιῆι πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι
Τρῶες ὀρίνονται ἐπιμὶξ, ἵπποι τε καὶ αὐτοί.
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ᾽ ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἡμεῖς
κεῖσ᾽ ἵππους τε καὶ ἅρμ᾽ ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε, κακὴν ἔριδα προβαλόντες,
Kebriones ἀλλήλους ὀλέκουσι, βοὴ δ᾽ ἄσβεστος ὄρωρεν."

"Ἀλκίμεδον, τίς τάρ τοι Ἀχαιῶν ἄλλος ὁμοῖος 17.475
ἵππων ἀθανάτων ἐχέμεν δμῆσίν τε μένος τε,
εἰ μὴ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος,
ζωὸς ἐών; νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
ἀλλὰ σὺ μὲν μάστιγα καὶ ἡνία σιγαλόεντα Auto-
δέξαι, ἐγὼ δ᾽ ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι." medon

"Ἀλκίμεδον, μὴ δή μοι ἀπόπροθεν ἰσχέμεν ἵππους, 17.501
ἀλλὰ μάλ᾽ ἐμπνείοντε μεταφρένωι· οὐ γὰρ ἐγώ γε
Ἕκτορα Πριαμίδην μένεος σχήσεσθαι ὀΐω,
πρίν γ᾽ ἐπ᾽ Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω
νῶϊ κατακτείναντα, φοβῆσαί τε στίχας ἀνδρῶν Auto-
Ἀργείων, ἤ κ᾽ αὐτὸς ἐνὶ πρώτοισιν ἁλοίη." medon

"Αἴαντ᾽, Ἀργείων ἡγήτορε, καὶ Μενέλαε, 17.508
ἤτοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ᾽ οἵ περ ἄριστοι,
ἀμφ᾽ αὐτῶι βεβάμεν καὶ ἀμύνεσθαι στίχας ἀνδρῶν,
νῶϊν δὲ ζωοῖσιν ἀμύνετε νηλεὲς ἦμαρ·
τῆιδε γὰρ ἔβρισαν πόλεμον κάτα δακρυόεντα
Ἕκτωρ τ᾽ Αἰνείας θ᾽, οἳ Τρώων εἰσὶν ἄριστοι.
ἀλλ᾽ ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται· Auto-
ἥσω γὰρ καὶ ἐγὼ, τὰ δέ κεν Διὶ πάντα μελήσει." medon

"ἦ δὴ μὰν ὀλίγον γε Μενοιτιάδαο θανόντος 17.538
κῆρ ἄχεος μεθέηκα, χερείονά περ καταπεφνών." Auto-
medon

[repeated three times]

11.523 "Ἕκτορ, νῶϊ μὲν ἐνθάδ' ὁμιλέομεν Δαναοῖσιν
ἐσχατιῆι πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι
Τρῶες ὀρίνονται ἐπιμὶξ, ἵπποι τε καὶ αὐτοί.
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἡμεῖς
κεῖσ' ἵππους τε καὶ ἅρμ' ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε, κακὴν ἔριδα προβαλόντες,
Kebriones ἀλλήλους ὀλέκουσι, βοὴ δ' ἄσβεστος ὄρωρεν."
11.523 "Ἕκτορ, νῶϊ μὲν ἐνθάδ' ὁμιλέομεν Δαναοῖσιν
ἐσχατιῆι πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι
Τρῶες ὀρίνονται ἐπιμὶξ, ἵπποι τε καὶ αὐτοί.
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἡμεῖς
κεῖσ' ἵππους τε καὶ ἅρμ' ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε, κακὴν ἔριδα προβαλόντες,
Kebriones ἀλλήλους ὀλέκουσι, βοὴ δ' ἄσβεστος ὄρωρεν."
11.523 "Ἕκτορ, νῶϊ μὲν ἐνθάδ' ὁμιλέομεν Δαναοῖσιν
ἐσχατιῆι πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι
Τρῶες ὀρίνονται ἐπιμὶξ, ἵπποι τε καὶ αὐτοί.
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἡμεῖς
κεῖσ' ἵππους τε καὶ ἅρμ' ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε, κακὴν ἔριδα προβαλόντες,
Kebriones ἀλλήλους ὀλέκουσι, βοὴ δ' ἄσβεστος ὄρωρεν."

"Ἀλκίμεδον, τίς τάρ τοι Ἀχαιῶν ἄλλος ὁμοῖος 17.475
ἵππων ἀθανάτων ἐχέμεν δμῆσίν τε μένος τε,
εἰ μὴ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος,
ζωὸς ἐών; νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
ἀλλὰ σὺ μὲν μάστιγα καὶ ἡνία σιγαλόεντα Auto-
δέξαι, ἐγὼ δ' ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι." medon
"Ἀλκίμεδον, μὴ δή μοι ἀπόπροθεν ἰσχέμεν ἵππους, 17.501
ἀλλὰ μάλ' ἐμπνείοντε μεταφρένωι· οὐ γὰρ ἐγώ γε
Ἕκτορα Πριαμίδην μένεος σχήσεσθαι ὀΐω,
πρίν γ' ἐπ' Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω
νῶϊ κατακτείναντα, φοβῆσαί τε στίχας ἀνδρῶν Auto-
Ἀργείων, ἤ κ' αὐτὸς ἐνὶ πρώτοισιν ἁλοίη." medon
"Αἴαντ', Ἀργείων ἡγήτορε, καὶ Μενέλαε, 17.508
ἤτοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ' οἵ περ ἄριστοι,
ἀμφ' αὐτῶι βεβάμεν καὶ ἀμύνεσθαι στίχας ἀνδρῶν,
νῶϊν δὲ ζωοῖσιν ἀμύνετε νηλεὲς ἦμαρ· ◆
τῆιδε γὰρ ἔβρισαν πόλεμον κάτα δακρυόεντα
Ἕκτωρ τ' Αἰνείας θ', οἳ Τρώων εἰσὶν ἄριστοι.
ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται· Auto-
ἥσω γὰρ καὶ ἐγώ, τὰ δέ κεν Διὶ πάντα μελήσει." medon
"ἦ δὴ μὰν ὀλίγον γε Μενοιτιάδαο θανόντος 17.538
κῆρ ἄχεος μεθέηκα, χερείονά περ καταπεφνών." Auto-
medon

EXCLUDED:

"ἔρχεο, δεῦρο κάλεσσον, ἵν' ἀντίον αὐτὸς ἐνίσπηι. **17.529**
οὗτοι δ' ἠὲ θύρηισι καθήμενοι ἑψιαάσθων
ἢ αὐτοῦ κατὰ δώματ', ἐπεί σφισι θυμὸς ἐΰφρων.
αὐτῶν μὲν γὰρ κτήματ' ἀκήρατα κεῖτ' ἐνὶ οἴκωι,
σῖτος καὶ μέθυ ἡδύ· τὰ μέν τ' οἰκῆες ἔδουσιν,
οἱ δ' εἰς ἡμετέρου πωλεύμενοι ἤματα πάντα,
βοῦς ἱερεύοντες καὶ ὄϊς καὶ πίονας αἶγας,
εἰλαπινάζουσιν πίνουσί τε αἴθοπα οἶνον,
μαψιδίως· τὰ δὲ πολλὰ κατάνεται· οὐ γὰρ ἔπ' ἀνήρ,
οἷος Ὀδυσσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἴκου ἀμῦναι. **Pen.**
εἰ δ' Ὀδυσεὺς ἔλθοι καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν, **to Eum.**
αἶψά κε σὺν ὧι παιδὶ βίας ἀποτείσεται ἀνδρῶν."

"πάντως, θαρσαλέη, κύον ἀδδεές, οὔ τί με λήθεις **19.91**
ἔρδουσα μέγα ἔργον, ὃ σῆι κεφαλῆι ἀναμάξεις.
πάντα γὰρ εὖ ἤιδησθ', ἐπεὶ ἐξ ἐμεῦ ἔκλυες αὐτῆς **Pen.**
ὡς τὸν ξεῖνον ἔμελλον ἐνὶ μεγάροισιν ἐμοῖσιν **to**
ἀμφὶ πόσι εἴρεσθαι, ἐπεὶ πυκινῶς ἀκάχημαι." **servant**

23.176 ἀλλ' ἄγε οἱ στόρεσον πυκινὸν λέχος, Εὐρύκλεια,
Pen. to ἐκτὸς ἐϋσταθέος θαλάμου, τόν ῥ' αὐτὸς ἐποίει·
Eurycklea ἔνθα οἱ ἐκθεῖσαι πυκινὸν λέχος ἐμβάλετ' εὐνήν,
κώεα καὶ χλαίνας καὶ ῥήγεα σιγαλόεντα."

21.68 ff.

22.262 "ὦ φίλοι, ἤδη μέν κεν ἐγὼν εἴποιμι καὶ ἄμμιν
Od. μνηστήρων ἐς ὅμιλον ἀκοντίσαι, οἳ μεμάασιν
to φίλοι ἡμέας ἐξεναρίξαι ἐπὶ προτέροισι κακοῖσιν."

ODYSSEY ASCENDS FROM START

SPEAKER COLUMNS

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 3.0

Odysseus 426 lines | Tel 222 lines | Pen. 263 lines

The sketch of southern metope 21 of Parthenon the by Jacques Carrey (1674), now in the Bibliothèque Nationale de France, suggests juxtaposing lines spoken by Od., Tel. and Pen. to one another (or intended to be heard by one of them) in separate columns. [LINK].

In this version,

19.232 τὸν δὲ χιτῶν' ἐνόησα περὶ χροῒ σιγαλόεντα,

is across from Tel.'s fourth silent row (~a row is washed white), the row in which Pen., processing Od.'s return, says:

23.106 οὐδέ τι προσφάσθαι δύναμαι ἔπος οὐδ' ἐρέεσθαι|.

In METOPE 21, the heads of the adults are in horizontal alignment just above the boy-column's head as the woman gestures toward the space between the adult heads with four finger-rows above the boy-column's head. (The gesture of her other hand suggests counting her fingers.) The horizontal alignment of the boy-column's head with the **neck** (Gr. **δειρὴν** acc. sing.) of each adult in METOPE 21 may call to mind the final spoken line of the royal family in the epic, spoken by Tel's grandfather:

24.515 υἱός θ' υἱωνός τ' ἀρετῆς πέρι δῆριν ἔχουσιν."|.

THE SPOKEN LINES (IN SINGLE COLUMNS) OF

ODYSSEUS, PENELOPE & TELEMACHUS

INTENDED TO BE HEARD BY ONE OR MORE OF THEM IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

16.91 “ὦ φίλ’, ἐπεὶ θήν μοι καὶ ἀμείψασθαι θέμις ἐστὶν,
ἦ μάλα μευ καταδάπτετ’ ἀκούοντος φίλον ἦτορ,
οἷά φατε μνηστῆρας ἀτάσθαλα μηχανάασθαι
ἐν μεγάροις, ἀέκητι σέθεν τοιούτου ἐόντος.
εἰπέ μοι ἠὲ ἑκὼν ὑποδάμνασαι, ἦ σέ_γε λαοὶ
ἐχθαίρουσ’ ἀνὰ δῆμον, ἐπισπόμενοι θεοῦ ὀμφῆι,
ἦ τι κασιγνήτοις ἐπιμέμφεαι, οἷσί_περ ἀνὴρ
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.
αἲ γὰρ ἐγὼν οὕτω νέος εἴην τῶιδ’ ἐπὶ θυμῶι,
ἢ παῖς ἐξ Ὀδυσῆος ἀμύμονος ἠὲ καὶ αὐτός
ἔλθοι ἀλητεύων· ἔτι γὰρ καὶ ἐλπίδος αἶσα·
αὐτίκ’ ἔπειτ’ ἀπ’ ἐμεῖο κάρη τάμοι ἀλλότριος φώς,
εἰ μὴ ἐγὼ κείνοισι κακὸν πάντεσσι γενοίμην,
ἐλθὼν ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
εἰ δ’ αὖ με πληθυῖ δαμασαίατο μοῦνον ἐόντα,
βουλοίμην κ’ ἐν ἐμοῖσι κατακτάμενος μεγάροισιν
τεθνάμεν ἢ τάδε γ’ αἰὲν ἀεικέα ἔργ’ ὁράασθαι,
ξείνους τε στυφελιζομένους δμωάς τε γυναῖκας
Od. ῥυστάζοντας ἀεικελίως κατὰ δώματα καλά,
καὶ οἶνον διαφυσσομένους, καὶ σῖτον ἔδοντας
to Tel. μὰψ αὔτως, ἀτέλεστον, ἀνηνύστωι ἐπὶ ἔργωι.”
16.187 “οὔ_τίς τοι θεός εἰμι· τί μ’ ἀθανάτοισιν ἐΐσκεις;
ἀλλὰ πατὴρ τεός εἰμι, τοῦ εἵνεκα σὺ στοναχίζων
πάσχεις ἄλγεα πολλά, βίας ὑποδέγμενος ἀνδρῶν.”
16.202 “Τηλέμαχ’, οὔ σε ἔοικε φίλον πατέρ’ ἔνδον ἐόντα
οὔτέ τι θαυμάζειν περιώσιον οὔτ’ ἀγάασθαι·
οὐ μὲν γάρ τοι ἔτ’ ἄλλος ἐλεύσεται ἐνθάδ’ Ὀδυσσεύς,
ἀλλ’ ὅδ’ ἐγὼ τοιόσδε, παθὼν κακά, πολλὰ δ’ ἀληθείς,
ἤλυθον εἰκοστῶι ἔτεϊ ἐς πατρίδα γαῖαν.
αὐτάρ τοι τόδε ἔργον Ἀθηναίης ἀγελείης,
ἥ_τέ με τοῖον ἔθηκεν, ὅπως ἐθέληι· δύναται γάρ·
ἄλλοτε μὲν πτωχῶι ἐναλίγκιον, ἄλλοτε δ’ αὖτε
ἀνδρὶ νέωι καὶ καλὰ περὶ χροῒ εἵματ’ ἔχοντι.
Od. ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
to Tel. ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ κακῶσαι.”
16.226 “τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω.
Φαίηκές μ’ ἄγαγον ναυσίκλυτοι, οἵ_τε καὶ ἄλλους
ἀνθρώπους πέμπουσιν, ὅ_τίς σφεας εἰσαφίκηται·
καί μ’ εὕδοντ’ ἐν νηῒ θοῆι ἐπὶ πόντον ἄγοντες
κάτθεσαν εἰς Ἰθάκην, ἔπορον δέ μοι ἀγλαὰ δῶρα,
χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά θ’ ὑφαντήν.
καὶ τὰ μὲν ἐν σπήεσσι θεῶν ἰότητι κέονται·
νῦν αὖ δεῦρ’ ἱκόμην ὑποθημοσύνῃσιν Ἀθήνης,
ὄφρα κε δυσμενέεσσι φόνου πέρι βουλεύσωμεν.
ἀλλ’ ἄγε μοι μνηστῆρας ἀριθμήσας κατάλεξον,
ὄφρ’ εἴδω ὅσσοι τε καὶ οἵ_τινες ἀνέρες εἰσίν·
καί κεν ἐμὸν κατὰ θυμὸν ἀμύμονα μερμηρίξας
Od. φράσσομαι, αἴ κεν νῶϊ δυνησόμεθ’ ἀντιφέρεσθαι
to Tel. μούνω ἄνευθ’ ἄλλων, ἦ καὶ διζησόμεθ’ ἄλλους.”
16.259 “τοιγὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο καί με_ ἄκουσον·

“μῆτερ ἐμή, τί τ’_ἄρα αὖ φθονέεις ἐρίηρον ἀοιδὸν 1.346
τέρπειν ὅππηι οἱ νόος ὄρνυται; οὔ νύ τ’ ἀοιδοὶ
αἴτιοι, ἀλλά ποθι Ζεὺς αἴτιος, ὅς_τε δίδωσιν
ἀνδράσιν ἀλφηστῆισιν, ὅπως ἐθέλῃσιν, ἑκάστωι.
τούτωι δ’ οὐ νέμεσις Δαναῶν κακὸν οἶτον ἀείδειν·
τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ’ ἄνθρωποι,
ἥ_τις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.
σοὶ δ’ ἐπιτολμάτω κραδίη καὶ θυμὸς ἀκούειν·
οὐ γὰρ Ὀδυσσεὺς οἶος ἀπώλεσε νόστιμον ἦμαρ
ἐν Τροίηι, πολλοὶ δὲ καὶ ἄλλοι φῶτες ὄλοντο.
ἀλλ’ εἰς οἶκον ἰοῦσα τὰ σ’ αὐτῆς ἔργα κόμιζε,
ἱστόν τ’ ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι· μῦθος δ’ ἄνδρεσσι μελήσει Tel.
πᾶσι, μάλιστα δ’ ἐμοί· τοῦ γὰρ κράτος ἔστ’ ἐνὶ οἴκωι.” to Pen.
“ἧσ’_, ὦ ξεῖν’· ἡμεῖς δὲ καὶ ἄλλοθι δήομεν ἕδρην 16.44
σταθμῶι ἐν ἡμετέρωι· πάρα δ’ ἀνὴρ ὃς καταθήσει.” Tel. to Od.
“τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ’ ἀτρεκέως ἀγορεύσω. 16.113
οὔτε τί μοι πᾶς δῆμος ἀπεχθόμενος χαλεπαίνει,
οὔτε κασιγνήτοις ἐπιμέμφομαι, οἷσί_περ ἀνὴρ
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.
ὧδε γὰρ ἡμετέρην γενεὴν μούνωσε Κρονίων·
μοῦνον Λαέρτην Ἀρκείσιος υἱὸν ἔτικτεν,
μοῦνον δ’ αὖτ’ Ὀδυσῆα πατὴρ τέκεν· αὐτὰρ Ὀδυσσεὺς
μοῦνον ἔμ’ ἐν μεγάροισι τεκὼν λίπεν οὐδ’ ἀπόνητο.
τῶι νῦν δυσμενέες μάλα μυρίοι εἴσ’ ἐνὶ οἴκωι·
ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίωι τε Σάμηι τε καὶ ὑλήεντι Ζακύνθωι,
ἠδ’ ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν,
τόσσοι μητέρ’ ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον.
ἡ δ’ οὔτ’ ἀρνεῖται στυγερὸν γάμον οὔτε τελευτὴν
ποιῆσαι δύναται· τοί δὲ φθινύθουσιν ἔδοντες
οἶκον ἐμόν· τάχα δή με διαρραίσουσι καὶ αὐτόν.
ἀλλ’ ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·
ἄττα, σὺ δ’ ἔρχεο θᾶσσον, ἐχέφρονι Πηνελοπείηι
εἴφ’ ὅτι οἱ σῶς εἰμὶ καὶ ἐκ Πύλου εἰλήλουθα.
αὐτὰρ ἐγὼν αὐτοῦ μενέω, σὺ δὲ δεῦρο νέεσθαι,
οἴηι ἀπαγγείλας· τῶν δ’ ἄλλων μή_τις Ἀχαιῶν Tel.
πευθέσθω· πολλοὶ γάρ ἐμοὶ κακὰ μηχανόωνται.” to Od.
“ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἠὲ πάροιθεν, 16.181
ἄλλα δὲ εἵματ’ ἔχεις, καί τοι χρὼς οὐκέθ’ ὁμοῖος.
ἦ μάλα τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν·
ἀλλ’ ἵληθ’, ἵνα τοι κεχαρισμένα δώομεν ἱρὰ Tel.
ἠδὲ χρύσεα δῶρα, τετυγμένα· φείδεο δ’ ἡμέων.” to Od.
“οὐ σύ_γ’ Ὀδυσσεύς ἐσσι, πατὴρ ἐμός, ἀλλά με δαίμων 16.194
θέλγεις, ὄφρ’ ἔτι μᾶλλον ὀδυρόμενος στοναχίζω.
οὐ γάρ πως ἂν θνητὸς ἀνὴρ τάδε μηχανόωιτο
ὧι αὐτοῦ γε νόωι, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν
ῥηϊδίως ἐθέλων θείη νέον ἠὲ γέροντα. Tel.
ἦ γάρ τοι νέον ἦσθα γέρων καὶ ἀεικέα ἕσσο· to Od.
νῦν δὲ θεοῖσιν ἔοικας, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.”

“ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος. οὔ σ’ ἔτ’ ἐγώ_γε 17.41
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηῒ Πύλονδε
λάθρηι, ἐμεῦ ἀέκητι, φίλου μετὰ πατρὸς ἀκουήν. Pen.
ἀλλ’ ἄγε μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς.” to Tel.
“Τηλέμαχ’, ἤτοι ἐγὼν ὑπερώϊον εἰσαναβᾶσα 17.101
λέξομαι εἰς εὐνήν, ἥ μοι στονόεσσα τέτυκται,
αἰεὶ δάκρυσ’ ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχεθ’ ἅμ’ Ἀτρείδηισιν ἐς Ἴλιον· οὐδέ μοι ἔτλης, Pen.
πρὶν ἐλθεῖν μνηστῆρας ἀγήνορας ἐς τόδε δῶμα, to Tel.
νόστον σοῦ πατρὸς σάφα εἰπέμεν, εἴ που ἄκουσας.” ◆
“οὐ σύ_γ’ ἄγεις, Εὔμαιε; τί τοῦτ’ ἐνόησεν ἀλήτης; 17.576
ἦ τινά που δείσας ἐξαίσιον ἠὲ καὶ ἄλλως Pen.
αἰδεῖται κατὰ δῶμα; κακὸς δ’ αἰδοῖος ἀλήτης.” to Eum.
“ἔρχεο, δῖ’ Εὔμαιε, κιὼν τὸν ξεῖνον ἄνωχθι 17.508
ἐλθέμεν, ὄφρα τί μιν προσπτύξομαι ἠδ’ ἐρέωμαι, Pen.
εἴ που Ὀδυσσῆος ταλασίφρονος ἠὲ πέπυσται
ἢ ἴδεν ὀφθαλμοῖσι· πολυπλάγκτωι γὰρ ἔοικεν.” to Eum.
“ἔρχεό μοι, τὸν ξεῖνον ἐναντίον ὧδε κάλεσσον. 17.544
οὐχ ὁράαις ὅ μοι υἱὸς ἐπέπταρε πᾶσιν ἔπεσσιν;
τῶι κε καὶ οὐκ ἀτελὴς θάνατος μνηστῆρσι γένοιτο.
πᾶσι μάλ, οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξοι.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῆισιν· Pen.
αἴ κ’ αὐτὸν γνώω νημερτέα πάντ’ ἐνέποντα, to Eum.
ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά.”
“οὐκ ἄφρων ὁ ξεῖνος ὀΐεται, ὥς_περ ἂν εἴηι· 17.586
οὐ γάρ πώ τινες ὧδε καταθνητῶν ἀνθρώπων Pen.
ἀνέρες ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται.” to Eum.
“Τηλέμαχ’, οὐκέτι τοι φρένες ἔμπεδοι οὐδὲ νόημα· 18.215
παῖς ἔτ’ ἐὼν καὶ μᾶλλον ἐνὶ φρεσὶ κέρδε’ ἐνώμας·
νῦν δ’, ὅτε δὴ μέγας ἐσσὶ καὶ ἥβης μέτρον ἱκάνεις
καί κέν τις φαίη γόνον ἔμμεναι ὀλβίου ἀνδρός,
ἐς μέγεθος καὶ κάλλος ὁρώμενος, ἀλλότριος φώς,
οὐκέτι τοι φρένες εἰσὶν ἐναίσιμοι οὐδὲ νόημα.
οἷον δὴ τόδε ἔργον ἐνὶ μεγάροισιν ἐτύχθη,
ὃς τὸν ξεῖνον ἔασας ἀεικισθήμεναι οὕτως.
πῶς νῦν, εἴ τι ξεῖνος ἐν ἡμετέροισι δόμοισιν
ἥμενος ὧδε πάθοι ῥυστακτύος ἐξ ἀλεγεινῆς, Pen.
σοί κ’ αἶσχος λώβη τε μετ’ ἀνθρώποισι πέλοιτο.” to Tel.
‘ὦ γύναι, οὐ γὰρ ὀΐω ἐϋκνήμιδας Ἀχαιοὺς 18.259
ἐκ Τροίης εὖ πάντας ἀπήμονας ἀπονέεσθαι·
καὶ γὰρ Τρῶάς φασι μαχητὰς ἔμμεναι ἄνδρας,
ἠμὲν ἀκοντιστὰς ἠδὲ ῥυτῆρας ὀϊστῶν
ἵππων τ’ ὠκυπόδων ἐπιβήτορας, οἵ τε τάχιστα
ἔκριναν μέγα νεῖκος ὁμοιΐοο πτολέμοιο.
τῶι οὐκ οἶδ’ ἤ κέν μ’ ἀνέσηι θεός, ἦ κεν ἁλώω
αὐτοῦ ἐνὶ Τροίηι· σοὶ δ’ ἐνθάδε πάντα μελόντων.
μεμνῆσθαι πατρὸς καὶ μητέρος ἐν μεγάροισιν
ὡς νῦν, ἢ ἔτι μᾶλλον, ἐμεῦ ἀπονόσφιν ἐόντος· Od. to
αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα ἴδηαι, to Pen.
γήμασθ’ ὧι κ’ ἐθέληισθα, τεὸν κατὰ δῶμα λιποῦσα.’

Od. καὶ φράσαι ἤ κεν νῶϊν Ἀθήνη σὺν Διὶ πατρὶ
to Tel. ἀρκέσει, ἦέ τιν' ἄλλον ἀμύντορα μερμηρίξω."
16.267 "οὐ μέν τοι κείνω γε πολὺν χρόνον ἀμφὶς ἔσεσθον
φυλόπιδος κρατερῆς, ὁπότε μνηστῆρσι καὶ ἡμῖν
ἐν μεγάροισιν ἐμοῖσι μένος κρίνηται Ἄρηος.
ἀλλὰ σὺ μὲν νῦν ἔρχευ ἅμ' ἠοῖ φαινομένηφιν
οἴκαδε, καὶ μνηστῆρσιν ὑπερφιάλοισιν ὁμίλει·
αὐτὰρ ἐμὲ προτὶ ἄστυ συβώτης ὕστερον ἄξει,
πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι.
εἰ δέ μ' ἀτιμήσουσι δόμον κάτα, σὸν δὲ φίλον κῆρ
τετλάτω ἐν στήθεσσι κακῶς πάσχοντος ἐμεῖο,
ἤν περ καὶ διὰ δῶμα ποδῶν ἕλκωσι θύραζε
ἢ βέλεσιν βάλλωσι· σὺ δ' εἰσορόων ἀνέχεσθαι.
ἀλλ' ἤτοι παύεσθαι ἀνωγέμεν ἀφροσυνάων,
μειλιχίοις ἐπέεσσι παραυδῶν· οἱ δέ τοι οὔ τι
πείσονται· δὴ γάρ σφι παρίσταται αἴσιμον ἦμαρ.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
ὁππότε κεν πολύβουλος ἐπὶ φρεσὶ θήσει Ἀθήνη,
νεύσω μέν τοι ἐγὼ κεφαλῇ, σὺ δ' ἔπειτα νοήσας,
ὅσσα τοι ἐν μεγάροισιν Ἀρήϊα τεύχεα κεῖται,
ἐς μυχὸν ὑψηλοῦ θαλάμου καταθεῖναι ἀείρας
πάντα μάλ'· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσιν
παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
'ἐκ καπνοῦ κατέθηκ', ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει
οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
ἀλλὰ κατῄκισται, ὅσσον πυρὸς ἵκετ' ἀϋτμή.
πρὸς δ' ἔτι μοι τόδε μέζον ἐνὶ φρεσὶ θῆκε Κρονίων,
μή πως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
ἀλλήλους τρώσητε καταισχύνητέ τε δαῖτα
καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.'
νῶϊν δ' οἴοισιν δύο φάσγανα καὶ δύο δοῦρε
καλλιπέειν καὶ δοιὰ βοάγρια χερσὶν ἑλέσθαι,
ὡς ἂν ἐπιθύσαντες ἑλοίμεθα· τοὺς δέ κ' ἔπειτα
Παλλὰς Ἀθηναίη θέλξει καὶ μητίετα Ζεύς.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
εἰ ἐτεόν γ' ἐμός ἐσσι καὶ αἵματος ἡμετέροιο,
μή τις ἔπειτ' Ὀδυσῆος ἀκουσάτω ἔνδον ἐόντος,
μήτ' οὖν Λαέρτης ἴστω τό γε μήτε συβώτης
μήτέ τις οἰκήων μήτ' αὐτὴ Πηνελόπεια,
ἀλλ' οἶοι σύ τ' ἐγώ τε γυναικῶν γνώομεν ἰθύν·
καί κέ τεο δμώων ἀνδρῶν ἔτι πειρηθεῖμεν,
Od. ἠμὲν ὅ πού τις νῶϊ τίει καὶ δείδιε θυμῷ,
to Tel. ἠδ' ὅ τις οὐκ ἀλέγει, σὲ δ' ἀτιμᾷ τοῖον ἐόντα."
17.17 "ὦ φίλος, οὐδέ τοι αὐτὸς ἐρύκεσθαι μενεαίνω·
πτωχῷ βέλτερόν ἐστι κατὰ πτόλιν ἠὲ κατ' ἀγροὺς
δαῖτα πτωχεύειν· δώσει δέ μοι ὅς κ' ἐθέλῃσιν.
οὐ γὰρ ἐπὶ σταθμοῖσι μένειν ἔτι τηλίκος εἰμί,
ὥς τ' ἐπιτειλαμένῳ σημάντορι πάντα πιθέσθαι.
ἀλλ' ἔρχευ· ἐμὲ δ' ἄξει ἀνὴρ ὅδε, τὸν σὺ κελεύεις,
αὐτίκ' ἐπεί κε πυρὸς θερέω ἀλέη τε γένηται.

"ποίῃ γὰρ νῦν δεῦρο, πάτερ φίλε, νηΐ σε ναῦται 16.222
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι ηὐχετόωντο; Tel.
οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι." to Od.
"ὦ πάτερ, ἤτοι σεῖο μέγα κλέος αἰὲν ἄκουον, 16.241
χεῖράς τ' αἰχμητὴν ἔμεναι καὶ ἐπίφρονα βουλήν·
ἀλλὰ λίην μέγα εἶπες· ἄγη μ' ἔχει· οὐδέ κεν εἴη
ἄνδρε δύω πολλοῖσι καὶ ἰφθίμοισι μάχεσθαι.
μνηστήρων δ' οὔτ' ἂρ δεκὰς ἀτρεκὲς οὐδὲ δύ' οἶαι,
ἀλλὰ πολὺ πλέονες· τάχα δ' εἴσεαι ἐνθάδ' ἀριθμόν.
ἐκ μὲν Δουλιχίοιο δύω καὶ πεντήκοντα
κοῦροι κεκριμένοι, ἓξ δὲ δρηστῆρες ἕπονται·
ἐκ δὲ Σάμης πίσυρές τε καὶ εἴκοσι φῶτες ἔασιν,
ἐκ δὲ Ζακύνθου ἔασιν ἐείκοσι κοῦροι Ἀχαιῶν,
ἐκ δ' αὐτῆς Ἰθάκης δυοκαίδεκα πάντες ἄριστοι,
καί σφιν ἅμ' ἐστὶ Μέδων κῆρυξ καὶ θεῖος ἀοιδὸς
καὶ δοιὼ θεράποντε, δαήμονε δαιτροσυνάων.
τῶν εἴ κεν πάντων ἀντήσομεν ἔνδον ἐόντων,
μὴ πολύπικρα καὶ αἰνὰ βίας ἀποτείσεαι ἐλθών.
ἀλλὰ σύ γ', εἰ δύνασαί τιν' ἀμύντορα μερμηρίξαι, Tel.
φράζευ, ὅ κέν τις νῶϊν ἀμύνοι πρόφρονι θυμῷ." to Od.
"ἐσθλώ τοι τούτω γ' ἐπαμύντορε, τοὺς ἀγορεύεις, 16.263
ὕψι περ ἐν νεφέεσσι καθημένω· ὥ τε καὶ ἄλλοις Tel.
ἀνδράσι τε κρατέουσι καὶ ἀθανάτοισι θεοῖσιν." to Od.
"ὦ πάτερ, ἤτοι ἐμὸν θυμὸν καὶ ἔπειτά γ', ὀΐω, 16.309
γνώσεαι· οὐ μὲν γάρ τι χαλιφροσύναι γέ μ' ἔχουσιν·
ἀλλ' οὔ τοι τό γε κέρδος ἐγὼν ἔσσεσθαι ὀΐω
ἡμῖν ἀμφοτέροισι· σὲ δὲ φράζεσθαι ἄνωγα.
δηθὰ γὰρ αὔτως εἴσῃ ἑκάστου πειρητίζων,
ἔργα μετερχόμενος· τοί δ' ἐν μεγάροισιν ἕκηλοι
χρήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ' ἔπι φειδώ.
ἀλλ' ἤτοί σε γυναῖκας ἐγὼ δεδάασθαι ἄνωγα,
αἵ τέ σ' ἀτιμάζουσι καὶ αἳ νηλείτιές εἰσιν·
ἀνδρῶν δ' οὐκ ἂν ἐγώ γε κατὰ σταθμοὺς ἐθέλοιμι Tel.
ἡμέας πειράζειν, ἀλλ' ὕστερα ταῦτα πένεσθαι, to Od.
εἰ ἐτεόν γέ τι οἶσθα Διὸς τέρας αἰγιόχοιο."
"ἄττ', ἤτοι μὲν ἐγὼν εἶμ' ἐς πόλιν, ὄφρα με μήτηρ ✦ 17.6
ὄψεται· οὐ γάρ μιν πρόσθεν παύσεσθαι ὀΐω
κλαυθμοῦ τε στυγεροῖο γόοιό τε δακρυόεντος,
πρίν γ' αὐτόν με ἴδηται· ἀτὰρ σοί γ' ὧδ' ἐπιτέλλω.
τὸν ξεῖνον δύστηνον ἄγ' ἐς πόλιν, ὄφρ' ἂν ἐκεῖθι
δαῖτα πτωχεύῃ· δώσει δέ οἱ ὅς κ' ἐθέλῃσιν
πύρνον καὶ κοτύλην. ἐμὲ δ' οὔ πως ἔστιν ἅπαντας
ἀνθρώπους ἀνέχεσθαι, ἔχοντά περ ἄλγεα θυμῷ.
ὁ ξεῖνος δ' εἴ περ μάλα μηνίει, ἄλγιον αὐτῷ Tel.
ἔσσεται· ἦ γὰρ ἐμοὶ φίλ' ἀληθέα μυθήσασθαι." to Eum.
"μῆτερ ἐμή, μή μοι γόον ὄρνυθι μηδέ μοι ἦτορ 17.46
ἐν στήθεσσιν ὄρινε φυγόντι περ αἰπὺν ὄλεθρον·
ἀλλ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα,
εἰς ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
εὔχεο πᾶσι θεοῖσι τελέσσας ἑκατόμβας

“ξεῖν’, ἔτι καὶ νῦν ἐνθάδ’ ἀνιήσεις διὰ νύκτα 19.66
δινεύων κατὰ οἶκον, ὀπιπεύσεις δὲ γυναῖκας;
ἀλλ’ ἔξελθε θύραζε, τάλαν, καὶ δαιτὸς ὄνησο· Pen.
ἢ τάχα καὶ δαλῶι βεβλημένος εἶσθα θύραζε.” to Od.
“ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή· ✦ 19.104
τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;” Pen. to Od.
“ξεῖν’, ἤτοι μὲν ἐμὴν ἀρετὴν εἶδός τε δέμας τε 19.124
ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι, μετὰ τοῖσι δ’ ἐμὸς πόσις ἤιεν Ὀδυσσεύς.
εἰ κεῖνός γ’ ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
μεῖζον κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτως.
νῦν δ’ ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων.
ὅσσοι γὰρ νήσοισιν ἔπι κρατέουσιν ἄριστοι,
Δουλιχίωι τε Σάμηι τε καὶ ὑλήεντι Ζακύνθωι,
οἵ τ’ αὐτὴν Ἰθάκην εὐδείελον ἀμφινέμονται,
οἵ μ’ ἀεκαζομένην μνῶνται, τρύχουσι δὲ οἶκον.
τῶι οὔτε ξείνων ἐμπάζομαι οὔθ’ ἱκετάων
οὔτέ τι κηρύκων, οἳ δημιοεργοὶ ἔασιν·
ἀλλ’ Ὀδυσῆ ποθέουσα φίλον κατατήκομαι ἦτορ.
οἱ δὲ γάμον σπεύδουσιν· ἐγὼ δὲ δόλους τολυπεύω.
φᾶρος μέν μοι πρῶτον ἐνέπνευσε φρεσὶ δαίμων,
στησαμένηι μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὑφαίνειν,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ’ αὐτοῖς μετέειπον·
‘κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
μίμνετ’ ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
ἐκτελέσω — μή μοι μεταμώνια νήματ’ ὄληται —
Λαέρτηι ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
μοῖρ’ ὀλοὴ καθέλησι τανηλεγέος θανάτοιο·
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσηι,
αἴ κεν ἄτερ σπείρου κεῖται πολλὰ κτεατίσσας.’
ὣς ἐφάμην, τοῖσιν δ’ ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκον μέγαν ἱστόν,
νύκτας δ’ ἀλλύεσκον, ἐπὴν δαΐδας παραθείμην.
ὣς τρίετες μὲν ἔληθον ἐγὼ καὶ ἔπειθον Ἀχαιούς·
ἀλλ’ ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι
μηνῶν φθινόντων, περὶ δ’ ἤματα πόλλ’ ἐτελέσθη,
καὶ τότε δή με διὰ δμωάς, κύνας οὐκ ἀλεγούσας,
εἷλον ἐπελθόντες καὶ ὁμόκλησαν ἐπέεσσιν.
ὣς τὸ μὲν ἐξετέλεσσα, καὶ οὐκ ἐθέλουσ’, ὑπ’ ἀνάγκης·
νῦν δ’ οὔτ’ ἐκφυγέειν δύναμαι γάμον οὔτέ τιν’ ἄλλην
μῆτιν ἔθ’ εὑρίσκω. μάλα δ’ ὀτρύνουσι τοκῆες
γήμασθ’, ἀσχαλάαι δὲ πάϊς βίοτον κατεδόντων,
γιγνώσκων· ἤδη γὰρ ἀνὴρ οἷός τε μάλιστα
οἴκου κήδεσθαι, τῶι τε Ζεὺς ὄλβον ὀπάζηι.
ἀλλὰ καὶ ὧς μοι εἰπὲ τεὸν γένος, ὁππόθεν ἐσσί·
οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου οὐδ’ ἀπὸ πέτρης.” Pen. to Od.
“νῦν μὲν δή σευ, ξεῖνε, ὀΐω πειρήσεσθαι, 19.215
εἰ ἐτεὸν δὴ κεῖθι σὺν ἀντιθέοις ἑτάροισιν
ξείνισας ἐν μεγάροισιν ἐμὸν πόσιν, ὡς ἀγορεύεις.
εἰπέ μοι, ὁπποῖ’ ἄσσα περὶ χροῒ εἵματα ἕστο, Pen.

Od. αἰνῶς γὰρ τάδε εἵματ' ἔχω κακά· μή με δαμάσσηι
to Tel. στίβη ὑπηοίη· ἕκαθεν δέ τε ἄστυ φάτ' εἶναι."
17.561 "Εὔμαι', αἶψά κ' ἐγὼ νημερτέα πάντ' ἐνέποιμι
κούρηι Ἰκαρίοιο, περίφρονι Πηνελοπείηι·
οἶδα γάρ εὖ περὶ κείνου, ὁμὴν δ' ἀνεδέγμεθ' ὀϊζύν.
Od. to ἀλλὰ μνηστήρων χαλεπὸν ὑποδείδι' ὅμιλον,
Eumaeus τῶν ὕβρις τε βίη σιδήρεον οὐρανὸν ἵκει
but for καὶ γὰρ νῦν, ὅτε μ' οὗτος ἀνὴρ κατὰ δῶμα κιόντα,
Pen. to οὔ τι κακὸν ῥέξαντα βαλὼν ὀδύνησιν ἔδωκεν,
hear οὔτε τι Τηλέμαχος τό γ' ἐπήρκεσεν οὔτε τις ἄλλος.
τῶι νῦν Πηνελόπειαν ἐνὶ μεγάροισιν ἄνωχθι
μεῖναι, ἐπειγομένην περ, ἐς ἠέλιον καταδύντα·
καὶ τότε μ' εἰρέσθω πόσιος πέρι νόστιμον ἦμαρ,
ἀσσοτέρω καθέσασα παραὶ πυρί· εἵματα γάρ τοι
λύγρ' ἔχω· οἶσθα καὶ αὐτός, ἐπεὶ σὲ πρῶθ' ἱκέτευσα."
18.259 'ὦ γύναι, οὐ γὰρ ὀΐω ἐϋκνήμιδας Ἀχαιοὺς
ἐκ Τροίης εὖ πάντας ἀπήμονας ἀπονέεσθαι·
καὶ γὰρ Τρῶάς φασι μαχητὰς ἔμμεναι ἄνδρας,
ἠμὲν ἀκοντιστὰς ἠδὲ ῥυτῆρας ὀϊστῶν
ἵππων τ' ὠκυπόδων ἐπιβήτορας, οἵ τε τάχιστα
ἔκριναν μέγα νεῖκος ὁμοιΐοο πτολέμοιο.
τῶι οὐκ οἶδ' ἤ κέν μ' ἀνέσηι θεός, ἦ κεν ἁλώω
αὐτοῦ ἐνὶ Τροίηι· σοὶ δ' ἐνθάδε πάντα μελόντων.
Od. to μεμνῆσθαι πατρὸς καὶ μητέρος ἐν μεγάροισιν
Pen. ὡς νῦν, ἢ ἔτι μᾶλλον, ἐμεῦ ἀπονόσφιν ἐόντος·
said by αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα ἴδηαι,
Pen. γήμασθ' ὧι κ' ἐθέληισθα, τεὸν κατὰ δῶμα λιποῦσα.'
19.4 ◆ "Τηλέμαχε, χρὴ τεύχε' Ἀρήϊα κατθέμεν εἴσω
πάντα μάλ'· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσιν
παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
ἐκ καπνοῦ κατέθηκ', ἐπεὶ οὐκέτι τοῖσιν ἐώικει
οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
ἀλλὰ κατήικισται, ὅσσον πυρὸς ἵκετ' ἀϋτμή.
πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶν ἔμβαλε δαίμων,
μή πως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
Od. ἀλλήλους τρώσητε καταισχύνητέ τε δαῖτα
to Tel. καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος."
19.42 "σίγα καὶ κατὰ σὸν νόον ἴσχανε μηδ' ἐρέεινε·
αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν.
ἀλλὰ σὺ μὲν κατάλεξαι, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ,
Od. ὄφρα κ' ἔτι δμωὰς καὶ μητέρα σὴν ἐρεθίζω·
to Tel. ἡ δέ μ' ὀδυρομένη εἰρήσεται ἀμφὶς ἕκαστα."
19.71 "δαιμονίη, τί μοι ὧδ' ἐπέχεις κεκοτηότι θυμῶι;
ἦ ὅτι δὴ ῥυπόω, κακὰ δὲ χροῒ εἵματα εἶμαι,
πτωχεύω δ' ἀνὰ δῆμον; ἀναγκαίη γὰρ ἐπείγει.
τοιοῦτοι πτωχοὶ καὶ ἀλήμονες ἄνδρες ἔασιν.
καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
ὄλβιος ἀφνειὸν καὶ πολλάκι δόσκον ἀλήτηι,
τοίωι ὁποῖος ἔοι καὶ ὅτευ κεχρημένος ἔλθοι·
ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλὰ

ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσηι.
αὐτὰρ ἐγὼν ἀγορήνδε ἐλεύσομαι, ὄφρα καλέσσω
ξεῖνον, ὅ τίς μοι κεῖθεν ἅμ' ἕσπετο δεῦρο κιόντι.
τὸν μὲν ἐγὼ προὔπεμψα σὺν ἀντιθέοις ἑτάροισιν,
Πείραιον δέ μιν ἠνώγεα προτὶ οἶκον ἄγοντα Tel.
ἐνδυκέως φιλέειν καὶ τιέμεν, εἰς ὅ κεν ἔλθω." to Pen.
"τοιγὰρ ἐγώ τοι, μῆτερ, ἀληθείην καταλέξω. 17.108
ᾠχόμεθ' ἔς τε Πύλον καὶ Νέστορα, ποιμένα λαῶν·
δεξάμενος δέ με κεῖνος ἐν ὑψηλοῖσι δόμοισιν
ἐνδυκέως ἐφίλει, ὡς εἴ τε πατὴρ ἑὸν υἱὸν
ἐλθόντα χρόνιον νέον ἄλλοθεν· ὣς ἐμὲ κεῖνος
ἐνδυκέως ἐκόμιζε σὺν υἱάσι κυδαλίμοισιν.
αὐτὰρ Ὀδυσσῆος ταλασίφρονος οὔ ποτ' ἔφασκεν,
ζωοῦ οὐδὲ θανόντος, ἐπιχθονίων τε' ἀκοῦσαι·
ἀλλά μ' ἐς Ἀτρείδην, δουρικλειτὸν Μενέλαον,
ἵπποισι προὔπεμψε καὶ ἅρμασι κολλητοῖσιν.
ἔνθ' ἴδον Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλὰ
Ἀργεῖοι Τρῶές τε θεῶν ἰότητι μόγησαν.
εἴρετο δ' αὐτίκ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος
ὅττευ χρηΐζων ἱκόμην Λακεδαίμονα δῖαν·
αὐτὰρ ἐγὼ τῶι πᾶσαν ἀληθείην κατέλεξα·
καὶ τότε δή μ' ἐπέεσσιν ἀμειβόμενος προσέειπεν·
'ὢ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῆι
ἤθελον εὐνηθῆναι, ἀνάλκιδες αὐτοὶ ἐόντες.
ὡς δ' ὁπότ' ἐν ξυλόχωι ἔλαφος κρατεροῖο λέοντος
νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνοὺς
κνημοὺς ἐξερέησι καὶ ἄγκεα ποιήεντα
βοσκομένη, ὁ δ' ἔπειτα ἑὴν εἰσήλυθεν εὐνήν,
ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν,
ὣς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοῖος ἐὼν οἷός ποτ' ἐϋκτιμένηι ἐνὶ Λέσβωι
ἐξ ἔριδος Φιλομηλείδηι ἐπάλαισεν ἀναστάς,
κὰδ δ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί,
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
πάντές κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
ταῦτα δ' ἅ μ' εἰρωτᾶις καὶ λίσσεαι, οὐκ ἂν ἐγώ γε
ἄλλα παρὲξ εἴποιμι παρακλιδὸν οὐδ' ἀπατήσω,
ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἅλιος νημερτής,
τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος οὐδ' ἐπικεύσω.
φῆ μιν ὅ γ' ἐν νήσωι ἰδέειν κρατέρ' ἄλγε' ἔχοντα,
νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκηι
ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι.
οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.'
ὣς ἔφατ' Ἀτρείδης, δουρικλειτὸς Μενέλαος.
ταῦτα τελευτήσας νεόμην· ἔδοσαν δέ μοι οὖρον Tel.
ἀθάνατοι, τοί μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν." to Pen.
"δὸς τῶι ξείνωι ταῦτα φέρων, αὐτόν τε κέλευε 17.345
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·

αὐτός θ' οἷος ἔην, καὶ ἑταίρους, οἵ οἱ ἕποντο." to Od.
"νῦν μὲν δή μοι, ξεῖνε, πάρος περ ἐὼν ἐλεεινὸς, 19.253
ἐν μεγάροισιν ἐμοῖσι φίλος τ' ἔσηι αἰδοῖός τε·
αὐτὴ γὰρ τάδε εἵματ' ἐγὼ πόρον, οἷ' ἀγορεύεις,
πτύξασ' ἐκ θαλάμου, περόνην δ' ἐπέθηκα φαεινὴν
κείνωι ἄγαλμ' ἔμεναι. τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
οἴκαδε νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν·
τῶι ῥα κακῆι αἴσηι κοίλης ἐπὶ νηὸς Ὀδυσσεὺς Pen.
ὤιχετ' ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν." to Od.
"αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη· 19.309
τῶι κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.
ἀλλά μοι ὧδ' ἀνὰ θυμὸν ὀΐεται, ὡς ἔσεταί περ·
οὔτ' Ὀδυσεὺς ἔτι οἶκον ἐλεύσεται, οὔτε σὺ πομπῆς
τεύξηι, ἐπεὶ οὐ τοῖοι σημάντορές εἰσ' ἐνὶ οἴκωι
οἷος Ὀδυσσεὺς ἔσκε μετ' ἀνδράσιν, εἴ ποτ' ἔην γε,
ξείνους αἰδοίους ἀποπεμπέμεν ἠδὲ δέχεσθαι.
ἀλλά μιν, ἀμφίπολοι, ἀπονίψατε, κάτθετε δ' εὐνήν,
δέμνια καὶ χλαίνας καὶ ῥήγεα σιγαλόεντα,
ὥς κ' εὖ θαλπιόων χρυσόθρονον Ἠῶ ἵκηται.
ἠῶθεν δὲ μάλ' ἦρι λοέσσαί τε χρῖσαί τε,
ὥς κ' ἔνδον παρὰ Τηλεμάχωι δείπνοιο μέδηται
ἥμενος ἐν μεγάρωι· τῶι δ' ἄλγιον ὅς κεν ἐκείνων
τοῦτον ἀνιάζηι θυμοφθόρος· οὐδέ τι ἔργον
ἐνθάδ' ἔτι πρήξει, μάλα περ κεχολωμένος αἰνῶς.
πῶς γὰρ ἐμεῦ σύ, ξεῖνε, δαήσεαι εἴ τι γυναικῶν
ἀλλάων περίειμι νόον καὶ ἐπίφρονα μῆτιν,
εἴ κεν ἀϋσταλέος, κακὰ εἱμένος ἐν μεγάροισιν
δαινύηι; ἄνθρωποι δὲ μινυνθάδιοι τελέθουσιν.
ὃς μὲν ἀπηνὴς αὐτὸς ἔηι καὶ ἀπηνέα εἰδῆι,
τῶι δὲ καταρῶνται πάντες βροτοὶ ἄλγε' ὀπίσσω
ζωῶι, ἀτὰρ τεθνεῶτί γ' ἐφεψιόωνται ἅπαντες·
ὃς δ' ἂν ἀμύμων αὐτὸς ἔηι καὶ ἀμύμονα εἰδῆι,
τοῦ μέν τε κλέος εὐρὺ διὰ ξεῖνοι φορέουσιν Pen.
πάντας ἐπ' ἀνθρώπους, πολλοί τέ μιν ἐσθλὸν ἔειπον." to Od.
"ξεῖνε φίλ'· οὐ γάρ πώ τις ἀνὴρ πεπνυμένος ὧδε 19.350
ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα,
ὡς σὺ μάλ' εὐφραδέως πεπνυμένα πάντ' ἀγορεύεις·
ἔστι δέ μοι γρηῢς πυκινὰ φρεσὶ μήδε' ἔχουσα,
ἣ κεῖνον δύστηνον ἐῢ τρέφεν ἠδ' ἀτίταλλεν,
δεξαμένη χείρεσσ', ὅτε μιν πρῶτον τέκε μήτηρ,
ἥ σε πόδας νίψει, ὀλιγηπελέουσά περ ἔμπης.
ἀλλ' ἄγε νῦν ἀνστᾶσα, περίφρων Εὐρύκλεια,
νίψον σοῖο ἄνακτος ὁμήλικα· καί που Ὀδυσσεὺς Pen.
ἤδη τοιόσδ' ἐστὶ πόδας τοιόσδέ τε χεῖρας· to Od.
αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν."
"ξεῖνε, τὸ μέν σ' ἔτι τυτθὸν ἐγὼν εἰρήσομαι αὐτή· 19.509
καὶ γὰρ δὴ κοίτοιο τάχ' ἔσσεται ἡδέος ὥρη,
ὅν τινά γ' ὕπνος ἕληι γλυκερὸς, καὶ κηδόμενόν περ.
αὐτὰρ ἐμοὶ καὶ πένθος ἀμέτρητον πόρε δαίμων·

οἷσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται.
ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων — ἤθελε γάρ που —
τῶι νῦν μή ποτε καὶ σύ, γύναι, ἀπὸ πᾶσαν ὀλέσσηις
ἀγλαΐην, τῆι νῦν γε μετὰ δμωῇσι κέκασσαι·
μή πώς τοι δέσποινα κοτεσσαμένη χαλεπήνηι,
ἢ Ὀδυσεὺς ἔλθηι· ἔτι γὰρ καὶ ἐλπίδος αἶσα.
εἰ δ' ὁ μὲν ὣς ἀπόλωλε καὶ οὐκέτι νόστιμός ἐστιν,
ἀλλ' ἤδη παῖς τοῖος Ἀπόλλωνός γε ἕκητι,
Od. Τηλέμαχος· τὸν δ' οὔ τις ἐνὶ μεγάροισι γυναικῶν
to Pen. λήθει ἀτασθάλλουσ', ἐπεὶ οὐκέτι τηλίκος ἐστίν."
19.107 "ὦ γύναι, οὐκ ἄν τίς σε βροτῶν ἐπ' ἀπείρονα γαῖαν
νεικέοι· ἦ γάρ σευ κλέος οὐρανὸν εὐρὺν ἱκάνει,
ὥς τέ τευ ἢ βασιλῆος ἀμύμονος, ὅς τε θεουδὴς
ἀνδράσιν ἐν πολλοῖσι καὶ ἰφθίμοισιν ἀνάσσων
εὐδικίας ἀνέχηισι, φέρηισι δὲ γαῖα μέλαινα
πυροὺς καὶ κριθάς, βρίθηισι δὲ δένδρεα καρπῶι,
τίκτηι δ' ἔμπεδα μῆλα, θάλασσα δὲ παρέχηι ἰχθῦς
ἐξ εὐηγεσίης, ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ.
τῶι ἐμὲ νῦν τὰ μὲν ἄλλα μετάλλα σῶι ἐνὶ οἴκωι,
μηδ' ἐμὸν ἐξερέεινε γένος καὶ πατρίδα γαῖαν,
μή μοι μᾶλλον θυμὸν ἐνιπλήσηις ὀδυνάων
μνησαμένωι· μάλα δ' εἰμὶ πολύστονος· οὐδέ τί με χρὴ
οἴκωι ἐν ἀλλοτρίωι γοόωντά τε μυρόμενόν τε
ἧσθαι, ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί·
Od. μή τίς μοι δμωῶν νεμεσήσεται, ἠὲ σύ γ' αὐτή,
to Pen. φῆι δὲ δακρυπλώειν βεβαρηότα με φρένας οἴνωι."
19.165 "ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
οὐκέτ' ἀπολλήξεις τὸν ἐμὸν γόνον ἐξερέουσα;
ἀλλ' ἔκ τοι ἐρέω· ἦ μέν μ' ἀχέεσσί γε δώσεις
πλείοσιν' ἢ ἔχομαι· ἡ γὰρ δίκη, ὁππότε πάτρης
ἧς ἀπέησιν ἀνὴρ τόσσον χρόνον ὅσσον ἐγὼ νῦν,
πολλὰ βροτῶν ἐπὶ ἄστε' ἀλώμενος, ἄλγεα πάσχων.
ἀλλὰ καὶ ὣς ἐρέω ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾶις.
Κρήτη τις γαῖ' ἔστι μέσωι ἐνὶ οἴνοπι πόντωι,
καλὴ καὶ πίειρα, περίρρυτος· ἐν δ' ἄνθρωποι
πολλοί, ἀπειρέσιοι, καὶ ἐνενήκοντα πόληες.
ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοί,
ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες,
Δωριέες τε τριχάϊκες δῖοί τε Πελασγοί.
τῆισι δ' ἔνι Κνωσός, μεγάλη πόλις, ἔνθά τε Μίνως
ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστής,
πατρὸς ἐμοῖο πατήρ, μεγαθύμου Δευκαλίωνος·
Δευκαλίων δ' ἐμὲ τίκτε καὶ Ἰδομενῆα ἄνακτα·
ἀλλ' ὁ μὲν ἐν νήεσσι κορωνίσιν Ἴλιον εἴσω
ὤιχεθ' ἅμ' Ἀτρείδηισιν, ἐμοὶ δ' ὄνομα κλυτὸν Αἴθων,
ὁπλότερος γενεῆι· ὁ δ' ἄρα πρότερος καὶ ἀρείων.
ἔνθ' Ὀδυσῆα ἐγὼν ἰδόμην καὶ ξείνια δῶκα·
καὶ γὰρ τὸν Κρήτηνδε κατήγαγεν ἲς ἀνέμοιο,
ἱέμενον Τροίηνδε παραπλάγξασα Μαλειῶν·
στῆσε δ' ἐν Ἀμνισῶι, ὅθι τε σπέος Εἰλειθυίης,

αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένωι ἀνδρὶ παρεῖναι." Tel. to Eum.
"ξεῖν', εἴ σ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ 18.61
τοῦτον ἀλέξασθαι, τῶν δ' ἄλλων μή τιν' Ἀχαιῶν
δείδιθ', ἐπεὶ πλεόνεσσι μαχήσεται ὅς κέ σε θείνηι·
ξεινοδόκος μὲν ἐγών, ἐπὶ δ' αἰνεῖτον βασιλῆες, Tel.
Ἀντίνοός τε καὶ Εὐρύμαχος, πεπνυμένω ἄμφω." to Od.
"μῆτερ ἐμή, τὸ μὲν οὔ σε νεμεσσῶμαι κεχολῶσθαι· 18.227
αὐτὰρ ἐγὼ θυμῶι νοέω καὶ οἶδα ἕκαστα, ✦
ἐσθλά τε καὶ τὰ χέρεια· πάρος δ' ἔτι νήπιος ἦα.
ἀλλά τοι οὐ δύναμαι πεπνυμένα πάντα νοῆσαι·
ἐκ γάρ με πλήσσουσι παρήμενοι ἄλλοθεν ἄλλος
οἵδε κακὰ φρονέοντες, ἐμοὶ δ' οὐκ εἰσὶν ἀρωγοί.
οὐ μέν τοι ξείνου γε καὶ Ἴρου μῶλος ἐτύχθη
μνηστήρων ἰότητι, βίηι δ' ὅ γε φέρτερος ἦεν.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
οὕτω νῦν μνηστῆρες ἐν ἡμετέροισι δόμοισιν
νεύοιεν κεφαλὰς δεδμημένοι, οἱ μὲν ἐν αὐλῆι,
οἱ δ' ἔντοσθε δόμοιο, λελῦντο δὲ γυῖα ἑκάστου,
ὡς νῦν Ἶρος ἐκεῖνος ἐπ' αὐλείηισι θύρηισιν
ἧσται νευστάζων κεφαλῆι, μεθύοντι ἐοικώς,
οὐδ' ὀρθὸς στῆναι δύναται ποσὶν οὐδὲ νέεσθαι Tel.
οἴκαδ', ὅπηι οἱ νόστος, ἐπεὶ φίλα γυῖα λέλυνται." to Pen.
"ὦ πάτερ, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι. 19.36
ἔμπης μοι τοῖχοι μεγάρων καλαί τε μεσόδμαι,
εἰλάτιναί τε δοκοί, καὶ κίονες ὑψόσ' ἔχοντες Tel.
φαίνοντ' ὀφθαλμοῖς ὡς εἰ πυρὸς αἰθομένοιο. to Od.
ἦ μάλα τις θεὸς ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν."
"ἐνταυθοῖ νῦν ἧσο μετ' ἀνδράσιν οἰνοποτάζων· 20.262
κερτομίας δέ τοι αὐτὸς ἐγὼ καὶ χεῖρας ἀφέξω
πάντων μνηστήρων, ἐπεὶ οὔ τοι δήμιός ἐστιν
οἶκος ὅδ', ἀλλ' Ὀδυσῆος, ἐμοὶ δ' ἐκτήσατο κεῖνος.
ὑμεῖς δέ, μνηστῆρες, ἐπίσχετε θυμὸν ἐνιπῆς Tel.
καὶ χειρῶν, ἵνα μή τις ἔρις καὶ νεῖκος ὄρηται." to Od.
"μῆτερ ἐμή, τόξον μὲν Ἀχαιῶν οὔ τις ἐμεῖο 21.344
κρείσσων, ὧι κ' ἐθέλω, δόμεναί τε καὶ ἀρνήσασθαι,
οὔθ' ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν,
οὔθ' ὅσσοι νήσοισι πρὸς Ἤλιδος ἱπποβότοιο·
τῶν οὔ τις μ' ἀέκοντα βιήσεται, αἴ κ' ἐθέλωμι
καὶ καθάπαξ ξείνωι δόμεναι τάδε τόξα φέρεσθαι.
ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σ' αὐτῆς ἔργα κόμιζε,
ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι· τόξον δ' ἄνδρεσσι μελήσει Tel.
πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ οἴκωι." to Pen.
"ὦ πάτερ, ἤδη τοι σάκος οἴσω καὶ δύο δοῦρε ✦ 22.101
καὶ κυνέην πάγχαλκον, ἐπὶ κροτάφοις ἀραρυῖαν,
αὐτός τ' ἀμφιβαλεῦμαι ἰών, δώσω δὲ συβώτηι Tel.
καὶ τῶι βουκόλωι ἄλλα· τετευχῆσθαι γὰρ ἄμεινον." to Od.
"ὦ πάτερ, αὐτὸς ἐγὼ τόδε γ' ἤμβροτον — οὐδέ τις ἄλλος 22.154
αἴτιος — ὃς θαλάμοιο θύρην πυκινῶς ἀραρυῖαν
κάλλιπον ἀγκλίνας· τῶν δὲ σκοπὸς ἦεν ἀμείνων.

ἤματα μὲν γὰρ τέρπομ' ὀδυρομένη, γοόωσα,
ἔς τ' ἐμὰ ἔργ' ὁρόωσα καὶ ἀμφιπόλων ἐνὶ οἴκωι·
αὐτὰρ ἐπὴν νὺξ ἔλθηι, ἕλησί τε κοῖτος ἅπαντας,
κεῖμαι ἐνὶ λέκτρωι, πυκιναὶ δέ μοι ἀμφ' ἀδινὸν κῆρ
ὀξεῖαι μελεδῶναι ὀδυρομένην ἐρέθουσιν.
ὡς δ' ὅτε Πανδαρέου κούρη, χλωρηῒς ἀηδών,
καλὸν ἀείδησιν ἔαρος νέον ἱσταμένοιο
δενδρέων ἐν πετάλοισι καθεζομένη πυκινοῖσιν,
ἥ τε θαμὰ τρωπῶσα χέει πολυηχέα φωνήν,
παῖδ' ὀλοφυρομένη Ἴτυλον φίλον, ὅν ποτε χαλκῶι
κτεῖνε δι' ἀφραδίας, κοῦρον Ζήθοιο ἄνακτος,
ὣς καὶ ἐμοὶ δίχα θυμὸς ὀρώρεται ἔνθα καὶ ἔνθα,
ἠὲ μένω παρὰ παιδὶ καὶ ἔμπεδα πάντα φυλάσσω,
κτῆσιν ἐμήν, δμῳάς τε καὶ ὑψερεφὲς μέγα δῶμα,
εὐνήν τ' αἰδομένη πόσιος δήμοιό τε φῆμιν,
ἦ ἤδη ἅμ' ἕπωμαι Ἀχαιῶν ὅς τις ἄριστος
μνᾶται ἐνὶ μεγάροισι, πορὼν ἀπερείσια ἕδνα.
παῖς δ' ἐμὸς ἕως μὲν ἔην ἔτι νήπιος ἠδὲ χαλίφρων,
γήμασθ' οὔ μ' εἴα πόσιος κατὰ δῶμα λιποῦσαν·
νῦν δ' ὅτε δὴ μέγας ἐστὶ καὶ ἥβης μέτρον ἱκάνει,
καὶ δή μ' ἀρᾶται πάλιν ἐλθέμεν ἐκ μεγάροιο,
κτήσιος ἀσχαλόων, τήν οἱ κατέδουσιν Ἀχαιοί.
ἀλλ' ἄγε μοι τὸν ὄνειρον ὑπόκριναι καὶ ἄκουσον.
χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσιν
ἐξ ὕδατος, καί τέ σφιν ἰαίνομαι εἰσορόωσα·
ἐλθὼν δ' ἐξ ὄρεος μέγας αἰετὸς ἀγκυλοχείλης
πᾶσι κατ' αὐχέν' ἔαξε καὶ ἔκτανεν· οἱ δ' ἐκέχυντο
ἁθρόοι ἐν μεγάροις, ὁ δ' ἐς αἰθέρα δῖαν ἀέρθη.
αὐτὰρ ἐγὼ κλαῖον καὶ ἐκώκυον ἔν περ ὀνείρωι,
ἀμφὶ δέ μ' ἠγερέθοντο ἐϋπλοκαμῖδες Ἀχαιαί,
οἴκτρ' ὀλοφυρομένην ὅ μοι αἰετὸς ἔκτανε χῆνας.
ἂψ δ' ἐλθὼν κατ' ἄρ' ἕζετ' ἐπὶ προύχοντι μελάθρωι,
φωνῆι δὲ βροτέηι κατερήτυε φώνησέν τε,
'θάρσει, Ἰκαρίου κούρη τηλεκλειτοῖο·
οὐκ ὄναρ, ἀλλ' ὕπαρ ἐσθλόν, ὅ τοι τετελεσμένον ἔσται.
χῆνες μὲν μνηστῆρες, ἐγὼ δέ τοι αἰετὸς ὄρνις
ἦα πάρος, νῦν αὖτε τεὸς πόσις εἰλήλουθα,
ὃς πᾶσι μνηστῆρσιν ἀεικέα πότμον ἐφήσω.'
ὣς ἔφατ', αὐτὰρ ἐμὲ μελιηδὴς ὕπνος ἀνῆκεν·
παπτήνασα δὲ χῆνας ἐνὶ μεγάροισι νόησα **Pen.**
πυρὸν ἐρεπτομένους παρὰ πύελον, ἧχι πάρος περ." **to Od.**
"ξεῖν', ἦτοι μὲν ὄνειροι ἀμήχανοι ἀκριτόμυθοι **19.560**
γίγνοντ', οὐδέ τι πάντα τελείεται ἀνθρώποισιν.
δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων·
αἱ μὲν γὰρ κεράεσσι τετεύχαται, αἱ δ' ἐλέφαντι·
τῶν οἳ μέν κ' ἔλθωσι διὰ πριστοῦ ἐλέφαντος,
οἵ ῥ' ἐλεφαίρονται, ἔπε' ἀκράαντα φέροντες·
οἱ δὲ διὰ ξεστῶν κεράων ἔλθωσι θύραζε,
οἵ ῥ' ἔτυμα κραίνουσι, βροτῶν ὅτε κέν τις ἴδηται.
ἀλλ' ἐμοὶ οὐκ ἐντεῦθεν ὀΐομαι αἰνὸν ὄνειρον

ἐν λιμέσιν χαλεποῖσι, μόγις δ’ ὑπάλυξεν ἀέλλας.
αὐτίκα δ’ Ἰδομενῆα μετάλλα ἄστυδ’ ἀνελθών·
ξεῖνον γάρ οἱ ἔφασκε φίλον τ’ ἔμεν αἰδοῖόν τε·
τῶι δ’ ἤδη δεκάτη ἢ ἑνδεκάτη πέλεν ἠὼς
οἰχομένωι σὺν νηυσὶ κορωνίσιν Ἴλιον εἴσω.
τὸν μὲν ἐγὼ πρὸς δώματ’ ἄγων εὖ ἐξείνισσα,
ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων·
καὶ οἱ τοῖς ἄλλοις ἑτάροις, οἳ ἅμ’ αὐτῶι ἕποντο,
δημόθεν ἄλφιτα δῶκα καὶ αἴθοπα οἶνον ἀγείρας
καὶ βοῦς ἱρεύσασθαι, ἵνα πλησαίατο θυμόν.
ἔνθα δυώδεκα μὲν μένον ἤματα δῖοι Ἀχαιοί·
εἴλει γὰρ Βορέης ἄνεμος μέγας οὐδ’ ἐπὶ γαίηι
Od. εἴα ἵστασθαι, χαλεπὸς δέ τις ὤρορε δαίμων·
to Pen. τῆι τρεισκαιδεκάτηι δ’ ἄνεμος πέσε, τοί δ’ ἀνάγοντο.”
19.221 “ὦ γύναι, ἀργαλέον τόσσον χρόνον ἀμφὶς ἐόντα
εἰπέμεν· ἤδη γάρ οἱ ἐεικοστὸν ἔτος ἐστὶν
ἐξ οὗ κεῖθεν ἔβη καὶ ἐμῆς ἀπελήλυθε πάτρης·
ἀλλὰ καὶ ὥς ἐρέω ὥς μοι ἰνδάλλεται ἦτορ.
χλαῖναν πορφυρέην οὔλην ἔχε δῖος Ὀδυσσεύς,
διπλῆν· αὐτάρ οἱ περόνη χρυσοῖο τέτυκτο
αὐλοῖσιν διδύμοισι· πάροιθε δὲ δαίδαλον ἦεν·
ἐν προτέροισι πόδεσσι κύων ἔχε ποικίλον ἔλλὸν,
ἀσπαίροντα λάων· τὸ δὲ θαυμάζεσκον ἅπαντες,
ὡς οἱ χρύσεοι ἐόντες ὁ μὲν λάε νεβρὸν ἀπάγχων,
αὐτὰρ ὁ ἐκφυγέειν μεμαὼς ἤσπαιρε πόδεσσιν.
τὸν δὲ χιτῶν’ ἐνόησα περὶ χροῒ σιγαλόεντα,
οἷόν τε κρομύοιο λοπὸν κάτα ἰσχαλέοιο.
τὼς μὲν ἔην μαλακὸς, λαμπρὸς δ’ ἦν ἠέλιος ὥς.
ἦ μὲν πολλαί γ’ αὐτὸν ἐθηήσαντο γυναῖκες.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
οὐκ οἶδ’ εἰ τάδε ἕστο περὶ χροῒ οἴκοθ’ Ὀδυσσεύς,
ἤ τις ἑταίρων δῶκε θοῆς ἐπὶ νηὸς ἰόντι,
ἤ τίς που καὶ ξεῖνος, ἐπεὶ πολλοῖσιν Ὀδυσσεὺς
ἔσκε φίλος· παῦροι γὰρ Ἀχαιῶν ἦσαν ὁμοῖοι.
καί οἱ ἐγὼ χάλκειον ἄορ καὶ δίπλακα δῶκα
καλὴν πορφυρέην καὶ τερμιόεντα χιτῶνα,
αἰδοίως δ’ ἀπέπεμπον ἐϋσσέλμου ἐπὶ νηός.
καὶ μέν οἱ κῆρυξ ὀλίγον προγενέστερος αὐτοῦ
εἵπετο· καὶ τόν τοι μυθήσομαι, οἷος ἔην περ.
γυρὸς ἐν ὤμοισιν, μελανόχροος, οὐλοκάρηνος·
Od. Εὐρυβάτης δ’ ὄνομ’ ἔσκε· τίεν δέ μιν ἔξοχον ἄλλων
to Pen. ὧν ἑτάρων Ὀδυσεύς, ὅτι οἱ φρεσὶν ἄρτια ᾔδει.”
19.262 “ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
μηκέτι νῦν χρόα καλὸν ἐναίρεο, μηδέ τι θυμὸν
τῆκε πόσιν γοόωσα. νεμεσσῶμαί γε μὲν οὐδέν·
καὶ γάρ τίς τ’ ἀλλοῖον ὀδύρεται ἄνδρ’ ὀλέσασα
κουρίδιον, τῶι τέκνα τέκηι φιλότητι μιγεῖσα,
ἢ Ὀδυσῆ’, ὅν φασι θεοῖς ἐναλίγκιον εἶναι.
ἀλλὰ γόον μὲν παῦσαι, ἐμεῖο δὲ σύνθεο μῦθον·
νημερτέως γάρ τοι μυθήσομαι οὐδ’ ἐπικεύσω,

ἀλλ’ ἴθι, δῖ’ Εὔμαιε, θύρην ἐπίθες θαλάμοιο
καὶ φράσαι ἤ τις ἄρ’ ἐστὶ γυναικῶν ἣ τάδε ῥέζει, Tel.
ἢ υἱὸς Δολίοιο Μελανθεύς, τόν_περ ὀΐω.” to Od.
“ἴσχεο, μηδέ τι τοῦτον ἀναίτιον οὔταε χαλκῶι· 22.356
καὶ κήρυκα Μέδοντα σαώσομεν, ὅς_τ’ ἐμέ’ αἰεὶ
οἴκωι ἐν ἡμετέρωι κηδέσκετο παιδὸς ἐόντος, Tel.
εἰ δή μή μιν ἔπεφνε Φιλοίτιος ἠὲ συβώτης, to Od.
ἠὲ σοὶ ἀντεβόλησεν ὀρινομένωι κατὰ δῶμα.”
“μῆτερ ἐμή, δύσμητερ, ἀπηνέα θυμὸν ἔχουσα, 23.97
τίφθ’ οὕτω πατρὸς νοσφίζεαι, οὐδὲ παρ’ αὐτὸν
ἑζομένη μύθοισιν ἀνείρεαι οὐδὲ μεταλλᾷς;
οὐ μέν κ’ ἄλλη γ’ ὧδε γυνὴ τετληότι θυμῶι
ἀνδρὸς ἀφεσταίη, ὅς οἱ κακὰ πολλὰ μογήσας
ἔλθοι ἐεικοστῶι ἔτεϊ ἐς πατρίδα γαῖαν· Tel.
σοὶ δ’ αἰεὶ κραδίη στερεωτέρη ἐστὶ λίθοιο.” to Pen.
“αὐτὸς ταῦτά γε λεῦσσε, πάτερ φίλε· σὴν γὰρ ἀρίστην 23.124
μῆτιν ἐπ’ ἀνθρώπους φάσ’ ἔμμεναι, οὐδέ κέ τίς τοι
ἄλλος ἀνὴρ ἐρίσειε καταθνητῶν ἀνθρώπων.
ἡμεῖς δὲ μεμαῶτες ἅμ’ ἑψόμεθ’, οὐδέ τί φημι Tel.
ἀλκῆς δευήσεσθαι, ὅση δύναμις γε πάρεστιν.” to Od.
“ὄψεαι, αἴ κ’ ἐθέλῃσθα, πάτερ φίλε, τῶιδ’ ἐπὶ θυμῶι 24.511
οὔ_τι καταισχύνοντα τεὸν γένος, ὡς ἀγορεύεις.” Tel. to Od.

ἐλθέμεν· ἦ κ’ ἀσπαστὸν ἐμοὶ καὶ παιδὶ γένοιτο.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
ἥδε δὴ ἠὼς εἶσι δυσώνυμος, ἥ μ’ Ὀδυσῆος
οἴκου ἀποσχήσει· νῦν γὰρ καταθήσω ἄεθλον,
τοὺς πελέκεας, τοὺς κεῖνος ἐνὶ μεγάροισιν ἑοῖσιν
ἵστασχ’ ἑξείης, δρυόχους ὣς, δώδεκα πάντας·
στὰς δ’ ὅ_γε πολλὸν ἄνευθε διαρρίπτασκεν ὀϊστόν.
νῦν δὲ μνηστήρεσσιν ἄεθλον τοῦτον ἐφήσω·
ὃς δέ κε ῥηΐτατ’ ἐντανύσῃ βιὸν ἐν παλάμῃσιν
καὶ διοϊστεύσῃ πελέκεων δυοκαίδεκα πάντων, **Pen.**
τῶι κεν ἅμα ἑσποίμην, νοσφισσαμένη τόδε δῶμα **to Od.**
κουρίδιον, μάλα καλὸν, ἐνίπλειον βιότοιο·
τοῦ ποτὲ μεμνήσεσθαι ὀΐομαι ἔν περ ὀνείρωι.”
“εἴ κ’ ἐθέλοις μοι, ξεῖνε, παρήμενος ἐν μεγάροισιν **19.589**
τέρπειν, οὔ κέ μοι ὕπνος ἐπὶ βλεφάροισι χυθείη.
ἀλλ’ οὐ γάρ πως ἔστιν ἀΰπνους ἔμμεναι αἰεὶ
ἀνθρώπους· ἐπὶ γάρ τοι ἑκάστωι μοῖραν ἔθηκαν
ἀθάνατοι θνητοῖσιν ἐπὶ ζείδωρον ἄρουραν·
ἀλλ’ ἤτοι μὲν ἐγὼν ὑπερώϊον εἰσαναβᾶσα
λέξομαι εἰς εὐνὴν, ἥ μοι στονόεσσα τέτυκται,
αἰεὶ δάκρυσ’ ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
ὤιχετ’ ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
ἔνθά κε λεξαίμην· σὺ δὲ λέξεο τῶιδ’ ἐνὶ οἴκωι, **Pen.**
ἢ χαμάδις στορέσας, ἤ τοι κατὰ δέμνια θέντων.” **to Od.**
“τέκνον ἐμὸν, θυμός μοι ἐνὶ στήθεσσι τέθηπεν, **23.105**
οὐδέ τι προσφάσθαι δύναμαι ἔπος οὐδ’ ἐρέεσθαι
οὐδ’ εἰς ὦπα ἰδέσθαι ἐναντίον. εἰ δ’ ἐτεὸν δὴ
ἔστ’ Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται, ἦ μάλα νῶϊ **Pen.**
γνωσόμεθ’ ἀλλήλων καὶ λώϊον· ἔστι γὰρ ἡμῖν **to Tel.**
σήμαθ’, ἃ δὴ καὶ νῶϊ κεκρυμμένα ἴδμεν ἀπ’ ἄλλων.”
“δαιμόνι’, οὔτ’ ἄρ τι μεγαλίζομαι οὐδ’ ἀθερίζω, **23.174**
οὔτε λίην ἄγαμαι, μάλα δ’ εὖ οἶδ’ οἷος ἔησθα **Pen.**
ἐξ Ἰθάκης ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο. {…”} **to Od.**
“μή μοι, Ὀδυσσεῦ, σκύζε’, ἐπεὶ τά περ ἄλλα μάλιστα **23.209**
ἀνθρώπων πέπνυσο· θεοὶ δ’ ὤπαζον ὀϊζὺν,
οἳ νῶϊν ἀγάσαντο παρ’ ἀλλήλοισι μένοντε
ἥβης ταρπῆναι καὶ γήραος οὐδὸν ἱκέσθαι.
αὐτὰρ μὴ νῦν μοι τόδε χώεο μηδὲ νεμέσσα,
οὕνεκά σ’ οὐ τὸ πρῶτον, ἐπεὶ ἴδον, ὧδ’ ἀγάπησα.
αἰεὶ γάρ μοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ἐρρίγει μή τίς με βροτῶν ἀπάφοιτ’ ἐπέεσσιν
ἐλθών· πολλοὶ γὰρ κακὰ κέρδεα βουλεύουσιν.
οὐδέ κεν Ἀργείη Ἑλένη, Διὸς ἐκγεγαυῖα,
ἀνδρὶ πάρ’ ἀλλοδαπῶι ἐμίγη φιλότητι καὶ εὐνῆι,
εἰ ᾔδει ὅ μιν αὖτις Ἀρήϊοι υἷες Ἀχαιῶν
ἀξέμεναι οἰκόνδε φίλην ἐς πατρίδ’ ἔμελλον.
τὴν δ’ ἤτοι ῥέξαι θεὸς ὤρορεν ἔργον ἀεικές·
τὴν δ’ ἄτην οὐ πρόσθεν ἑῶι ἐγκάτθετο θυμῶι
λυγρὴν, ἐξ ἧς πρῶτα καὶ ἡμέας ἵκετο πένθος.
νῦν δ’, ἐπεὶ ἤδη σήματ’ ἀριφραδέα κατέλεξας

ὡς ἤδη Ὀδυσῆος ἐγὼ περὶ νόστου ἄκουσα
ἀγχοῦ, Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμωι,
ζωοῦ· αὐτὰρ ἄγει κειμήλια πολλὰ καὶ ἐσθλὰ
αἰτίζων ἀνὰ δῆμον. ἀτὰρ ἐρίηρας ἑταίρους
ὤλεσε καὶ νῆα γλαφυρὴν ἐνὶ οἴνοπι πόντωι,
Θρινακίης ἀπὸ νήσου ἰών· ὀδύσαντο γὰρ αὐτῶι
Ζεύς τε καὶ Ἠέλιος· τοῦ γὰρ βόας ἔκταν ἑταῖροι.
οἱ μὲν πάντες ὄλοντο πολυκλύστωι ἐνὶ πόντωι·
τὸν δ' ἄρ' ἐπὶ τρόπιος νεὸς ἔκβαλε κῦμ' ἐπὶ χέρσου,
Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάασιν,
οἳ δή μιν περὶ κῆρι θεὸν ὣς τιμήσαντο
καί οἱ πολλὰ δόσαν πέμπειν τέ μιν ἤθελον αὐτοὶ
οἴκαδ' ἀπήμαντον. καί κεν πάλαι ἐνθάδ' Ὀδυσσεὺς
ἤην· ἀλλ' ἄρα οἱ τό_γε κέρδιον εἴσατο θυμῶι,
χρήματ' ἀγυρτάζειν πολλὴν ἐπὶ γαῖαν ἰόντι·
ὣς περὶ κέρδεα πολλὰ καταθνητῶν ἀνθρώπων
οἶδ' Ὀδυσεὺς, οὐδ' ἄν τις ἐρίσσειε βροτὸς ἄλλος.
ὥς μοι Θεσπρωτῶν βασιλεὺς μυθήσατο Φείδων·
ὤμνυε δὲ πρὸς ἔμ' αὐτόν, ἀποσπένδων ἐνὶ οἴκωι,
νῆα κατειρύσθαι καὶ ἐπαρτέας ἔμμεν ἑταίρους,
οἳ δή μιν πέμψουσι φίλην ἐς πατρίδα γαῖαν.
ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε· τύχησε γὰρ ἐρχομένη νηῦς
ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυρον.
καί μοι κτήματ' ἔδειξεν, ὅσα ξυναγείρατ' Ὀδυσσεύς·
καί νύ κεν ἐς δεκάτην γενεὴν ἕτερόν γ' ἔτι βόσκοι,
ὅσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο
ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσηι,
ὅππως νοστήσειε φίλην ἐς πατρίδα γαῖαν
ἤδη δὴν ἀπεών, ἢ ἀμφαδὸν ἦε κρυφηδόν.
ὣς ὁ μὲν οὕτως ἐστὶ σόος καὶ ἐλεύσεται ἤδη
ἄγχι μάλ', οὐδ' ἔτι τῆλε φίλων καὶ πατρίδος αἴης
δηρὸν ἀπεσσεῖται· ἔμπης δέ τοι ὅρκια δώσω.
ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,
✦ ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω·
ἦ μέν τοι τάδε πάντα τελείεται ὡς ἀγορεύω.
Od. τοῦδ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεὺς,
to Pen. τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ' ἱσταμένοιο."
19.336 "ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
ἤτοι ἐμοὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα
ἤχθεθ', ὅτε πρῶτον Κρήτης ὄρεα νιφόεντα
νοσφισάμην ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο,
κείω δ' ὡς τὸ πάρος περ ἀΰπνους νύκτας ἴαυον·
πολλὰς γὰρ δὴ νύκτας ἀεικελίωι ἐνὶ κοίτηι
ἄεσα καί τ' ἀνέμεινα ἐΰθρονον Ἠῶ δῖαν.
οὐδέ τί μοι ποδάνιπτρα ποδῶν ἐπιήρανα θυμῶι
γίγνεται· οὐδὲ γυνὴ ποδὸς ἅψεται ἡμετέροιο
τάων αἵ τοι δῶμα κάτα δρήστειραι ἔασιν,
εἰ μή τις γρηῦς ἔστι παλαιὴ, κέδνα ἰδυῖα,
Od. ἥ_τις δὴ τέτληκε τόσα φρεσὶν ὅσσα τ' ἐγώ περ·

εὐνῆς ἡμετέρης, ἣν οὐ βροτὸς ἄλλος ὀπώπει,
ἀλλ' οἶοι σύ τ' ἐγώ τε καὶ ἀμφίπολος μία μούνη,
Ἀκτορίς, ἥν μοι δῶκε πατὴρ ἔτι δεῦρο κιούσῃ, **Pen.**
ἣ νῶϊν εἴρυτο θύρας πυκινοῦ θαλάμοιο, **to Od.**
πείθεις δή μευ θυμόν, ἀπηνέα περ μάλ' ἐόντα."
"*εὐνὴ μὲν δὴ σοί_γε τότ' ἔσσεται ὁππότε θυμῷ* **23.257**
σῷ ἐθέλῃς, ἐπεὶ ἄρ σε θεοὶ ποίησαν ἱκέσθαι
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν·
ἀλλ' ἐπεὶ ἐφράσθης καί τοι θεὸς ἔμβαλε θυμῷ,
εἴπ' ἄγε μοι τὸν ἄεθλον, ἐπεὶ καὶ ὄπισθεν, ὀΐω, **Pen.**
πεύσομαι, αὐτίκα δ' ἐστὶ δαήμεναι οὔ_τι χέρειον." **to Od.**
"*εἰ μὲν δὴ γῆράς γε θεοὶ τελέουσιν ἄρειον,* **23.286**
ἐλπωρή τοι ἔπειτα κακῶν ὑπάλυξιν ἔσεσθαι." **Pen. to Od.**

to Pen. τῆι_δ’ οὐκ ἂν φθονέοιμι ποδῶν ἅψασθαι ἐμεῖο.”
19.555 “ὦ γύναι, οὔ_πώς ἐστιν ὑποκρίνασθαι ὄνειρον
ἄλλῃ ἀποκλίναντ’, ἐπεὶ ἦ ῥά τοι αὐτὸς Ὀδυσσεὺς
Od. πέφραδ’ ὅπως τελέει· μνηστῆρσι δὲ φαίνετ’ ὄλεθρος
to Pen. πᾶσι μάλ’, οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξει.”
19.583 “ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
μηκέτι νῦν ἀνάβαλλε δόμοις ἔνι τοῦτον ἄεθλον·
πρὶν γάρ τοι πολύμητις ἐλεύσεται ἐνθάδ’ Ὀδυσσεὺς,
Od. πρὶν τούτους τόδε τόξον ἐΰξοον ἀμφαφόωντας
to Pen. νευρήν τ’ ἐντανύσαι διοϊστεῦσαί τε σιδήρου.”
20.18 “τέτλαθι δὴ, κραδίη· καὶ κύντερον ἄλλο ποτ’ ἔτλης,
Od. ἤματι τῶι, ὅτε μοι μένος ἄσχετος ἤσθιε Κύκλωψ
ἰφθίμους ἑτάρους· σὺ δ’ ἐτόλμας, ὄφρα σε μῆτις
to Od. ἐξάγαγ’ ἐξ ἄντροιο ὀϊόμενον θανέεσθαι.”
21.424 “Τηλέμαχ’, οὔ σ’ ὁ ξεῖνος ἐνὶ μεγάροισιν ἐλέγχει
ἥμενος, οὐδέ τι τοῦ σκοποῦ ἤμβροτον, οὐδέ τι τόξον
δὴν ἔκαμον τανύων· ἔτι μοι μένος ἔμπεδόν ἐστιν,
οὐχ ὥς με μνηστῆρες ἀτιμάζοντες ὄνονται.
Od. νῦν δ’ ὥρη καὶ δόρπον Ἀχαιοῖσιν τετυκέσθαι
to Tel. ἐν φάει, αὐτὰρ ἔπειτα καὶ ἄλλως ἑψιάασθαι
μολπῆι καὶ φόρμιγγι· τὰ γάρ τ’ ἀναθήματα δαιτός.”
22.106 “οἶσε θέων, εἵως μοι ἀμύνεσθαι πάρ’ ὀϊστοὶ,
Od. to Tel μή μ’ ἀποκινήσωσι θυράων μοῦνον ἐόντα.”
22.151 “Τηλέμαχ’, ἦ μάλα δή τις ἐνὶ μεγάροισι γυναικῶν
Od. to Tel. νῶϊν ἐποτρύνει πόλεμον κακὸν ἠὲ Μελανθεύς.”
22.391 “Τηλέμαχ’, εἰ δ’ ἄγε μοι κάλεσον τροφὸν Εὐρύκλειαν,
Od. to Tel. ὄφρα ἔπος εἴπωμι τό μοι καταθύμιόν ἐστιν.”
23.113 “Τηλέμαχ’, ἤτοι μητέρ’ ἐνὶ μεγάροισιν ἔασον
πειράζειν ἐμέθεν· τάχα δὲ φράσεται καὶ ἄρειον.
νῦν δ’ ὅττι ῥυπόω, κακὰ δὲ χροΐ εἵματα εἷμαι,
τοὔνεκ’ ἀτιμάζει με καὶ οὔ_πω φησὶ τὸν εἶναι.
ἡμεῖς δὲ φραζώμεθ’ ὅπως ὄχ’ ἄριστα γένηται.
Od. καὶ γάρ τίς θ’ ἕνα φῶτα κατακτείνας ἐνὶ δήμωι,
to Tel. ὧι μὴ πολλοὶ ἔωσιν ἀοσσητῆρες ὀπίσσω,
φεύγει πηούς τε προλιπὼν καὶ πατρίδα γαῖαν·
ἡμεῖς δ’ ἕρμα πόληος ἀπέκταμεν, οἳ μέγ’ ἄριστοι
✦ κούρων εἰν Ἰθάκηι· τὰ δέ σε φράζεσθαι ἄνωγα.”
23.130 “τοιγὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
πρῶτα μὲν ἂρ λούσασθε καὶ ἀμφιέσασθε χιτῶνας,
δμωὰς δ’ ἐν μεγάροισιν ἀνώγετε εἵμαθ’ ἑλέσθαι·
αὐτὰρ θεῖος ἀοιδὸς ἔχων φόρμιγγα λίγειαν
ἡμῖν ἡγείσθω φιλοπαίγμονος ὀρχηθμοῖο,
ὥς κέν τις φαίη γάμον ἔμμεναι ἐκτὸς ἀκούων,
ἢ ἀν’ ὁδὸν στείχων, ἢ οἳ περιναιετάουσιν·
μὴ πρόσθε κλέος εὐρὺ φόνου κατὰ ἄστυ γένηται
Od. ἀνδρῶν μνηστήρων, πρίν γ’ ἡμέας ἐλθέμεν ἔξω
to Tel. ἀγρὸν ἐς ἡμέτερον πολυδένδρεον· ἔνθα δ’ ἔπειτα
φρασσόμεθ’ ὅττί κε κέρδος Ὀλύμπιος ἐγγυαλίξηι.”
23.166 “δαιμονίη, περὶ σοί γε γυναικῶν θηλυτεράων
κῆρ ἀτέραμνον ἔθηκαν Ὀλύμπια δώματ’ ἔχοντες·

οὐ μέν κ' ἄλλη γ' ὧδε γυνὴ τετληότι θυμῶι
ἀνδρὸς ἀφεσταίη, ὅς οἱ κακὰ πολλὰ μογήσας
ἔλθοι ἐεικοστῶι ἔτεϊ ἐς πατρίδα γαῖαν.
Od. ἀλλ' ἄγε μοι, μαῖα, στόρεσον λέχος, ὄφρα καὶ αὐτὸς
to Pen. λέξομαι· ἦ γὰρ τῆι_γε σιδήρεος ἐν φρεσὶ θυμός."
23.183 "ὦ γύναι, ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες·
τίς δέ μοι ἄλλοσε θῆκε λέχος; χαλεπὸν δέ κεν εἴη
καὶ μάλ' ἐπισταμένωι, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν
ῥηϊδίως ἐθέλων θείη ἄλληι ἐνὶ χώρηι·
ἀνδρῶν δ' οὔ κέν τις ζωὸς βροτὸς, οὐδὲ μάλ' ἡβῶν,
ῥεῖα μετοχλίσσειεν, ἐπεὶ μέγα σῆμα τέτυκται
ἐν λέχει ἀσκητῶι· τὸ δ' ἐγὼ κάμον οὐδέ τις ἄλλος.
θάμνος ἔφυ τανύφυλλος ἐλαίης ἕρκεος ἐντὸς,
ἀκμηνὸς θαλέθων· πάχετος δ' ἦν ἠΰτε κίων.
τῶι δ' ἐγὼ ἀμφιβαλὼν θάλαμον δέμον, ὄφρ' ἐτέλεσσα,
πυκνῆισιν λιθάδεσσι, καὶ εὖ καθύπερθεν ἔρεψα,
κολλητὰς δ' ἐπέθηκα θύρας, πυκινῶς ἀραρυίας.
καὶ τότ' ἔπειτ' ἀπέκοψα κόμην τανυφύλλου ἐλαίης,
κορμὸν δ' ἐκ ῥίζης προταμὼν ἀμφέξεσα χαλκῶι
εὖ καὶ ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνα,
ἑρμῖν' ἀσκήσας, τέτρηνα δὲ πάντα τερέτρωι.
ἐκ δὲ τοῦ ἀρχόμενος λέχος ἔξεον, ὄφρ' ἐτέλεσσα,
δαιδάλλων χρυσῶι τε καὶ ἀργύρωι ἠδ' ἐλέφαντι·
ἐκ δ' ἐτάνυσσ' ἱμάντα βοὸς φοίνικι φαεινόν.
οὕτω τοι τόδε σῆμα πιφαύσκομαι· οὐδέ τι οἶδα,
Od. ἤ μοι ἔτ' ἔμπεδόν ἐστι, γύναι, λέχος, ἦέ τις ἤδη
to Pen. ἀνδρῶν ἄλλοσε θῆκε, ταμὼν ὕπο πυθμέν' ἐλαίης."
23.248 "ὦ γύναι, οὐ γάρ πω πάντων ἐπὶ πείρατ' ἀέθλων
ἤλθομεν, ἀλλ' ἔτ' ὄπισθεν ἀμέτρητος πόνος ἔσται,
πολλὸς καὶ χαλεπὸς, τὸν ἐμὲ χρὴ πάντα τελέσσαι·
ὣς γάρ μοι ψυχὴ μαντεύσατο Τειρεσίαο
ἤματι τῶι ὅτε δὴ κατέβην δόμον Ἄϊδος εἴσω,
νόστον ἑταίροισιν διζήμενος ἠδ' ἐμοὶ αὐτῶι.
Od. ἀλλ' ἔρχευ, λέκτρονδ' ἴομεν, γύναι, ὄφρα καὶ ἤδη
to Pen. ὕπνωι ὕπο γλυκερῶι ταρπώμεθα κοιμηθέντε."
23.264 "δαιμονίη, τί τ' ἄρ' αὖ με μάλ' ὀτρύνουσα κελεύεις
εἰπέμεν; αὐτὰρ ἐγὼ μυθήσομαι οὐδ' ἐπικεύσω.
οὐ μέν τοι θυμὸς κεχαρήσεται· οὐδὲ γὰρ αὐτὸς
χαίρω, ἐπεὶ μάλα πολλὰ βροτῶν ἐπὶ ἄστε' ἄνωγεν
ἐλθεῖν, ἐν χείρεσσιν ἔχοντ' εὐῆρες ἐρετμὸν,
εἰς_ὅ_κε τοὺς ἀφίκωμαι οἳ οὐκ ἴσασι θάλασσαν
ἀνέρες, οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν·
οὐδ' ἄρα τοί_γ' ἴσασι νέας φοινικοπαρήους
οὐδ' εὐήρε' ἐρετμὰ, τά τε πτερὰ νηυσὶ πέλονται.
σῆμα δέ μοι τόδ' ἔειπεν ἀριφραδὲς, οὐδέ σε κεύσω·
ὁππότε κεν δή μοι ξυμβλήμενος ἄλλος ὁδίτης
φήηι ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμωι ὤμωι,
καὶ τότε μ' ἐν γαίηι πήξαντ' ἐκέλευσεν ἐρετμὸν,
ἔρξανθ' ἱερὰ καλὰ Ποσειδάωνι ἄνακτι,
ἀρνειὸν ταῦρόν τε συῶν τ' ἐπιβήτορα κάπρον,

οἴκαδ' ἀποστείχειν, ἔρδειν θ' ἱερὰς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
πᾶσι μάλ' ἑξείης. θάνατος δέ μοι ἐξ ἁλὸς αὐτῶι
ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ με πέφνηι
Od. γήραι ὕπο λιπαρῶι ἀρημένον· ἀμφὶ δὲ λαοὶ
to Pen. ὄλβιοι ἔσσονται. τὰ δέ μοι φάτο πάντα τελεῖσθαι."
23.350 "ὦ γύναι, ἤδη μὲν πολέων κεκορήμεθ' ἀέθλων
ἀμφοτέρω, σὺ μὲν ἐνθάδ' ἐμὸν πολυκηδέα νόστον
κλαίουσ'· αὐτὰρ ἐμὲ Ζεὺς ἄλγεσι καὶ θεοὶ ἄλλοι
ἱέμενον πεδάασκον ἐμῆς ἀπὸ πατρίδος αἴης·
νῦν δ' ἐπεὶ ἀμφοτέρω πολυήρατον ἱκόμεθ' εὐνήν,
κτήματα μὲν τά μοι ἔστι, κομιζέμεν ἐν μεγάροισιν,
μῆλα δ' ἅ μοι μνηστῆρες ὑπερφίαλοι κατέκειραν,
πολλὰ μὲν αὐτὸς ἐγὼ ληΐσσομαι, ἄλλα δ' Ἀχαιοὶ
δώσουσ', εἰς ὅ κε πάντας ἐνιπλήσωσιν ἐπαύλους.
ἀλλ' ἤτοι μὲν ἐγὼ πολυδένδρεον ἀγρὸν ἄπειμι,
ὀψόμενος πατέρ' ἐσθλόν, ὅ μοι πυκινῶς ἀκάχηται·
σοὶ δέ, γύναι, τόδ' ἐπιτέλλω, πινυτῆι περ ἐούσηι·
αὐτίκα γὰρ φάτις εἶσιν ἅμ' ἠελίωι ἀνιόντι
ἀνδρῶν μνηστήρων, οὓς ἔκτανον ἐν μεγάροισιν·
Od. εἰς ὑπερῶι' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
to Pen. ἧσθαι, μηδέ τινα προτιόσσεο μηδ' ἐρέεινε."
24.506 "Τηλέμαχ', ἤδη μὲν τόδε γ' εἴσεαι αὐτὸς ἐπελθών,
ἀνδρῶν μαρναμένων ἵνα τε κρίνονται ἄριστοι,
Od. μή τι καταισχύνειν πατέρων γένος, οἳ τὸ πάρος περ
to Tel. ἀλκῆι τ' ἠνορέηι τε κεκάσμεθα πᾶσαν ἐπ' αἶαν."

Notes

Notes

EXCLUDED:

“δὸς τῶι ξείνωι ταῦτα φέρων, αὐτόν τε κέλευε 17.345
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
αἰδὼς δ’ οὐκ ἀγαθὴ κεχρημένωι ἀνδρὶ παρεῖναι.” Tel. to Eum.

“ἔρχεο, δεῦρο κάλεσσον, ἵν’ ἀντίον αὐτὸς ἐνίσπηι. 17.529
οὗτοι δ’ ἠὲ θύρηισι καθήμενοι ἑψιαάσθων
ἢ αὐτοῦ κατὰ δώματ’, ἐπεί σφισι θυμὸς ἐΰφρων.
αὐτῶν μὲν γὰρ κτήματ’ ἀκήρατα κεῖτ’ ἐνὶ οἴκωι,
σῖτος καὶ μέθυ ἡδύ· τὰ μέν τ’ οἰκῆες ἔδουσιν,
οἱ δ’ εἰς ἡμετέρου πωλεύμενοι ἤματα πάντα,
βοῦς ἱερεύοντες καὶ ὄϊς καὶ πίονας αἶγας,
εἰλαπινάζουσιν πίνουσί τε αἴθοπα οἶνον,
μαψιδίως· τὰ δὲ πολλὰ κατάνεται· οὐ γὰρ ἔπ’ ἀνήρ,
οἷος Ὀδυσσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἴκου ἀμῦναι. Pen.
εἰ δ’ Ὀδυσεὺς ἔλθοι καὶ ἵκοιτ’ ἐς πατρίδα γαῖαν, to Eum.
αἶψά κε σὺν ὧι παιδὶ βίας ἀποτείσεται ἀνδρῶν.”

“πάντως, θαρσαλέη, κύον ἀδδεές, οὔ τί με λήθεις 19.91
ἔρδουσα μέγα ἔργον, ὃ σῆι κεφαλῆι ἀναμάξεις.
πάντα γὰρ εὖ ἤιδησθ’, ἐπεὶ ἐξ ἐμεῦ ἔκλυες αὐτῆς Pen.
ὡς τὸν ξεῖνον ἔμελλον ἐνὶ μεγάροισιν ἐμοῖσιν to
ἀμφὶ πόσι εἴρεσθαι, ἐπεὶ πυκινῶς ἀκάχημαι.” servant

23.176 ἀλλ’ ἄγε οἱ στόρεσον πυκινὸν λέχος, Εὐρύκλεια,
Pen. to ἐκτὸς ἐϋσταθέος θαλάμου, τόν ῥ’ αὐτὸς ἐποίει·
Euryklea ἔνθα οἱ ἐκθεῖσαι πυκινὸν λέχος ἐμβάλετ’ εὐνήν,
κώεα καὶ χλαίνας καὶ ῥήγεα σιγαλόεντα.”

21.68 ff.

22.262 “ὦ φίλοι, ἤδη μέν κεν ἐγὼν εἴποιμι καὶ ἄμμιν
Od. μνηστήρων ἐς ὅμιλον ἀκοντίσαι, οἳ μεμάασιν
to φίλοι ἡμέας ἐξεναρίξαι ἐπὶ προτέροισι κακοῖσιν.”

ODYSSEY ASCENDS FROM START

SPEAKER COLUMNS

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

As some way-faring Man, who wanders o’er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 3.0

Odysseus 426 lines | Tel 219 lines | Pen. 263 lines

The sketch of southern metope 21 of the by Jacques Carrey (1674), now in the Bibliothèque Nationale de France, suggests juxtaposing lines spoken by Od., Tel. and Pen. to one another (or intended to be heard by one of them) in separate speaker-columns. [LINK]

In this version,

19.232 τὸν δὲ χιτῶν’ ἐνόησα περὶ χροῒ σιγαλόεντα,

is directly across from Tel.’s first silent (~ washed white) row, the first in which Od. and Pen. speak together alone. Note horizontal alignment of the adult heads in the metope just above the head of the boy-column, and how the woman points to the blank space between the adult heads. The boy-column’s head is horizontally aligned with the **neck** (Greek **δειρὴν** in acc. sing.) of each adult; Tel.’s last spoken line is:

24.515 υἱός θ’ υἱωνός τ’ ἀρετῆς πέρι δῆριν ἔχουσιν.”

THE SPOKEN LINES OF

ODYSSEUS, PENELOPE & TELEMACHUS

INTENDED TO BE HEARD BY ONE OR MORE OF THEM IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

16.91 “ὦ φίλ’, ἐπεί θήν μοι καὶ ἀμείψασθαι θέμις ἐστὶν,
ἦ μάλα μευ καταδάπτετ’ ἀκούοντος φίλον ἦτορ,
οἷά φατε μνηστῆρας ἀτάσθαλα μηχανάασθαι
ἐν μεγάροις, ἀέκητι σέθεν τοιούτου ἐόντος.
εἰπέ μοι ἠὲ ἑκὼν ὑποδάμνασαι, ἦ σέ_γε λαοὶ
ἐχθαίρουσ’ ἀνὰ δῆμον, ἐπισπόμενοι θεοῦ ὀμφῆι,
ἦ τι κασιγνήτοις ἐπιμέμφεαι, οἷσί_περ ἀνὴρ
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.
αἲ γὰρ ἐγὼν οὕτω νέος εἴην τῶιδ’ ἐπὶ θυμῶι,
ἢ παῖς ἐξ Ὀδυσῆος ἀμύμονος ἠὲ καὶ αὐτός
ἔλθοι ἀλητεύων· ἔτι γὰρ καὶ ἐλπίδος αἶσα·
αὐτίκ’ ἔπειτ’ ἀπ’ ἐμεῖο κάρη τάμοι ἀλλότριος φώς,
εἰ μὴ ἐγὼ κείνοισι κακὸν πάντεσσι γενοίμην,
ἐλθὼν ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
εἰ δ’ αὖ με πληθυῖ δαμασαίατο μοῦνον ἐόντα,
βουλοίμην κ’ ἐν ἐμοῖσι κατακτάμενος μεγάροισιν
τεθνάμεν ἢ τάδε γ’ αἰὲν ἀεικέα ἔργ’ ὁράασθαι,
ξείνους τε στυφελιζομένους δμῳάς τε γυναῖκας
Od. ῥυστάζοντας ἀεικελίως κατὰ δώματα καλὰ,
καὶ οἶνον διαφυσσομένους, καὶ σῖτον ἔδοντας
to Tel. μὰψ αὔτως, ἀτέλεστον, ἀνηνύστωι ἐπὶ ἔργωι.”
16.187 “οὔ_τίς τοι θεός εἰμι· τί μ’ ἀθανάτοισιν ἐΐσκεις;
ἀλλὰ πατὴρ τεός εἰμι, τοῦ εἵνεκα σὺ στοναχίζων
πάσχεις ἄλγεα πολλὰ, βίας ὑποδέγμενος ἀνδρῶν.”
16.202 “Τηλέμαχ’, οὔ σε ἔοικε φίλον πατέρ’ ἔνδον ἐόντα
οὔτέ τι θαυμάζειν περιώσιον οὔτ’ ἀγάασθαι·
οὐ μὲν γάρ τοι ἔτ’ ἄλλος ἐλεύσεται ἐνθάδ’ Ὀδυσσεὺς,
ἀλλ’ ὅδ’ ἐγὼ τοιόσδε, παθὼν κακὰ, πολλὰ δ’ ἀληθεὶς,
ἤλυθον εἰκοστῶι ἔτεϊ ἐς πατρίδα γαῖαν.
αὐτάρ τοι τόδε ἔργον Ἀθηναίης ἀγελείης,
ἥ_τέ με τοῖον ἔθηκεν, ὅπως ἐθέληι· δύναται γάρ·
ἄλλοτε μὲν πτωχῶι ἐναλίγκιον, ἄλλοτε δ’ αὖτε
ἀνδρὶ νέωι καὶ καλὰ περὶ χροῒ εἵματ’ ἔχοντι.
Od. ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
to Tel. ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ κακῶσαι.”
16.226 “τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω.
Φαίηκές μ’ ἄγαγον ναυσίκλυτοι, οἵ_τε καὶ ἄλλους
ἀνθρώπους πέμπουσιν, ὅ_τίς σφεας εἰσαφίκηται·
καί μ’ εὕδοντ’ ἐν νηῒ θοῆι ἐπὶ πόντον ἄγοντες
κάτθεσαν εἰς Ἰθάκην, ἔπορον δέ μοι ἀγλαὰ δῶρα,
◆ χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά θ’ ὑφαντήν.
καὶ τὰ μὲν ἐν σπήεσσι θεῶν ἰότητι κέονται·
νῦν αὖ δεῦρ’ ἱκόμην ὑποθημοσύνῃσιν Ἀθήνης,
ὄφρα κε δυσμενέεσσι φόνου πέρι βουλεύσωμεν.
ἀλλ’ ἄγε μοι μνηστῆρας ἀριθμήσας κατάλεξον,
ὄφρ’ εἴδω ὅσσοι τε καὶ οἵ_τινες ἀνέρες εἰσίν·
καί κεν ἐμὸν κατὰ θυμὸν ἀμύμονα μερμηρίξας
Od. φράσσομαι, αἴ κεν νῶϊ δυνησόμεθ’ ἀντιφέρεσθαι
to Tel. μούνω ἄνευθ’ ἄλλων, ἦ καὶ διζησόμεθ’ ἄλλους.”
16.259 “τοιγὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο καί με_ἄκουσον·

“μῆτερ ἐμή, τί τ’ ἄρα αὖ φθονέεις ἐρίηρον ἀοιδὸν 1.346
τέρπειν ὅππηι οἱ νόος ὄρνυται; οὔ νύ τ’ ἀοιδοὶ
αἴτιοι, ἀλλά ποθι Ζεὺς αἴτιος, ὅς_τε δίδωσιν
ἀνδράσιν ἀλφηστῆισιν, ὅπως ἐθέλῃσιν, ἑκάστωι.
τούτωι δ’ οὐ νέμεσις Δαναῶν κακὸν οἶτον ἀείδειν·
τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ’ ἄνθρωποι,
ἥ_τις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.
σοὶ δ’ ἐπιτολμάτω κραδίη καὶ θυμὸς ἀκούειν·
οὐ γὰρ Ὀδυσσεὺς οἶος ἀπώλεσε νόστιμον ἦμαρ
ἐν Τροίηι, πολλοὶ δὲ καὶ ἄλλοι φῶτες ὄλοντο.
ἀλλ’ εἰς οἶκον ἰοῦσα τὰ σ’ αὐτῆς ἔργα κόμιζε,
ἱστόν τ’ ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι· μῦθος δ’ ἄνδρεσσι μελήσει Tel.
πᾶσι, μάλιστα δ’ ἐμοί· τοῦ γὰρ κράτος ἔστ’ ἐνὶ οἴκωι.” to Pen.
“ἧσ’, ὦ ξεῖν’· ἡμεῖς δὲ καὶ ἄλλοθι δήομεν ἕδρην 16.44
σταθμῶι ἐν ἡμετέρωι· πάρα δ’ ἀνὴρ ὃς καταθήσει.” Tel. to Od.
“τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ’ ἀτρεκέως ἀγορεύσω. 16.113
οὔτε τί μοι πᾶς δῆμος ἀπεχθόμενος χαλεπαίνει,
οὔτε κασιγνήτοις ἐπιμέμφομαι, οἷσί_περ ἀνὴρ
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.
ὧδε γὰρ ἡμετέρην γενεὴν μούνωσε Κρονίων·
μοῦνον Λαέρτην Ἀρκείσιος υἱὸν ἔτικτεν,
μοῦνον δ’ αὖτ’ Ὀδυσῆα πατὴρ τέκεν· αὐτὰρ Ὀδυσσεὺς
μοῦνον ἔμ’ ἐν μεγάροισι τεκὼν λίπεν οὐδ’ ἀπόνητο.
τῶι νῦν δυσμενέες μάλα μυρίοι εἴσ’ ἐνὶ οἴκωι·
ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίωι τε Σάμηι τε καὶ ὑλήεντι Ζακύνθωι,
ἠδ’ ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν,
τόσσοι μητέρ’ ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον.
ἡ δ’ οὔτ’ ἀρνεῖται στυγερὸν γάμον οὔτε τελευτὴν
ποιῆσαι δύναται· τοί δὲ φθινύθουσιν ἔδοντες
οἶκον ἐμόν· τάχα δή με διαρραίσουσι καὶ αὐτόν.
ἀλλ’ ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·
ἄττα, σὺ δ’ ἔρχεο θᾶσσον, ἐχέφρονι Πηνελοπείηι
εἴφ’ ὅτι οἱ σῶς εἰμὶ καὶ ἐκ Πύλου εἰλήλουθα. ◆
αὐτὰρ ἐγὼν αὐτοῦ μενέω, σὺ δὲ δεῦρο νέεσθαι,
οἴηι ἀπαγγείλας· τῶν δ’ ἄλλων μή_τις Ἀχαιῶν Tel.
πευθέσθω· πολλοὶ γάρ ἐμοὶ κακὰ μηχανόωνται.” to Od.
“ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἠὲ πάροιθεν, 16.181
ἄλλα δὲ εἵματ’ ἔχεις, καί τοι χρὼς οὐκέθ’ ὁμοῖος.
ἦ μάλα τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν·
ἀλλ’ ἵληθ’, ἵνα τοι κεχαρισμένα δώομεν ἱρὰ Tel.
ἠδὲ χρύσεα δῶρα, τετυγμένα· φείδεο δ’ ἡμέων.” to Od.
“οὐ σύ_γ’ Ὀδυσσεύς ἐσσι, πατὴρ ἐμὸς, ἀλλά με δαίμων 16.194
θέλγεις, ὄφρ’ ἔτι μᾶλλον ὀδυρόμενος στοναχίζω.
οὐ γάρ πως ἂν θνητὸς ἀνὴρ τάδε μηχανόωιτο
ὧι αὐτοῦ γε νόωι, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν
ῥηϊδίως ἐθέλων θείη νέον ἠὲ γέροντα. Tel.
ἦ γάρ τοι νέον ἦσθα γέρων καὶ ἀεικέα ἕσσο· to Od.
νῦν δὲ θεοῖσιν ἔοικας, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.”

“ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος. οὔ σ' ἔτ' ἐγώ γε 17.41
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηῒ Πύλονδε
λάθρηι, ἐμεῦ ἀέκητι, φίλου μετὰ πατρὸς ἀκουήν. Pen.
ἀλλ' ἄγε μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς.” to Tel.
“Τηλέμαχ', ἤτοι ἐγὼν ὑπερώϊον εἰσαναβᾶσα 17.101
λέξομαι εἰς εὐνήν, ἥ μοι στονόεσσα τέτυκται,
αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχεθ' ἅμ' Ἀτρεΐδηισιν ἐς Ἴλιον· οὐδέ μοι ἔτλης, Pen.
πρὶν ἐλθεῖν μνηστῆρας ἀγήνορας ἐς τόδε δῶμα, to Tel.
νόστον σοῦ πατρὸς σάφα εἰπέμεν, εἴ που ἄκουσας.”
“οὐ σύ γ' ἄγεις, Εὔμαιε; τί τοῦτ' ἐνόησεν ἀλήτης; 17.576
ἦ τινά που δείσας ἐξαίσιον ἠὲ καὶ ἄλλως Pen.
αἰδεῖται κατὰ δῶμα; κακὸς δ' αἰδοῖος ἀλήτης.” to Eum.
“ἔρχεο, δῖ' Εὔμαιε, κιὼν τὸν ξεῖνον ἄνωχθι 17.508
ἐλθέμεν, ὄφρα τί μιν προσπτύξομαι ἠδ' ἐρέωμαι, Pen.
εἴ που Ὀδυσσῆος ταλασίφρονος ἠὲ πέπυσται
ἦ ἴδεν ὀφθαλμοῖσι· πολυπλάγκτωι γὰρ ἔοικεν.” to Eum.
“ἔρχεό μοι, τὸν ξεῖνον ἐναντίον ὧδε κάλεσσον. 17.544
οὐχ ὁράαις ὅ μοι υἱὸς ἐπέπταρε πᾶσιν ἔπεσσιν;
τῶι κε καὶ οὐκ ἀτελὴς θάνατος μνηστῆρσι γένοιτο.
πᾶσι μάλ, οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξοι.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῆισιν· Pen.
αἴ κ' αὐτὸν γνώω νημερτέα πάντ' ἐνέποντα, to Eum.
ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά.”
“οὐκ ἄφρων ὁ ξεῖνος ὀΐεται, ὥς περ ἂν εἴηι· 17.586
οὐ γάρ πώ τινες ὧδε καταθνητῶν ἀνθρώπων Pen.
ἀνέρες ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται.” to Eum.
“Τηλέμαχ', οὐκέτι τοι φρένες ἔμπεδοι οὐδὲ νόημα· 18.215
παῖς ἔτ' ἐὼν καὶ μᾶλλον ἐνὶ φρεσὶ κέρδε' ἐνώμας·
νῦν δ', ὅτε δὴ μέγας ἐσσὶ καὶ ἥβης μέτρον ἱκάνεις
καί κέν τις φαίη γόνον ἔμμεναι ὀλβίου ἀνδρός,
ἐς μέγεθος καὶ κάλλος ὁρώμενος, ἀλλότριος φώς,
οὐκέτι τοι φρένες εἰσὶν ἐναίσιμοι οὐδὲ νόημα.
οἷον δὴ τόδε ἔργον ἐνὶ μεγάροισιν ἐτύχθη,
ὃς τὸν ξεῖνον ἔασας ἀεικισθήμεναι οὕτως.
πῶς νῦν, εἴ τι ξεῖνος ἐν ἡμετέροισι δόμοισιν
ἥμενος ὧδε πάθοι ῥυστακτύος ἐξ ἀλεγεινῆς, Pen.
σοί κ' αἶσχος λώβη τε μετ' ἀνθρώποισι πέλοιτο.” to Tel.
‘ὦ γύναι, οὐ γὰρ ὀΐω ἐϋκνήμιδας Ἀχαιοὺς 18.259
ἐκ Τροίης εὖ πάντας ἀπήμονας ἀπονέεσθαι·
καὶ γὰρ Τρῶάς φασι μαχητὰς ἔμμεναι ἄνδρας,
ἠμὲν ἀκοντιστὰς ἠδὲ ῥυτῆρας ὀϊστῶν
ἵππων τ' ὠκυπόδων ἐπιβήτορας, οἵ τε τάχιστα
ἔκριναν μέγα νεῖκος ὁμοιΐοο πτολέμοιο.
τῶι οὐκ οἶδ' ἤ κέν μ' ἀνέσηι θεός, ἦ κεν ἁλώω
αὐτοῦ ἐνὶ Τροίηι· σοὶ δ' ἐνθάδε πάντα μελόντων.
μεμνῆσθαι πατρὸς καὶ μητέρος ἐν μεγάροισιν
ὡς νῦν, ἢ ἔτι μᾶλλον, ἐμεῦ ἀπονόσφιν ἐόντος· Od. to
αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα ἴδηαι, to Pen.
γήμασθ' ὧι κ' ἐθέληισθα, τεὸν κατὰ δῶμα λιποῦσα.’

Od. καὶ φράσαι ἤ κεν νῶϊν Ἀθήνη σὺν Διὶ πατρὶ
to Tel. ἀρκέσει, ἦέ τιν' ἄλλον ἀμύντορα μερμηρίξω."
16.267 "οὐ μέν τοι κείνω γε πολὺν χρόνον ἀμφὶς ἔσεσθον
φυλόπιδος κρατερῆς, ὁπότε μνηστῆρσι καὶ ἡμῖν
ἐν μεγάροισιν ἐμοῖσι μένος κρίνηται Ἄρηος.
ἀλλὰ σὺ μὲν νῦν ἔρχευ ἅμ' ἠοῖ φαινομένηφιν
οἴκαδε, καὶ μνηστῆρσιν ὑπερφιάλοισιν ὁμίλει·
αὐτὰρ ἐμὲ προτὶ ἄστυ συβώτης ὕστερον ἄξει,
πτωχῶι λευγαλέωι ἐναλίγκιον ἠδὲ γέροντι.
εἰ δέ μ' ἀτιμήσουσι δόμον κάτα, σὸν δὲ φίλον κῆρ
τετλάτω ἐν στήθεσσι κακῶς πάσχοντος ἐμεῖο,
ἤν περ καὶ διὰ δῶμα ποδῶν ἕλκωσι θύραζε
ἢ βέλεσιν βάλλωσι· σὺ δ' εἰσορόων ἀνέχεσθαι.
ἀλλ' ἤτοι παύεσθαι ἀνωγέμεν ἀφροσυνάων,
μειλιχίοις ἐπέεσσι παραυδῶν· οἱ δέ τοι οὔ τι
πείσονται· δὴ γάρ σφι παρίσταται αἴσιμον ἦμαρ.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
ὁππότε κεν πολύβουλος ἐπὶ φρεσὶ θήσει Ἀθήνη,
νεύσω μέν τοι ἐγὼ κεφαλῆι, σὺ δ' ἔπειτα νοήσας,
ὅσσα τοι ἐν μεγάροισιν Ἀρήϊα τεύχεα κεῖται,
ἐς μυχὸν ὑψηλοῦ θαλάμου καταθεῖναι ἀείρας
πάντα μάλ'· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσιν
παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
'ἐκ καπνοῦ κατέθηκ', ἐπεὶ οὐκέτι τοῖσιν ἐώικει
οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
ἀλλὰ κατήικισται, ὅσσον πυρὸς ἵκετ' ἀϋτμή.
πρὸς δ' ἔτι μοι τόδε μεῖζον ἐνὶ φρεσὶ θῆκε Κρονίων,
μή πως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
ἀλλήλους τρώσητε καταισχύνητέ τε δαῖτα
καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.'
νῶϊν δ' οἴοισιν δύο φάσγανα καὶ δύο δοῦρε
καλλιπέειν καὶ δοιὰ βοάγρια χερσὶν ἑλέσθαι,
ὡς ἂν ἐπιθύσαντες ἑλοίμεθα· τοὺς δέ κ' ἔπειτα
Παλλὰς Ἀθηναίη θέλξει καὶ μητίετα Ζεύς.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
εἰ ἐτεόν γ' ἐμός ἐσσι καὶ αἵματος ἡμετέροιο,
μή τις ἔπειτ' Ὀδυσῆος ἀκουσάτω ἔνδον ἐόντος,
μήτ' οὖν Λαέρτης ἴστω τό γε μήτε συβώτης
μήτέ τις οἰκήων μήτ' αὐτὴ Πηνελόπεια,
ἀλλ' οἶοι σύ τ' ἐγώ τε γυναικῶν γνώομεν ἰθύν·
καί κέ τεο δμώων ἀνδρῶν ἔτι πειρηθεῖμεν,
Od. ἠμὲν ὅ πού τις νῶϊ τίει καὶ δείδιε θυμῶι,
to Tel. ἠδ' ὅ τις οὐκ ἀλέγει, σὲ δ' ἀτιμᾶι τοῖον ἐόντα."
17.17 "ὦ φίλος, οὐδέ τοι αὐτὸς ἐρύκεσθαι μενεαίνω·
πτωχῶι βέλτερόν ἐστι κατὰ πτόλιν ἠὲ κατ' ἀγροὺς
δαῖτα πτωχεύειν· δώσει δέ μοι ὅς κ' ἐθέλησιν.
οὐ γὰρ ἐπὶ σταθμοῖσι μένειν ἔτι τηλίκος εἰμί,
ὥς τ' ἐπιτειλαμένωι σημάντορι πάντα πιθέσθαι.
ἀλλ' ἔρχευ· ἐμὲ δ' ἄξει ἀνὴρ ὅδε, τὸν σὺ κελεύεις,
αὐτίκ' ἐπεί κε πυρὸς θερέω ἀλέη τε γένηται.

"ποίηι γὰρ νῦν δεῦρο, πάτερ φίλε, νηΐ σε ναῦται 16.222
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι ηὐχετόωντο; Tel.
οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι." to Od.
"ὦ πάτερ, ἤτοι σεῖο μέγα κλέος αἰὲν ἄκουον, 16.241
χεῖράς τ' αἰχμητὴν ἔμεναι καὶ ἐπίφρονα βουλήν·
ἀλλὰ λίην μέγα εἶπες· ἄγη μ' ἔχει· οὐδὲ κεν εἴη
ἄνδρε δύω πολλοῖσι καὶ ἰφθίμοισι μάχεσθαι.
μνηστήρων δ' οὔτ' ἂρ δεκὰς ἀτρεκὲς οὐδὲ δύ' οἶαι,
ἀλλὰ πολὺ πλέονες· τάχα δ' εἴσεαι ἐνθάδ' ἀριθμόν.
ἐκ μὲν Δουλιχίοιο δύω καὶ πεντήκοντα
κοῦροι κεκριμένοι, ἓξ δὲ δρηστῆρες ἕπονται·
ἐκ δὲ Σάμης πίσυρές τε καὶ εἴκοσι φῶτες ἔασιν,
ἐκ δὲ Ζακύνθου ἔασιν ἐείκοσι κοῦροι Ἀχαιῶν,
ἐκ δ' αὐτῆς Ἰθάκης δυοκαίδεκα πάντες ἄριστοι,
καί σφιν ἅμ' ἐστὶ Μέδων κῆρυξ καὶ θεῖος ἀοιδὸς
καὶ δοιὼ θεράποντε, δαήμονε δαιτροσυνάων.
τῶν εἴ κεν πάντων ἀντήσομεν ἔνδον ἐόντων,
μὴ πολύπικρα καὶ αἰνὰ βίας ἀποτείσεαι ἐλθών.
ἀλλὰ σύ γ', εἰ δύνασαί τιν' ἀμύντορα μερμηρίξαι, Tel.
φράζευ, ὅ κέν τις νῶϊν ἀμύνοι πρόφρονι θυμῶι." to Od.
"ἐσθλώ τοι τούτω γ' ἐπαμύντορε, τοὺς ἀγορεύεις, 16.263
ὕψι περ ἐν νεφέεσσι καθημένω· ὥ τε καὶ ἄλλοις Tel.
ἀνδράσι τε κρατέουσι καὶ ἀθανάτοισι θεοῖσιν." to Od.
"ὦ πάτερ, ἤτοι ἐμὸν θυμὸν καὶ ἔπειτά γ', ὀΐω, 16.309
γνώσεαι· οὐ μὲν γάρ τι χαλιφροσύναι γέ μ' ἔχουσιν·
ἀλλ' οὔ τοι τό γε κέρδος ἐγὼν ἔσσεσθαι ὀΐω
ἡμῖν ἀμφοτέροισι· σὲ δὲ φράζεσθαι ἄνωγα.
δηθὰ γὰρ αὔτως εἴσηι ἑκάστου πειρητίζων,
ἔργα μετερχόμενος· τοὶ δ' ἐν μεγάροισιν ἕκηλοι
χρήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ' ἔπι φειδώ.
ἀλλ' ἤτοί σε γυναῖκας ἐγὼ δεδάασθαι ἄνωγα,
αἵ τέ σ' ἀτιμάζουσι καὶ αἳ νηλείτιές εἰσιν·
ἀνδρῶν δ' οὐκ ἂν ἐγώ γε κατὰ σταθμοὺς ἐθέλοιμι Tel.
ἡμέας πειράζειν, ἀλλ' ὕστερα ταῦτα πένεσθαι, to Od.
εἰ ἐτεόν γέ τι οἶσθα Διὸς τέρας αἰγιόχοιο."
"ἄττ', ἤτοι μὲν ἐγὼν εἶμ' ἐς πόλιν, ὄφρα με μήτηρ ✦ 17.6
ὄψεται· οὐ γάρ μιν πρόσθεν παύσεσθαι ὀΐω
κλαυθμοῦ τε στυγεροῖο γόοιό τε δακρυόεντος,
πρίν γ' αὐτόν με ἴδηται· ἀτὰρ σοί γ' ὧδ' ἐπιτέλλω.
τὸν ξεῖνον δύστηνον ἄγ' ἐς πόλιν, ὄφρ' ἂν ἐκεῖθι
δαῖτα πτωχεύηι· δώσει δέ οἱ ὅς κ' ἐθέλησιν
πύρνον καὶ κοτύλην. ἐμὲ δ' οὔ πως ἔστιν ἅπαντας
ἀνθρώπους ἀνέχεσθαι, ἔχοντά περ ἄλγεα θυμῶι.
ὁ ξεῖνος δ' εἴ περ μάλα μηνίει, ἄλγιον αὐτῶι Tel.
ἔσσεται· ἦ γὰρ ἐμοὶ φίλ' ἀληθέα μυθήσασθαι." to Eum.
"μῆτερ ἐμή, μή μοι γόον ὄρνυθι μηδέ μοι ἦτορ 17.46
ἐν στήθεσσιν ὄρινε φυγόντι περ αἰπὺν ὄλεθρον·
ἀλλ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα,
εἰς ὑπερῶι' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
εὔχεο πᾶσι θεοῖσι τελεσσας ἑκατόμβας

“ξεῖν’, ἔτι καὶ νῦν ἐνθάδ’ ἀνιήσεις διὰ νύκτα **19.66**
δινεύων κατὰ οἶκον, ὀπιπεύσεις δὲ γυναῖκας;
ἀλλ’ ἔξελθε θύραζε, τάλαν, καὶ δαιτὸς ὄνησο· **Pen.**
ἢ τάχα καὶ δαλῶι βεβλημένος εἶσθα θύραζε.” **to Od.**
“ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή· ✦ **19.104**
τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;” **Pen. to Od.**
“ξεῖν’, ἤτοι μὲν ἐμὴν ἀρετὴν εἶδός τε δέμας τε **19.124**
ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι, μετὰ τοῖσι δ’ ἐμὸς πόσις ἤιεν Ὀδυσσεύς.
εἰ κεῖνός γ’ ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτως.
νῦν δ’ ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων.
ὅσσοι γὰρ νήσοισιν ἔπι κρατέουσιν ἄριστοι,
Δουλιχίωι τε Σάμηι τε καὶ ὑλήεντι Ζακύνθωι,
οἵ τ’ αὐτὴν Ἰθάκην εὐδείελον ἀμφινέμονται,
οἵ μ’ ἀεκαζομένην μνῶνται, τρύχουσι δὲ οἶκον.
τῶι οὔτε ξείνων ἐμπάζομαι οὔθ’ ἱκετάων
οὔτέ τι κηρύκων, οἳ δημιοεργοὶ ἔασιν·
ἀλλ’ Ὀδυσῆ ποθέουσα φίλον κατατήκομαι ἦτορ.
οἱ δὲ γάμον σπεύδουσιν· ἐγὼ δὲ δόλους τολυπεύω.
φᾶρος μέν μοι πρῶτον ἐνέπνευσε φρεσὶ δαίμων,
στησαμένηι μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὑφαίνειν,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ’ αὐτοῖς μετέειπον·
‘κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
μίμνετ’ ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
ἐκτελέσω — μή μοι μεταμώνια νήματ’ ὄληται —
Λαέρτηι ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
μοῖρ’ ὀλοὴ καθέλησι τανηλεγέος θανάτοιο·
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσηι,
αἴ κεν ἄτερ σπείρου κεῖται πολλὰ κτεατίσσας.’
ὣς ἐφάμην, τοῖσιν δ’ ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκον μέγαν ἱστόν,
νύκτας δ’ ἀλλύεσκον, ἐπὴν δαΐδας παραθείμην.
ὣς τρίετες μὲν ἔληθον ἐγὼ καὶ ἔπειθον Ἀχαιούς·
ἀλλ’ ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι
μηνῶν φθινόντων, περὶ δ’ ἤματα πόλλ’ ἐτελέσθη,
καὶ τότε δή με διὰ δμωάς, κύνας οὐκ ἀλεγούσας,
εἷλον ἐπελθόντες καὶ ὁμόκλησαν ἐπέεσσιν.
ὣς τὸ μὲν ἐξετέλεσσα, καὶ οὐκ ἐθέλουσ’, ὑπ’ ἀνάγκης·
νῦν δ’ οὔτ’ ἐκφυγέειν δύναμαι γάμον οὔτέ τιν’ ἄλλην
μῆτιν ἔθ’ εὑρίσκω. μάλα δ’ ὀτρύνουσι τοκῆες
γήμασθ’, ἀσχαλάαι δὲ πάϊς βίοτον κατεδόντων,
γιγνώσκων· ἤδη γὰρ ἀνὴρ οἷός τε μάλιστα
οἴκου κήδεσθαι, τῶι τε Ζεὺς ὄλβον ὀπάζηι.
ἀλλὰ καὶ ὧς μοι εἰπὲ τεὸν γένος, ὁππόθεν ἐσσί·
οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου οὐδ’ ἀπὸ πέτρης.” **Pen. to Od.**
“νῦν μὲν δή σευ, ξεῖνε, ὀΐω πειρήσεσθαι, **19.215**
εἰ ἐτεὸν δὴ κεῖθι σὺν ἀντιθέοις ἑτάροισιν
ξείνισας ἐν μεγάροισιν ἐμὸν πόσιν, ὡς ἀγορεύεις.
εἰπέ μοι, ὁπποῖ’ ἄσσα περὶ χροῒ εἵματα ἕστο, **Pen.**

Od. αἰνῶς γὰρ τάδε εἵματ᾽ ἔχω κακά· μή με δαμάσσηι
to Tel. στίβη ὑπηοίη· ἕκαθεν δέ τε ἄστυ φάτ᾽ εἶναι.”
17.561 “Εὔμαι᾽, αἶψά κ᾽ ἐγὼ νημερτέα πάντ᾽ ἐνέποιμι
κούρηι Ἰκαρίοιο, περίφρονι Πηνελοπείηι·
οἶδα γάρ εὖ περὶ κείνου, ὁμὴν δ᾽ ἀνεδέγμεθ᾽ ὀϊζύν.
Od. to ἀλλὰ μνηστήρων χαλεπὸν ὑποδείδι᾽ ὅμιλον,
Eumaeus τῶν ὕβρις τε βίη σιδήρεον οὐρανὸν ἵκει
but for καὶ γὰρ νῦν, ὅτε μ᾽ οὗτος ἀνὴρ κατὰ δῶμα κιόντα,
Pen. to οὔ τι κακὸν ῥέξαντα βαλὼν ὀδύνῃσιν ἔδωκεν,
hear οὔτε τι Τηλέμαχος τό γ᾽ ἐπήρκεσεν οὔτε τις ἄλλος.
τῶι νῦν Πηνελόπειαν ἐνὶ μεγάροισιν ἄνωχθι
μεῖναι, ἐπειγομένην περ, ἐς ἠέλιον καταδύντα·
καὶ τότε μ᾽ εἰρέσθω πόσιος πέρι νόστιμον ἦμαρ,
ἀσσοτέρω καθέσασα παραὶ πυρί· εἵματα γάρ τοι
λύγρ᾽ ἔχω· οἶσθα καὶ αὐτὸς, ἐπεὶ σὲ πρῶθ᾽ ἱκέτευσα.”
18.259 ‘ὦ γύναι, οὐ γὰρ ὀΐω ἐϋκνήμιδας Ἀχαιοὺς
ἐκ Τροίης εὖ πάντας ἀπήμονας ἀπονέεσθαι·
καὶ γὰρ Τρῶάς φασι μαχητὰς ἔμμεναι ἄνδρας,
ἠμὲν ἀκοντιστὰς ἠδὲ ῥυτῆρας ὀϊστῶν
ἵππων τ᾽ ὠκυπόδων ἐπιβήτορας, οἵ τε τάχιστα
ἔκριναν μέγα νεῖκος ὁμοιΐοο πτολέμοιο.
τῶι οὐκ οἶδ᾽ ἤ κέν μ᾽ ἀνέσηι θεὸς, ἦ κεν ἁλώω
αὐτοῦ ἐνὶ Τροίηι· σοὶ δ᾽ ἐνθάδε πάντα μελόντων.
Od. to μεμνῆσθαι πατρὸς καὶ μητέρος ἐν μεγάροισιν
Pen. ὡς νῦν, ἢ ἔτι μᾶλλον, ἐμεῦ ἀπονόσφιν ἐόντος·
said by αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα ἴδηαι,
Pen. γήμασθ᾽ ὧι κ᾽ ἐθέληισθα, τεὸν κατὰ δῶμα λιποῦσα.’
19.4 ◆ “Τηλέμαχε, χρὴ τεύχε᾽ Ἀρήϊα κατθέμεν εἴσω
πάντα μάλ᾽· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσιν
παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
ἐκ καπνοῦ κατέθηκ᾽, ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει
οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεὺς,
ἀλλὰ κατήικισται, ὅσσον πυρὸς ἵκετ᾽ ἀϋτμή.
πρὸς δ᾽ ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶν ἔμβαλε δαίμων,
μή πως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
Od. ἀλλήλους τρώσητε καταισχύνητέ τε δαῖτα
to Tel. καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.”
19.42 “σίγα καὶ κατὰ σὸν νόον ἴσχανε μηδ᾽ ἐρέεινε·
αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν.
ἀλλὰ σὺ μὲν κατάλεξαι, ἐγὼ δ᾽ ὑπολείψομαι αὐτοῦ,
Od. ὄφρα κ᾽ ἔτι δμωὰς καὶ μητέρα σὴν ἐρεθίζω·
to Tel. ἡ δέ μ᾽ ὀδυρομένη εἰρήσεται ἀμφὶς ἕκαστα.”
19.71 “δαιμονίη, τί μοι ὧδ᾽ ἐπέχεις κεκοτηότι θυμῶι;
ἦ ὅτι δὴ ῥυπόω, κακὰ δὲ χροῒ εἵματα εἷμαι,
πτωχεύω δ᾽ ἀνὰ δῆμον; ἀναγκαίη γὰρ ἐπείγει.
τοιοῦτοι πτωχοὶ καὶ ἀλήμονες ἄνδρες ἔασιν.
καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
ὄλβιος ἀφνειὸν καὶ πολλάκι δόσκον ἀλήτηι,
τοίωι ὁποῖος ἔοι καὶ ὅτευ κεχρημένος ἔλθοι·
ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλὰ

ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσηι.
αὐτὰρ ἐγὼν ἀγορήνδε ἐλεύσομαι, ὄφρα καλέσσω
ξεῖνον, ὅ τίς μοι κεῖθεν ἅμ᾽ ἕσπετο δεῦρο κιόντι.
τὸν μὲν ἐγὼ προὔπεμψα σὺν ἀντιθέοις ἑτάροισιν,
Πείραιον δέ μιν ἠνώγεα προτὶ οἶκον ἄγοντα Tel.
ἐνδυκέως φιλέειν καὶ τιέμεν, εἰς ὅ κεν ἔλθω.” to Pen.
“τοιγὰρ ἐγώ τοι, μῆτερ, ἀληθείην καταλέξω. 17.108
ᾠχόμεθ᾽ ἔς τε Πύλον καὶ Νέστορα, ποιμένα λαῶν·
δεξάμενος δέ με κεῖνος ἐν ὑψηλοῖσι δόμοισιν
ἐνδυκέως ἐφίλει, ὡς εἴ τε πατὴρ ἑὸν υἱὸν
ἐλθόντα χρόνιον νέον ἄλλοθεν· ὣς ἐμὲ κεῖνος
ἐνδυκέως ἐκόμιζε σὺν υἱάσι κυδαλίμοισιν.
αὐτὰρ Ὀδυσσῆος ταλασίφρονος οὔ ποτ᾽ ἔφασκεν,
ζωοῦ οὐδὲ θανόντος, ἐπιχθονίων τε᾽ ἀκοῦσαι·
ἀλλά μ᾽ ἐς Ἀτρείδην, δουρικλειτὸν Μενέλαον,
ἵπποισι προὔπεμψε καὶ ἅρμασι κολλητοῖσιν.
ἔνθ᾽ ἴδον Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλὰ
Ἀργεῖοι Τρῶές τε θεῶν ἰότητι μόγησαν.
εἴρετο δ᾽ αὐτίκ᾽ ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος
ὅττευ χρηΐζων ἱκόμην Λακεδαίμονα δῖαν·
αὐτὰρ ἐγὼ τῶι πᾶσαν ἀληθείην κατέλεξα·
καὶ τότε δή μ᾽ ἐπέεσσιν ἀμειβόμενος προσέειπεν·
‘ὢ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῆι
ἤθελον εὐνηθῆναι, ἀνάλκιδες αὐτοὶ ἐόντες.
ὡς δ᾽ ὁπότ᾽ ἐν ξυλόχωι ἔλαφος κρατεροῖο λέοντος
νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνοὺς
κνημοὺς ἐξερέηισι καὶ ἄγκεα ποιήεντα
βοσκομένη, ὁ δ᾽ ἔπειτα ἑὴν εἰσήλυθεν εὐνὴν,
ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν,
ὣς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοῖος ἐὼν οἷός ποτ᾽ ἐϋκτιμένηι ἐνὶ Λέσβωι
ἐξ ἔριδος Φιλομηλείδηι ἐπάλαισεν ἀναστὰς,
κὰδ δ᾽ ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί,
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
πάντές κ᾽ ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
ταῦτα δ᾽ ἅ μ᾽ εἰρωτᾶις καὶ λίσσεαι, οὐκ ἂν ἐγώ γε
ἄλλα παρὲξ εἴποιμι παρακλιδὸν οὐδ᾽ ἀπατήσω,
ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἅλιος νημερτὴς,
τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος οὐδ᾽ ἐπικεύσω.
φῆ μιν ὅ γ᾽ ἐν νήσωι ἰδέειν κρατέρ᾽ ἄλγε᾽ ἔχοντα,
νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκηι
ἴσχει· ὁ δ᾽ οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι.
οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
οἵ κέν μιν πέμποιεν ἐπ᾽ εὐρέα νῶτα θαλάσσης.’
ὣς ἔφατ᾽ Ἀτρείδης, δουρικλειτὸς Μενέλαος.
ταῦτα τελευτήσας νεόμην· ἔδοσαν δέ μοι οὖρον Tel.
ἀθάνατοι, τοί μ᾽ ὦκα φίλην ἐς πατρίδ᾽ ἔπεμψαν.” to Pen.
“ξεῖν᾽, εἴ σ᾽ ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ 18.61
τοῦτον ἀλέξασθαι, τῶν δ᾽ ἄλλων μή τιν᾽ Ἀχαιῶν

αὐτός θ' οἶος ἔην, καὶ ἑταίρους, οἵ οἱ ἕποντο." to Od.
"νῦν μὲν δή μοι, ξεῖνε, πάρος περ ἐὼν ἐλεεινὸς, 19.253
ἐν μεγάροισιν ἐμοῖσι φίλος τ' ἔσῃ αἰδοῖός τε·
αὐτὴ γὰρ τάδε εἵματ' ἐγὼ πόρον, οἷ' ἀγορεύεις,
πτύξασ' ἐκ θαλάμου, περόνην δ' ἐπέθηκα φαεινὴν
κείνωι ἄγαλμ' ἔμεναι. τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
οἴκαδε νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν·
τῶι ῥα κακῆι αἴσηι κοίλης ἐπὶ νηὸς Ὀδυσσεὺς Pen.
ᾤχετ' ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν." to Od.
"αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη· 19.309
τῶι κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.
ἀλλά μοι ὧδ' ἀνὰ θυμὸν ὀΐεται, ὡς ἔσεταί περ·
οὔτ' Ὀδυσεὺς ἔτι οἶκον ἐλεύσεται, οὔτε σὺ πομπῆς
τεύξῃ, ἐπεὶ οὐ τοῖοι σημάντορές εἰσ' ἐνὶ οἴκωι
οἷος Ὀδυσσεὺς ἔσκε μετ' ἀνδράσιν, εἴ ποτ' ἔην γε,
ξείνους αἰδοίους ἀποπεμπέμεν ἠδὲ δέχεσθαι.
ἀλλά μιν, ἀμφίπολοι, ἀπονίψατε, κάτθετε δ' εὐνὴν,
δέμνια καὶ χλαίνας καὶ ῥήγεα σιγαλόεντα,
ὥς κ' εὖ θαλπιόων χρυσόθρονον Ἠῶ ἵκηται.
ἠῶθεν δὲ μάλ' ἦρι λοέσσαί τε χρῖσαί τε,
ὥς κ' ἔνδον παρὰ Τηλεμάχωι δείπνοιο μέδηται
ἥμενος ἐν μεγάρωι· τῶι δ' ἄλγιον ὅς κεν ἐκείνων
τοῦτον ἀνιάζηι θυμοφθόρος· οὐδέ τι ἔργον
ἐνθάδ' ἔτι πρήξει, μάλα περ κεχολωμένος αἰνῶς.
πῶς γὰρ ἐμεῦ σὺ, ξεῖνε, δαήσεαι εἴ τι γυναικῶν
ἀλλάων περίειμι νόον καὶ ἐπίφρονα μῆτιν,
εἴ κεν ἀϋσταλέος, κακὰ εἱμένος ἐν μεγάροισιν
δαινύηι; ἄνθρωποι δὲ μινυνθάδιοι τελέθουσιν.
ὃς μὲν ἀπηνὴς αὐτὸς ἔηι καὶ ἀπηνέα εἰδῆι,
τῶι δὲ καταρῶνται πάντες βροτοὶ ἄλγε' ὀπίσσω
ζωῶι, ἀτὰρ τεθνεῶτί γ' ἐφεψιόωνται ἅπαντες·
ὃς δ' ἂν ἀμύμων αὐτὸς ἔηι καὶ ἀμύμονα εἰδῆι,
τοῦ μέν τε κλέος εὐρὺ διὰ ξεῖνοι φορέουσιν Pen.
πάντας ἐπ' ἀνθρώπους, πολλοί τέ μιν ἐσθλὸν ἔειπον." to Od.
"ξεῖνε φίλ'· οὐ γάρ πώ τις ἀνὴρ πεπνυμένος ὧδε 19.350
ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα,
ὡς σὺ μάλ' εὐφραδέως πεπνυμένα πάντ' ἀγορεύεις·
ἔστι δέ μοι γρῆϋς πυκινὰ φρεσὶ μήδε' ἔχουσα,
ἣ κεῖνον δύστηνον ἔϋ τρέφεν ἠδ' ἀτίταλλεν,
δεξαμένη χείρεσσ', ὅτε μιν πρῶτον τέκε μήτηρ,
ἥ σε πόδας νίψει, ὀλιγηπελέουσά περ ἔμπης.
ἀλλ' ἄγε νῦν ἀνστᾶσα, περίφρων Εὐρύκλεια,
νίψον σοῖο ἄνακτος ὁμήλικα· καί που Ὀδυσσεὺς Pen.
ἤδη τοιόσδ' ἐστὶ πόδας τοιόσδέ τε χεῖρας· to Od.
αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν."
"ξεῖνε, τὸ μέν σ' ἔτι τυτθὸν ἐγὼν εἰρήσομαι αὐτή· 19.509
καὶ γὰρ δὴ κοίτοιο τάχ' ἔσσεται ἡδέος ὥρη,
ὅν τινά γ' ὕπνος ἕλῃ γλυκερὸς, καὶ κηδόμενόν περ.
αὐτὰρ ἐμοὶ καὶ πένθος ἀμέτρητον πόρε δαίμων·

οἷσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται.
ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων — ἤθελε γάρ που —
τῶι νῦν μή_ποτε καὶ σύ, γύναι, ἀπὸ πᾶσαν ὀλέσσηις
ἀγλαΐην, τῆι νῦν γε μετὰ δμωῆισι κέκασσαι·
μή πώς τοι δέσποινα κοτεσσαμένη χαλεπήνηι,
ἢ Ὀδυσεὺς ἔλθηι· ἔτι γὰρ καὶ ἐλπίδος αἶσα.
εἰ δ' ὁ μὲν ὣς ἀπόλωλε καὶ οὐκέτι νόστιμός ἐστιν,
ἀλλ' ἤδη παῖς τοῖος Ἀπόλλωνός γε ἕκητι,
Od. Τηλέμαχος· τὸν δ' οὔ_τις ἐνὶ μεγάροισι γυναικῶν
to Pen. λήθει ἀτασθάλλουσ', ἐπεὶ οὐκέτι τηλίκος ἐστίν."
19.107 "ὦ γύναι, οὐκ ἄν τίς σε βροτῶν ἐπ' ἀπείρονα γαῖαν
νεικέοι· ἦ γάρ σευ κλέος οὐρανὸν εὐρὺν ἱκάνει,
ὥς_τέ τευ ἢ βασιλῆος ἀμύμονος, ὅς_τε θεουδὴς
ἀνδράσιν ἐν πολλοῖσι καὶ ἰφθίμοισιν ἀνάσσων
εὐδικίας ἀνέχηισι, φέρηισι δὲ γαῖα μέλαινα
πυροὺς καὶ κριθάς, βρίθηισι δὲ δένδρεα καρπῶι,
τίκτηι δ' ἔμπεδα μῆλα, θάλασσα δὲ παρέχηι ἰχθῦς
ἐξ εὐηγεσίης, ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ.
τῶι ἐμὲ νῦν τὰ μὲν ἄλλα μετάλλα σῶι ἐνὶ οἴκωι,
μηδ' ἐμὸν ἐξερέεινε γένος καὶ πατρίδα γαῖαν,
μή μοι μᾶλλον θυμὸν ἐνιπλήσηις ὀδυνάων
μνησαμένωι· μάλα δ' εἰμὶ πολύστονος· οὐδέ τί με χρὴ
οἴκωι ἐν ἀλλοτρίωι γοόωντά τε μυρόμενόν τε
ἧσθαι, ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί·
Od. μή_τίς μοι δμωῶν νεμεσήσεται, ἠὲ σύ_γ' αὐτή,
to Pen. φῆι δὲ δακρυπλώειν βεβαρηότα με φρένας οἴνωι."
19.165 "ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
οὐκέτ' ἀπολλήξεις τὸν ἐμὸν γόνον ἐξερέουσα;
ἀλλ' ἔκ τοι ἐρέω· ἦ μέν μ' ἀχέεσσί γε δώσεις
πλείοσιν' ἢ ἔχομαι· ἡ γὰρ δίκη, ὁππότε πάτρης
ἧς ἀπέησιν ἀνὴρ τόσσον χρόνον ὅσσον ἐγὼ νῦν,
πολλὰ βροτῶν ἐπὶ ἄστε' ἀλώμενος, ἄλγεα πάσχων.
ἀλλὰ καὶ ὣς ἐρέω ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾶις.
Κρήτη τις γαῖ' ἔστι μέσωι ἐνὶ οἴνοπι πόντωι,
καλὴ καὶ πίειρα, περίρρυτος· ἐν δ' ἄνθρωποι
πολλοί, ἀπειρέσιοι, καὶ ἐνενήκοντα πόληες.
ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοί,
ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες,
Δωριέες τε τριχάϊκες δῖοί τε Πελασγοί.
τῆισι δ' ἔνι Κνωσός, μεγάλη πόλις, ἔνθά τε Μίνως
ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστής,
πατρὸς ἐμοῖο πατήρ, μεγαθύμου Δευκαλίωνος·
Δευκαλίων δ' ἐμὲ τίκτε καὶ Ἰδομενῆα ἄνακτα·
ἀλλ' ὁ μὲν ἐν νήεσσι κορωνίσιν Ἴλιον εἴσω
ὤιχεθ' ἅμ' Ἀτρείδηισιν, ἐμοὶ δ' ὄνομα κλυτὸν Αἴθων,
ὁπλότερος γενεῆι· ὁ δ' ἄρα πρότερος καὶ ἀρείων.
ἔνθ' Ὀδυσῆα ἐγὼν ἰδόμην καὶ ξείνια δῶκα·
καὶ γὰρ τὸν Κρήτηνδε κατήγαγεν ἲς ἀνέμοιο,
ἱέμενον Τροίηνδε παραπλάγξασα Μαλειῶν·
στῆσε δ' ἐν Ἀμνισῶι, ὅθι τε σπέος Εἰλειθυίης,

δείδιθ', ἐπεὶ πλεόνεσσι μαχήσεται ὅς κέ σε θείνηι·
ξεινοδόκος μὲν ἐγών, ἐπὶ δ' αἰνεῖτον βασιλῆες, Tel.
Ἀντίνοος τε καὶ Εὐρύμαχός, πεπνυμένω ἄμφω." to Od.
"μῆτερ ἐμή, τὸ μὲν οὔ σε νεμεσσῶμαι κεχολῶσθαι· 18.227
αὐτὰρ ἐγὼ θυμῶι νοέω καὶ οἶδα ἕκαστα, ◆
ἐσθλά τε καὶ τὰ χέρεια· πάρος δ' ἔτι νήπιος ἦα.
ἀλλά τοι οὐ δύναμαι πεπνυμένα πάντα νοῆσαι·
ἐκ γάρ με πλήσσουσι παρήμενοι ἄλλοθεν ἄλλος
οἵδε κακὰ φρονέοντες, ἐμοὶ δ' οὐκ εἰσὶν ἀρωγοί.
οὐ μέν τοι ξείνου γε καὶ Ἴρου μῶλος ἐτύχθη
μνηστήρων ἰότητι, βίηι δ' ὅ_γε φέρτερος ἦεν.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
οὕτω νῦν μνηστῆρες ἐν ἡμετέροισι δόμοισιν
νεύοιεν κεφαλὰς δεδμημένοι, οἱ μὲν ἐν αὐλῆι,
οἱ δ' ἔντοσθε δόμοιο, λελῦντο δὲ γυῖα ἑκάστου,
ὡς νῦν Ἶρος ἐκεῖνος ἐπ' αὐλείηισι θύρηισιν
ἧσται νευστάζων κεφαλῆι, μεθύοντι ἐοικώς,
οὐδ' ὀρθὸς στῆναι δύναται ποσὶν οὐδὲ νέεσθαι Tel.
οἴκαδ', ὅπηι οἱ νόστος, ἐπεὶ φίλα γυῖα λέλυνται." to Pen.
"ὦ πάτερ, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι. 19.36
ἔμπης μοι τοῖχοι μεγάρων καλαί τε μεσόδμαι,
εἰλάτιναί τε δοκοί, καὶ κίονες ὑψόσ' ἔχοντες Tel.
φαίνοντ' ὀφθαλμοῖς ὡς_εἰ πυρὸς αἰθομένοιο. to Od.
ἦ μάλα τις θεὸς ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν."
"ἐνταυθοῖ νῦν ἧσο μετ' ἀνδράσιν οἰνοποτάζων· 20.262
κερτομίας δέ τοι αὐτὸς ἐγὼ καὶ χεῖρας ἀφέξω
πάντων μνηστήρων, ἐπεὶ οὔ τοι δήμιός ἐστιν
οἶκος ὅδ', ἀλλ' Ὀδυσῆος, ἐμοὶ δ' ἐκτήσατο κεῖνος.
ὑμεῖς δέ, μνηστῆρες, ἐπίσχετε θυμὸν ἐνιπῆς Tel.
καὶ χειρῶν, ἵνα μή τις ἔρις καὶ νεῖκος ὄρηται." to Od.
"μῆτερ ἐμή, τόξον μὲν Ἀχαιῶν οὔ_τις ἐμεῖο 21.344
κρείσσων, ὧι κ' ἐθέλω, δόμεναί τε καὶ ἀρνήσασθαι,
οὔθ' ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν,
οὔθ' ὅσσοι νήσοισι πρὸς Ἤλιδος ἱπποβότοιο·
τῶν οὔ_τις μ' ἀέκοντα βιήσεται, αἴ κ' ἐθέλωμι
καὶ καθάπαξ ξείνωι δόμεναι τάδε τόξα φέρεσθαι.
ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σ' αὐτῆς ἔργα κόμιζε,
ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι· τόξον δ' ἄνδρεσσι μελήσει Tel.
πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ οἴκωι." to Pen.
"ὦ πάτερ, ἤδη τοι σάκος οἴσω καὶ δύο δοῦρε ◆ 22.101
καὶ κυνέην πάγχαλκον, ἐπὶ κροτάφοις ἀραρυῖαν,
αὐτός τ' ἀμφιβαλεῦμαι ἰών, δώσω δὲ συβώτηι Tel.
καὶ τῶι βουκόλωι ἄλλα· τετευχῆσθαι γὰρ ἄμεινον." to Od.
"ὦ πάτερ, αὐτὸς ἐγὼ τόδε γ' ἤμβροτον — οὐδέ τις ἄλλος 22.154
αἴτιος — ὃς θαλάμοιο θύρην πυκινῶς ἀραρυῖαν
κάλλιπον ἀγκλίνας· τῶν δὲ σκοπὸς ἦεν ἀμείνων.
ἀλλ' ἴθι, δῖ' Εὔμαιε, θύρην ἐπίθες θαλάμοιο
καὶ φράσαι ἤ τις ἄρ' ἐστὶ γυναικῶν ἢ τάδε ῥέζει, Tel.
ἢ υἱὸς Δολίοιο Μελανθεύς, τόν_περ ὀΐω." to Od.

ἤματα μὲν γὰρ τέρπομ' ὀδυρομένη, γοόωσα,
ἔς τ' ἐμὰ ἔργ' ὁρόωσα καὶ ἀμφιπόλων ἐνὶ οἴκωι·
αὐτὰρ ἐπὴν νὺξ ἔλθηι, ἕλῃσί τε κοῖτος ἅπαντας,
κεῖμαι ἐνὶ λέκτρωι, πυκιναὶ δέ μοι ἀμφ' ἀδινὸν κῆρ
ὀξεῖαι μελεδῶναι ὀδυρομένην ἐρέθουσιν.
ὡς δ' ὅτε Πανδαρέου κούρη, χλωρηῒς ἀηδών,
καλὸν ἀείδησιν ἔαρος νέον ἱσταμένοιο
δενδρέων ἐν πετάλοισι καθεζομένη πυκινοῖσιν,
ἥ τε θαμὰ τρωπῶσα χέει πολυηχέα φωνήν,
παῖδ' ὀλοφυρομένη Ἴτυλον φίλον, ὅν ποτε χαλκῶι
κτεῖνε δι' ἀφραδίας, κοῦρον Ζήθοιο ἄνακτος,
ὣς καὶ ἐμοὶ δίχα θυμὸς ὀρώρεται ἔνθα καὶ ἔνθα,
ἠὲ μένω παρὰ παιδὶ καὶ ἔμπεδα πάντα φυλάσσω,
κτῆσιν ἐμήν, δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα,
εὐνήν τ' αἰδομένη πόσιος δήμοιό τε φῆμιν,
ἦ ἤδη ἅμ' ἕπωμαι Ἀχαιῶν ὅς τις ἄριστος
μνᾶται ἐνὶ μεγάροισι, πορὼν ἀπερείσια ἕδνα.
παῖς δ' ἐμὸς ἕως μὲν ἔην ἔτι νήπιος ἠδὲ χαλίφρων,
γήμασθ' οὔ μ' εἴα πόσιος κατὰ δῶμα λιποῦσαν·
νῦν δ' ὅτε δὴ μέγας ἐστὶ καὶ ἥβης μέτρον ἱκάνει,
καὶ δή μ' ἀρᾶται πάλιν ἐλθέμεν ἐκ μεγάροιο,
κτήσιος ἀσχαλόων, τήν οἱ κατέδουσιν Ἀχαιοί.
ἀλλ' ἄγε μοι τὸν ὄνειρον ὑπόκριναι καὶ ἄκουσον.
χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσιν
ἐξ ὕδατος, καί τέ σφιν ἰαίνομαι εἰσορόωσα·
ἐλθὼν δ' ἐξ ὄρεος μέγας αἰετὸς ἀγκυλοχείλης
πᾶσι κατ' αὐχέν' ἔαξε καὶ ἔκτανεν· οἱ δ' ἐκέχυντο
ἀθρόοι ἐν μεγάροις, ὁ δ' ἐς αἰθέρα δῖαν ἀέρθη.
αὐτὰρ ἐγὼ κλαῖον καὶ ἐκώκυον ἔν περ ὀνείρωι,
ἀμφὶ δέ μ' ἠγερέθοντο ἐϋπλοκαμῖδες Ἀχαιαί,
οἴκτρ' ὀλοφυρομένην ὅ μοι αἰετὸς ἔκτανε χῆνας.
ἂψ δ' ἐλθὼν κατ' ἄρ' ἕζετ' ἐπὶ προύχοντι μελάθρωι,
φωνῆι δὲ βροτέηι κατερήτυε φώνησέν τε,
'θάρσει, 'Ικαρίου κούρη τηλεκλειτοῖο·
οὐκ ὄναρ, ἀλλ' ὕπαρ ἐσθλόν, ὅ τοι τετελεσμένον ἔσται.
χῆνες μὲν μνηστῆρες, ἐγὼ δέ τοι αἰετὸς ὄρνις
ἦα πάρος, νῦν αὖτε τεὸς πόσις εἰλήλουθα,
ὃς πᾶσι μνηστῆρσιν ἀεικέα πότμον ἐφήσω.'
ὣς ἔφατ', αὐτὰρ ἐμὲ μελιηδὴς ὕπνος ἀνῆκεν·
παπτήνασα δὲ χῆνας ἐνὶ μεγάροισι νόησα **Pen.**
πυρὸν ἐρεπτομένους παρὰ πύελον, ἧχι πάρος περ." **to Od.**
"ξεῖν', ἦτοι μὲν ὄνειροι ἀμήχανοι ἀκριτόμυθοι **19.560**
γίγνοντ', οὐδέ τι πάντα τελείεται ἀνθρώποισιν.
δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων·
αἱ μὲν γὰρ κεράεσσι τετεύχαται, αἱ δ' ἐλέφαντι·
τῶν οἳ μέν κ' ἔλθωσι διὰ πριστοῦ ἐλέφαντος,
οἵ ῥ' ἐλεφαίρονται, ἔπε' ἀκράαντα φέροντες·
οἱ δὲ διὰ ξεστῶν κεράων ἔλθωσι θύραζε,
οἵ ῥ' ἔτυμα κραίνουσι, βροτῶν ὅτε κέν τις ἴδηται.
ἀλλ' ἐμοὶ οὐκ ἐντεῦθεν ὀΐομαι αἰνὸν ὄνειρον

ἐν λιμέσιν χαλεποῖσι, μόγις δ' ὑπάλυξεν ἀέλλας.
αὐτίκα δ' Ἰδομενῆα μετάλλα ἄστυδ' ἀνελθών·
ξεῖνον γάρ οἱ ἔφασκε φίλον τ' ἔμεν αἰδοῖόν τε·
τῶι δ' ἤδη δεκάτη ἢ ἑνδεκάτη πέλεν ἠὼς
οἰχομένωι σὺν νηυσὶ κορωνίσιν Ἴλιον εἴσω.
τὸν μὲν ἐγὼ πρὸς δώματ' ἄγων εὖ ἐξείνισσα,
ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων·
καὶ οἷ τοῖς ἄλλοις ἑτάροις, οἳ ἅμ' αὐτῶι ἕποντο,
δημόθεν ἄλφιτα δῶκα καὶ αἴθοπα οἶνον ἀγείρας
καὶ βοῦς ἱρεύσασθαι, ἵνα πλησαίατο θυμόν.
ἔνθα δυώδεκα μὲν μένον ἤματα δῖοι Ἀχαιοί·
εἴλει γὰρ Βορέης ἄνεμος μέγας οὐδ' ἐπὶ γαίηι
Od. εἴα ἵστασθαι, χαλεπὸς δέ τις ὤρορε δαίμων·
to Pen. τῆι τρεισκαιδεκάτηι δ' ἄνεμος πέσε, τοί δ' ἀνάγοντο."
19.221 "ὦ γύναι, ἀργαλέον τόσσον χρόνον ἀμφὶς ἐόντα
εἰπέμεν· ἤδη γάρ οἱ ἐεικοστὸν ἔτος ἐστὶν
ἐξ οὗ κεῖθεν ἔβη καὶ ἐμῆς ἀπελήλυθε πάτρης·
ἀλλὰ καὶ ὣς ἐρέω ὥς μοι ἰνδάλλεται ἦτορ.
χλαῖναν πορφυρέην οὔλην ἔχε δῖος Ὀδυσσεύς,
διπλῆν· αὐτάρ οἱ περόνη χρυσοῖο τέτυκτο
αὐλοῖσιν διδύμοισι· πάροιθε δὲ δαίδαλον ἦεν·
ἐν προτέροισι πόδεσσι κύων ἔχε ποικίλον ἐλλόν,
ἀσπαίροντα λάων· τὸ δὲ θαυμάζεσκον ἅπαντες,
ὡς οἱ χρύσεοι ἐόντες ὁ μὲν λάε νεβρὸν ἀπάγχων,
αὐτὰρ ὁ ἐκφυγέειν μεμαὼς ἤσπαιρε πόδεσσιν.
τὸν δὲ χιτῶν' ἐνόησα περὶ χροῒ σιγαλόεντα,
οἷόν τε κρομύοιο λοπὸν κάτα ἰσχαλέοιο.
τὼς μὲν ἔην μαλακός, λαμπρὸς δ' ἦν ἠέλιος ὥς.
ἦ μὲν πολλαί γ' αὐτὸν ἐθηήσαντο γυναῖκες.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
οὐκ οἶδ' εἰ τάδε ἕστο περὶ χροῒ οἴκοθ' Ὀδυσσεύς,
ἤ τις ἑταίρων δῶκε θοῆς ἐπὶ νηὸς ἰόντι,
ἤ τίς που καὶ ξεῖνος, ἐπεὶ πολλοῖσιν Ὀδυσσεὺς
ἔσκε φίλος· παῦροι γὰρ Ἀχαιῶν ἦσαν ὁμοῖοι.
καί οἱ ἐγὼ χάλκειον ἄορ καὶ δίπλακα δῶκα
καλὴν πορφυρέην καὶ τερμιόεντα χιτῶνα,
αἰδοίως δ' ἀπέπεμπον ἐϋσσέλμου ἐπὶ νηός.
καὶ μέν οἱ κῆρυξ ὀλίγον προγενέστερος αὐτοῦ
εἵπετο· καὶ τόν τοι μυθήσομαι, οἷος ἔην περ.
γυρὸς ἐν ὤμοισιν, μελανόχροος, οὐλοκάρηνος·
Od. Εὐρυβάτης δ' ὄνομ' ἔσκε· τίεν δέ μιν ἔξοχον ἄλλων
to Pen. ὧν ἑτάρων Ὀδυσεύς, ὅτι οἱ φρεσὶν ἄρτια ᾔδει."
19.262 "ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
μηκέτι νῦν χρόα καλὸν ἐναίρεο, μηδέ τι θυμὸν
τῆκε πόσιν γοόωσα. νεμεσσῶμαί γε μὲν οὐδέν·
καὶ γάρ τίς τ' ἀλλοῖον ὀδύρεται ἄνδρ' ὀλέσασα
κουρίδιον, τῶι τέκνα τέκηι φιλότητι μιγεῖσα,
ἢ Ὀδυσῆ', ὅν φασι θεοῖς ἐναλίγκιον εἶναι.
ἀλλὰ γόον μὲν παῦσαι, ἐμεῖο δὲ σύνθεο μῦθον·
νημερτέως γάρ τοι μυθήσομαι οὐδ' ἐπικεύσω,

"ἴσχεο, μηδέ τι τοῦτον ἀναίτιον οὔταε χαλκῶι· **22.356**
καὶ κήρυκα Μέδοντα σαώσομεν, ὅς τ' ἐμέ' αἰεὶ
οἴκωι ἐν ἡμετέρωι κηδέσκετο παιδὸς ἐόντος, Tel.
εἰ δή μή μιν ἔπεφνε Φιλοίτιος ἠὲ συβώτης, to Od.
ἠὲ σοὶ ἀντεβόλησεν ὀρινομένωι κατὰ δῶμα."
"μῆτερ ἐμή, δύσμητερ, ἀπηνέα θυμὸν ἔχουσα, **23.97**
τίφθ' οὕτω πατρὸς νοσφίζεαι, οὐδὲ παρ' αὐτὸν
ἑζομένη μύθοισιν ἀνείρεαι οὐδὲ μεταλλᾶις;
οὐ μέν κ' ἄλλη γ' ὧδε γυνὴ τετληότι θυμῶι
ἀνδρὸς ἀφεσταίη, ὅς οἱ κακὰ πολλὰ μογήσας
ἔλθοι ἐεικοστῶι ἔτεϊ ἐς πατρίδα γαῖαν· Tel.
σοὶ δ' αἰεὶ κραδίη στερεωτέρη ἐστὶ λίθοιο." to Pen.
"αὐτὸς ταῦτά γε λεῦσσε, πάτερ φίλε· σὴν γὰρ ἀρίστην **23.124**
μῆτιν ἐπ' ἀνθρώπους φάσ' ἔμμεναι, οὐδέ κέ τίς τοι
ἄλλος ἀνὴρ ἐρίσειε καταθνητῶν ἀνθρώπων.
ἡμεῖς δὲ μεμαῶτες ἅμ' ἑψόμεθ', οὐδέ τί φημι Tel.
ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστιν." to Od.
"ὄψεαι, αἴ κ' ἐθέλησθα, πάτερ φίλε, τῶιδ' ἐπὶ θυμῶι **24.511**
οὔ τι καταισχύνοντα τεὸν γένος, ὡς ἀγορεύεις."

ἐλθέμεν· ἦ κ' ἀσπαστὸν ἐμοὶ καὶ παιδὶ γένοιτο.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇισιν·
ἥδε δὴ ἠὼς εἶσι δυσώνυμος, ἥ μ' Ὀδυσῆος
οἴκου ἀποσχήσει· νῦν γὰρ καταθήσω ἄεθλον,
τοὺς πελέκεας, τοὺς κεῖνος ἐνὶ μεγάροισιν ἑοῖσιν
ἵστασχ' ἑξείης, δρυόχους ὣς, δώδεκα πάντας·
στὰς δ' ὅ_γε πολλὸν ἄνευθε διαρρίπτασκεν ὀϊστόν.
νῦν δὲ μνηστήρεσσιν ἄεθλον τοῦτον ἐφήσω·
ὃς δέ κε ῥηΐτατ' ἐντανύσηι βιὸν ἐν παλάμηισιν
καὶ διοϊστεύσηι πελέκεων δυοκαίδεκα πάντων, **Pen.**
τῶι κεν ἅμα ἑσποίμην, νοσφισσαμένη τόδε δῶμα **to Od.**
κουρίδιον, μάλα καλὸν, ἐνίπλειον βιότοιο·
τοῦ ποτὲ μεμνήσεσθαι ὀΐομαι ἔν περ ὀνείρωι."
"εἴ κ' ἐθέλοις μοι, ξεῖνε, παρήμενος ἐν μεγάροισιν **19.589**
τέρπειν, οὔ κέ μοι ὕπνος ἐπὶ βλεφάροισι χυθείη.
ἀλλ' οὐ γάρ πως ἔστιν ἀύπνους ἔμμεναι αἰεὶ
ἀνθρώπους· ἐπὶ γάρ τοι ἑκάστωι μοῖραν ἔθηκαν
ἀθάνατοι θνητοῖσιν ἐπὶ ζείδωρον ἄρουραν·
ἀλλ' ἤτοι μὲν ἐγὼν ὑπερώϊον εἰσαναβᾶσα
λέξομαι εἰς εὐνὴν, ἥ μοι στονόεσσα τέτυκται,
αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
ὤιχετ' ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
ἔνθά κε λεξαίμην· σὺ δὲ λέξεο τῶιδ' ἐνὶ οἴκωι, **Pen.**
ἢ χαμάδις στορέσας, ἤ τοι κατὰ δέμνια θέντων." **to Od.**
"τέκνον ἐμὸν, θυμός μοι ἐνὶ στήθεσσι τέθηπεν, **23.105**
οὐδέ τι προσφάσθαι δύναμαι ἔπος οὐδ' ἐρέεσθαι
οὐδ' εἰς ὦπα ἰδέσθαι ἐναντίον. εἰ δ' ἐτεὸν δὴ
ἔστ' Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται, ἦ μάλα νῶϊ **Pen.**
γνωσόμεθ' ἀλλήλων καὶ λώϊον· ἔστι γὰρ ἡμῖν **to Tel.**
σήμαθ', ἃ δὴ καὶ νῶϊ κεκρυμμένα ἴδμεν ἀπ' ἄλλων."
"δαιμόνι', οὔτ' ἄρ τι μεγαλίζομαι οὐδ' ἀθερίζω, **23.174**
οὔτε λίην ἄγαμαι, μάλα δ' εὖ οἶδ' οἷος ἔησθα **Pen.**
ἐξ Ἰθάκης ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο. {..."} **to Od.**
"μή μοι, Ὀδυσσεῦ, σκύζε', ἐπεὶ τά περ ἄλλα μάλιστα **23.209**
ἀνθρώπων πέπνυσο· θεοὶ δ' ὤπαζον ὀϊζὺν,
οἳ νῶϊν ἀγάσαντο παρ' ἀλλήλοισι μένοντε
ἥβης ταρπῆναι καὶ γήραος οὐδὸν ἱκέσθαι.
αὐτὰρ μὴ νῦν μοι τόδε χώεο μηδὲ νεμέσσα,
οὕνεκά σ' οὐ τὸ πρῶτον, ἐπεὶ ἴδον, ὧδ' ἀγάπησα.
αἰεὶ γάρ μοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ἐρρίγει μή τίς με βροτῶν ἀπάφοιτ' ἐπέεσσιν
ἐλθών· πολλοὶ γὰρ κακὰ κέρδεα βουλεύουσιν.
οὐδέ κεν Ἀργείη Ἑλένη, Διὸς ἐκγεγαυῖα,
ἀνδρὶ πάρ' ἀλλοδαπῶι ἐμίγη φιλότητι καὶ εὐνῆι,
εἰ ἤιδει ὅ μιν αὖτις Ἀρήϊοι υἷες Ἀχαιῶν
ἀξέμεναι οἶκόνδε φίλην ἐς πατρίδ' ἔμελλον.
τὴν δ' ἤτοι ῥέξαι θεὸς ὤρορεν ἔργον ἀεικές·
τὴν δ' ἄτην οὐ πρόσθεν ἑῶι ἐγκάτθετο θυμῶι
λυγρὴν, ἐξ ἧς πρῶτα καὶ ἡμέας ἵκετο πένθος.
νῦν δ', ἐπεὶ ἤδη σήματ' ἀριφραδέα κατέλεξας

ὡς ἤδη Ὀδυσῆος ἐγὼ περὶ νόστου ἄκουσα
ἀγχοῦ, Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμωι,
ζωοῦ· αὐτὰρ ἄγει κειμήλια πολλὰ καὶ ἐσθλὰ
αἰτίζων ἀνὰ δῆμον. ἀτὰρ ἐρίηρας ἑταίρους
ὤλεσε καὶ νῆα γλαφυρὴν ἐνὶ οἴνοπι πόντωι,
Θρινακίης ἀπὸ νήσου ἰών· ὀδύσαντο γὰρ αὐτῶι
Ζεύς τε καὶ Ἠέλιος· τοῦ γὰρ βόας ἔκταν ἑταῖροι.
οἱ μὲν πάντες ὄλοντο πολυκλύστωι ἐνὶ πόντωι·
τὸν δ' ἄρ' ἐπὶ τρόπιος νεὸς ἔκβαλε κῦμ' ἐπὶ χέρσου,
Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάασιν,
οἳ δή μιν περὶ κῆρι θεὸν ὣς τιμήσαντο
καί οἱ πολλὰ δόσαν πέμπειν τέ μιν ἤθελον αὐτοὶ
οἴκαδ' ἀπήμαντον. καί κεν πάλαι ἐνθάδ' Ὀδυσσεὺς
ἤην· ἀλλ' ἄρα οἱ τό_γε κέρδιον εἴσατο θυμῶι,
χρήματ' ἀγυρτάζειν πολλὴν ἐπὶ γαῖαν ἰόντι·
ὡς περὶ κέρδεα πολλὰ καταθνητῶν ἀνθρώπων
οἶδ' Ὀδυσεύς, οὐδ' ἄν τις ἐρίσσειε βροτὸς ἄλλος.
ὥς μοι Θεσπρωτῶν βασιλεὺς μυθήσατο Φείδων·
ὤμνυε δὲ πρὸς ἔμ' αὐτόν, ἀποσπένδων ἐνὶ οἴκωι,
νῆα κατειρύσθαι καὶ ἐπαρτέας ἔμμεν ἑταίρους,
οἳ δή μιν πέμψουσι φίλην ἐς πατρίδα γαῖαν.
ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε· τύχησε γὰρ ἐρχομένη νηῦς
ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυρον.
καί μοι κτήματ' ἔδειξεν, ὅσα ξυναγείρατ' Ὀδυσσεύς·
καί νύ κεν ἐς δεκάτην γενεὴν ἕτερόν γ' ἔτι βόσκοι,
ὅσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο
ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσηι,
ὅππως νοστήσειε φίλην ἐς πατρίδα γαῖαν
ἤδη δὴν ἀπεών, ἢ ἀμφαδὸν ἦε κρυφηδόν.
ὣς ὁ μὲν οὕτως ἐστὶ σόος καὶ ἐλεύσεται ἤδη
ἄγχι μάλ', οὐδ' ἔτι τῆλε φίλων καὶ πατρίδος αἴης
δηρὸν ἀπεσσεῖται· ἔμπης δέ τοι ὅρκια δώσω.
ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,
✦ ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω·
ἦ μέν τοι τάδε πάντα τελείεται ὡς ἀγορεύω.
Od. τοῦδ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς,
to Pen. τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένοιο."
19.336 "ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
ἤτοι ἐμοὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα
ἤχθεθ', ὅτε πρῶτον Κρήτης ὄρεα νιφόεντα
νοσφισάμην ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο,
κείω δ' ὡς τὸ πάρος περ ἀΰπνους νύκτας ἴαυον·
πολλὰς γὰρ δὴ νύκτας ἀεικελίωι ἐνὶ κοίτηι
ἄεσα καί τ' ἀνέμεινα ἐΰθρονον Ἠῶ δῖαν.
οὐδέ τί μοι ποδάνιπτρα ποδῶν ἐπιήρανα θυμῶι
γίγνεται· οὐδὲ γυνὴ ποδὸς ἅψεται ἡμετέροιο
τάων αἵ τοι δῶμα κάτα δρήστειραι ἔασιν,
εἰ μή τις γρηῦς ἔστι παλαιή, κέδνα ἰδυῖα,
Od. ἥ_τις δὴ τέτληκε τόσα φρεσὶν ὅσσα τ' ἐγώ περ·

εὐνῆς ἡμετέρης, ἣν οὐ βροτὸς ἄλλος ὀπώπει,
ἀλλ' οἶοι σύ τ' ἐγώ τε καὶ ἀμφίπολος μία μούνη,
Ἀκτορίς, ἥν μοι δῶκε πατὴρ ἔτι δεῦρο κιούσηι, Pen.
ἣ νῶϊν εἴρυτο θύρας πυκινοῦ θαλάμοιο, to Od.
πείθεις δή μευ θυμόν, ἀπηνέα περ μάλ' ἐόντα."
"εὐνὴ μὲν δὴ σοί γε τότ' ἔσσεται ὁππότε θυμῶι 23.257
σῶι ἐθέληις, ἐπεὶ ἄρ σε θεοὶ ποίησαν ἱκέσθαι
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν·
ἀλλ' ἐπεὶ ἐφράσθης καί τοι θεὸς ἔμβαλε θυμῶι,
εἴπ' ἄγε μοι τὸν ἄεθλον, ἐπεὶ καὶ ὄπισθεν, ὀΐω, Pen.
πεύσομαι, αὐτίκα δ' ἐστὶ δαήμεναι οὔ τι χέρειον." to Od.
"εἰ μὲν δὴ γῆράς γε θεοὶ τελέουσιν ἄρειον, 23.286
ἐλπωρή τοι ἔπειτα κακῶν ὑπάλυξιν ἔσεσθαι." Pen. to Od.

to Pen. τῆι_δ’ οὐκ ἂν φθονέοιμι ποδῶν ἅψασθαι ἐμεῖο.”
19.555 “ὦ γύναι, οὔ_πώς ἐστιν ὑποκρίνασθαι ὄνειρον
ἄλληι ἀποκλίναντ’, ἐπεὶ ἦ ῥά τοι αὐτὸς Ὀδυσσεὺς
Od. πέφραδ’ ὅπως τελέει· μνηστῆρσι δὲ φαίνετ’ ὄλεθρος
to Pen. πᾶσι μάλ’, οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξει.”
19.583 “ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
μηκέτι νῦν ἀνάβαλλε δόμοις ἔνι τοῦτον ἄεθλον·
πρὶν γάρ τοι πολύμητις ἐλεύσεται ἐνθάδ’ Ὀδυσσεὺς,
Od. πρὶν τούτους τόδε τόξον ἐΰξοον ἀμφαφόωντας
to Pen. νευρήν τ’ ἐντανύσαι διοϊστεῦσαί τε σιδήρου.”
20.18 “τέτλαθι δὴ, κραδίη· καὶ κύντερον ἄλλο ποτ’ ἔτλης,
Od. ἤματι τῶι, ὅτε μοι μένος ἄσχετος ἤσθιε Κύκλωψ
ἰφθίμους ἑτάρους· σὺ δ’ ἐτόλμας, ὄφρα σε μῆτις
to Od. ἐξάγαγ’ ἐξ ἄντροιο ὀϊόμενον θανέεσθαι.”
21.424 “Τηλέμαχ’, οὔ σ’ ὁ ξεῖνος ἐνὶ μεγάροισιν ἐλέγχει
ἥμενος, οὐδέ τι τοῦ σκοποῦ ἤμβροτον, οὐδέ τι τόξον
δὴν ἔκαμον τανύων· ἔτι μοι μένος ἔμπεδόν ἐστιν,
οὐχ ὥς με μνηστῆρες ἀτιμάζοντες ὄνονται.
Od. νῦν δ’ ὥρη καὶ δόρπον Ἀχαιοῖσιν τετυκέσθαι
to Tel. ἐν φάει, αὐτὰρ ἔπειτα καὶ ἄλλως ἑψιάασθαι
μολπῆι καὶ φόρμιγγι· τὰ γάρ τ’ ἀναθήματα δαιτός.”
22.106 “οἶσε θέων, εἵως μοι ἀμύνεσθαι πάρ’ ὀϊστοὶ,
Od. to Tel μή μ’ ἀποκινήσωσι θυράων μοῦνον ἐόντα.”
22.151 “Τηλέμαχ’, ἦ μάλα δή τις ἐνὶ μεγάροισι γυναικῶν
Od. to Tel. νῶϊν ἐποτρύνει πόλεμον κακὸν ἠὲ Μελανθεύς.”
22.391 “Τηλέμαχ’, εἰ δ’ ἄγε μοι κάλεσον τροφὸν Εὐρύκλειαν,
Od. to Tel. ὄφρα ἔπος εἴπωμι τό μοι καταθύμιόν ἐστιν.”
23.113 “Τηλέμαχ’, ἤτοι μητέρ’ ἐνὶ μεγάροισιν ἔασον
πειράζειν ἐμέθεν· τάχα δὲ φράσεται καὶ ἄρειον.
νῦν δ’ ὅττι ῥυπόω, κακὰ δὲ χροῒ εἵματα εἶμαι,
τοὔνεκ’ ἀτιμάζει με καὶ οὔ_πω φησὶ τὸν εἶναι.
ἡμεῖς δὲ φραζώμεθ’ ὅπως ὄχ’ ἄριστα γένηται.
Od. καὶ γάρ τίς θ’ ἕνα φῶτα κατακτείνας ἐνὶ δήμωι,
to Tel. ὧι μὴ πολλοὶ ἔωσιν ἀοσσητῆρες ὀπίσσω,
φεύγει πηούς τε προλιπὼν καὶ πατρίδα γαῖαν·
ἡμεῖς δ’ ἕρμα πόληος ἀπέκταμεν, οἳ μέγ’ ἄριστοι
✦ κούρων εἰν Ἰθάκηι· τὰ δέ σε φράζεσθαι ἄνωγα.”
23.130 “τοιγὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
πρῶτα μὲν ἂρ λούσασθε καὶ ἀμφιέσασθε χιτῶνας,
δμωὰς δ’ ἐν μεγάροισιν ἀνώγετε εἵμαθ’ ἑλέσθαι·
αὐτὰρ θεῖος ἀοιδὸς ἔχων φόρμιγγα λίγειαν
ἡμῖν ἡγείσθω φιλοπαίγμονος ὀρχηθμοῖο,
ὥς κέν τις φαίη γάμον ἔμμεναι ἐκτὸς ἀκούων,
ἢ ἀν’ ὁδὸν στείχων, ἢ οἳ περιναιετάουσιν·
μὴ πρόσθε κλέος εὐρὺ φόνου κατὰ ἄστυ γένηται
Od. ἀνδρῶν μνηστήρων, πρίν γ’ ἡμέας ἐλθέμεν ἔξω
to Tel. ἀγρὸν ἐς ἡμέτερον πολυδένδρεον· ἔνθα δ’ ἔπειτα
φρασσόμεθ’ ὅττί κε κέρδος Ὀλύμπιος ἐγγυαλίξηι.”
23.166 “δαιμονίη, περὶ σοί γε γυναικῶν θηλυτεράων
κῆρ ἀτέραμνον ἔθηκαν Ὀλύμπια δώματ’ ἔχοντες·

οὐ μέν κ' ἄλλη γ' ὧδε γυνὴ τετληότι θυμῶι
ἀνδρὸς ἀφεσταίη, ὅς οἱ κακὰ πολλὰ μογήσας
ἔλθοι ἐεικοστῶι ἔτεϊ ἐς πατρίδα γαῖαν.
Od. ἀλλ' ἄγε μοι, μαῖα, στόρεσον λέχος, ὄφρα καὶ αὐτὸς
to Pen. λέξομαι· ἦ γὰρ τῆι_γε σιδήρεος ἐν φρεσὶ θυμός."
23.183 "ὦ γύναι, ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες·
τίς δέ μοι ἄλλοσε θῆκε λέχος; χαλεπὸν δέ κεν εἴη
καὶ μάλ' ἐπισταμένωι, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν
ῥηϊδίως ἐθέλων θείη ἄλληι ἐνὶ χώρηι·
ἀνδρῶν δ' οὔ κέν τις ζωὸς βροτὸς, οὐδὲ μάλ' ἡβῶν,
ῥεῖα μετοχλίσσειεν, ἐπεὶ μέγα σῆμα τέτυκται
ἐν λέχει ἀσκητῶι· τὸ δ' ἐγὼ κάμον οὐδέ τις ἄλλος.
θάμνος ἔφυ τανύφυλλος ἐλαίης ἕρκεος ἐντὸς,
ἀκμηνὸς θαλέθων· πάχετος δ' ἦν ἠΰτε κίων.
τῶι δ' ἐγὼ ἀμφιβαλὼν θάλαμον δέμον, ὄφρ' ἐτέλεσσα,
πυκνῆισιν λιθάδεσσι, καὶ εὖ καθύπερθεν ἔρεψα,
κολλητὰς δ' ἐπέθηκα θύρας, πυκινῶς ἀραρυίας.
καὶ τότ' ἔπειτ' ἀπέκοψα κόμην τανυφύλλου ἐλαίης,
κορμὸν δ' ἐκ ῥίζης προταμὼν ἀμφέξεσα χαλκῶι
εὖ καὶ ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνα,
ἑρμῖν' ἀσκήσας, τέτρηνα δὲ πάντα τερέτρωι.
ἐκ δὲ τοῦ ἀρχόμενος λέχος ἔξεον, ὄφρ' ἐτέλεσσα,
δαιδάλλων χρυσῶι τε καὶ ἀργύρωι ἠδ' ἐλέφαντι·
ἐκ δ' ἐτάνυσσ' ἱμάντα βοὸς φοίνικι φαεινόν.
οὕτω τοι τόδε σῆμα πιφαύσκομαι· οὐδέ τι οἶδα,
Od. ἤ μοι ἔτ' ἔμπεδόν ἐστι, γύναι, λέχος, ἦέ τις ἤδη
to Pen. ἀνδρῶν ἄλλοσε θῆκε, ταμὼν ὕπο πυθμέν' ἐλαίης."
23.248 "ὦ γύναι, οὐ γάρ πω πάντων ἐπὶ πείρατ' ἀέθλων
ἤλθομεν, ἀλλ' ἔτ' ὄπισθεν ἀμέτρητος πόνος ἔσται,
πολλὸς καὶ χαλεπὸς, τὸν ἐμὲ χρὴ πάντα τελέσσαι·
ὣς γάρ μοι ψυχὴ μαντεύσατο Τειρεσίαο
ἤματι τῶι ὅτε δὴ κατέβην δόμον Ἄϊδος εἴσω,
νόστον ἑταίροισιν διζήμενος ἠδ' ἐμοὶ αὐτῶι.
Od. ἀλλ' ἔρχευ, λέκτρονδ' ἴομεν, γύναι, ὄφρα καὶ ἤδη
to Pen. ὕπνωι ὕπο γλυκερῶι ταρπώμεθα κοιμηθέντε."
23.264 "δαιμονίη, τί τ' ἄρ' αὖ με μάλ' ὀτρύνουσα κελεύεις
εἰπέμεν; αὐτὰρ ἐγὼ μυθήσομαι οὐδ' ἐπικεύσω.
οὐ μέν τοι θυμὸς κεχαρήσεται· οὐδὲ γὰρ αὐτὸς
χαίρω, ἐπεὶ μάλα πολλὰ βροτῶν ἐπὶ ἄστε' ἄνωγεν
ἐλθεῖν, ἐν χείρεσσιν ἔχοντ' εὐῆρες ἐρετμὸν,
εἰς ὅ κε τοὺς ἀφίκωμαι οἳ οὐκ ἴσασι θάλασσαν
ἀνέρες, οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν·
οὐδ' ἄρα τοί_γ' ἴσασι νέας φοινικοπαρήους
οὐδ' εὐήρε' ἐρετμὰ, τά τε πτερὰ νηυσὶ πέλονται.
σῆμα δέ μοι τόδ' ἔειπεν ἀριφραδὲς, οὐδέ σε κεύσω·
ὁππότε κεν δή μοι ξυμβλήμενος ἄλλος ὁδίτης
φήηι ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμωι ὤμωι,
καὶ τότε μ' ἐν γαίηι πήξαντ' ἐκέλευσεν ἐρετμὸν,
ἔρξανθ' ἱερὰ καλὰ Ποσειδάωνι ἄνακτι,
ἀρνειὸν ταῦρόν τε συῶν τ' ἐπιβήτορα κάπρον,

οἴκαδ᾽ ἀποστείχειν, ἔρδειν θ᾽ ἱερὰς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
πᾶσι μάλ᾽ ἑξείης. θάνατος δέ μοι ἐξ ἁλὸς αὐτῶι
ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ με πέφνηι
Od. γήραι ὕπο λιπαρῶι ἀρημένον· ἀμφὶ δὲ λαοὶ
to Pen. ὄλβιοι ἔσσονται. τὰ δέ μοι φάτο πάντα τελεῖσθαι."
23.350 "ὦ γύναι, ἤδη μὲν πολέων κεκορήμεθ᾽ ἀέθλων
ἀμφοτέρω, σὺ μὲν ἐνθάδ᾽ ἐμὸν πολυκηδέα νόστον
κλαίουσ᾽· αὐτὰρ ἐμὲ Ζεὺς ἄλγεσι καὶ θεοὶ ἄλλοι
ἱέμενον πεδάασκον ἐμῆς ἀπὸ πατρίδος αἴης·
νῦν δ᾽ ἐπεὶ ἀμφοτέρω πολυήρατον ἱκόμεθ᾽ εὐνήν,
κτήματα μὲν τά μοι ἔστι, κομιζέμεν ἐν μεγάροισιν,
μῆλα δ᾽ ἅ μοι μνηστῆρες ὑπερφίαλοι κατέκειραν,
πολλὰ μὲν αὐτὸς ἐγὼ ληΐσσομαι, ἄλλα δ᾽ Ἀχαιοὶ
δώσουσ᾽, εἰς ὅ κε πάντας ἐνιπλήσωσιν ἐπαύλους.
ἀλλ᾽ ἤτοι μὲν ἐγὼ πολυδένδρεον ἀγρὸν ἄπειμι,
ὀψόμενος πατέρ᾽ ἐσθλόν, ὅ μοι πυκινῶς ἀκάχηται·
σοὶ δέ, γύναι, τόδ᾽ ἐπιτέλλω, πινυτῆι περ ἐούσηι·
αὐτίκα γὰρ φάτις εἶσιν ἅμ᾽ ἠελίωι ἀνιόντι
ἀνδρῶν μνηστήρων, οὓς ἔκτανον ἐν μεγάροισιν·
Od. εἰς ὑπερῶι᾽ ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
to Pen. ἧσθαι, μηδέ τινα προτιόσσεο μηδ᾽ ἐρέεινε."
24.506 "Τηλέμαχ᾽, ἤδη μὲν τόδε γ᾽ εἴσεαι αὐτὸς ἐπελθών,
ἀνδρῶν μαρναμένων ἵνα τε κρίνονται ἄριστοι,
Od. μή τι καταισχύνειν πατέρων γένος, οἳ τὸ πάρος περ
to Tel. ἀλκῆι τ᾽ ἠνορέηι τε κεκάσμεθα πᾶσαν ἐπ᾽ αἶαν."

Notes

Notes

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 40 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF ODYSSEUS' MOTHER ANTIKLEA IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

11.155 “τέκνον ἐμὸν, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα
ζωὸς ἐών; χαλεπὸν δὲ τάδε ζωοῖσιν ὁρᾶσθαι.
μέσσωι γὰρ μεγάλοι ποταμοὶ καὶ δεινὰ ῥέεθρα,
Ὠκεανὸς μὲν πρῶτα, τὸν οὔ_πώς ἐστι περῆσαι
πεζὸν ἰόντ’, ἢν μή τις ἔχηι εὐεργέα νῆα.
ἦ νῦν δὴ Τροίηθεν ἀλώμενος ἐνθάδ’ ἱκάνεις
νηΐ τε καὶ ἑτάροισι πολὺν χρόνον; οὐδέ πω ἦλθες
Antiklea εἰς Ἰθάκην, οὐδ’ εἶδες ἐνὶ μεγάροισι γυναῖκα;”
11.181 “καὶ λίην κείνη γε μένει τετληότι θυμῶι
σοῖσιν ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ_χεούσηι.
σὸν δ’ οὔ_πώ τις ἔχει καλὸν γέρας, ἀλλὰ ἕκηλος
Τηλέμαχος τεμένεα νέμεται καὶ δαῖτας ἐΐσας
δαίνυται, ἃς ἐπέοικε δικασπόλον ἄνδρ’ ἀλεγύνειν·
πάντες γὰρ καλέουσι. πατὴρ δὲ σός αὐτόθι μίμνει
ἀγρῶι, οὐδὲ πόλινδε κατέρχεται. οὐδέ οἱ εὐναὶ
δέμνια καὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα,
ἀλλ’ ὅ_γε χεῖμα μὲν εὕδει ὅθι δμῶες ἐνὶ οἴκωι
ἐν κόνι ἄγχι πυρὸς, κακὰ δὲ χροΐ εἵματα εἷται·
αὐτὰρ ἐπὴν ἔλθησι θέρος τεθαλυῖά τ’ ὀπώρη,
πάντηι οἱ κατὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο
φύλλων κεκλιμένων χθαμαλαὶ βεβλήαται εὐναί·
ἔνθ’ ὅ_γε κεῖτ’ ἀχέων, μέγα δὲ φρεσὶ πένθος ἀέξει
σὸν νόστον ποθέων· χαλεπὸν δ’ ἐπὶ γῆρας ἱκάνει.
οὕτω γὰρ καὶ ἐγὼν ὀλόμην καὶ πότμον ἐπέσπον·
οὔτ’ ἐμέ_γ’ ἐν μεγάροισιν ἐΰσκοπος Ἰοχέαιρα
οἷς ἀγανοῖσι βέλεσσιν ἐποιχομένη κατέπεφνεν,
οὔτέ τις οὖν μοι νοῦσος ἐπήλυθεν, ἥ_τε μάλιστα
τηκεδόνι στυγερῆι μελέων ἐξείλετο θυμόν·
ἀλλά με σός τε πόθος σά τε μήδεα, φαίδιμ’ Ὀδυσσεῦ,
Antiklea σή τ’ ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα.”
11.216 “ὤ μοι, τέκνον ἐμόν, περὶ πάντων κάμμορε φωτῶν,
οὔ_τί σε Περσεφόνεια, Διὸς θυγάτηρ, ἀπαφίσκει,
ἀλλ’ αὕτη δίκη ἐστὶ βροτῶν, ὅτε κέν τε θάνωσιν·
οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσιν,
ἀλλὰ τὰ μέν τε πυρὸς κρατερὸν μένος αἰθομένοιο
δαμνᾶι, ἐπεί κε πρῶτα λίπηι λεύκ’ ὀστέα θυμὸς,
ψυχὴ δ’ ἠΰτ’ ὄνειρος ἀποπταμένη πεπότηται.
ἀλλὰ φόωσδε τάχιστα λιλαίεο· ταῦτα δὲ πάντα
Antiklea ἴσθ’, ἵνα καὶ μετόπισθε τεῆι εἴπηισθα γυναικί.”

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 37 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF ODYSSEUS' FATHER
LAERTES
IN **THE ODYSSEY**

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

24.281 "ξεῖν᾽, ἤτοι μὲν γαῖαν ἱκάνεις, ἣν ἐρεείνεις,
ὑβρισταὶ δ᾽ αὐτὴν καὶ ἀτάσθαλοι ἄνδρες ἔχουσιν·
δῶρα δ᾽ ἐτώσια ταῦτα χαρίζεο, μυρί᾽ ὀπάζων·
εἰ γάρ μιν ζωόν γε κίχεις Ἰθάκης ἐνὶ δήμωι,
τῶι κέν σ᾽ εὖ δώροισιν ἀμειψάμενος ἀπέπεμψεν
καὶ ξενίηι ἀγαθῆι· ἡ γὰρ θέμις, ὅς τις ὑπάρξηι.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
πόστον δὴ ἔτος ἐστὶν, ὅτε ξείνισσας ἐκεῖνον
σὸν ξεῖνον δύστηνον, ἐμὸν παῖδ᾽, εἴ ποτ᾽ ἔην γε,
δύσμορον; ὅν που τῆλε φίλων καὶ πατρίδος αἴης
ἠέ που ἐν πόντωι φάγον ἰχθύες, ἢ ἐπὶ χέρσου
θηρσὶ καὶ οἰωνοῖσιν ἕλωρ γένετ᾽· οὐδέ ἑ μήτηρ
κλαῦσε περιστείλασα πατήρ θ᾽, οἵ μιν τεκόμεσθα·
οὐδ᾽ ἄλοχος πολύδωρος, ἐχέφρων Πηνελόπεια,
κώκυσ᾽ ἐν λεχέεσσιν ἑὸν πόσιν, ὡς ἐπεώικει,
ὀφθαλμοὺς καθελοῦσα· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
καί μοι τοῦτ᾽ ἀγόρευσον ἐτήτυμον, ὄφρ᾽ εὖ εἴδω·
τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
ποῦ δὲ νηῦς ἕστηκε θοή, ἥ σ᾽ ἤγαγε δεῦρο
ἀντιθέους θ᾽ ἑτάρους; ἦ ἔμπορος εἰλήλουθας
Laertes νηὸς ἔπ᾽ ἀλλοτρίης, οἱ δ᾽ ἐκβήσαντες ἔβησαν;"
24.328 "εἰ μὲν δὴ Ὀδυσεύς γε ἐμὸς παῖς ἐνθάδ᾽ ἱκάνεις,
Laertes σῆμά τί μοι νῦν εἰπὲ ἀριφραδὲς, ὄφρα πεποίθω."
24.351 "Ζεῦ πάτερ, ἦ ῥα ἔτ᾽ ἐστὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
εἰ ἐτεὸν μνηστῆρες ἀτάσθαλον ὕβριν ἔτισαν.
νῦν δ᾽ αἰνῶς δείδοικα κατὰ φρένα μὴ τάχα πάντες
ἐνθάδ᾽ ἐπέλθωσιν Ἰθακήσιοι, ἀγγελίας δὲ
Laertes πάντηι ἐποτρύνωσι Κεφαλλήνων πολίεσσιν."
24.376 "αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
οἷος Νήρικον εἷλον, ἐΰκτίμενον πτολίεθρον,
ἀκτὴν ἠπείροιο, Κεφαλλήνεσσιν ἀνάσσων,
τοῖος ἐών τοι χθιζὸς ἐν ἡμετέροισι δόμοισιν,
τεύχε᾽ ἔχων ὤμοισιν, ἐφεστάμεναι καὶ ἀμύνειν
ἄνδρας μνηστῆρας· τῶι κε σφέων γούνατ᾽ ἔλυσα
πολλῶν ἐν μεγάροισι, σὺ δὲ φρένας ἔνδον ἰάνθης."
24.514 "τίς νύ μοι ἡμέρη ἥδε, θεοὶ φίλοι; ἦ μάλα χαίρω·
Laertes υἱός θ᾽ υἱωνός τ᾽ ἀρετῆς πέρι δῆριν ἔχουσιν."

24.281 “ξεῖν’, ἤτοι μὲν γαῖαν ἱκάνεις, ἣν ἐρεείνεις,
ὑβρισταὶ δ’ αὐτὴν καὶ ἀτάσθαλοι ἄνδρες ἔχουσιν·
δῶρα δ’ ἐτώσια ταῦτα χαρίζεο, μυρί’ ὀπάζων·
εἰ γάρ μιν ζωόν γε κίχεις Ἰθάκης ἐνὶ δήμωι,
τῶι κέν σ’ εὖ δώροισιν ἀμειψάμενος ἀπέπεμψεν
καὶ ξενίηι ἀγαθῆι· ἡ γὰρ θέμις, ὅς τις ὑπάρξηι.
ἀλλ’ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
πόστον δὴ ἔτος ἐστὶν, ὅτε ξείνισσας ἐκεῖνον
σὸν ξεῖνον δύστηνον, ἐμὸν παῖδ’, εἴ ποτ’ ἔην γε,
δύσμορον; ὅν που τῆλε φίλων καὶ πατρίδος αἴης
ἠέ που ἐν πόντωι φάγον ἰχθύες, ἢ ἐπὶ χέρσου
θηρσὶ καὶ οἰωνοῖσιν ἕλωρ γένετ’· οὐδέ ἑ μήτηρ
κλαῦσε περιστείλασα πατήρ θ’, οἵ μιν τεκόμεσθα·
οὐδ’ ἄλοχος πολύδωρος, ἐχέφρων Πηνελόπεια,
κώκυσ’ ἐν λεχέεσσιν ἑὸν πόσιν, ὡς ἐπεῴκει,
ὀφθαλμοὺς καθελοῦσα· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
καί μοι τοῦτ’ ἀγόρευσον ἐτήτυμον, ὄφρ’ εὖ εἴδω·
τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
ποῦ δὲ νηῦς ἕστηκε θοή, ἥ σ’ ἤγαγε δεῦρο
ἀντιθέους θ’ ἑτάρους; ἦ ἔμπορος εἰλήλουθας
Laertes νηὸς ἔπ’ ἀλλοτρίης, οἱ δ’ ἐκβήσαντες ἔβησαν;”

“εἰ μὲν δὴ Ὀδυσεύς γε ἐμὸς παῖς ἐνθάδ’ ἱκάνεις, 24.328
σῆμά τί μοι νῦν εἰπὲ ἀριφραδὲς, ὄφρα πεποίθω.” Laertes
“Ζεῦ πάτερ, ἦ ῥα ἔτ’ ἐστὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον, 24.351
εἰ ἐτεὸν μνηστῆρες ἀτάσθαλον ὕβριν ἔτισαν.
νῦν δ’ αἰνῶς δείδοικα κατὰ φρένα μὴ τάχα πάντες
ἐνθάδ’ ἐπέλθωσιν Ἰθακήσιοι, ἀγγελίας δὲ
πάντηι ἐποτρύνωσι Κεφαλλήνων πολίεσσιν.” Laertes
“αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον, 24.376
οἷος Νήρικον εἷλον, ἐϋκτίμενον πτολίεθρον,
ἀκτὴν ἠπείροιο, Κεφαλλήνεσσιν ἀνάσσων,
τοῖος ἐών τοι χθιζὸς ἐν ἡμετέροισι δόμοισιν,
τεύχε’ ἔχων ὤμοισιν, ἐφεστάμεναι καὶ ἀμύνειν
ἄνδρας μνηστῆρας· τῶι κε σφέων γούνατ’ ἔλυσα
πολλῶν ἐν μεγάροισι, σὺ δὲ φρένας ἔνδον ἰάνθης.”
“τίς νύ μοι ἡμέρη ἥδε, θεοὶ φίλοι; ἦ μάλα χαίρω· 24.514
υἱός θ’ υἱωνός τ’ ἀρετῆς πέρι δῆριν ἔχουσιν.” Laertes

Notes

Notes

EXCLUDED:

2.190 “δαιμόνι’, ἀτρέμας ἧσο καὶ ἄλλων μῦθον ἄκουε.
ἀλλ’ αὐτός τε κάθησο καὶ ἄλλους ἵδρυε λαούς.
οὐ γάρ πω σάφα οἶσθ’ οἷος νόος Ἀτρείωνος·
νῦν μὲν πειρᾶται, τάχα δ’ ἴψεται υἷας Ἀχαιῶν,
ἐν βουλῆι δ’ οὐ πάντες ἀκούσαμεν οἷον ἔειπεν.
μή τι χολωσάμενος ῥέξηι κακὸν υἷας Ἀχαιῶν.
θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέος βασιλῆος·
Ag. τιμὴ δ’ ἐκ Διός ἐστι, φιλεῖ δέ ἑ μητίετα Ζεύς.”

ILIAD ASCENDS FROM START

copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 337 lines 3.0

As some way-faring Man, who wanders o’er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF ITHAKAN KING

ODYSSEUS

IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.442 “ὦ Χρύση, πρό μ’ ἔπεμψεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
παῖδά τε σοὶ ἀγέμεν, Φοίβωι θ’ ἱερὴν ἑκατόμβην
ῥέξαι ὑπὲρ Δαναῶν, ὄφρ’ ἱλασόμεσθα ἄνακτα,
Od. ὃς νῦν Ἀργείοισι πολύστονα κήδε’ ἐφῆκεν.”
2.200 “δαιμόνι’, ἀτρέμας ἧσο καὶ ἄλλων μῦθον ἄκουε.
οἳ σέο φέρτεροί εἰσι, σὺ δ’ ἀπτόλεμος καὶ ἄναλκις,
οὔτέ ποτ’ ἐν πολέμωι ἐναρίθμιος οὔτ’ ἐνὶ βουλῆι.
οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ’ Ἀχαιοί.
οὐκ ἀγαθὴ πολυκοιρανίη· εἷς κοίρανος ἔστω,
εἷς βασιλεύς, ὧι δῶκε Κρόνου παῖς ἀγκυλομήτεω.
Od. σκῆπτρόν τ’ ἠδὲ θέμιστας ἵνα σφίσι βουλεύησιν.”
2.246 “Θερσῖτ’ ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητής,
ἴσχεο, μηδ’ ἔθελ’ οἶος ἐριζέμεναι βασιλεῦσιν.
οὐ γὰρ ἐγὼ σέο φημὶ χερειότερον βροτὸν ἄλλον
ἔμμεναι, ὅσσοι ἅμ’ Ἀτρείδηις ὑπὸ Ἴλιον ἦλθον.
τῶι οὐκ ἂν βασιλῆας ἀνὰ στόμ’ ἔχων ἀγορεύοις,
καί σφιν ὀνείδεά τε προφέροις, νόστον τε φυλάσσοις.
οὐδέ τί πω σάφα ἴδμεν ὅπως ἔσται τάδε ἔργα,
ἢ εὖ ἠε κακῶς νοστήσομεν υἷες Ἀχαιῶν.
τῶι νῦν Ἀτρείδηι, Ἀγαμέμνονι, ποιμένι λαῶν,
ἧσαι ὀνειδίζων, ὅτι οἱ μάλα πολλὰ διδοῦσιν
ἥρωες Δαναοί· σὺ δὲ κερτομέων ἀγορεύεις.
ἀλλ’ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
εἴ κ’ ἔτι σ’ ἀφραίνοντα κιχήσομαι ὥς νύ περ ὧδε,
μηκέτ’ ἔπειτ’ Ὀδυσῆϊ κάρη ὤμοισιν ἐπείη,
μηδ’ ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴην,
εἰ μὴ ἐγώ σε λαβὼν ἀπὸ μὲν φίλα εἵματα δύσω,
χλαῖνάν τ’ ἠδὲ χιτῶνα, τά τ’ αἰδῶ ἀμφικαλύπτει,
αὐτὸν δὲ κλαίοντα θοὰς ἐπὶ νῆας ἀφήσω
Od. πεπλήγων ἀγορῆθεν ἀεικέσσι πληγῇσιν.”
2.284 “Ἀτρείδη, νῦν δή σε, ἄναξ, ἐθέλουσιν Ἀχαιοὶ
πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσιν,
οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν ἥν_περ ὑπέσταν
ἐνθάδ’ ἔτι στείχοντες ἀπ’ Ἄργεος ἱπποβότοιο,
Ἴλιον ἐκπέρσαντ’ εὐτείχεον ἀπονέεσθαι.
ὥς_τε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες
ἀλλήλοισιν ὀδύρονται οἶκόνδε νέεσθαι.
ἦ μὴν καὶ πόνος ἐστὶν ἀνιηθέντα νέεσθαι·
καὶ γάρ τίς θ’ ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο
ἀσχαλάαι σὺν νηῒ πολυζύγωι, ὅν_περ ἄελλαι
χειμέριαι εἰλέωσιν ὀρινομένη τε θάλασσα·
ἡμῖν δ’ εἴνατός ἐστι περιτροπέων ἐνιαυτὸς
ἐνθάδε μιμνόντεσσι. τῶι οὐ νεμεσίζομ’ Ἀχαιοὺς
ἀσχαλάαν παρὰ νηυσὶ κορωνίσιν· ἀλλὰ καὶ ἔμπης
αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι.
τλῆτε, φίλοι, καὶ μείνατ’ ἐπὶ χρόνον, ὄφρα δαῶμεν
ἢ ἐτεὸν Κάλχας μαντεύεται, ἠὲ καὶ οὐκί.
εὖ γὰρ δὴ τόδε ἴδμεν ἐνὶ φρεσίν, ἐστὲ δὲ πάντες
μάρτυροι, οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι·
χθιζά τε καὶ πρωΐζ’, ὅτ’ ἐς Αὐλίδα νῆες Ἀχαιῶν
ἠγερέθοντο κακὰ Πριάμωι καὶ Τρωσὶ φέρουσαι·
ἡμεῖς δ’ ἀμφὶ περὶ κρήνην ἱεροὺς κατὰ βωμοὺς
ἔρδομεν ἀθανάτοισι τεληέσσας ἑκατόμβας,
καλῆι ὑπὸ πλατανίστωι, ὅθεν ῥέεν ἀγλαὸν ὕδωρ·
ἔνθ’ ἐφάνη μέγα σῆμα· δράκων ἐπὶ νῶτα δαφοινός,
σμερδαλέος, τόν ῥ’ αὐτὸς Ὀλύμπιος ἧκε φόωσδε,
βωμοῦ ὑπαΐξας πρός ῥα πλατάνιστον ὄρουσεν.
ἔνθα δ’ ἔσαν στρουθοῖο νεοσσοί, νήπια τέκνα,
ὄζωι ἔπ’ ἀκροτάτωι, πετάλοις ὑποπεπτηῶτες,
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα.
ἔνθ’ ὅ_γε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας·
μήτηρ δ’ ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα·
τὴν δ’ ἐλελιξάμενος πτερύγος λάβεν ἀμφιαχυῖαν.
αὐτὰρ ἐπεὶ κατὰ τέκν’ ἔφαγε στρουθοῖο καὶ αὐτήν,
τὸν μὲν ἀΐζηλον θῆκεν θεός, ὅς_περ ἔφηνεν·
λᾶαν γάρ μιν ἔθηκε Κρόνου παῖς ἀγκυλομήτεω·
ἡμεῖς δ’ ἑσταότες θαυμάζομεν οἷον ἐτύχθη.
ὡς οὖν δεινὰ πέλωρα θεῶν εἰσῆλθ’ ἑκατόμβας,
Κάλχας δ’ αὐτίκ’ ἔπειτα θεοπροπέων ἀγόρευεν·
‘τίπτ’ ἄνεω ἐγένεσθε, κάρη_κομόωντες Ἀχαιοί;
ἡμῖν μὲν τόδ’ ἔφηνε τέρας μέγα μητίετα Ζεύς,
ὄψιμον, ὀψιτέλεστον, ὅου κλέος οὔ_ποτ’ ὀλεῖται.
ὡς οὗτος κατὰ τέκν’ ἔφαγε στρουθοῖο καὶ αὐτήν,
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα·
ὣς ἡμεῖς τοσσαῦτ’ ἔτεα πτολεμίξομεν αὖθι,
τῶι δεκάτωι δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν.’
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
ἀλλ’ ἄγε, μίμνετε πάντες, ἐϋκνήμιδες Ἀχαιοί,
αὐτοῦ, εἰς_ὅ_κεν ἄστυ μέγα Πριάμοιο ἕλωμεν.” Od.
“Ἀτρείδη, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων; 4.350
πῶς δὴ φῂς πολέμοιο μεθιέμεν; ὁππότ’ Ἀχαιοὶ
Τρωσὶν ἔφ’ ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα,
ὄψεαι, ἢν ἐθέλῃσθα, καὶ αἴ κέν τοι τὰ μεμήληι,
Τηλεμάχοιο φίλον πατέρα προμάχοισι μιγέντα
Τρώων ἱπποδάμων· σὺ δὲ ταῦτ’ ἀνεμώλια βάζεις.” Od.
“χαῖρ’, Ἀχιλεῦ· δαιτὸς μὲν ἐΐσης οὐκ ἐπιδευεῖς, 9.225
ἠμὲν ἐνὶ κλισίηι Ἀγαμέμνονος Ἀτρείδαο
ἠδὲ καὶ ἐνθάδε νῦν· πάρα γὰρ μενοεικέα πολλὰ
δαίνυσθ’. ἀλλ’ οὐ δαιτὸς ἐπηράτου ἔργα μέμηλεν,
ἀλλὰ λίην μέγα πῆμα, διοτρεφές, εἰσορόωντες
δείδιμεν· ἐν δοιῇ δὲ σαωσέμεν ἢ ἀπολέσθαι
νῆας ἐϋσσέλμους, εἰ μὴ σύ_γε δύσεαι ἀλκήν.
ἐγγὺς γὰρ νηῶν καὶ τείχεος αὖλιν ἔθεντο
Τρῶες ὑπέρθυμοι τηλεκλειτοί τ’ ἐπίκουροι,
κηάμενοι πυρὰ πολλὰ κατὰ στρατόν, οὐδ’ ἔτι φασὶν
σχήσεσθ’, ἀλλ’ ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι.
Ζεὺς δέ σφι Κρονίδης ἐνδέξια σήματα φαίνων
ἀστράπτει· Ἕκτωρ δὲ μέγα σθένεϊ βλεμεαίνων
μαίνεται ἐκπάγλως, πίσυνος Διί, οὐδέ τι τίει
ἀνέρας οὐδὲ θεούς· κρατερὴ δέ ἑ λύσσα δέδυκεν.

ἀρᾶται δὲ τάχιστα φανήμεναι Ἠῶ δῖαν·
στεῦται γὰρ νηῶν ἀποκόψειν ἄκρα κόρυμβα
αὐτάς τ' ἐμπρήσειν μαλεροῦ πυρός, αὐτὰρ Ἀχαιοὺς
δηιώσειν παρὰ τῇσιν, ὀρινομένους ὑπὸ καπνοῦ.
ταῦτ' αἰνῶς δείδοικα κατὰ φρένα, μή οἱ ἀπειλὰς
ἐκτελέσωσι θεοί, ἡμῖν δὲ δὴ αἴσιμον εἴη
φθίσθαι ἐνὶ Τροίῃ, ἑκὰς Ἄργεος ἱπποβότοιο.
ἀλλ' ἄνα, εἰ μέμονάς γε καὶ ὀψέ περ υἷας Ἀχαιῶν
τειρομένους ἐρύεσθαι ὑπὸ Τρώων ὀρυμαγδοῦ.
αὐτῶι σοὶ μετόπισθ' ἄχος ἔσσεται, οὐδέ τι μῆχος
ῥεχθέντος κακοῦ ἔστ' ἄκος εὑρεῖν· ἀλλὰ πολὺ πρὶν
φράζε' ὅπως Δαναοῖσιν ἀλεξήσεις κακὸν ἦμαρ.
ὦ πέπον, ἦ μὲν σοί γε πατὴρ ἐπετέλλετο Πηλεὺς
ἤματι τῶι, ὅτε σ' ἐκ Φθίης Ἀγαμέμνονι πέμπεν,
'τέκνον ἐμόν, κάρτος μὲν Ἀθηναίη τε καὶ Ἥρη
δώσουσ', αἴ κ' ἐθέλωσι, σὺ δὲ μεγαλήτορα θυμὸν
ἴσχειν ἐν στήθεσσι· φιλοφροσύνη γὰρ ἀμείνων·
ληγέμεναι δ' ἔριδος κακομηχάνου, ὄφρα σε μᾶλλον
τίωσ' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.'
ὣς ἐπέτελλ' ὁ γέρων, σὺ δὲ λήθεαι. ἀλλ' ἔτι καὶ νῦν
παύε', ἔα δὲ χόλον θυμαλγέα· σοὶ δ' Ἀγαμέμνων
ἄξια δῶρα δίδωσι μεταλλήξαντι χόλοιο.
εἰ δέ, σὺ μέν μευ ἄκουσον, ἐγὼ δέ κέ τοι καταλέξω
ὅσσα τοι ἐν κλισίῃσιν ὑπέσχετο δῶρ' Ἀγαμέμνων,
ἕπτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,
αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους
πηγοὺς ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.
οὔ κεν ἀλήϊος εἴη ἀνὴρ ὧι τόσσα γένοιτο,
οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,
ὅσσ' Ἀγαμέμνονος ἵπποι ἀέθλια ποσσὶν ἄροντο.
δώσει δ' ἑπτὰ γυναῖκας ἀμύμονα ἔργ' εἰδυίας,
Λεσβίδας, ἃς, ὅτε Λέσβον ἐϋκτιμένην ἕλες αὐτὸς,
ἐξέλεθ', αἳ τότε κάλλει ἐνίκων φῦλα γυναικῶν.
τὰς μέν τοι δώσει, μετὰ δ' ἔσσεται ἣν τότ' ἀπηύρα
κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ὀμεῖται,
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι,
ἣ θέμις ἐστίν, ἄναξ, ἤ τ' ἀνδρῶν ἤ τε γυναικῶν.
ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε
ἄστυ μέγα Πριάμοιο θεοὶ δώωσ' ἀλαπάξαι,
νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ νηήσασθαι
εἰσελθών, ὅτε κεν δατεώμεθα ληΐδ' Ἀχαιοί,
Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθαι,
αἴ κε μετ' Ἀργείην Ἑλένην κάλλισται ἔωσιν.
εἰ δέ κεν Ἄργος ἱκοίμεθ' Ἀχαιϊκόν, οὖθαρ ἀρούρης,
γαμβρός κέν οἱ ἔοις, τίσει δέ σε ἶσον Ὀρέστῃ,
ὅς οἱ τηλύγετος τρέφεται θαλίῃ ἔνι πολλῇ.
τρεῖς δέ οἵ εἰσι θύγατρες ἐνὶ μεγάρωι εὐπήκτωι,
Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα·
τάων ἥν κ' ἐθέλῃσθα φίλην ἀνάεδνον ἄγεσθαι
πρὸς οἶκον Πηλῆος· ὁ δ' αὖτ' ἐπὶ μείλια δώσει
πολλὰ μάλ', ὅσσ' οὔ πώ τις ἑῇ ἐπέδωκε θυγατρί.
ἑπτὰ δέ τοι δώσει εὖ ναιόμενα πτολίεθρα,
Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν,
Φηράς τε ζαθέας ἠδ' Ἄνθειαν βαθύλειμον,
καλήν τ' Αἴπειαν καὶ Πήδασον ἀμπελόεσσαν.
πᾶσαι δ' ἐγγὺς ἁλός, νέαται Πύλου ἠμαθόεντος·
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται,
οἵ κέ σε δωτίνῃσι θεὸν ὣς τιμήσουσιν
καί τοι ὑπὸ σκήπτρωι λιπαρὰς τελέουσι θέμιστας.
ταῦτά κέ τοι τελέσειε μεταλλήξαντι χόλοιο.
εἰ δέ τοι Ἀτρεΐδης μὲν ἀπήχθετο κηρόθι μᾶλλον,
αὐτὸς καὶ τοῦ δῶρα, σὺ δ' ἄλλους περ Παναχαιοὺς
τειρομένους ἐλέαιρε κατὰ στρατόν, οἵ σε θεὸν ὣς
τίσουσ'· ἦ γάρ κέ σφι μάλα μέγα κῦδος ἄροιο.
νῦν γάρ χ' Ἕκτορ' ἕλοις, ἐπεὶ ἂν μάλα τοι σχεδὸν ἔλθοι
λύσσαν ἔχων ὀλοήν, ἐπεὶ οὔ τινά φησιν ὁμοῖον
οἷ ἔμεναι Δαναῶν, οὓς ἐνθάδε νῆες ἔνεικαν." **Od.**
"Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον, **9.677**
κεῖνός γ' οὐκ ἐθέλει σβέσσαι χόλον, ἀλλ' ἔτι μᾶλλον
πιμπλάνεται μένεος, σε δ' ἀναίνεται ἠδὲ σὰ δῶρα.
αὐτὸν σὲ φράζεσθαι ἐν Ἀργείοισιν ἄνωγεν
ὅππως κεν νῆάς τε σοῶις καὶ λαὸν Ἀχαιῶν·
αὐτὸς δ' ἠπείλησεν ἅμ' ἠοῖ φαινομένηφιν
νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν ἀμφιελίσσας.
καὶ δ' ἂν τοῖς ἄλλοισιν ἔφη παραμυθήσασθαι
οἴκαδ' ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆς· μάλα γάρ ἑθεν εὐρύοπα Ζεὺς
χεῖρα ἑὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.'
ὣς ἔφατ'· εἰσὶ καὶ οἵδε τάδ' εἰπέμεν, οἵ μοι ἕποντο,
Αἴας καὶ κήρυκε δύω, πεπνυμένω ἄμφω.
Φοίνιξ δ' αὖθ' ὁ γέρων κατελέξατο· ὣς γὰρ ἀνώγει,
ὄφρα οἱ ἐν νήεσσι φίλην ἐς πατρίδ' ἕπηται
αὔριον, ἢν ἐθέλῃσιν· ἀνάγκηι δ' οὔ τί μιν ἄξει." **Od.**
"τίφθ' οὕτω κατὰ νῆας ἀνὰ στρατὸν οἶοι ἀλᾶσθε **10.141**
νύκτα δι' ἀμβροσίην, ὅ τι δὴ χρειὼ τόσον ἵκει;" **Od.**
"Τυδεΐδη, μήτ' ἄρ με μάλ' αἴνεε μήτε τι νείκει· **10.249**
εἰδόσι γάρ τοι ταῦτα μετ' Ἀργείοις ἀγορεύεις.
ἀλλ' ἴομεν· μάλα γὰρ νὺξ ἄνεται, ἐγγύθι δ' ἠώς,
ἄστρα δὲ δὴ προβέβηκε, παροίχωκεν δὲ πλέων νὺξ
τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται." **Od.**
"κλῦθί μευ, αἰγιόχοιο Διὸς τέκος, ἥ τέ μοι αἰεὶ **10.278**
ἐν πάντεσσι πόνοισι παρίστασαι, οὐδέ σε λήθω
κινύμενος· νῦν αὖτε μάλιστά με φῖλαι, Ἀθήνη,
δὸς δὲ πάλιν ἐπὶ νῆας ἐϋκλεῖας ἀφικέσθαι,
ῥέξαντας μέγα ἔργον, ὅ κε Τρώεσσι μελήσει." **Od.**
"οὗτός τις, Διόμηδες, ἀπὸ στρατοῦ ἔρχεται ἀνὴρ, **10.341**
οὐκ οἶδ' ἢ νήεσσιν ἔπι σκοπὸς ἡμετέρῃσιν,
ἤ τινα συλήσων νεκύων κατατεθνηώτων.
ἀλλ' ἐῶμέν μιν πρῶτα παρεξελθεῖν πεδίοιο
τυτθόν· ἔπειτα δέ κ' αὐτὸν ἐπαΐξαντες ἕλωμεν

καρπαλίμως· εἰ δ' ἄμμε παραφθαίησι πόδεσσιν,
αἰεί μιν προτὶ νῆας ἀπὸ στρατόφι προτιειλεῖν,
Od. ἔγχει ἐπαΐσσων, μή πως προτὶ ἄστυ ἀλύξηι."
10.383 "θάρσει, μηδέ τί τοι θάνατος καταθύμιος ἔστω·
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
πῆι δὴ οὕτως ἐπὶ νῆας ἀπὸ στρατοῦ ἔρχεαι οἶος
νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι;
ἤ τινα συλήσων νεκύων κατατεθνηώτων;
ἦ σ' Ἕκτωρ προέηκε διασκοπιᾶσθαι ἕκαστα
Od. νῆας ἔπι γλαφυράς; ἦ σ' αὐτὸν θυμὸς ἀνῆκεν;"
10.401 "ἦ ῥά νύ τοι μεγάλων δώρων ἐπεμαίετο θυμὸς,
ἵππων Αἰακίδαο δαΐφρονος· οἱ δ' ἀλεγεινοὶ
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ' ὀχέεσθαι,
ἄλλωι γ' ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα, ποιμένα λαῶν;
ποῦ δέ οἱ ἔντεα κεῖται ἀρήϊα, ποῦ δέ οἱ ἵπποι;
πῶς δ' αἱ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί;
ἅσσα τε μητιόωσι μετὰ σφίσιν, ἢ μεμάασιν
αὖθι μένειν παρὰ νηυσὶν ἀπόπροθεν, ἦε πόλινδε
Od. ἂψ ἀναχωρήσουσιν, ἐπεὶ δαμάσαντό γ' Ἀχαιούς."
10.424 "πῶς γὰρ νῦν, Τρώεσσι μεμιγμένοι ἱπποδάμοισιν
Od. εὕδουσ', ἦ ἀπάνευθε; δίειπέ μοι, ὄφρα δαείω."
10.462 "χαῖρε, θεά, τοίσδεσσι· σὲ γὰρ πρώτην ἐν Ὀλύμπωι
πάντων ἀθανάτων ἐπιδωσόμεθ'· ἀλλὰ καὶ αὖτις
Od. πέμψον ἐπὶ Θρηικῶν ἀνδρῶν ἵππους τε καὶ εὐνάς."
10.477 "οὗτός τοι, Διόμηδες, ἀνήρ, οὗτοι δέ τοι ἵπποι,
οὓς νῶϊν πίφαυσκε Δόλων, ὃν ἐπεφνομεν ἡμεῖς.
ἀλλ' ἄγε δή, πρόφερε κρατερὸν μένος· οὐδέ τί σε χρὴ
ἑστάμεναι μέλεον σὺν τεύχεσιν, ἀλλὰ λύ' ἵππους·
Od. ἠὲ σύ_γ' ἄνδρας ἔναιρε, μελήσουσιν δ' ἐμοὶ ἵπποι."
10.555 "ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
ῥεῖα θεός γ' ἐθέλων καὶ ἀμείνονας ἠέ_περ οἵδε
ἵππους δωρήσαιτ', ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσιν.
ἵπποι δ' οἵδε, γεραιέ, νεήλυδες, οὓς ἐρεείνεις,
Θρηΐκιοι· τὸν δέ σφιν ἄνακτ' ἀγαθὸς Διομήδης
ἔκτανε, πὰρ δ' ἑτάρους δυοκαίδεκα πάντας ἀρίστους.
τὸν τρεισκαιδέκατον σκοπὸν εἵλομεν ἐγγύθι νηῶν,
τόν ῥα διοπτῆρα στρατοῦ ἔμμεναι ἡμετέροιο
Od. Ἕκτωρ τε προέηκε καὶ ἄλλοι Τρῶες ἀγαυοί."
11.313 "Τυδεΐδη, τί παθόντε λελάσμεθα θούριδος ἀλκῆς;
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵστασο· δὴ γὰρ ἔλεγχος
ἔσσεται, εἴ κεν νῆας ἕληι κορυθαιόλος Ἕκτωρ."
τὸν δ' ἀπαμειβόμενος προσέφη κρατερὸς Διομήδης·
"ἤτοι ἐγὼ μενέω καὶ τλήσομαι· ἀλλὰ μίνυνθα
ἡμέων ἔσσεται ἦδος, ἐπεὶ νεφεληγερέτα Ζεὺς
Od. Τρωσὶν δὴ βόλεται δοῦναι κράτος ἠέ_περ ἡμῖν."
11.404 "ὤι_μοι ἐγώ, τί πάθω; μέγα μὲν κακὸν, αἴ κε φέβωμαι
πληθὺν ταρβήσας· τὸ δὲ ῥίγιον, αἴ κεν ἁλώω
μοῦνος· τοὺς δ' ἄλλους Δαναοὺς ἐφόβησε Κρονίων.

ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
οἶδα γὰρ ὅττι κακοὶ μὲν ἀποίχονται πολέμοιο,
ὃς δέ κ' ἀριστεύησι μάχηι ἔνι, τὸν δὲ μάλα χρεὼ
ἑστάμεναι κρατερῶς, ἤ_τ' ἔβλητ' ἤ_τ' ἔβαλ' ἄλλον." Od.
"ἆ δείλ', ἦ μάλα δή σε κιχάνεται αἰπὺς ὄλεθρος. 11.441
ἤτοι μὲν ῥ' ἔμ' ἔπαυσας ἐπὶ Τρώεσσι μάχεσθαι·
σοὶ δ' ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν
ἤματι τῶιδ' ἔσσεσθαι, ἐμῶι δ' ὑπὸ δουρὶ δαμέντα
εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ' Ἄϊδι κλυτοπώλωι." Od.
"ὦ Σῶχ', Ἱππάσου υἱὲ δαΐφρονος, ἱπποδάμοιο, 11.450
φθῆ σε τέλος θανάτοιο κιχήμενον, οὐδ' ὑπάλυξας.
ἆ δείλ', οὐ μὲν σοι_γε πατὴρ καὶ πότνια μήτηρ
ὄσσε καθαιρήσουσι θανόντι περ, ἀλλ' οἰωνοὶ
ὠμησταὶ ἐρύουσι, περὶ πτερὰ πυκνὰ βαλόντες.
αὐτὰρ ἔμ', εἴ κε θάνω, κτεριοῦσί με δῖοι Ἀχαιοί." Od.
"Ἀτρεΐδη, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων. 14.83
οὐλόμεν', αἴθ' ὤφελλες ἀεικελίου στρατοῦ ἄλλου
σημαίνειν, μηδ' ἄμμιν ἀνασσέμεν, οἷσιν ἄρα Ζεὺς
ἐκ νεότητος ἔδωκε καὶ ἐς γῆρας τολυπεύειν
ἀργαλέους πολέμους, ὄφρα φθιόμεσθα ἕκαστος.
οὕτω δὴ μέμονας Τρώων πόλιν εὐρυάγυιαν
καλλείψειν, ἧς εἵνεκ' ὀϊζύομεν κακὰ πολλά;
σίγα, μή τίς τ' ἄλλος Ἀχαιῶν τοῦτον ἀκούσηι
μῦθον, ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο,
ὅς_τις ἐπίσταιτο ἧισι φρεσὶν ἄρτια βάζειν
σκηπτοῦχός τ' εἴη, καί οἱ πειθοίατο λαοὶ
τοσσοίδ' ὅσσοισιν σὺ μετ' Ἀργείοισιν ἀνάσσεις·
νῦν δέ σε' ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες·
ὃς κέλεαι πολέμοιο συνεσταότος καὶ ἀϋτῆς
νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν, ὄφρ' ἔτι μᾶλλον
Τρωσὶ μὲν εὐκτὰ γένηται ἐπικρατέουσί περ ἔμπης,
ἡμῖν δ' αἰπὺς ὄλεθρος ἐπιρρέπηι. οὐ γὰρ Ἀχαιοὶ
σχήσουσιν πόλεμον νηῶν ἅλαδ' ἑλκομενάων,
ἀλλ' ἀποπαπτανέουσιν, ἐρωήσουσι δὲ χάρμης.
ἔνθά κε σὴ βουλὴ δηλήσεται, ὄρχαμε λαῶν." Od.
"μὴ δὴ οὕτως, ἀγαθός περ ἐών, θεοείκελ' Ἀχιλλεῦ, 19.155
νήστιας ὄτρυνε προτὶ Ἴλιον υἷας Ἀχαιῶν
Τρωσὶ μαχησομένους, ἐπεὶ οὐκ ὀλίγον χρόνον ἔσται
φύλοπις, εὖτ' ἂν πρῶτον ὁμιλήσωσι φάλαγγες
ἀνδρῶν, ἐν δὲ θεὸς πνεύσηι μένος ἀμφοτέροισιν.
ἀλλὰ πάσασθαι ἄνωχθι θοῆις ἐπὶ νηυσὶν Ἀχαιοὺς
σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.
οὐ γὰρ ἀνὴρ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἄκμηνος σίτοιο δυνήσεται ἄντα μάχεσθαι·
εἴ_περ γὰρ θυμῶι γε μενοινάαι πολεμίζειν,
ἀλλά τε λάθρηι γυῖα βαρύνεται, ἠδὲ κιχάνει
δίψα τε καὶ λιμός, βλάβεται δέ τε γούνατ' ἰόντι.
ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς
ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζηι,
θαρσαλέον νύ οἱ ἦτορ ἐνὶ φρεσὶν, οὐδέ τι γυῖα

πρὶν κάμνει, πρὶν πάντας ἐρωῆσαι πολέμοιο.
ἀλλ' ἄγε λαὸν μὲν σκέδασον καὶ δεῖπνον ἄνωχθι
ὅπλεσθαι· τὰ δὲ δῶρα ἄναξ ἀνδρῶν Ἀγαμέμνων
οἰσέτω ἐς μέσσην ἀγορὴν, ἵνα πάντες Ἀχαιοὶ
ὀφθαλμοῖσιν ἴδωσι, σὺ δὲ φρεσὶ σῇσιν ἰανθῇς.
ὀμνυέτω δέ τοι ὅρκον, ἐν Ἀργείοισιν ἀναστὰς,
μή_ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι·
ἣ θέμις ἐστὶν, ἄναξ, ἤ_τ' ἀνδρῶν ἤ_τε γυναικῶν·
καὶ δὲ σοὶ αὐτῶι θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω.
αὐτὰρ ἔπειτά σε δαιτὶ ἐνὶ κλισὶῃις ἀρεσάσθω
πιείρῃι, ἵνα μή τι δίκης ἐπιδευὲς ἔχῃισθα.
Ἀτρεΐδη, σὺ δ' ἔπειτα δικαιότερος καὶ ἐπ' ἄλλωι
ἔσσεαι· οὐ μὲν γάρ τι νεμεσσητὸν βασιλῆα
Od. ἄνδρ' ἀπαρέσσασθαι, ὅτε τις πρότερος χαλεπήνῃι."
19.216 "ὦ Ἀχιλεῦ, Πηλῆος υἱὲ, μέγα φέρτατ' Ἀχαιῶν,
κρέσσων εἶς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ
ἔγχει, ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην
πολλὸν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.
τῶι τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν.
αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν,
ἧς_τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν,
ἀμητὸς δ' ὀλίγιστος, ἐπὴν κλίνησι τάλαντα
✦ Ζεύς, ὅς_τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.
γαστέρι δ' οὔ_πως ἔστι νέκυν πενθῆσαι Ἀχαιούς·
λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα
πίπτουσιν. πότε κέν τις ἀναπνεύσειε πόνοιο;
ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν ὅς κε θάνησιν,
νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας·
ὅσσοι δ' ἂν πολέμοιο περὶ στυγεροῖο λίπωνται,
μεμνῆσθαι πόσιος καὶ ἐδητύος, ὄφρ' ἔτι μᾶλλον
ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεὶ,
ἑσσάμενοι χροῒ χαλκὸν ἀτειρέα. μηδέ τις ἄλλην
λαῶν ὀτρυντὺν ποτιδέγμενος ἰσχαναάσθω·
ἥδε γὰρ ὀτρυντὺς κακὸν ἔσσεται, ὃς κε λίπηται
νηυσὶν ἔπ' Ἀργείων· ἀλλ' ἀθρόοι ὁρμηθέντες
Od. Τρωσὶν ἔφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα."
23.770 Od. "κλῦθι, θεά, ἀγαθή μοι ἐπίρροθος ἐλθὲ ποδοῖιν."

Notes

Notes

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 512 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF ITHAKAN QUEEN
PENELOPE
IN **THE ODYSSEY**

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.337 "Φήμιε, πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδας,
ἔργ' ἀνδρῶν τε θεῶν τε, τά_τε κλείουσιν ἀοιδοί·
τῶν ἕν γέ σφιν ἄειδε παρήμενος, οἱ δὲ σιωπῆι
οἶνον πινόντων· ταύτης δ' ἀποπαύε' ἀοιδῆς
λυγρῆς, ἥ_τέ μοι αἰεὶ ἐνὶ στήθεσσι φίλον κῆρ
τείρει, ἐπεί με μάλιστα καθίκετο πένθος ἄλαστον.
Pen. τοίην γὰρ κεφαλὴν ποθέω μεμνημένη αἰεὶ
ἀνδρός, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος."
4.681 "κῆρυξ, τίπτε δέ σε πρόεσαν μνηστῆρες ἀγαυοί;
ἦ εἰπέμεναι δμωιῆισιν Ὀδυσσῆος θείοιο
ἔργων παύσασθαι, σφίσι δ' αὐτοῖς δαῖτα πένεσθαι;
μὴ μνηστεύσαντες μηδ' ἄλλοθ' ὁμιλήσαντες
ὕστατα καὶ πύματα νῦν ἐνθάδε δειπνήσειαν.
οἳ θάμ' ἀγειρόμενοι βίοτον κατακείρετε πολλόν,
κτῆσιν Τηλεμάχοιο δαΐφρονος· οὐδέ τι πατρῶν
ὑμετέρων τὸ πρόσθεν ἀκούετε, παῖδες ἐόντες,
οἷος Ὀδυσσεὺς ἔσκε μεθ' ὑμετέροισι τοκεῦσιν,
οὔτέ τινα ῥέξας ἐξαίσιον οὔτε τι εἰπὼν
ἐν δήμωι· ἥ_τ' ἐστὶ δίκη θείων βασιλήων·
ἄλλόν κ' ἐχθαίρησι βροτῶν, ἄλλόν κε φιλοίη.
κεῖνος δ' οὔ_ποτε πάμπαν ἀτάσθαλον ἄνδρα _ἐώργει·
ἀλλ' ὁ μὲν ὑμέτερος θυμὸς καὶ ἀεικέα ἔργα
Pen. φαίνεται, οὐδέ τίς ἐστι χάρις μετόπισθ' εὐεργέων."
4.707 "κῆρυξ, τίπτε δέ μοι παῖς οἴχεται; οὐδέ τί μιν χρεὼ
νηῶν ὠκυπόρων ἐπιβαινέμεν, αἵ_θ' ἁλὸς ἵπποι
Pen. ἀνδράσι γίγνονται, περόωσι δὲ πουλὺν ἐφ' ὑγρήν.
ἦ ἵνα μηδ' ὄνομ' αὐτοῦ ἐν ἀνθρώποισι λίπηται;"
4.722 "κλῦτε, φίλαι· περὶ γάρ μοι Ὀλύμπιος ἄλγε' ἔδωκεν
ἐκ πασέων, ὅσσαι μοι ὁμοῦ τράφον ἠδ' ἐγένοντο,
ἣ πρὶν μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα,
παντοίηις ἀρετῆισι κεκασμένον ἐν Δαναοῖσιν,
ἐσθλόν, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος,
νῦν αὖ παῖδ' ἀγαπητὸν ἀνηρείψαντο θύελλαι
ἀκλέα ἐκ μεγάρων, οὐδ' ὁρμηθέντος ἄκουσα.
σχέτλιαι, οὐδ' ὑμεῖς περ ἐνὶ φρεσὶ θέσθε ἑκάστη
ἐκ λεχέων μ' ἀνεγεῖραι, ἐπιστάμεναι σάφα θυμῶι,
ὁππότε κεῖνος ἔβη κοίλην ἐπὶ νῆα μέλαιναν.
εἰ γὰρ ἐγὼ πυθόμην ταύτην ὁδὸν ὁρμαίνοντα,
τῶι κε μάλ' ἤ κεν ἔμεινε, καὶ ἐσσύμενός περ ὁδοῖο,
ἤ κέ με τεθνηυῖαν ἐνὶ μεγάροισιν ἔλειπεν.
ἀλλά τις ὀτρηρῶς Δολίον καλέσειε γέροντα,
δμῶ' ἐμόν, ὅν μοι δῶκε πατὴρ ἔτι δεῦρο κιούσηι,
καί μοι κῆπον ἔχει πολυδένδρεον, ὄφρα τάχιστα
Λαέρτηι τάδε πάντα παρεζόμενος καταλέξηι,
εἰ δή πού τινα κεῖνος ἐνὶ φρεσὶ μῆτιν ὑφήνας
ἐξελθὼν λαοῖσιν ὀδύρεται, οἳ μεμάασιν
Pen. ὃν καὶ Ὀδυσσῆος φθεῖσαι γόνον ἀντιθέοιο."
4.762 "κλῦθί μοι, αἰγιόχοιο Διὸς τέκος, Ἀτρυτώνη,
εἴ_ποτέ τοι πολύμητις ἐνὶ μεγάροισιν Ὀδυσσεὺς
ἢ βοὸς ἢ' ὄϊος κατὰ πίονα μηρί' ἔκηεν,
τῶν νῦν μοι μνῆσαι, καί μοι φίλον υἷα σάωσον,
μνηστῆρας δ' ἀπάλαλκε κακῶς ὑπερηνορέοντας." Pen.
"τίπτε, κασιγνήτη, δεῦρ' ἤλυθες; οὔ_τι πάρος γε 4.810
πωλέ', ἐπεὶ μάλα πολλὸν ἀπόπροθι δώματα ναίεις·
καί με κέλεαι παύσασθαι ὀϊζύος ἠδ' ὀδυνάων
πολλέων, αἵ μ' ἐρέθουσι κατὰ φρένα καὶ κατὰ θυμόν,
ἣ πρὶν μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα,
παντοίηις ἀρετῆισι κεκασμένον ἐν Δαναοῖσιν,
ἐσθλόν, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος.
νῦν αὖ παῖς ἀγαπητὸς ἔβη κοίλης ἐπὶ νηός,
νήπιος, οὔτε πόνων εὖ εἰδὼς οὔτ' ἀγοράων.
τοῦ δὴ ἐγὼ καὶ μᾶλλον ὀδύρομαι ἤ_περ ἐκείνου.
τοῦ δ' ἀμφιτρομέω καὶ δείδια μή τι πάθηισιν,
ἢ ὅ_γε τῶν ἐνὶ δήμωι, ἵν' οἴχεται, ἢ ἐνὶ πόντωι·
δυσμενέες γὰρ πολλοὶ ἐπ' αὐτῶι μηχανόωνται,
ἱέμενοι κτεῖναι πρὶν πατρίδα γαῖαν ἱκέσθαι." Pen.
"εἰ μὲν δὴ θεός ἐσσι, θεοῖό τε ἔκλυες αὐδῆς, 4.831
εἰ δ' ἄγε μοι καὶ κεῖνον ὀϊζυρὸν κατάλεξον,
ἤ_που ἔτι ζώει καὶ ὁρᾶι φάος ἠελίοιο,
ἦ ἤδη τέθνηκε καὶ εἰν Ἀΐδαο δόμοισιν." Pen.
"Ἀντίνο', ὕβριν ἔχων, κακομήχανε, καὶ δέ σέ φασιν 16.418
ἐν δήμωι Ἰθάκης μεθ' ὁμήλικας ἔμμεν ἄριστον
βουλῆι καὶ μύθοισι· σὺ δ' οὐκ ἄρα τοῖος ἔησθα.
μάργε, τίη δὲ σὺ Τηλεμάχωι θάνατόν τε μόρον τε
ῥάπτεις, οὐδ' ἱκέτας ἐμπάζεαι, οἷσιν ἄρα Ζεὺς
μάρτυρος; οὐδ' ὁσίη κακὰ ῥάπτειν ἀλλήλοισιν.
ἦ_ οὐκ οἶσθ', ὅτε δεῦρο πατὴρ τεὸς ἵκετο φεύγων,
δῆμον ὑποδδείσας; δὴ γὰρ κεχολώατο λίην,
οὕνεκα ληϊστῆρσιν ἐπισπόμενος Ταφίοισιν
ἤκαχε Θεσπρωτούς· οἱ δ' ἡμῖν ἄρθμιοι ἦσαν·
τόν ῥ' ἔθελον φθεῖσαι καὶ ἀπορραῖσαι φίλον ἦτορ
ἠδὲ κατὰ ζωὴν φαγέειν μενοεικέα πολλήν·
ἀλλ' Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθεν ἱεμένους περ.
τοῦ νῦν οἶκον ἄτιμον ἔδεις, μνάαι δὲ γυναῖκα
παῖδά τ' ἀποκτείνεις, ἐμὲ δὲ μεγάλως ἀκαχίζεις·
ἀλλά σε παύσασθαι κέλομαι καὶ ἀνωγέμεν ἄλλους." Pen.
"ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος. οὔ σ' ἔτ' ἐγώ_γε 17.41
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηῒ Πύλονδε
λάθρηι, ἐμεῦ ἀέκητι, φίλου μετὰ πατρὸς ἀκουήν.
ἀλλ' ἄγε μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς." Pen.
"Τηλέμαχ', ἤτοι ἐγὼν ὑπερώϊον εἰσαναβᾶσα 17.101
λέξομαι εἰς εὐνήν, ἥ μοι στονόεσσα τέτυκται,
αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχεθ' ἅμ' Ἀτρείδηισιν ἐς Ἴλιον· οὐδέ μοι ἔτλης,
πρὶν ἐλθεῖν μνηστῆρας ἀγήνορας ἐς τόδε δῶμα, Pen.
νόστον σοῦ πατρὸς σάφα εἰπέμεν, εἴ που ἄκουσας."
"αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη· 17.163
τώ κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι." Pen.
"αἴθ' οὕτως αὐτόν σε βάλοι κλυτότοξος Ἀπόλλων." 17.494

17.499 “μαῖ’, ἐχθροὶ μὲν πάντες, ἐπεὶ κακὰ μηχανόωνται·
Ἀντίνοος δὲ μάλιστα μελαίνηι κηρὶ ἔοικεν.
ξεῖνός τις δύστηνος ἀλητεύει κατὰ δῶμα
ἀνέρας αἰτίζων· ἀχρημοσύνη γὰρ ἀνώγει·
ἔνθ’ ἄλλοι μὲν πάντες ἐνέπλησάν τ’ ἔδοσάν τε,
Pen. οὗτος δὲ θρήνυι πρυμνὸν βάλε δεξιὸν ὦμον.”
17.508 “ἔρχεο, δῖ’ Εὔμαιε, κιὼν τὸν ξεῖνον ἄνωχθι
ἐλθέμεν, ὄφρα τί μιν προσπτύξομαι ἠδ’ ἐρέωμαι,
εἴ που Ὀδυσσῆος ταλασίφρονος ἠὲ πέπυσται
Pen. ἢ ἴδεν ὀφθαλμοῖσι· πολυπλάγκτωι γὰρ ἔοικεν.”
17.529 “ἔρχεο, δεῦρο κάλεσσον, ἵν’ ἀντίον αὐτὸς ἐνίσπηι.
οὗτοι δ’ ἠὲ θύρηισι καθήμενοι ἑψιαάσθων
ἢ αὐτοῦ κατὰ δώματ’, ἐπεί σφισι θυμὸς ἐΰφρων.
αὐτῶν μὲν γὰρ κτήματ’ ἀκήρατα κεῖτ’ ἐνὶ οἴκωι,
σῖτος καὶ μέθυ ἡδύ· τὰ μέν τ’ οἰκῆες ἔδουσιν,
οἱ δ’ εἰς ἡμετέρου πωλεύμενοι ἤματα πάντα,
βοῦς ἱερεύοντες καὶ ὄϊς καὶ πίονας αἶγας,
εἰλαπινάζουσιν πίνουσί τε αἴθοπα οἶνον,
μαψιδίως· τὰ δὲ πολλὰ κατάνεται· οὐ γὰρ ἔπ’ ἀνὴρ,
οἷος Ὀδυσσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἴκου ἀμῦναι.
Pen. εἰ δ’ Ὀδυσεὺς ἔλθοι καὶ ἵκοιτ’ ἐς πατρίδα γαῖαν,
αἶψά κε σὺν ὧι παιδὶ βίας ἀποτείσεται ἀνδρῶν.”
17.544 “ἔρχεό μοι, τὸν ξεῖνον ἐναντίον ὧδε κάλεσσον.
οὐχ ὁράαις ὅ μοι υἱὸς ἐπέπταρε πᾶσιν ἔπεσσιν;
τῶι κε καὶ οὐκ ἀτελὴς θάνατος μνηστῆρσι γένοιτο.
πᾶσι μάλ, οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξοι.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
Pen. αἴ κ’ αὐτὸν γνώω νημερτέα πάντ’ ἐνέποντα,
ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά.”
17.576 “οὐ σύ_γ’ ἄγεις, Εὔμαιε; τί τοῦτ’ ἐνόησεν ἀλήτης;
ἤ τινά που δείσας ἐξαίσιον ἠὲ καὶ ἄλλως
Pen. αἰδεῖται κατὰ δῶμα; κακὸς δ’ αἰδοῖος ἀλήτης.”
17.586 “οὐκ ἄφρων ὁ ξεῖνος ὀΐεται, ὥς_περ ἂν εἴηι·
οὐ γάρ πώ τινες ὧδε καταθνητῶν ἀνθρώπων
Pen. ἀνέρες ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται.”
18.164 “Εὐρυνόμη, θυμός μοι ἐέλδεται, οὔ_τι πάρος γε,
μνηστήρεσσι φανῆναι, ἀπεχθομένοισί περ ἔμπης·
παιδὶ δέ κεν εἴποιμι ἔπος, τό κε κέρδιον εἴη,
μὴ πάντα μνηστῆρσιν ὑπερφιάλοισιν ὁμιλεῖν,
Pen. οἵ_τ’ εὖ μὲν βάζουσι, κακῶς δ’ ὄπιθεν φρονέουσιν.”
18.178 “Εὐρυνόμη, μὴ ταῦτα παραύδα, κηδομένη περ,
χρῶτ’ ἀπονίψασθαι καὶ ἐπιχρίσασθαι ἀλοιφῆι·
ἀγλαΐην γὰρ ἐμοί_γε θεοί, τοὶ Ὄλυμπον ἔχουσιν,
ὤλεσαν, ἐξ οὗ κεῖνος ἔβη κοίληις ἐνὶ νηυσίν.
ἀλλά μοι Αὐτονόην τε καὶ Ἱπποδάμειαν ἄνωχθι
ἐλθέμεν, ὄφρα κέ μοι παρστήετον ἐν μεγάροισιν·
Pen. οἴη δ’ οὐκ εἴσειμι μετ’ ἀνέρας· αἰδέομαι γάρ.”
18.201 “ἦ με μάλ’ αἰνοπαθῆ μαλακὸν περὶ κῶμ’ ἐκάλυψεν.
αἴθε μοι ὣς μαλακὸν θάνατον πόροι Ἄρτεμις ἁγνὴ
αὐτίκα νῦν, ἵνα μηκέτ’ ὀδυρομένη κατὰ θυμὸν
αἰῶνα φθινύθω, πόσιος ποθέουσα φίλοιο
παντοίην ἀρετήν, ἐπεὶ ἔξοχος ἦεν Ἀχαιῶν.” Pen.
“Τηλέμαχ’, οὐκέτι τοι φρένες ἔμπεδοι οὐδὲ νόημα· 18.215
παῖς ἔτ’ ἐὼν καὶ μᾶλλον ἐνὶ φρεσὶ κέρδε’ ἐνώμας·
νῦν δ’, ὅτε δὴ μέγας ἐσσὶ καὶ ἥβης μέτρον ἱκάνεις
καί κέν τις φαίη γόνον ἔμμεναι ὀλβίου ἀνδρός,
ἐς μέγεθος καὶ κάλλος ὁρώμενος, ἀλλότριος φώς,
οὐκέτι τοι φρένες εἰσὶν ἐναίσιμοι οὐδὲ νόημα.
οἷον δὴ τόδε ἔργον ἐνὶ μεγάροισιν ἐτύχθη,
ὃς τὸν ξεῖνον ἔασας ἀεικισθήμεναι οὕτως.
πῶς νῦν, εἴ τι ξεῖνος ἐν ἡμετέροισι δόμοισιν
ἥμενος ὧδε πάθοι ῥυστακτύος ἐξ ἀλεγεινῆς,
σοί κ’ αἶσχος λώβη τε μετ’ ἀνθρώποισι πέλοιτο.” Pen.
“Εὐρύμαχ’, ἤτοι ἐμὴν ἀρετὴν εἶδός τε δέμας τε 18.251
ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι, μετὰ τοῖσι δ’ ἐμὸς πόσις ἤιεν Ὀδυσσεύς.
εἰ κεῖνός γ’ ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτως.
νῦν δ’ ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων.
ἦ μὲν δὴ ὅτε τ’ ἤιε λιπὼν κάτα πατρίδα γαῖαν,
δεξιτερὴν ἐπὶ καρπῶι ἑλὼν ἐμὲ χεῖρα προσηύδα·
‘ὦ γύναι, οὐ γὰρ ὀΐω ἐϋκνήμιδας Ἀχαιοὺς
ἐκ Τροίης εὖ πάντας ἀπήμονας ἀπονέεσθαι·
καὶ γὰρ Τρῶάς φασι μαχητὰς ἔμμεναι ἄνδρας,
ἠμὲν ἀκοντιστὰς ἠδὲ ῥυτῆρας ὀϊστῶν
ἵππων τ’ ὠκυπόδων ἐπιβήτορας, οἵ τε τάχιστα
ἔκριναν μέγα νεῖκος ὁμοιΐοο πτολέμοιο.
τῶι οὐκ οἶδ’ ἤ κέν μ’ ἀνέσηι θεός, ἦ κεν ἁλώω
αὐτοῦ ἐνὶ Τροίηι· σοὶ δ’ ἐνθάδε πάντα μελόντων.
μεμνῆσθαι πατρὸς καὶ μητέρος ἐν μεγάροισιν
ὡς νῦν, ἢ ἔτι μᾶλλον, ἐμεῦ ἀπονόσφιν ἐόντος·
αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα ἴδηαι,
γήμασθ’ ὧι κ’ ἐθέληισθα, τεὸν κατὰ δῶμα λιποῦσα.’
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
νὺξ δ’ ἔσται ὅτε δὴ στυγερὸς γάμος ἀντιβολήσει
οὐλομένης ἐμέθεν, τῆς_τε Ζεὺς ὄλβον ἀπηύρα.
ἀλλὰ τόδ’ αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει·
μνηστήρων οὐχ ἧδε δίκη τὸ πάροιθε τέτυκτο·
οἵτ’ ἀγαθήν τε γυναῖκα καὶ ἀφνειοῖο θύγατρα
μνηστεύειν ἐθέλωσι καὶ ἀλλήλοις ἐρίσωσιν,
αὐτοὶ τοί_γ’ ἀπάγουσι βόας καὶ ἴφια μῆλα,
κούρης δαῖτα φίλοισι, καὶ ἀγλαὰ δῶρα διδοῦσιν· Pen.
ἀλλ’ οὐκ ἀλλότριον βίοτον νήποινον ἔδουσιν.”
“ξεῖν’, ἔτι καὶ νῦν ἐνθάδ’ ἀνιήσεις διὰ νύκτα 19.66
δινεύων κατὰ οἶκον, ὀπιπεύσεις δὲ γυναῖκας;
ἀλλ’ ἔξελθε θύραζε, τάλαν, καὶ δαιτὸς ὄνησο·
ἢ τάχα καὶ δαλῶι βεβλημένος εἶσθα θύραζε.” Pen.
“πάντως, θαρσαλέη, κύον ἀδδεές, οὔ_τί με λήθεις 19.91
ἔρδουσα μέγα ἔργον, ὃ σῆι κεφαλῆι ἀναμάξεις.
πάντα γὰρ εὖ ἤιδησθ’, ἐπεὶ ἐξ ἐμεῦ ἔκλυες αὐτῆς

ὣς τὸν ξεῖνον ἔμελλον ἐνὶ μεγάροισιν ἐμοῖσιν
Pen. ἀμφὶ πόσι εἴρεσθαι, ἐπεὶ πυκινῶς ἀκάχημαι."
19.97 "Εὐρυνόμη, φέρε δὴ δίφρον καὶ κῶας ἐπ' αὐτοῦ,
ὄφρα καθεζόμενος εἴπηι ἔπος ἠδ' ἐπακούσηι
Pen. ὁ ξεῖνος ἐμέθεν· ἐθέλω δέ μιν ἐξερέεσθαι."
19.104 ✦ "ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή·
Pen. τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;"
19.124 "ξεῖν', ἤτοι μὲν ἐμὴν ἀρετὴν εἶδός τε δέμας τε
ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι, μετὰ τοῖσι δ' ἐμὸς πόσις ἤιεν Ὀδυσσεύς.
εἰ κεῖνός γ' ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
μεῖζον κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτως.
νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων.
ὅσσοι γὰρ νήσοισιν ἔπι κρατέουσιν ἄριστοι,
Δουλιχίωι τε Σάμηι τε καὶ ὑλήεντι Ζακύνθωι,
οἵ τ' αὐτὴν Ἰθάκην εὐδείελον ἀμφινέμονται,
οἵ μ' ἀεκαζομένην μνῶνται, τρύχουσι δὲ οἶκον.
τῶι οὔτε ξείνων ἐμπάζομαι οὔθ' ἱκετάων
οὔτέ τι κηρύκων, οἳ δημιοεργοὶ ἔασιν·
ἀλλ' Ὀδυσῆ ποθέουσα φίλον κατατήκομαι ἦτορ.
οἱ δὲ γάμον σπεύδουσιν· ἐγὼ δὲ δόλους τολυπεύω.
φᾶρος μέν μοι πρῶτον ἐνέπνευσε φρεσὶ δαίμων,
στησαμένηι μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὑφαίνειν,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' αὐτοῖς μετέειπον·
'κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
ἐκτελέσω — μή μοι μεταμώνια νήματ' ὄληται —
Λαέρτηι ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
μοῖρ' ὀλοὴ καθέλησι τανηλεγέος θανάτοιο·
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσηι,
αἴ κεν ἄτερ σπείρου κεῖται πολλὰ κτεατίσσας.'
ὣς ἐφάμην, τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκον μέγαν ἱστὸν,
νύκτας δ' ἀλλύεσκον, ἐπὴν δαΐδας παραθείμην.
ὣς τρίετες μὲν ἔληθον ἐγὼ καὶ ἔπειθον Ἀχαιούς·
ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι
μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
καὶ τότε δή με διὰ δμωάς, κύνας οὐκ ἀλεγούσας,
εἷλον ἐπελθόντες καὶ ὁμόκλησαν ἐπέεσσιν.
ὣς τὸ μὲν ἐξετέλεσσα, καὶ οὐκ ἐθέλουσ', ὑπ' ἀνάγκης·
νῦν δ' οὔτ' ἐκφυγέειν δύναμαι γάμον οὔτέ τιν' ἄλλην
μῆτιν ἔθ' εὑρίσκω. μάλα δ' ὀτρύνουσι τοκῆες
γήμασθ', ἀσχαλάαι δὲ πάϊς βίοτον κατεδόντων,
γιγνώσκων· ἤδη γὰρ ἀνὴρ οἷός τε μάλιστα
οἴκου κήδεσθαι, τῶι τε Ζεὺς ὄλβον ὀπάζηι.
ἀλλὰ καὶ ὥς μοι εἰπὲ τεὸν γένος, ὁππόθεν ἐσσί·
Pen. οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου οὐδ' ἀπὸ πέτρης."
19.215 "νῦν μὲν δή σευ, ξεῖνε, ὀΐω πειρήσεσθαι,
εἰ ἐτεὸν δὴ κεῖθι σὺν ἀντιθέοις ἑτάροισιν
ξείνισας ἐν μεγάροισιν ἐμὸν πόσιν, ὡς ἀγορεύεις.
εἰπέ μοι, ὁπποῖ' ἄσσα περὶ χροῒ εἵματα ἕστο,
αὐτός θ' οἷος ἔην, καὶ ἑταίρους, οἵ οἱ ἕποντο." Pen.
"νῦν μὲν δή μοι, ξεῖνε, πάρος περ ἐὼν ἐλεεινὸς, 19.253
ἐν μεγάροισιν ἐμοῖσι φίλος τ' ἔσηι αἰδοῖός τε·
αὐτὴ γὰρ τάδε εἵματ' ἐγὼ πόρον, οἷ' ἀγορεύεις,
πτύξασ' ἐκ θαλάμου, περόνην δ' ἐπέθηκα φαεινὴν
κείνωι ἄγαλμ' ἔμεναι. τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
οἴκαδε νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν·
τῶι ῥα κακῆι αἴσηι κοίλης ἐπὶ νηὸς Ὀδυσσεὺς Pen.
ὤιχετ' ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν."
"αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη· 19.309
τῶι κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.
ἀλλά μοι ὧδ' ἀνὰ θυμὸν ὀΐεται, ὡς ἔσεταί περ·
οὔτ' Ὀδυσεὺς ἔτι οἶκον ἐλεύσεται, οὔτε σὺ πομπῆς
τεύξηι, ἐπεὶ οὐ τοῖοι σημάντορές εἰσ' ἐνὶ οἴκωι
οἷος Ὀδυσσεὺς ἔσκε μετ' ἀνδράσιν, εἴ ποτ' ἔην γε,
ξείνους αἰδοίους ἀποπεμπέμεν ἠδὲ δέχεσθαι.
ἀλλά μιν, ἀμφίπολοι, ἀπονίψατε, κάτθετε δ' εὐνὴν,
δέμνια καὶ χλαίνας καὶ ῥήγεα σιγαλόεντα,
ὥς κ' εὖ θαλπιόων χρυσόθρονον Ἠῶ ἵκηται.
ἠῶθεν δὲ μάλ' ἦρι λοέσσαί τε χρῖσαί τε,
ὥς κ' ἔνδον παρὰ Τηλεμάχωι δείπνοιο μέδηται
ἥμενος ἐν μεγάρωι· τῶι δ' ἄλγιον ὅς κεν ἐκείνων
τοῦτον ἀνιάζηι θυμοφθόρος· οὐδέ τι ἔργον
ἐνθάδ' ἔτι πρήξει, μάλα περ κεχολωμένος αἰνῶς.
πῶς γὰρ ἐμεῦ σύ, ξεῖνε, δαήσεαι εἴ τι γυναικῶν
ἀλλάων περίειμι νόον καὶ ἐπίφρονα μῆτιν,
εἴ κεν ἀϋσταλέος, κακὰ εἱμένος ἐν μεγάροισιν
δαινύηι; ἄνθρωποι δὲ μινυνθάδιοι τελέθουσιν.
ὃς μὲν ἀπηνὴς αὐτὸς ἔηι καὶ ἀπηνέα εἰδῆι,
τῶι δὲ καταρῶνται πάντες βροτοὶ ἄλγε' ὀπίσσω
ζωῶι, ἀτὰρ τεθνεῶτί γ' ἐφεψιόωνται ἅπαντες·
ὃς δ' ἂν ἀμύμων αὐτὸς ἔηι καὶ ἀμύμονα εἰδῆι,
τοῦ μέν τε κλέος εὐρὺ διὰ ξεῖνοι φορέουσιν
πάντας ἐπ' ἀνθρώπους, πολλοί τέ μιν ἐσθλὸν ἔειπον." Pen.
"ξεῖνε φίλ'· οὐ γάρ πώ τις ἀνὴρ πεπνυμένος ὧδε 19.350
ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα,
ὡς σὺ μάλ' εὐφραδέως πεπνυμένα πάντ' ἀγορεύεις·
ἔστι δέ μοι γρηῢς πυκινὰ φρεσὶ μήδε' ἔχουσα,
ἣ κεῖνον δύστηνον ἐῢ τρέφεν ἠδ' ἀτίταλλεν,
δεξαμένη χείρεσσ', ὅτε μιν πρῶτον τέκε μήτηρ,
ἥ σε πόδας νίψει, ὀλιγηπελέουσά περ ἔμπης.
ἀλλ' ἄγε νῦν ἀνστᾶσα, περίφρων Εὐρύκλεια,
νίψον σοῖο ἄνακτος ὁμήλικα· καί που Ὀδυσσεὺς
ἤδη τοιόσδ' ἐστὶ πόδας τοιόσδε τε χεῖρας· Pen.
αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν."
"ξεῖνε, τὸ μέν σ' ἔτι τυτθὸν ἐγὼν εἰρήσομαι αὐτή· 19.509
καὶ γὰρ δὴ κοίτοιο τάχ' ἔσσεται ἡδέος ὥρη,
ὅν τινά γ' ὕπνος ἕληι γλυκερὸς, καὶ κηδόμενόν περ.

αὐτὰρ ἐμοὶ καὶ πένθος ἀμέτρητον πόρε δαίμων·
ἤματα μὲν γὰρ τέρπομ' ὀδυρομένη, γοόωσα,
ἔς τ' ἐμὰ ἔργ' ὁρόωσα καὶ ἀμφιπόλων ἐνὶ οἴκωι·
αὐτὰρ ἐπὴν νὺξ ἔλθηι, ἕλῃσί τε κοῖτος ἅπαντας,
κεῖμαι ἐνὶ λέκτρωι, πυκιναὶ δέ μοι ἀμφ' ἀδινὸν κῆρ
ὀξεῖαι μελεδῶναι ὀδυρομένην ἐρέθουσιν.
ὡς δ' ὅτε Πανδαρέου κούρη, χλωρηῒς ἀηδών,
καλὸν ἀείδῃσιν ἔαρος νέον ἱσταμένοιο
δενδρέων ἐν πετάλοισι καθεζομένη πυκινοῖσιν,
ἥ τε θαμὰ τρωπῶσα χέει πολυηχέα φωνήν,
παῖδ' ὀλοφυρομένη Ἴτυλον φίλον, ὅν ποτε χαλκῶι
κτεῖνε δι' ἀφραδίας, κοῦρον Ζήθοιο ἄνακτος,
ὣς καὶ ἐμοὶ δίχα θυμὸς ὀρώρεται ἔνθα καὶ ἔνθα,
ἠὲ μένω παρὰ παιδὶ καὶ ἔμπεδα πάντα φυλάσσω,
κτῆσιν ἐμήν, δμῳάς τε καὶ ὑψερεφὲς μέγα δῶμα,
εὐνήν τ' αἰδομένη πόσιος δήμοιό τε φῆμιν,
ἦ ἤδη ἅμ' ἕπωμαι Ἀχαιῶν ὅς τις ἄριστος
μνᾶται ἐνὶ μεγάροισι, πορὼν ἀπερείσια ἕδνα.
παῖς δ' ἐμὸς ἕως μὲν ἔην ἔτι νήπιος ἠδὲ χαλίφρων,
γήμασθ' οὔ μ' εἴα πόσιος κατὰ δῶμα λιποῦσαν·
νῦν δ' ὅτε δὴ μέγας ἐστὶ καὶ ἥβης μέτρον ἱκάνει,
καὶ δή μ' ἀρᾶται πάλιν ἐλθέμεν ἐκ μεγάροιο,
κτήσιος ἀσχαλόων, τήν οἱ κατέδουσιν Ἀχαιοί.
ἀλλ' ἄγε μοι τὸν ὄνειρον ὑπόκριναι καὶ ἄκουσον.
χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσιν
ἐξ ὕδατος, καί τέ σφιν ἰαίνομαι εἰσορόωσα·
ἐλθὼν δ' ἐξ ὄρεος μέγας αἰετὸς ἀγκυλοχείλης
πᾶσι κατ' αὐχέν' ἔαξε καὶ ἔκτανεν· οἱ δ' ἐκέχυντο
ἀθρόοι ἐν μεγάροις, ὁ δ' ἐς αἰθέρα δῖαν ἀέρθη.
αὐτὰρ ἐγὼ κλαῖον καὶ ἐκώκυον ἔν περ ὀνείρωι,
ἀμφὶ δέ μ' ἠγερέθοντο ἐϋπλοκαμῖδες Ἀχαιαί,
οἴκτρ' ὀλοφυρομένην ὅ μοι αἰετὸς ἔκτανε χῆνας.
ἂψ δ' ἐλθὼν κατ' ἄρ' ἕζετ' ἐπὶ προὔχοντι μελάθρωι,
φωνῆι δὲ βροτέηι κατερήτυε φώνησέν τε,
'θάρσει, Ἰκαρίου κούρη τηλεκλειτοῖο·
οὐκ ὄναρ, ἀλλ' ὕπαρ ἐσθλόν, ὅ τοι τετελεσμένον ἔσται.
χῆνες μὲν μνηστῆρες, ἐγὼ δέ τοι αἰετὸς ὄρνις
ἦα πάρος, νῦν αὖτε τεὸς πόσις εἰλήλουθα,
ὃς πᾶσι μνηστῆρσιν ἀεικέα πότμον ἐφήσω.'
ὣς ἔφατ', αὐτὰρ ἐμὲ μελιηδὴς ὕπνος ἀνῆκεν·
παπτήνασα δὲ χῆνας ἐνὶ μεγάροισι νόησα
πυρὸν ἐρεπτομένους παρὰ πύελον, ἧχι πάρος περ."
Pen. 19.560
"ξεῖν', ἦτοι μὲν ὄνειροι ἀμήχανοι ἀκριτόμυθοι
γίγνοντ', οὐδέ τι πάντα τελείεται ἀνθρώποισιν.
δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων·
αἱ μὲν γὰρ κεράεσσι τετεύχαται, αἱ δ' ἐλέφαντι·
τῶν οἳ μέν κ' ἔλθωσι διὰ πριστοῦ ἐλέφαντος,
οἵ ῥ' ἐλεφαίρονται, ἔπε' ἀκράαντα φέροντες·
οἱ δὲ διὰ ξεστῶν κεράων ἔλθωσι θύραζε,
οἵ ῥ' ἔτυμα κραίνουσι, βροτῶν ὅτε κέν τις ἴδηται.
ἀλλ' ἐμοὶ οὐκ ἐντεῦθεν ὀΐομαι αἰνὸν ὄνειρον
ἐλθέμεν· ἦ κ' ἀσπαστὸν ἐμοὶ καὶ παιδὶ γένοιτο.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
ἥδε δὴ ἠὼς εἶσι δυσώνυμος, ἥ μ' Ὀδυσῆος
οἴκου ἀποσχήσει· νῦν γὰρ καταθήσω ἄεθλον,
τοὺς πελέκεας, τοὺς κεῖνος ἐνὶ μεγάροισιν ἑοῖσιν
ἵστασχ' ἑξείης, δρυόχους ὥς, δώδεκα πάντας·
στὰς δ' ὅ γε πολλὸν ἄνευθε διαρρίπτασκεν ὀϊστόν.
νῦν δὲ μνηστήρεσσιν ἄεθλον τοῦτον ἐφήσω·
ὃς δέ κε ῥηΐτατ' ἐντανύσηι βιὸν ἐν παλάμηισιν
καὶ διοϊστεύσηι πελέκεων δυοκαίδεκα πάντων,
τῶι κεν ἅμ' ἑσποίμην, νοσφισσαμένη τόδε δῶμα
κουρίδιον, μάλα καλόν, ἐνίπλειον βιότοιο·
τοῦ ποτὲ μεμνήσεσθαι ὀΐομαι ἔν περ ὀνείρωι." Pen. 19.589
"εἴ κ' ἐθέλοις μοι, ξεῖνε, παρήμενος ἐν μεγάροισιν
τέρπειν, οὔ κέ μοι ὕπνος ἐπὶ βλεφάροισι χυθείη.
ἀλλ' οὐ γάρ πως ἔστιν ἀΰπνους ἔμμεναι αἰεὶ
ἀνθρώπους· ἐπὶ γάρ τοι ἑκάστωι μοῖραν ἔθηκαν
ἀθάνατοι θνητοῖσιν ἐπὶ ζείδωρον ἄρουραν·
ἀλλ' ἦτοι μὲν ἐγὼν ὑπερώϊον εἰσαναβᾶσα
λέξομαι εἰς εὐνήν, ἥ μοι στονόεσσα τέτυκται,
αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχετ' ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
ἔνθα κε λεξαίμην· σὺ δὲ λέξεο τῶιδ' ἐνὶ οἴκωι,
ἢ χαμάδις στορέσας, ἤ τοι κατὰ δέμνια θέντων."
Pen. 20.61
"Ἄρτεμι, πότνα θεά, θύγατερ Διός, αἴθε μοι ἤδη
ἰὸν ἐνὶ στήθεσσι βαλοῦσ' ἐκ θυμὸν ἕλοιο
αὐτίκα νῦν, ἢ ἔπειτά μ' ἀναρπάξασα θύελλα
οἴχοιτο προφέρουσα κατ' ἠερόεντα κέλευθα,
ἐν προχοῇς δὲ βάλοι ἀψορρόου Ὠκεανοῖο.
ὡς δ' ὅτε Πανδαρέου κούρας ἀνέλοντο θύελλαι·
τῇσι τοκῆας μὲν φθεῖσαν θεοί, αἱ δ' ἐλίποντο
ὀρφαναὶ ἐν μεγάροισι, κόμισσε δὲ δῖ' Ἀφροδίτη
τυρῶι καὶ μέλιτι γλυκερῶι καὶ ἡδέϊ οἴνωι·
Ἥρη δ' αὐτῇσιν περὶ πασέων δῶκε γυναικῶν
εἶδος καὶ πινυτήν, μῆκος δ' ἔπορ' Ἄρτεμις ἁγνή,
ἔργα δ' Ἀθηναίη δέδαε κλυτὰ ἐργάζεσθαι.
εὖτ' Ἀφροδίτη δῖα προσέστιχε μακρὸν Ὄλυμπον,
κούρῃς αἰτήσουσα τέλος θαλεροῖο γάμοιο,
ἐς Δία τερπικέραυνον — ὁ γάρ τ' εὖ οἶδεν ἅπαντα,
μοῖράν τ' ἀμμορίην τε καταθνητῶν ἀνθρώπων —
τόφρα δὲ τὰς κούρας Ἅρπυιαι ἀνηρείψαντο,
καί ῥ' ἔδοσαν στυγερῇσιν Ἐρινύσιν ἀμφιπολεύειν·
ὣς ἔμ' ἀϊστώσειαν Ὀλύμπια δώματ' ἔχοντες,
ἠέ μ' ἐϋπλόκαμος βάλοι Ἄρτεμις, ὄφρ' Ὀδυσῆα
ὀσσομένη καὶ γαῖαν ὕπο στυγερὴν ἀφικοίμην,
μηδέ τι χείρονος ἀνδρὸς ἐϋφραίνοιμι νόημα.
ἀλλὰ τὸ μὲν καὶ ἀνεκτὸν ἔχει κακόν, ὁππότε κέν τις
ἤματα μὲν κλαίηι, πυκινῶς ἀκαχήμενος ἦτορ,
νύκτας δ' ὕπνος ἔχῃσιν — ὁ γάρ τ' ἐπέλησεν ἁπάντων,

ἐσθλῶν ἠδὲ κακῶν, ἐπεὶ ἂρ βλέφαρ' ἀμφικαλύψηι —
αὐτὰρ ἐμοὶ καὶ ὀνείρατ' ἐπέσσευεν κακὰ δαίμων.
τῆιδε γὰρ αὖ μοι νυκτὶ παρέδραθεν εἴκελος αὐτῶι,
Pen. τοῖος ἐὼν οἷος ἦιεν ἅμα στρατῶι· αὐτὰρ ἐμὸν κῆρ
χαῖρ', ἐπεὶ οὐκ ἐφάμην ὄναρ ἔμμεναι, ἀλλ' ὕπαρ ἤδη."
21.68 "κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, οἳ τόδε δῶμα
ἐχράετ' ἐσθιέμεν καὶ πινέμεν ἐμμενὲς αἰεὶ
ἀνδρὸς ἀποιχομένοιο πολὺν χρόνον· οὐδέ τιν' ἄλλην
μύθου ποιήσασθαι ἐπισχεσίην ἐδύνασθε,
ἀλλ' ἐμὲ ἱέμενοι γῆμαι θέσθαι τε γυναῖκα.
ἀλλ' ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ' ἄεθλον·
θήσω γὰρ μέγα τόξον Ὀδυσσῆος θείοιο·
ὃς δέ κε ῥηΐτατ' ἐντανύσηι βιὸν ἐν παλάμηισιν
καὶ διοϊστεύσηι πελέκεων δυοκαίδεκα πάντων,
τῶι κεν ἅμ' ἑσποίμην, νοσφισσαμένη τόδε δῶμα
κουρίδιον, μάλα καλὸν, ἐνίπλειον βιότοιο,
Pen. τοῦ ποτε μεμνήσεσθαι ὀΐομαι ἔν περ ὀνείρωι."
21.312 "Ἀντίνο', οὐ μὲν καλὸν ἀτέμβειν οὐδὲ δίκαιον
ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ' ἵκηται.
ἔλπεαι, αἴ χ' ὁ ξεῖνος Ὀδυσσῆος μέγα τόξον
ἐντανύσηι χερσίν τε βίηφί τε ἧφι πιθήσας,
οἴκαδ' ἔμ' ἄξεσθαι καὶ ἑὴν θήσεσθαι ἄκοιτιν;
οὐδ' αὐτός που τοῦτό γ' ἐνὶ στήθεσσιν ἔολπεν·
μηδέ τις ὑμείων τοῦ γ' εἵνεκα θυμὸν ἀχεύων
Pen. ἐνθάδε δαινύσθω, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικεν."
21.331 "Εὐρύμαχ', οὔ πώς ἐστιν ἐϋκλεῖας κατὰ δῆμον
ἔμμεναι, οἳ δὴ οἶκον ἀτιμάζοντες ἔδουσιν
ἀνδρὸς ἀριστῆος· τί δ' ἐλέγχεα ταῦτα τίθεσθε;
οὗτος δὲ ξεῖνος μάλα μὲν μέγας ἠδ' εὐπηγής,
πατρὸς δ' ἐξ ἀγαθοῦ γένος εὔχεται ἔμμεναι υἱός.
ἀλλ' ἄγε οἱ δότε τόξον ἐΰξοον, ὄφρα ἴδωμεν.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
εἴ κέ μιν ἐντανύσηι, δώηι δέ οἱ εὖχος Ἀπόλλων,
ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλὰ,
δώσω δ' ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν,
καὶ ξίφος ἄμφηκες· δώσω δ' ὑπὸ ποσσὶ πέδιλα,
Pen. πέμψω δ' ὅππηι μιν κραδίη θυμός τε κελεύει."
23.11 "μαῖα φίλη, μάργην σε θεοὶ θέσαν, οἵ τε δύνανται
ἄφρονα ποιῆσαι καὶ ἐπίφρονά περ μάλ' ἐόντα,
καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησαν·
οἵ σέ περ ἔβλαψαν· πρὶν δὲ φρένας αἰσίμη ἦσθα.
τίπτε με λωβεύεις πολυπενθέα θυμὸν ἔχουσαν
ταῦτα παρὲξ ἐρέουσα καὶ ἐξ ὕπνου μ' ἀνεγείρεις
ἡδέος, ὅς μ' ἐπέδησε φίλα βλέφαρ' ἀμφικαλύψας;
οὐ γάρ πω τοιόνδε κατέδραθον, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχετ' ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
ἀλλ' ἄγε νῦν κατάβηθι καὶ ἂψ ἔρχεο μεγαρόνδε.
εἰ γάρ τίς μ' ἄλλη γε γυναικῶν, αἵ μοι ἔασιν,
ταῦτ' ἐλθοῦσ' ἤγγειλε καὶ ἐξ ὕπνου ἀνέγειρεν,
τῶι κε τάχα στυγερῶς μιν ἐγὼν ἀπέπεμψα νέεσθαι
αὖτις ἔσω μέγαρον· σὲ δὲ τοῦτό γε γῆρας ὀνήσει."
"εἰ δ' ἄγε δή μοι, μαῖα φίλη, νημερτὲς ἐνίσπες, 23.35
εἰ ἐτεὸν δὴ οἶκον ἱκάνεται, ὡς ἀγορεύεις,
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφῆκεν
μοῦνος ἐών, οἱ δ' αἰὲν ἀολλέες ἔνδον ἔμιμνον." Pen.
"μαῖα φίλη, μή πω μέγ' ἐπεύχεο καγχαλόωσα. 23.59
οἶσθα γὰρ ὥς κ' ἀσπαστὸς ἐνὶ μεγάροισι φανείη
πᾶσι, μάλιστα δ' ἐμοί τε καὶ υἱέϊ τὸν τεκόμεσθα·
ἀλλ' οὐκ ἔσθ' ὅδε μῦθος ἐτήτυμος, ὡς ἀγορεύεις,
ἀλλά τις ἀθανάτων κτεῖνε μνηστῆρας ἀγαυοὺς,
ὕβριν ἀγασσάμενος θυμαλγέα καὶ κακὰ ἔργα.
οὔ τινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλὸν, ὅ τίς σφεας εἰσαφίκοιτο.
τῶι δι' ἀτασθαλίας ἔπαθον κακόν· αὐτὰρ Ὀδυσσεὺς
ὤλεσε τηλοῦ νόστον Ἀχαιΐδος, ὤλετο δ' αὐτός." Pen.
"μαῖα φίλη, χαλεπόν σε θεῶν αἰειγενετάων 23.81
δήνεα εἴρυσθαι, μάλα περ πολύϊδριν ἐοῦσαν·
ἀλλ' ἔμπης ἴομεν μετὰ παῖδ' ἐμὸν, ὄφρα ἴδωμαι
ἄνδρας μνηστῆρας τεθνηότας, ἠδ' ὃς ἔπεφνεν." Pen.
"τέκνον ἐμὸν, θυμός μοι ἐνὶ στήθεσσι τέθηπεν, 23.105
οὐδέ τι προσφάσθαι δύναμαι ἔπος οὐδ' ἐρέεσθαι
οὐδ' εἰς ὦπα ἰδέσθαι ἐναντίον. εἰ δ' ἐτεὸν δὴ
ἔστ' Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται, ἦ μάλα νῶϊ
γνωσόμεθ' ἀλλήλων καὶ λώϊον· ἔστι γὰρ ἡμῖν Pen.
σήμαθ', ἃ δὴ καὶ νῶϊ κεκρυμμένα ἴδμεν ἀπ' ἄλλων."
"δαιμόνι', οὔτ' ἄρ τι μεγαλίζομαι οὐδ' ἀθερίζω, 23.174
οὔτε λίην ἄγαμαι, μάλα δ' εὖ οἶδ' οἷος ἔησθα
ἐξ Ἰθάκης ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο.
ἀλλ' ἄγε οἱ στόρεσον πυκινὸν λέχος, Εὐρύκλεια,
ἐκτὸς ἐϋσταθέος θαλάμου, τόν ῥ' αὐτὸς ἐποίει·
ἔνθα οἱ ἐκθεῖσαι πυκινὸν λέχος ἐμβάλετ' εὐνήν, Pen.
κώεα καὶ χλαίνας καὶ ῥήγεα σιγαλόεντα."
"μή μοι, Ὀδυσσεῦ, σκύζε', ἐπεὶ τά περ ἄλλα μάλιστα 23.209
ἀνθρώπων πέπνυσο· θεοὶ δ' ὤπαζον ὀϊζὺν,
οἳ νῶϊν ἀγάσαντο παρ' ἀλλήλοισι μένοντε
ἥβης ταρπῆναι καὶ γήραος οὐδὸν ἱκέσθαι.
αὐτὰρ μὴ νῦν μοι τόδε χώεο μηδὲ νεμέσσα,
οὕνεκά σ' οὐ τὸ πρῶτον, ἐπεὶ ἴδον, ὧδ' ἀγάπησα.
αἰεὶ γάρ μοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ἐρρίγει μή τίς με βροτῶν ἀπάφοιτ' ἐπέεσσιν
ἐλθών· πολλοὶ γὰρ κακὰ κέρδεα βουλεύουσιν.
οὐδέ κεν Ἀργείη Ἑλένη, Διὸς ἐκγεγαυῖα,
ἀνδρὶ πάρ' ἀλλοδαπῶι ἐμίγη φιλότητι καὶ εὐνῆι,
εἰ ἤιδει ὅ μιν αὖτις Ἀρήϊοι υἷες Ἀχαιῶν
ἀξέμεναι οἴκονδε φίλην ἐς πατρίδ' ἔμελλον.
τὴν δ' ἤτοι ῥέξαι θεὸς ὤρορεν ἔργον ἀεικές·
τὴν δ' ἄτην οὐ πρόσθεν ἑῶι ἐγκάτθετο θυμῶι
λυγρήν, ἐξ ἧς πρῶτα καὶ ἡμέας ἵκετο πένθος.
νῦν δ', ἐπεὶ ἤδη σήματ' ἀριφραδέα κατέλεξας
εὐνῆς ἡμετέρης, ἣν οὐ βροτὸς ἄλλος ὀπώπει,

ἀλλ' οἶοι σύ τ' ἐγώ τε καὶ ἀμφίπολος μία μούνη,
Ἀκτορίς, ἥν μοι δῶκε πατὴρ ἔτι δεῦρο κιούσηι,
Pen. ἣ νῶϊν εἴρυτο θύρας πυκινοῦ θαλάμοιο,
πείθεις δή μευ θυμόν, ἀπηνέα περ μάλ' ἐόντα."
23.257 "εὐνὴ μὲν δὴ σοί_γε τότ' ἔσσεται ὁππότε θυμῶι
σῶι ἐθέληις, ἐπεὶ ἄρ σε θεοὶ ποίησαν ἱκέσθαι
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν·
ἀλλ' ἐπεὶ ἐφράσθης καί τοι θεὸς ἔμβαλε θυμῶι,
εἴπ' ἄγε μοι τὸν ἄεθλον, ἐπεὶ καὶ ὄπισθεν, ὀΐω,
Pen. πεύσομαι, αὐτίκα δ' ἐστὶ δαήμεναι οὔ_τι χέρειον."
23.286 "εἰ μὲν δὴ γῆράς γε θεοὶ τελέουσιν ἄρειον,
Pen. ἐλπωρή τοι ἔπειτα κακῶν ὑπάλυξιν ἔσεσθαι."

Notes

Notes

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 650 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF ITHAKAN PRINCE
TELEMACHOS
IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.123 “χαῖρε, ξεῖνε, παρ’ ἄμμι φιλήσεαι· αὐτὰρ ἔπειτα
Tel. δείπνου πασσάμενος μυθήσεαι ὅττεό σε χρή.”
1.158 “ξεῖνε φίλ’, ἦ καί μοι νεμεσήσεαι ὅττί κεν εἴπω;
τούτοισιν μὲν ταῦτα μέλει, κίθαρις καὶ ἀοιδή,
ῥεῖ’, ἐπεὶ ἀλλότριον βίοτον νήποινον ἔδουσιν,
ἀνέρος οὗ δή που λεύκ’ ὀστέα πύθεται ὄμβρωι
κείμεν’ ἐπ’ ἠπείρου, ἢ εἰν ἁλὶ κῦμα κυλίνδει.
εἰ κεῖνόν γ’ Ἰθάκηνδε ἰδοίατο νοστήσαντα,
πάντες κ’ ἀρησαίατ’ ἐλαφρότεροι πόδας εἶναι
ἢ ἀφνειότεροι χρυσοῖό τε ἐσθῆτός τε.
νῦν δ’ ὁ μὲν ὣς ἀπόλωλε κακὸν μόρον, οὐδέ τις ἡμῖν
θαλπωρή, εἴ_πέρ τις ἐπιχθονίων ἀνθρώπων
φῆσιν ἐλεύσεσθαι· τοῦ δ’ ὤλετο νόστιμον ἦμαρ.
ἀλλ’ ἄγε μοι τόδε εἰπὲ καί ἀτρεκέως κατάλεξον·
τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
ὁπποίης δ’ ἐπὶ νηὸς ἀφίκεο; πῶς δέ σε ναῦται
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι ηὐχετόωντο;
οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ’ ἱκέσθαι.
καί μοι τοῦτ’ ἀγόρευσον ἐτήτυμον, ὄφρ’ εὖ εἰδῶ,
ἠὲ νέον μεθέπεις, ἦ καὶ πατρώϊός ἐσσι
ξεῖνος, ἐπεὶ πολλοὶ ἴσαν ἀνέρες ἡμέτερον δῶ
Tel. ἄλλοι, ἐπεὶ καὶ κεῖνος ἐπίστροφος ἦν ἀνθρώπων.”
1.214 “τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ’ ἀτρεκέως ἀγορεύσω.
μήτηρ μέν τέ μέ φησι τοῦ ἔμμεναι, αὐτὰρ ἐγώ_γε
οὐκ οἶδ’· οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω.
ὡς δὴ ἐγώ_γ’ ὄφελον μάκαρός νύ τευ ἔμμεναι υἱὸς
ἀνέρος, ὃν κτεάτεσσιν ἑοῖς ἔπι γῆρας ἔτετμεν.
Tel. νῦν δ’ ὃς ἀποτμότατος γένετο θνητῶν ἀνθρώπων,
τοῦ μ’ ἔκ φασι γενέσθαι, ἐπεὶ σύ με τοῦτ’ ἐρεείνεις.”
1.231 “ξεῖν’, ἐπεὶ ἂρ δὴ ταῦτά μ’ ἀνείρεαι ἠδὲ μεταλλᾷς,
μέλλεν μέν ποτε οἶκος ὅδ’ ἀφνειὸς καὶ ἀμύμων
ἔμμεναι, ὄφρ’ ἔτι κεῖνος ἀνὴρ ἐπιδήμιος ἦεν·
νῦν δ’ ἑτέρως ἐβόλοντο θεοὶ κακὰ μητιόωντες,
οἳ κεῖνον μὲν ἄϊστον ἐποίησαν περὶ πάντων
ἀνθρώπων, ἐπεὶ οὔ κε θανόντί περ ὧδ’ ἀκαχοίμην,
εἰ μετὰ οἷς ἑτάροισι δάμη Τρώων ἐνὶ δήμωι,
ἠέ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσεν.
τῶι κέν οἱ τύμβον μὲν ἐποίησαν Παναχαιοὶ,
ἠδέ κε καὶ ὧι παιδὶ μέγα κλέος ἤρατ’ ὀπίσσω.
νῦν δέ μιν ἀκλειῶς Ἅρπυιαι ἀνηρείψαντο·
οἴχετ’ ἄϊστος, ἄπυστος, ἐμοὶ δ’ ὀδύνας τε γόους τε
κάλλιπεν· οὐδ’_ἔτι κεῖνον ὀδυρόμενος στοναχίζω
οἶον, ἐπεί νύ μοι ἄλλα θεοὶ κακὰ κήδε’ ἔτευξαν.
ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίωι τε Σάμηι τε καὶ ὑλήεντι Ζακύνθωι,
ἠδ’ ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν,
τόσσοι μητέρ’ ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον.
ἡ δ’ οὔτ’ ἀρνεῖται στυγερὸν γάμον οὔτε τελευτὴν
ποιῆσαι δύναται· τοί δὲ φθινύθουσιν ἔδοντες
Tel. οἶκον ἐμόν· τάχα δή με διαρραίσουσι καὶ αὐτόν.”

“ξεῖν’, ἤτοι μὲν ταῦτα φίλα φρονέων ἀγορεύεις, 1.307
ὥς_τε πατὴρ ὧι παιδὶ, καὶ οὔ_ποτε λήσομαι αὐτῶν.
ἀλλ’ ἄγε νῦν ἐπίμεινον, ἐπειγόμενός περ ὁδοῖο,
ὄφρα λοεσσάμενός τε τεταρπόμενός τε φίλον κῆρ
δῶρον ἔχων ἐπὶ νῆα κίῃς, χαίρων ἐνὶ θυμῶι,
τιμῆεν, μάλα καλὸν, ὅ τοι κειμήλιον ἔσται
ἐξ ἐμεῦ, οἷα φίλοι ξεῖνοι ξείνοισι διδοῦσιν.” Tel.
“μῆτερ ἐμὴ, τί τ’_ἄρα αὖ φθονέεις ἐρίηρον ἀοιδὸν 1.346
τέρπειν ὅππηι οἱ νόος ὄρνυται; οὔ νύ τ’ ἀοιδοὶ
αἴτιοι, ἀλλά ποθι Ζεὺς αἴτιος, ὅς_τε δίδωσιν
ἀνδράσιν ἀλφηστῆισιν, ὅπως ἐθέλησιν, ἑκάστωι.
τούτωι δ’ οὐ νέμεσις Δαναῶν κακὸν οἶτον ἀείδειν·
τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ’ ἄνθρωποι,
ἥ_τις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.
σοὶ δ’ ἐπιτολμάτω κραδίη καὶ θυμὸς ἀκούειν·
οὐ γὰρ Ὀδυσσεὺς οἶος ἀπώλεσε νόστιμον ἦμαρ
ἐν Τροίηι, πολλοὶ δὲ καὶ ἄλλοι φῶτες ὄλοντο.
ἀλλ’ εἰς οἶκον ἰοῦσα τὰ σ’ αὐτῆς ἔργα κόμιζε,
ἱστόν τ’ ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι· μῦθος δ’ ἄνδρεσσι μελήσει
πᾶσι, μάλιστα δ’ ἐμοί· τοῦ γὰρ κράτος ἔστ’ ἐνὶ οἴκωι.” Tel.
“μητρὸς ἐμῆς μνηστῆρες ὑπέρβιον ὕβριν ἔχοντες, 1.368
νῦν μὲν δαινύμενοι τερπώμεθα, μηδὲ βοητὺς
ἔστω, ἐπεὶ τό_γε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ
τοιοῦδ’ οἷος ὅδ’ ἐστὶ, θεοῖς ἐναλίγκιος αὐδήν.
ἠῶθεν δ’ ἀγορήνδε καθεζώμεσθα κιόντες
πάντες, ἵν’ ὕμιν μῦθον ἀπηλεγέως ἀποείπω,
ἐξιέναι μεγάρων· ἄλλας δ’ ἀλεγύνετε δαῖτας,
ὑμὰ κτήματ’ ἔδοντες, ἀμειβόμενοι κατὰ οἴκους.
εἰ δ’ ὑμῖν δοκέει τόδε λωΐτερον καὶ ἄμεινον
ἔμμεναι, ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσθαι,
κείρετ’· ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι αἰὲν ἐόντας,
αἴ κέ ποθι Ζεὺς δῶσι παλίντιτα ἔργα γενέσθαι·
νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε.” Tel.
“Εὐρύμαχ’, ἤτοι νόστος ἀπώλετο πατρὸς ἐμοῖο· 1.413
οὔτ’ οὖν ἀγγελίηις ἔτι πείθομαι, εἴ_ποθεν ἔλθοι,
οὔτε θεοπροπίης ἐμπάζομαι, ἥν_τινα μήτηρ
ἐς μέγαρον καλέσασα θεοπρόπον ἐξερέηται.
ξεῖνος δ’ οὗτος ἐμὸς πατρώϊος ἐκ Τάφου ἐστὶν,
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχεται εἶναι
υἱὸς, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσει.” Tel.
“Ἀντίνο’, οὔ_πως ἔστι δόμων ἀέκουσαν ἀπῶσαι 2.130
ἥ μ’ ἔτεχ’, ἥ μ’ ἔθρεψε· πατὴρ δ’ ἐμὸς ἄλλοθι γαίης,
ζώει ὅ_γ’ ἢ τέθνηκε· κακὸν δέ με πόλλ’ ἀποτίνειν
Ἰκαρίωι, αἴ κ’ αὐτὸς ἑκὼν ἀπὸ μητέρα πέμψω.
ἐκ γὰρ τοῦ πατρὸς κακὰ πείσομαι, ἄλλα δὲ δαίμων
δώσει, ἐπεὶ μήτηρ στυγερὰς ἀρήσετ’ Ἐρινῦς
οἴκου ἀπερχομένη· νέμεσις δέ μοι ἐξ ἀνθρώπων
ἔσσεται· ὡς οὐ τοῦτον ἐγώ ποτε μῦθον ἐνίψω.
ὑμέτερος δ’ εἰ μὲν θυμὸς νεμεσίζεται αὐτῶν,

ἔξιτέ μοι μεγάρων, ἄλλας δ' ἀλεγύνετε δαῖτας
ὑμὰ κτήματ' ἔδοντες, ἀμειβόμενοι κατὰ οἴκους.
εἰ δ' ὑμῖν δοκέει τόδε λωΐτερον καὶ ἄμεινον
ἔμμεναι, ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσθαι,
κείρετ'· ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι αἰὲν ἐόντας,
αἴ κέ ποθι Ζεὺς δῶσι παλίντιτα ἔργα γενέσθαι.
Tel. νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε."
2.209 "Εὐρύμαχ' ἠδὲ καὶ ἄλλοι, ὅσοι μνηστῆρες ἀγαυοί,
ταῦτα μὲν οὐχ ὑμέας ἔτι λίσσομαι οὐδ' ἀγορεύω·
ἤδη γὰρ τά γ' ἴσασι θεοὶ καὶ πάντες Ἀχαιοί.
ἀλλ' ἄγε μοι δότε νῆα θοὴν καὶ εἴκοσ' ἑταίρους,
οἵ κέ μοι ἔνθα καὶ ἔνθα διαπρήσσωσι κέλευθον.
εἶμι γὰρ ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα,
νόστον πευσόμενος πατρὸς δὴν οἰχομένοιο,
ἤν τίς μοι εἴπῃσι βροτῶν, ἢ ὄσσαν ἀκούσω
ἐκ Διός, ἥ τε μάλιστα φέρει κλέος ἀνθρώποισιν.
εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσω,
ἦ τ' ἂν τρυχόμενός περ, ἔτι τλαίην ἐνιαυτόν·
εἰ δέ κε τεθνηῶτος ἀκούσω μηδ' ἔτ' ἐόντος,
νοστήσας δήπειτα φίλην ἐς πατρίδα γαῖαν
σῆμά τέ οἱ χεύω καὶ ἐπὶ κτέρεα κτερεΐξω
Tel. πολλὰ μάλ', ὅσσα ἔοικε, καὶ ἀνέρι μητέρα δώσω."
2.262 "κλῦθί μοι, ὃ χθιζὸς θεὸς ἤλυθες ἡμέτερον δῶ
καί μ' ἐν νηῒ κέλευσας ἐπ' ἠεροειδέα πόντον,
νόστον πευσόμενον πατρὸς δὴν οἰχομένοιο
ἔρχεσθαι· τὰ δὲ πάντα διατρίβουσιν Ἀχαιοί,
Tel. μνηστῆρες δὲ μάλιστα κακῶς ὑπερηνορέοντες."
2.310 "Ἀντίνο', οὔ πως ἔστιν ὑπερφιάλοισι μεθ' ὑμῖν
δαίνυσθαί τ' ἀκέοντα καὶ εὐφραίνεσθαι ἕκηλον.
ἦ οὐχ ἅλις ὡς τὸ πάροιθεν ἐκείρετε πολλὰ καὶ ἐσθλὰ
κτήματ' ἐμά, μνηστῆρες, ἐγὼ δ' ἔτι νήπιος ἦα;
νῦν δ' ὅτε δὴ μέγας εἰμὶ καὶ ἄλλων μῦθον ἀκούων
πυνθάνομαι, καὶ δή μοι ἀέξεται ἔνδοθι θυμός,
πειρήσω ὥς κ' ὔμμι κακὰς ἐπὶ κῆρας ἰήλω,
ἠὲ Πύλονδ' ἐλθών, ἢ αὐτοῦ τῶιδ' ἐνὶ δήμωι.
εἶμι μέν — οὐδ' ἁλίη ὁδὸς ἔσσεται ἣν ἀγορεύω —
Tel. ἔμπορος· οὐ γὰρ νηὸς ἐπήβολος οὐδ' ἐρετάων
γίγνομαι· ὥς νύ που ὔμμιν ἐείσατο κέρδιον εἶναι."
2.349 Tel. "μαῖ', ἄγε δή μοι οἶνον ἐν ἀμφιφορεῦσιν ἄφυσσον
ἡδύν, ὅ τις μετὰ τὸν λαρώτατος ὃν σὺ φυλάσσεις,
κεῖνον ὀϊομένη τὸν κάμμορον, εἴ ποθεν ἔλθοι
διογενὴς Ὀδυσεὺς θάνατον καὶ κῆρας ἀλύξας.
δώδεκα δ' ἔμπλησον καὶ πώμασιν ἄρσον ἅπαντας.
ἐν δέ μοι ἄλφιτα χεῦον ἐϋρραφέεσσι δοροῖσιν·
εἴκοσι δ' ἔστω μέτρα μυληφάτου ἀλφίτου ἀκτῆς.
αὐτὴ δ' οἴη ἴσθι· τὰ δ' ἁθρόα πάντα τετύχθω·
ἑσπέριος γὰρ ἐγὼν αἱρήσομαι, ὁππότε κεν δὴ
μήτηρ εἰς ὑπερῶι' ἀναβῆι κοίτου τε μέδηται.
εἶμι γὰρ ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα,
νόστον πευσόμενος πατρὸς φίλου, ἤν που ἀκούσω."

"θάρσει, μαῖ', ἐπεὶ οὔ τοι ἄνευ θεοῦ ἥδε γε βουλή. 2.372
ἀλλ' ὄμοσον μὴ μητρὶ φίληι τάδε μυθήσασθαι,
πρίν γ' ὅτ' ἂν ἑνδεκάτη τε δυωδεκάτη τε γένηται
ἢ αὐτὴν ποθέσαι καὶ ἀφορμηθέντος ἀκοῦσαι,
ὡς ἂν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτηι." Tel.
"δεῦτε, φίλοι, ἤϊα φερώμεθα· πάντα γὰρ ἤδη 2.410
ἁθρό' ἐνὶ μεγάρωι. μήτηρ δ' ἐμὴ οὔ τι πέπυσται,
οὐδ' ἄλλαι δμωαί, μία δ' οἴη μῦθον ἄκουσεν." Tel.
"Μέντορ, πῶς τ' ἄρ' ἴω πῶς ταρ προσπτύξομαι αὐτόν; 3.22
οὐδέ τί πω μύθοισι πεπείρημαι πυκινοῖσιν·
αἰδὼς δ' αὖ νέον ἄνδρα γεραίτερον ἐξερέεσθαι." Tel.
"ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν, 3.79
εἴρεαι ὁππόθεν εἰμέν· ἐγὼ δέ κέ τοι καταλέξω.
ἡμεῖς ἐξ Ἰθάκης Ὑπονηΐου εἰλήλουθμεν·
πρῆξις δ' ἥδ' ἰδίη, οὐ δήμιος, ἣν ἀγορεύω.
πατρὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι, ἤν που ἀκούσω,
δίου Ὀδυσσῆος ταλασίφρονος, ὅν ποτέ φασιν
σὺν σοὶ μαρνάμενον Τρώων πόλιν ἐξαλαπάξαι.
ἄλλους μὲν γὰρ πάντας, ὅσοι Τρωσὶν πολέμιζον,
πευθόμεθ', ἧχι ἕκαστος ἀπώλετο λυγρῶι ὀλέθρωι·
κείνου δ' αὖ καὶ ὄλεθρον ἀπευθέα θῆκε Κρονίων.
οὐ γάρ τις δύναται σάφα εἰπέμεν ὁππόθ' ὄλωλεν,
εἴθ' ὅ γ' ἐπ' ἠπείρου δάμη ἀνδράσι δυσμενέεσσιν,
εἴτε καὶ ἐν πελάγει μετὰ κύμασιν Ἀμφιτρίτης.
τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέλησθα
κείνου λυγρὸν ὄλεθρον ἐνισπεῖν, εἴ που ὄπωπας
ὀφθαλμοῖσι τεοῖσιν, ἢ ἄλλου μῦθον ἄκουσας
πλαζομένου· περὶ γάρ μιν ὀϊζυρὸν τέκε μήτηρ.
μηδέ τί μ' αἰδόμενος μειλίσσεο μηδ' ἐλεαίρων,
ἀλλ' εὖ μοι κατάλεξον ὅπως ἤντησας ὀπωπῆς.
λίσσομαι, εἴ ποτέ τοί τι πατὴρ ἐμός, ἐσθλὸς Ὀδυσσεύς,
ἢ ἔπος ἠέ τι ἔργον ὑποστὰς ἐξετέλεσσεν
δήμωι ἔνι Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί·
τῶν νῦν μοι μνῆσαι, καί μοι νημερτὲς ἐνίσπες." Tel.
"ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν, 3.202
καὶ λίην κεῖνος μὲν ἐτείσατο, καί οἱ Ἀχαιοὶ
οἴσουσι κλέος εὐρὺ καὶ ἐσσομένοισιν ἀοιδήν.
αἲ γὰρ ἐμοὶ τοσσήνδε θεοὶ δύναμιν παραθεῖεν,
τείσασθαι μνηστῆρας ὑπερβασίης ἀλεγεινῆς,
οἵ τέ μοι ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται.
ἀλλ' οὔ μοι τοιοῦτον ἐπέκλωσαν θεοὶ ὄλβον,
πατρί τ' ἐμῶι καὶ ἐμοί· νῦν δὲ χρὴ τετλάμεν ἔμπης." Tel.
"ὦ γέρον, οὔ πω τοῦτο ἔπος τελέεσθαι ὀΐω· 3.226
λίην γὰρ μέγα εἶπες· ἄγη μ' ἔχει. οὐκ ἂν ἐμοί γε
ἐλπομένωι τὰ γένοιτ', οὐδ' εἰ θεοὶ ὣς ἐθέλοιεν." Tel.
"Μέντορ, μηκέτι ταῦτα λεγώμεθα κηδόμενοί περ· 3.240
κείνωι δ' οὐκέτι νόστος ἐτήτυμος, ἀλλά οἱ ἤδη
φράσσαντ' ἀθάνατοι θάνατον καὶ κῆρα μέλαιναν.
νῦν δ' ἐθέλω ἔπος ἄλλο μεταλλῆσαι καὶ ἐρέσθαι
Νέστορ', ἐπεὶ περὶ οἶδε δίκας ἠδὲ φρόνιν ἄλλων·

τρὶς γὰρ δή μίν φασιν ἀνάξασθαι γένε' ἀνδρῶν·
ὥς_τέ μοι ἀθάνατος ἰνδάλλεται εἰσοράασθαι.
◆ ὦ Νέστορ Νηληϊάδη, σὺ δ' ἀληθὲς ἐνίσπες·
πῶς ἔθαν' Ἀτρείδης εὐρὺ κρείων Ἀγαμέμνων;
ποῦ Μενέλαος ἔην; τίνα δ' αὐτῶι μήσατ' ὄλεθρον
Αἴγισθος δολόμητις, ἐπεὶ κτάνε πολλὸν ἀρείω;
ἦ οὐκ Ἄργεος ἦεν Ἀχαιϊκοῦ, ἀλλά πηι ἄλληι
Tel. πλάζετ' ἐπ' ἀνθρώπους, ὁ δὲ θαρσήσας κατέπεφνεν;"
4.71 "φράζεο, Νεστορίδη, τῶμῶι κεχαρισμένε θυμῶι,
χαλκοῦ τε στεροπὴν κατὰ δώματα ἠχήεντα,
χρυσοῦ τ' ἠλέκτρου τε καὶ ἀργύρου ἠδ' ἐλέφαντος.
Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή,
Tel. ὅσσα τάδ' ἄσπετα πολλά· σέβας μ' ἔχει εἰσορόωντα."
4.291 "Ἀτρείδη Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
ἄλγιον· οὐ γάρ οἵ τι τά_γ' ἤρκεσε λυγρὸν ὄλεθρον,
οὐδ' εἴ οἱ κραδίη γε σιδηρέη ἔνδοθεν ἦεν.
ἀλλ' ἄγετ' εἰς εὐνὴν τράπεθ' ἥμεας, ὄφρα καὶ ἤδη
Tel. ὕπνωι ὕπο γλυκερῶι ταρπώμεθα κοιμηθέντες."
4.316 "Ἀτρείδη Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
ἤλυθον, εἴ τινά μοι κληηδόνα πατρὸς ἐνίσποις.
ἐσθίεταί μοι οἶκος, ὄλωλε δὲ πίονα ἔργα,
δυσμενέων δ' ἀνδρῶν πλεῖος δόμος, οἵ_τέ μοι αἰεὶ
μῆλ' ἁδινὰ σφάζουσι καὶ εἰλίποδας ἕλικας βοῦς,
μητρὸς ἐμῆς μνηστῆρες ὑπέρβιον ὕβριν ἔχοντες.
τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέλησθα
κείνου λυγρὸν ὄλεθρον ἐνισπεῖν, εἴ που ὄπωπας
ὀφθαλμοῖσι τεοῖσιν, ἢ ἄλλου μῦθον ἄκουσας
πλαζομένου· περὶ γάρ μιν ὀϊζυρὸν τέκε μήτηρ.
μηδέ τί μ' αἰδόμενος μειλίσσεο μηδ' ἐλεαίρων,
ἀλλ' εὖ μοι κατάλεξον ὅπως ἤντησας ὀπωπῆς.
λίσσομαι, εἴ ποτέ τοί τι πατὴρ ἐμὸς, ἐσθλὸς Ὀδυσσεὺς,
ἢ ἔπος ἠέ τι ἔργον ὑποστὰς ἐξετέλεσσεν
δήμωι ἔνι Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί·
Tel. τῶν νῦν μοι μνῆσαι, καί μοι νημερτὲς ἐνίσπες."
4.594 "Ἀτρείδη, μὴ δή με πολὺν χρόνον ἐνθάδ' ἔρυκε.
καὶ γάρ κ' εἰς ἐνιαυτὸν ἐγὼ παρὰ σοί γ' ἀνεχοίμην
ἥμενος, οὐδέ κέ μ' οἴκου ἕλοι πόθος οὐδὲ τοκήων·
αἰνῶς γὰρ μύθοισιν ἔπεσσί τε σοῖσιν ἀκούων
τέρπομαι. ἀλλ' ἤδη μοι ἀνιάζουσιν ἑταῖροι
ἐν Πύλωι ἠγαθέηι· σὺ δέ με χρόνον ἐνθάδ' ἐρύκεις.
δῶρον δ' ὅττί κέ μοι δοίης, κειμήλιον ἔστω·
ἵππους δ' εἰς Ἰθάκην οὐκ ἄξομαι, ἀλλὰ σοὶ αὐτῶι
ἐνθάδε λείψω ἄγαλμα· σὺ γὰρ πεδίοιο ἀνάσσεις
εὐρέος, ὧι ἔνι μὲν λωτὸς πολὺς, ἐν δὲ κύπειρον
πυροί τε ζειαί τ' ἠδ' εὐρυφυὲς κρῖ λευκόν.
ἐν δ' Ἰθάκηι οὔτ' ἂρ δρόμοι εὐρέες οὔτέ τι λειμών·
αἰγίβοτος, καὶ μᾶλλον ἐπήρατος ἱπποβότοιο.
οὐ γάρ τις νήσων ἱππήλατος οὐδ' εὐλείμων,
Tel. αἵ_θ' ἁλὶ κεκλίαται· Ἰθάκη δέ τε καὶ περὶ πασέων."
15.46 "ἔγρεο, Νεστορίδη Πεισίστρατε, μώνυχας ἵππους
ζεῦξον ὑφ' ἅρματ' ἄγων, ὄφρα πρήσσωμεν ὁδοῖο." Tel.
"Ἀτρείδη Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν, 15.64
ἤδη νῦν μ' ἀπόπεμπε φίλην ἐς πατρίδα γαῖαν·
ἤδη γάρ μοι θυμὸς ἐέλδεται οἴκαδ' ἱκέσθαι." Tel.
"Ἀτρείδη Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν, 15.87
βούλομαι ἤδη νεῖσθαι ἐφ' ἡμέτερ'· οὐ γὰρ ὄπισθεν
οὖρον ἰὼν κατέλειπον ἐπὶ κτεάτεσσιν ἐμοῖσιν·
μὴ πατέρ' ἀντίθεον διζήμενος αὐτὸς ὄλωμαι,
ἤ τί μοι ἐκ μεγάρων κειμήλιον ἐσθλὸν ὄληται." Tel.
"καὶ λίην κείνωι γε, διοτρεφὲς, ὡς ἀγορεύεις, 15.155
πάντα τάδ' ἐλθόντες καταλέξομεν· αἲ γὰρ ἐγὼν ὣς
νοστήσας Ἰθάκηνδε, κιχὼν Ὀδυσῆ' ἐνὶ οἴκωι,
εἴποιμ' ὡς παρὰ σεῖο τυχὼν φιλότητος ἁπάσης
ἔρχομαι, αὐτὰρ ἄγω κειμήλια πολλὰ καὶ ἐσθλά." Tel.
"οὕτω νῦν Ζεὺς θείη, ἐρίγδουπος πόσις Ἥρης· 15.180
τῶι κέν τοι καὶ κεῖθι θεῶι ὣς εὐχετοώιμην." Tel.
"Νεστορίδη, πῶς κέν μοι ὑποσχόμενος τελέσειας 15.195
μῦθον ἐμόν; ξεῖνοι δὲ διαμπερὲς εὐχόμεθ' εἶναι
ἐκ πατέρων φιλότητος, ἀτὰρ καὶ ὁμήλικές εἰμεν·
ἥδε δ' ὁδὸς καὶ μᾶλλον ὁμοφροσύνῃσιν ἐνήσει.
μή με πάρεξ ἄγε νῆα, διοτρεφὲς, ἀλλὰ λίπ' αὐτοῦ,
μή μ' ὁ γέρων ἀέκοντα κατάσχηι ὧι ἐνὶ οἴκωι
ἱέμενος φιλέειν· ἐμὲ δὲ χρεὼ θᾶσσον ἱκέσθαι." Tel.
"ἐγκοσμεῖτε τὰ τεύχε', ἑταῖροι, νηῒ μελαίνηι, 15.218
αὐτοί τ' ἀμβαίνωμεν, ἵνα πρήσσωμεν ὁδοῖο." Tel.
"τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω. 15.266
ἐξ Ἰθάκης γένος εἰμὶ, πατὴρ δέ μοί ἐστιν Ὀδυσσεὺς,
εἴ ποτ' ἔην· νῦν δ' ἤδη ἀπέφθιτο λυγρῶι ὀλέθρωι.
τοὔνεκα νῦν ἑτάρους τε λαβὼν καὶ νῆα μέλαιναν Tel.
ἦλθον πευσόμενος πατρὸς δὴν οἰχομένοιο."
"οὐ μὲν δή σ' ἐθέλοντά γ' ἀπώσω νηὸς ἐΐσης, 15.280
ἀλλ' ἕπευ· αὐτὰρ κεῖθι φιλήσεαι, οἷά κ' ἔχωμεν." Tel.
"ὑμεῖς μὲν νῦν ἄστυδ' ἐλαύνετε νῆα μέλαιναν, 15.503
αὐτὰρ ἐγὼν ἀγροὺς ἐπιείσομαι ἠδὲ βοτῆρας·
ἑσπέριος δ' εἰς ἄστυ ἰδὼν ἐμὰ ἔργα κάτειμι.
ἠῶθεν δέ κεν ὔμμιν ὁδοιπόριον παραθείμην,
δαῖτ' ἀγαθὴν κρειῶν τε καὶ οἴνου ἡδυπότοιο." ◆ Tel.
"ἄλλως μέν σ' ἂν ἐγώ_γε καὶ ἡμέτερόνδε κελοίμην 15.513
ἔρχεσθ'· οὐ γάρ τι ξενίων ποθή· ἀλλὰ σοὶ αὐτῶι
χεῖρον, ἐπεί τοι ἐγὼ μὲν ἀπέσσομαι, οὐδέ σε μήτηρ
ὄψεται· οὐ μὲν γάρ τι θαμὰ μνηστῆρσ' ἐνὶ οἴκωι
φαίνεται, ἀλλ' ἀπὸ τῶν ὑπερωΐωι ἱστὸν ὑφαίνει.
ἀλλά τοι ἄλλον φῶτα πιφαύσκομαι ὅν κεν ἵκοιο,
Εὐρύμαχον, Πολύβοιο δαΐφρονος ἀγλαὸν υἱόν,
τὸν νῦν ἶσα θεῶι Ἰθακήσιοι εἰσορόωσιν·
καὶ γὰρ πολλὸν ἄριστος ἀνὴρ μέμονέν τε μάλιστα
μητέρ' ἐμὴν γαμέειν καὶ Ὀδυσσῆος γέρας ἕξειν.
ἀλλὰ τά_γε Ζεὺς οἶδεν Ὀλύμπιος, αἰθέρι ναίων,
εἴ κέ σφι πρὸ γάμοιο τελευτήσει κακὸν ἦμαρ." Tel.
"αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη· 15.536

τῶι κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
Tel. ἐξ ἐμεῦ, ὥς ἄν τίς σε συναντόμενος μακαρίζοι."
15.540 "Πείραιε Κλυτίδη, σὺ δέ μοι τά περ ἄλλα μάλιστα
πείθηι ἐμῶν ἑτάρων, οἵ μοι Πύλον εἰς ἅμ' ἕποντο·
καὶ νῦν μοι τὸν ξεῖνον ἄγων ἐν δώμασι σοῖσιν
Tel. ἐνδυκέως φιλέειν καὶ τιέμεν, εἰς ὅ κεν ἔλθω."
16.31 ◆ "ἔσσεται οὕτως, ἄττα· σέθεν δ' ἕνεκ' ἐνθάδ' ἱκάνω,
ὄφρα σέ τ' ὀφθαλμοῖσιν ἴδω καὶ μῦθον ἀκούσω,
εἰ μοι ἔτ' ἐν μεγάροις μήτηρ μένει, ἠέ τις ἤδη
ἀνδρῶν ἄλλος ἔγημεν, Ὀδυσσῆος δέ που εὐνὴ
Tel. χήτει ἐνευναίων κάκ' ἀράχνια κεῖται ἔχουσα."
16.44 "ἧσ', ὦ ξεῖν'· ἡμεῖς δὲ καὶ ἄλλοθι δήομεν ἕδρην
Tel. σταθμῶι ἐν ἡμετέρωι· πάρα δ' ἀνὴρ ὃς καταθήσει."
16.57 "ἄττα, πόθεν τοι ξεῖνος ὅδ' ἵκετο, πῶς δέ ἑ ναῦται
ἤγαγον εἰς Ἰθάκην, τίνες ἔμμεναι ηὐχετόωντο;
Tel. οὐ μὲν γάρ τί ἑ πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι."
16.69 "Εὔμαι', ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες·
πῶς γὰρ δὴ τὸν ξεῖνον ἐγὼν ὑποδέξομαι οἴκωι;
αὐτὸς μὲν νέος εἰμὶ καὶ οὔ πω χερσὶ πέποιθα
ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνηι·
μητρὶ δέ μοι δίχα θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει,
ἢ αὐτοῦ παρ' ἐμοί τε μένηι καὶ δῶμα κομίζηι,
εὐνήν τ' αἰδομένη πόσιος δήμοιό τε φῆμιν,
ἦ ἤδη ἅμ' ἕπηται Ἀχαιῶν ὅς τις ἄριστος
μνᾶται ἐνὶ μεγάροισιν ἀνὴρ καὶ πλεῖστα πόρησιν.
ἀλλ' ἤτοι τὸν ξεῖνον, ἐπεὶ τεὸν ἵκετο δῶμα,
ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλὰ,
δώσω δὲ ξίφος ἄμφηκες καὶ ποσσὶ πέδιλα,
πέμψω δ' ὅππηι μιν κραδίη θυμός τε κελεύει.
εἰ δ' ἐθέλεις, σὺ κόμισσον ἐνὶ σταθμοῖσιν ἐρύξας·
εἵματα δ' ἐνθάδ' ἐγὼ πέμψω καὶ σῖτον ἅπαντα
ἔδμεναι, ὡς ἂν μή σε κατατρύχηι καὶ ἑταίρους.
κεῖσε δ' ἂν οὔ μιν ἐγώ γε μετὰ μνηστῆρας ἐῶιμι
ἔρχεσθαι· λίην γὰρ ἀτάσθαλον ὕβριν ἔχουσιν·
μή μιν κερτομέωσιν, ἐμοὶ δ' ἄχος ἔσσεται αἰνόν.
πρῆξαι δ' ἀργαλέον τι μετὰ πλεόνεσσιν ἐόντα
Tel. ἄνδρα καὶ ἴφθιμον, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσιν."
16.113 "τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω.
οὔτε τί μοι πᾶς δῆμος ἀπεχθόμενος χαλεπαίνει,
οὔτε κασιγνήτοις ἐπιμέμφομαι, οἷσί περ ἀνὴρ
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.
ὧδε γὰρ ἡμετέρην γενεὴν μούνωσε Κρονίων·
μοῦνον Λαέρτην Ἀρκείσιος υἱὸν ἔτικτεν,
μοῦνον δ' αὖτ' Ὀδυσῆα πατὴρ τέκεν· αὐτὰρ Ὀδυσσεὺς
μοῦνον ἔμ' ἐν μεγάροισι τεκὼν λίπεν οὐδ' ἀπόνητο.
τῶι νῦν δυσμενέες μάλα μυρίοι εἴσ' ἐνὶ οἴκωι·
ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίωι τε Σάμηι τε καὶ ὑλήεντι Ζακύνθωι,
ἠδ' ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν,
τόσσοι μητέρ' ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον.
ἡ δ' οὔτ' ἀρνεῖται στυγερὸν γάμον οὔτε τελευτὴν
ποιῆσαι δύναται· τοί δὲ φθινύθουσιν ἔδοντες
οἶκον ἐμόν· τάχα δή με διαρραίσουσι καὶ αὐτόν.
ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·
ἄττα, σὺ δ' ἔρχεο θᾶσσον, ἐχέφρονι Πηνελοπείηι
εἴφ' ὅτι οἱ σῶς εἰμὶ καὶ ἐκ Πύλου εἰλήλουθα. ◆
αὐτὰρ ἐγὼν αὐτοῦ μενέω, σὺ δὲ δεῦρο νέεσθαι,
οἴηι ἀπαγγείλας· τῶν δ' ἄλλων μή τις Ἀχαιῶν
πευθέσθω· πολλοὶ γάρ ἐμοὶ κακὰ μηχανόωνται." Tel.
"ἄλγιον, ἀλλ' ἔμπης μιν ἐάσομεν, ἀχνύμενοί περ· 16.147
εἰ γάρ πως εἴη αὐτάγρετα πάντα βροτοῖσιν,
πρῶτόν κεν τοῦ πατρὸς ἑλοίμεθα νόστιμον ἦμαρ.
ἀλλὰ σύ γ' ἀγγείλας ὀπίσω κίε, μηδὲ κατ' ἀγροὺς
πλάζεσθαι μετ' ἐκεῖνον· ἀτὰρ πρὸς μητέρα εἰπεῖν
ἀμφίπολον ταμίην ὀτρυνέμεν ὅττι τάχιστα
κρύβδην· κείνη γάρ κεν ἀπαγγείλειε γέροντι." Tel.
"ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἠὲ πάροιθεν, 16.181
ἄλλα δὲ εἵματ' ἔχεις, καὶ τοι χρὼς οὐκέθ' ὁμοῖος.
ἦ μάλα τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν·
ἀλλ' ἵληθ', ἵνα τοι κεχαρισμένα δώομεν ἱρὰ
ἠδὲ χρύσεα δῶρα, τετυγμένα· φείδεο δ' ἡμέων." Tel.
"οὐ σύ γ' Ὀδυσσεύς ἐσσι, πατὴρ ἐμὸς, ἀλλά με δαίμων 16.194
θέλγεις, ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στοναχίζω.
οὐ γάρ πως ἂν θνητὸς ἀνὴρ τάδε μηχανόωιτο
ὧι αὐτοῦ γε νόωι, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν
ῥηϊδίως ἐθέλων θείη νέον ἠὲ γέροντα.
ἦ γάρ τοι νέον ἦσθα γέρων καὶ ἀεικέα ἕσσο· Tel.
νῦν δὲ θεοῖσιν ἔοικας, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν."
"ποίηι γὰρ νῦν δεῦρο, πάτερ φίλε, νηΐ σε ναῦται 16.222
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι ηὐχετόωντο;
οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι." Tel.
"ὦ πάτερ, ἤτοι σεῖο μέγα κλέος αἰὲν ἄκουον, 16.241
χεῖράς τ' αἰχμητὴν ἔμεναι καὶ ἐπίφρονα βουλήν·
ἀλλὰ λίην μέγα εἶπες· ἄγη μ' ἔχει· οὐδὲ κεν εἴη
ἄνδρε δύω πολλοῖσι καὶ ἰφθίμοισι μάχεσθαι.
μνηστήρων δ' οὔτ' ἂρ δεκὰς ἀτρεκὲς οὐδὲ δύ' οἶαι,
ἀλλὰ πολὺ πλέονες· τάχα δ' εἴσεαι ἐνθάδ' ἀριθμόν.
ἐκ μὲν Δουλιχίοιο δύω καὶ πεντήκοντα
κοῦροι κεκριμένοι, ἓξ δὲ δρηστῆρες ἕπονται·
ἐκ δὲ Σάμης πίσυρές τε καὶ εἴκοσι φῶτες ἔασιν,
ἐκ δὲ Ζακύνθου ἔασιν ἐείκοσι κοῦροι Ἀχαιῶν,
ἐκ δ' αὐτῆς Ἰθάκης δυοκαίδεκα πάντες ἄριστοι,
καί σφιν ἅμ' ἐστὶ Μέδων κῆρυξ καὶ θεῖος ἀοιδὸς
καὶ δοιὼ θεράποντε, δαήμονε δαιτροσυνάων.
τῶν εἴ κεν πάντων ἀντήσομεν ἔνδον ἐόντων,
μὴ πολύπικρα καὶ αἰνὰ βίας ἀποτείσεαι ἐλθών.
ἀλλὰ σύ γ', εἰ δύνασαί τιν' ἀμύντορα μερμηρίξαι,
φράζευ, ὅ κέν τις νῶϊν ἀμύνοι πρόφρονι θυμῶι." Tel.
"ἐσθλώ τοι τούτω γ' ἐπαμύντορε, τοὺς ἀγορεύεις, 16.263
ὕψι περ ἐν νεφέεσσι καθημένω· ὥ τε καὶ ἄλλοις

Tel. ἀνδράσι τε κρατέουσι καὶ ἀθανάτοισι θεοῖσιν."
16.309 "ὦ πάτερ, ἤτοι ἐμὸν θυμὸν καὶ ἔπειτά γ', ὀΐω,
γνώσεαι· οὐ μὲν γάρ τι χαλιφροσύναι γέ μ' ἔχουσιν·
ἀλλ' οὔ τοι τό γε κέρδος ἐγὼν ἔσσεσθαι ὀΐω
ἡμῖν ἀμφοτέροισι· σὲ δὲ φράζεσθαι ἄνωγα.
δηθὰ γὰρ αὔτως εἴσηι ἑκάστου πειρητίζων,
ἔργα μετερχόμενος· τοὶ δ' ἐν μεγάροισιν ἕκηλοι
χρήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ' ἔπι φειδώ.
ἀλλ' ἤτοί σε γυναῖκας ἐγὼ δεδάασθαι ἄνωγα,
αἵ τέ σ' ἀτιμάζουσι καὶ αἳ νηλείτιές εἰσιν·
ἀνδρῶν δ' οὐκ ἂν ἐγώ γε κατὰ σταθμοὺς ἐθέλοιμι
Tel. ἡμέας πειράζειν, ἀλλ' ὕστερα ταῦτα πένεσθαι,
εἰ ἐτεόν γέ τι οἶσθα Διὸς τέρας αἰγιόχοιο."
16.461 "ἦλθες, δῖ' Εὔμαιε. τί δὴ κλέος ἔστ' ἀνὰ ἄστυ;
ἦ ῥ' ἤδη μνηστῆρες ἀγήνορες ἔνδον ἔασιν
Tel. ἐκ λόχου, ἦ ἔτι μ' αὖθ' εἰρύαται οἴκαδ' ἰόντα;"
17.6 ✦ "ἄττ', ἤτοι μὲν ἐγὼν εἶμ' ἐς πόλιν, ὄφρα με μήτηρ
ὄψεται· οὐ γάρ μιν πρόσθεν παύσεσθαι ὀΐω
κλαυθμοῦ τε στυγεροῖο γόοιό τε δακρυόεντος,
πρίν γ' αὐτόν με ἴδηται· ἀτὰρ σοί γ' ὧδ' ἐπιτέλλω.
τὸν ξεῖνον δύστηνον ἄγ' ἐς πόλιν, ὄφρ' ἂν ἐκεῖθι
δαῖτα πτωχεύηι· δώσει δέ οἱ ὅς κ' ἐθέλησιν
πύρνον καὶ κοτύλην. ἐμὲ δ' οὔ πως ἔστιν ἅπαντας
ἀνθρώπους ἀνέχεσθαι, ἔχοντά περ ἄλγεα θυμῶι.
ὁ ξεῖνος δ' εἴ περ μάλα μηνίει, ἄλγιον αὐτῶι
Tel. ἔσσεται· ἦ γὰρ ἐμοὶ φίλ' ἀληθέα μυθήσασθαι."
17.46 "μῆτερ ἐμή, μή μοι γόον ὄρνυθι μηδέ μοι ἦτορ
ἐν στήθεσσιν ὄρινε φυγόντι περ αἰπὺν ὄλεθρον·
ἀλλ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα,
εἰς ὑπερῶι' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
εὔχεο πᾶσι θεοῖσι τεληέσσας ἑκατόμβας
ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσηι.
αὐτὰρ ἐγὼν ἀγορήνδε ἐλεύσομαι, ὄφρα καλέσσω
ξεῖνον, ὅ τίς μοι κεῖθεν ἅμ' ἕσπετο δεῦρο κιόντι.
τὸν μὲν ἐγὼ προὔπεμψα σὺν ἀντιθέοις ἑτάροισιν,
Πείραιον δέ μιν ἠνώγεα προτὶ οἶκον ἄγοντα
Tel. ἐνδυκέως φιλέειν καὶ τιέμεν, εἰς ὅ κεν ἔλθω."
17.78 "Πείραι', οὐ γάρ τ' ἴδμεν ὅπως ἔσται τάδε ἔργα.
εἴ κεν ἐμὲ μνηστῆρες ἀγήνορες ἐν μεγάροισιν
λάθρηι κτείναντες πατρώϊα πάντα δάσωνται,
αὐτὸν ἔχοντα σε βούλομ' ἐπαυρέμεν, ἤ τινα τῶνδε·
εἰ δέ κ' ἐγὼ τούτοισι φόνον καὶ Κῆρα φυτεύσω,
Tel. δὴ τότε μοι χαίροντι φέρειν πρὸς δώματα χαίρων."
17.108 "τοιγὰρ ἐγώ τοι, μῆτερ, ἀληθείην καταλέξω.
ᾠχόμεθ' ἔς τε Πύλον καὶ Νέστορα, ποιμένα λαῶν·
δεξάμενος δέ με κεῖνος ἐν ὑψηλοῖσι δόμοισιν
ἐνδυκέως ἐφίλει, ὡς εἴ τε πατὴρ ἑὸν υἱὸν
ἐλθόντα χρόνιον νέον ἄλλοθεν· ὣς ἐμὲ κεῖνος
ἐνδυκέως ἐκόμιζε σὺν υἱάσι κυδαλίμοισιν.
αὐτὰρ Ὀδυσσῆος ταλασίφρονος οὔ ποτ' ἔφασκεν,
ζωοῦ οὐδὲ θανόντος, ἐπιχθονίων τε' ἀκοῦσαι·
ἀλλά μ' ἐς Ἀτρεΐδην, δουρικλειτὸν Μενέλαον,
ἵπποισι προὔπεμψε καὶ ἅρμασι κολλητοῖσιν.
ἔνθ' ἴδον Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλὰ
Ἀργεῖοι Τρῶές τε θεῶν ἰότητι μόγησαν.
εἴρετο δ' αὐτίκ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος
ὅττευ χρηΐζων ἱκόμην Λακεδαίμονα δῖαν·
αὐτὰρ ἐγὼ τῶι πᾶσαν ἀληθείην κατέλεξα·
καὶ τότε δή μ' ἐπέεσσιν ἀμειβόμενος προσέειπεν·
'ὢ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῆι
ἤθελον εὐνηθῆναι, ἀνάλκιδες αὐτοὶ ἐόντες.
ὡς δ' ὁπότ' ἐν ξυλόχωι ἔλαφος κρατεροῖο λέοντος
νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνοὺς
κνημοὺς ἐξερέηισι καὶ ἄγκεα ποιήεντα
βοσκομένη, ὁ δ' ἔπειτα ἑὴν εἰσήλυθεν εὐνήν,
ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν,
ὣς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοῖος ἐὼν οἷός ποτ' ἐϋκτιμένηι ἐνὶ Λέσβωι
ἐξ ἔριδος Φιλομηλεΐδηι ἐπάλαισεν ἀναστάς,
κὰδ δ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί,
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
πάντές κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
ταῦτα δ' ἅ μ' εἰρωτᾶις καὶ λίσσεαι, οὐκ ἂν ἐγώ γε
ἄλλα παρὲξ εἴποιμι παρακλιδὸν οὐδ' ἀπατήσω,
ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἅλιος νημερτής,
τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος οὐδ' ἐπικεύσω.
φῆ μιν ὅ γ' ἐν νήσωι ἰδέειν κρατέρ' ἄλγε' ἔχοντα,
νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκηι
ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι.
οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.'
ὣς ἔφατ' Ἀτρεΐδης, δουρικλειτὸς Μενέλαος.
ταῦτα τελευτήσας νεόμην· ἔδοσαν δέ μοι οὖρον
ἀθάνατοι, τοί μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν." Tel.
"δὸς τῶι ξείνωι ταῦτα φέρων, αὐτόν τε κέλευε 17.345
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένωι ἀνδρὶ παρεῖναι." Tel.
"σίγα, μή μοι τοῦτον ἀμείβεο πόλλ' ἐπέεσσιν· 17.393
Ἀντίνοος δ' εἴωθε κακῶς ἐρεθιζέμεν αἰεὶ
μύθοισιν χαλεποῖσιν, ἐποτρύνει δὲ καὶ ἄλλους." Tel.
"Ἀντίνο', ἦ μευ καλὰ πατὴρ ὣς κήδεαι υἷος, 17.397
ὃς τὸν ξεῖνον ἄνωγας ἀπὸ μεγάροιο δίεσθαι
μύθωι ἀναγκαίωι· μὴ τοῦτο θεὸς τελέσειεν.
δός οἱ ἑλών· οὔ τοι φθονέω· κέλομαι γὰρ ἐγώ γε
μήτ' οὖν μητέρ' ἐμὴν ἄζεο τό γε μήτέ τιν' ἄλλον
δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
ἀλλ' οὔ τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα·
αὐτὸς γὰρ φαγέμεν πολὺ βούλεαι ἢ δόμεν ἄλλωι." Tel.
"ἔσσεται οὕτως, ἄττα. σὺ δ' ἔρχεο δειελιήσας· 17.599

ἠῶθεν δ' ἰέναι καὶ ἄγειν ἱερήϊα καλά·
Tel. αὐτὰρ ἐμοὶ τάδε πάντα καὶ ἀθανάτοισι μελήσει."
18.61 "ξεῖν', εἴ σ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ
τοῦτον ἀλέξασθαι, τῶν δ' ἄλλων μή_τιν' Ἀχαιῶν
δείδιθ', ἐπεὶ πλεόνεσσι μαχήσεται ὅς κέ σε θείνηι·
ξεινοδόκος μὲν ἐγών, ἐπὶ δ' αἰνεῖτον βασιλῆες,
Tel. Ἀντίνοος τε καὶ Εὐρύμαχός, πεπνυμένω ἄμφω."
18.227 "μῆτερ ἐμή, τὸ μὲν οὔ σε νεμεσσῶμαι κεχολῶσθαι·
◆ αὐτὰρ ἐγὼ θυμῶι νοέω καὶ οἶδα ἕκαστα,
ἐσθλά τε καὶ τὰ χέρεια· πάρος δ' ἔτι νήπιος ἦα.
ἀλλά τοι οὐ δύναμαι πεπνυμένα πάντα νοῆσαι·
ἐκ γάρ με πλήσσουσι παρήμενοι ἄλλοθεν ἄλλος
οἵδε κακὰ φρονέοντες, ἐμοὶ δ' οὐκ εἰσὶν ἀρωγοί.
οὐ μέν τοι ξείνου γε καὶ Ἴρου μῶλος ἐτύχθη
μνηστήρων ἰότητι, βίηι δ' ὅ_γε φέρτερος ἦεν.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
οὕτω νῦν μνηστῆρες ἐν ἡμετέροισι δόμοισιν
νεύοιεν κεφαλὰς δεδμημένοι, οἱ μὲν ἐν αὐλῆι,
οἱ δ' ἔντοσθε δόμοιο, λελῦντο δὲ γυῖα ἑκάστου,
ὡς νῦν Ἶρος ἐκεῖνος ἐπ' αὐλείηισι θύρηισιν
ἧσται νευστάζων κεφαλῆι, μεθύοντι ἐοικώς,
οὐδ' ὀρθὸς στῆναι δύναται ποσὶν οὐδὲ νέεσθαι
Tel. οἴκαδ', ὅπηι οἱ νόστος, ἐπεὶ φίλα γυῖα λέλυνται."
18.406 "δαιμόνιοι, μαίνεσθε καὶ οὐκέτι κεύθετε θυμῶι
βρωτὺν οὐδὲ ποτῆτα· θεῶν νύ τις ὔμμ' ὀροθύνει.
ἀλλ' εὖ δαισάμενοι κατακείετε οἴκαδ' ἰόντες,
Tel. ὁππότε θυμὸς ἄνωγε· διώκω δ' οὔ_τιν' ἐγώ_γε."
19.16 "μαῖ', ἄγε δή μοι ἔρυξον ἐνὶ μεγάροισι γυναῖκας,
ὄφρα κεν ἐς θάλαμον καταθείομαι ἔντεα πατρὸς
καλά, τά μοι κατὰ οἶκον ἀκηδέα καπνὸς ἀμέρδει
Tel. πατρὸς ἀποιχομένοιο· ἐγὼ δ' ἔτι νήπιος ἦα.
νῦν δ' ἐθέλω καταθέσθαι, ἵν' οὐ πυρὸς ἵξετ' ἀϋτμή."
19.27 "ξεῖνος ὅδ'· οὐ γὰρ ἀεργὸν ἀνέξομαι ὅς κεν ἐμῆς γε
Tel. χοίνικος ἅπτηται, καὶ τηλόθεν εἰληλουθώς."
19.36 "ὦ πάτερ, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι.
ἔμπης μοι τοῖχοι μεγάρων καλαί τε μεσόδμαι,
εἰλάτιναί τε δοκοί, καὶ κίονες ὑψόσ' ἔχοντες
Tel. φαίνοντ' ὀφθαλμοῖς ὡς_εἰ πυρὸς αἰθομένοιο.
ἦ μάλα τις θεὸς ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν."
20.129 "μαῖα φίλη, πῶς ξεῖνον ἐτιμήσασθ' ἐνὶ οἴκωι
εὐνῆι καὶ σίτωι, ἦ αὔτως κεῖται ἀκηδής;
τοιαύτη γὰρ ἐμὴ μήτηρ, πινυτή περ ἐοῦσα·
ἐμπλήγδην ἕτερόν γε τίει μερόπων ἀνθρώπων
Tel. χείρονα, τὸν δέ τ' ἀρείον' ἀτιμήσασ' ἀποπέμπει."
20.262 "ἐνταυθοῖ νῦν ἧσο μετ' ἀνδράσιν οἰνοποτάζων·
κερτομίας δέ τοι αὐτὸς ἐγὼ καὶ χεῖρας ἀφέξω
πάντων μνηστήρων, ἐπεὶ οὔ τοι δήμιός ἐστιν
οἶκος ὅδ', ἀλλ' Ὀδυσῆος, ἐμοὶ δ' ἐκτήσατο κεῖνος.
ὑμεῖς δέ, μνηστῆρες, ἐπίσχετε θυμὸν ἐνιπῆς
καὶ χειρῶν, ἵνα μή τις ἔρις καὶ νεῖκος ὄρηται."

"Κτήσιππ', ἦ μάλα τοι τόδε κέρδιον ἔπλετο θυμῶι· 20.304
οὐκ ἔβαλες τὸν ξεῖνον· ἀλεύατο γὰρ βέλος αὐτός.
ἦ γάρ κέν σε μέσον βάλον ἔγχεϊ ὀξυόεντι,
καί κέ τοι ἀντὶ γάμοιο πατὴρ τάφον ἀμφεπονεῖτο
ἐνθάδε. τῶι μή τίς μοι ἀεικείας ἐνὶ οἴκωι
φαινέτω· ἤδη γὰρ νοέω καὶ οἶδα ἕκαστα,
ἐσθλά τε καὶ τὰ χέρεια· πάρος δ' ἔτι νήπιος ἦα.
ἀλλ' ἔμπης τάδε μὲν καὶ τέτλαμεν εἰσορόωντες,
μήλων σφαζομένων οἴνοιό τε πινομένοιο
καὶ σίτου· χαλεπὸν γὰρ ἐρυκακέειν ἕνα πολλούς.
ἀλλ' ἄγε μηκέτι μοι κακὰ ῥέζετε δυσμενέοντες·
εἰ δ' ἤδη μ' αὐτὸν κτεῖναι μενεαίνετε χαλκῶι,
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη
τεθνάμεν ἢ τάδε γ' αἰὲν ἀεικέα ἔργ' ὁράασθαι,
ξείνους τε στυφελιζομένους δμωιάς τε γυναῖκας
ῥυστάζοντας ἀεικελίως κατὰ δώματα καλά." Tel.
"οὐ μὰ Ζῆν', Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο, 20.339
ὅς που τῆλ' Ἰθάκης ἢ ἔφθιται ἢ ἀλάληται,
οὔ_τι διατρίβω μητρὸς γάμον, ἀλλὰ κελεύω
γήμασθ' ὧι κ' ἐθέληι, ποτὶ δ' ἄσπετα δῶρα δίδωμι.
αἰδέομαι δ' ἀέκουσαν ἀπὸ μεγάροιο δίεσθαι
μύθωι ἀναγκαίωι· μὴ τοῦτο θεὸς τελέσειεν." ◆ Tel.
"ὢ πόποι, ἦ μάλα με Ζεὺς ἄφρονα θῆκε Κρονίων· 21.102
μήτηρ μέν μοί φησι φίλη, πινυτή περ ἐοῦσα,
ἄλλωι ἅμ' ἕψεσθαι νοσφισσαμένη τόδε δῶμα·
αὐτὰρ ἐγὼ γελόω καὶ τέρπομαι ἄφρονι θυμῶι.
ἀλλ' ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ' ἄεθλον,
οἵη νῦν οὐκ ἔστι γυνὴ κατ' Ἀχαιΐδα γαῖαν,
οὔτε Πύλου ἱερῆς οὔτ' Ἄργεος οὔτε Μυκήνης·
οὔτ' αὐτῆς Ἰθάκης οὔτ' ἠπείροιο μελαίνης·
καὶ δ' αὐτοὶ τόδε γ' ἴστε· τί με χρὴ μητέρος αἴνου;
ἀλλ' ἄγε μὴ μύνηισι παρέλκετε μηδ' ἔτι τόξου
δηρὸν ἀποτρωπᾶσθε τανυστύος, ὄφρα ἴδωμεν.
καὶ δέ κεν αὐτὸς ἐγὼ τοῦ τόξου πειρησαίμην·
εἰ δέ κεν ἐντανύσω διοϊστεύσω τε σιδήρου,
οὔ κέ μοι ἀχνυμένωι τάδε δώματα πότνια μήτηρ
λείποι ἅμ' ἄλλωι ἰοῦσ', ὅτ' ἐγὼ κατόπισθε λιποίμην
οἷός τ' ἤδη πατρὸς ἀέθλια κάλ' ἀνελέσθαι." Tel.
"ὢ πόποι, ἦ καὶ ἔπειτα κακός τ' ἔσομαι καὶ ἄκικυς, 21.131
ἠὲ νεώτερός εἰμι καὶ οὔ_πω χερσὶ πέποιθα
ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνηι.
ἀλλ' ἄγεθ', οἵ_περ ἐμεῖο βίηι προφερέστεροί ἐστε, ◆
τόξου πειρήσασθε, καὶ ἐκτελέωμεν ἄεθλον." Tel.
"μῆτερ ἐμή, τόξον μὲν Ἀχαιῶν οὔ_τις ἐμεῖο 21.344
κρείσσων, ὧι κ' ἐθέλω, δόμεναί τε καὶ ἀρνήσασθαι,
οὔθ' ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν,
οὔθ' ὅσσοι νήσοισι πρὸς Ἤλιδος ἱπποβότοιο·
τῶν οὔ_τις μ' ἀέκοντα βιήσεται, αἴ κ' ἐθέλωμι
καὶ καθάπαξ ξείνωι δόμεναι τάδε τόξα φέρεσθαι.
ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σ' αὐτῆς ἔργα κόμιζε,

ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι· τόξον δ' ἄνδρεσσι μελήσει
Tel. πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ οἴκωι."
21.369 "ἄττα, πρόσω φέρε τόξα· τάχ' οὐκ εὖ πᾶσι πιθήσεις·
μή σε καὶ ὁπλότερός περ ἐὼν ἀγρόνδε δίωμαι,
βάλλων χερμαδίοισι· βίηφι δὲ φέρτερός εἰμι.
αἲ γὰρ πάντων τόσσον, ὅσοι κατὰ δώματ' ἔασιν,
μνηστήρων χερσίν τε βίηφί τε φέρτερος εἴην·
τῶι κε τάχα στυγερῶς τιν' ἐγὼ πέμψαιμι νέεσθαι
Tel. ἡμετέρου ἐξ οἴκου, ἐπεὶ κακὰ μηχανόωνται."
21.381 "Τηλέμαχος κέλεταί σε, περίφρων Εὐρύκλεια,
κληῗσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας,
ἢν δέ τις ἢ στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσηι
ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μή_τι θύραζε
Tel. προβλώσκειν, ἀλλ' αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἔργωι."
22.101 ✦ "ὦ πάτερ, ἤδη τοι σάκος οἴσω καὶ δύο δοῦρε
καὶ κυνέην πάγχαλκον, ἐπὶ κροτάφοις ἀραρυῖαν,
αὐτός τ' ἀμφιβαλεῦμαι ἰών, δώσω δὲ συβώτηι
Tel. καὶ τῶι βουκόλωι ἄλλα· τετευχῆσθαι γὰρ ἄμεινον."
22.154 "ὦ πάτερ, αὐτὸς ἐγὼ τόδε γ' ἤμβροτον — οὐδέ τις ἄλλος
αἴτιος — ὃς θαλάμοιο θύρην πυκινῶς ἀραρυῖαν
κάλλιπον ἀγκλίνας· τῶν δὲ σκοπὸς ἦεν ἀμείνων.
ἀλλ' ἴθι, δῖ' Εὔμαιε, θύρην ἐπίθες θαλάμοιο
καὶ φράσαι ἤ τις ἄρ' ἐστὶ γυναικῶν ἣ τάδε ῥέζει,
Tel. ἢ υἱὸς Δολίοιο Μελανθεύς, τόν_περ ὀΐω."
22.356 "ἴσχεο, μηδέ τι τοῦτον ἀναίτιον οὔταε χαλκῶι·
καὶ κήρυκα Μέδοντα σαώσομεν, ὅς_τ'_ἐμέ_ αἰεὶ
οἴκωι ἐν ἡμετέρωι κηδέσκετο παιδὸς ἐόντος,
Tel. εἰ δὴ μή μιν ἔπεφνε Φιλοίτιος ἠὲ συβώτης,
ἠὲ σοὶ ἀντεβόλησεν ὀρινομένωι κατὰ δῶμα."
22.395 "δεῦρο δὴ ὄρσο, γρηῢ παλαιγενές, ἥ_τε γυναικῶν
δμωιάων σκοπός ἐσσι κατὰ μέγαρ' ἡμετεράων·
Tel. ἔρχεο· κικλήσκει σε πατὴρ ἐμός, ὄφρα τι εἴπηι."
22.462 "μὴ μὲν δὴ καθαρῶι θανάτωι ἀπὸ θυμὸν ἑλοίμην
τάων, αἳ δὴ ἐμῆι κεφαλῆι κατ' ὀνείδεα χεῦαν
Tel. μητέρι θ' ἡμετέρηι παρά τε μνηστῆρσιν ἴαυον."
23.97 "μῆτερ ἐμή, δύσμητερ, ἀπηνέα θυμὸν ἔχουσα,
τίφθ' οὕτω πατρὸς νοσφίζεαι, οὐδὲ παρ' αὐτὸν
ἑζομένη μύθοισιν ἀνείρεαι οὐδὲ μεταλλᾶις;
οὐ μέν κ' ἄλλη γ' ὧδε γυνὴ τετληότι θυμῶι
ἀνδρὸς ἀφεσταίη, ὅς οἱ κακὰ πολλὰ μογήσας
ἔλθοι ἐεικοστῶι ἔτεϊ ἐς πατρίδα γαῖαν·
Tel. σοὶ δ' αἰεὶ κραδίη στερεωτέρη ἐστὶ λίθοιο."
23.124 "αὐτὸς ταῦτά γε λεῦσσε, πάτερ φίλε· σὴν γὰρ ἀρίστην
μῆτιν ἐπ' ἀνθρώπους φάσ' ἔμμεναι, οὐδέ κέ τίς τοι
ἄλλος ἀνὴρ ἐρίσειε καταθνητῶν ἀνθρώπων.
ἡμεῖς δὲ μεμαῶτες ἅμ' ἑψόμεθ', οὐδέ τί φημι
Tel. ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστιν."
24.511 "ὄψεαι, αἴ κ' ἐθέληισθα, πάτερ φίλε, τῶιδ' ἐπὶ θυμῶι
Tel. οὔ_τι καταισχύνοντα τεὸν γένος, ὡς ἀγορεύεις."

language: Homeric Greek

copy text: Dindorf (Teubner 1877)

typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 6 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF ITHAKAN GARDENER-SLAVE DOLIOS IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

“ὦ φίλ’, ἐπεὶ νόστησας ἐελδομένοισι μάλ’ ἡμῖν
οὐδ’ ἔτ’ ὀϊομένοισι, θεοὶ δέ σε ἤγαγον αὐτοί,
οὖλέ τε καὶ μέγα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν.
καί μοι τοῦτ’ ἀγόρευσον ἐτήτυμον, ὄφρ’ <u>εὖ</u> εἴδω,
<u>ἦ</u> ἤδη σάφα οἶδε περίφρων Πηνελόπεια
Dolios νοστήσαντά σε δεῦρ’, <u>ἦ</u> ἄγγελον ὀτρύνωμεν;”

“ὦ φίλ’, ἐπεὶ νόστησας ἐελδομένοισι μάλ’ ἡμῖν
οὐδ’ ἔτ’ ὀϊομένοισι, θεοὶ δέ σε ἤγαγον αὐτοί,
οὖλέ τε καὶ μέγα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν.
καί μοι τοῦτ’ ἀγόρευσον ἐτήτυμον, ὄφρ’ <u>εὖ</u> εἴδω,
<u>ἦ</u> ἤδη σάφα οἶδε περίφρων Πηνελόπεια
νοστήσαντά σε δεῦρ’, <u>ἦ</u> ἄγγελον ὀτρύνωμεν;” Dolios

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 411 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF THE SWINEHERD EUMAEUS IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

14.37 “ὦ γέρον, ἦ ὀλίγου σε κύνες διεδηλήσαντο
ἐξαπίνης, καί κέν μοι ἐλεγχείην κατέχευας.
καὶ δέ μοι ἄλλα θεοὶ δόσαν ἄλγεά τε στοναχάς τε·
ἀντιθέου γὰρ ἄνακτος ὀδυρόμενος καὶ ἀχεύων
ἧμαι, ἄλλοισιν δὲ σύας σιάλους ἀτιτάλλω
ἔδμεναι· αὐτὰρ κεῖνος ἐελδόμενός που ἐδωδῆς
πλάζετ᾽ ἐπ᾽ ἀλλοθρόων ἀνδρῶν δῆμόν τε πόλιν τε,
εἴ που ἔτι ζώει καὶ ὁρᾶι φάος ἠελίοιο.
ἀλλ᾽ ἕπεο, κλισίηνδ᾽ ἴομεν, γέρον, ὄφρα καὶ αὐτὸς,
σίτου καὶ οἴνοιο κορεσσάμενος κατὰ θυμὸν,
Eumaeus εἴπηις ὁππόθεν ἐσσὶ καὶ ὁππόσα κήδε᾽ ἀνέτλης.”
14.56 “ξεῖν᾽, οὔ μοι θέμις ἔστ᾽, οὐδ᾽ εἰ κακίων σέθεν ἔλθοι,
ξεῖνον ἀτιμῆσαι· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
ξεῖνοί τε πτωχοί τε· δόσις δ᾽ ὀλίγη τε φίλη τε
γίγνεται ἡμετέρη· ἡ γὰρ δμώων δίκη ἐστὶν
αἰεὶ δειδιότων, ὅτ᾽ ἐπικρατέωσιν ἄνακτες
οἱ νέοι. ἦ γὰρ τοῦ_γε θεοὶ κατὰ νόστον ἔδησαν,
ὅς κεν ἔμ᾽ ἐνδυκέως ἐφίλει καὶ κτῆσιν ὄπασσεν,
οἷά τε ὧι οἰκῆϊ ἄναξ εὔθυμος ἔδωκεν,
οἶκόν τε κλῆρόν τε πολυμνήστην τε γυναῖκα,
ὅς οἱ πολλὰ κάμησι, θεὸς δ᾽ ἐπὶ ἔργον ἀέξηι,
ὡς καὶ ἐμοὶ τόδε ἔργον ἀέξεται, ὧι ἐπιμίμνω.
τῶι κέ με πόλλ᾽ ὤνησεν ἄναξ, εἰ αὐτόθ᾽ ἐγήρα·
ἀλλ᾽ ὄλεθ᾽ — ὡς ὤφελλ᾽ Ἑλένης ἀπὸ φῦλον ὀλέσθαι
πρόχνυ, ἐπεὶ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ᾽ ἔλυσεν·
καὶ γὰρ κεῖνος ἔβη Ἀγαμέμνονος εἵνεκα τιμῆς
Eumaeus Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο.”
14.80 “ἔσθιε νῦν, ὦ ξεῖνε, τά_τε δμώεσσι πάρεστιν,
χοίρε᾽· ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν,
οὐκ ὄπιδα φρονέοντες ἐνὶ φρεσὶν οὐδ᾽ ἐλεητύν.
οὐ μὲν σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν,
ἀλλὰ δίκην τίουσι καὶ αἴσιμα ἔργ᾽ ἀνθρώπων.
καὶ μὲν δυσμενέες καὶ ἀνάρσιοι, οἵ_τ᾽ ἐπὶ γαίης
ἀλλοτρίης βῶσιν καί σφι Ζεὺς ληΐδα δώηι,
πλησάμενοι δέ τε νῆας ἔβαν οἶκόνδε νέεσθαι,
καὶ μὲν τοῖς ὄπιδος κρατερὸν δέος ἐν φρεσὶ πίπτει.
οἵδε δέ τοι ἴσασι, θεοῦ δέ τιν᾽ ἔκλυον αὐδὴν,
κείνου λυγρὸν ὄλεθρον, ὅ_τ᾽ οὐκ ἐθέλουσι δικαίως
μνᾶσθαι οὐδὲ νέεσθαι ἐπὶ σφέτερ᾽, ἀλλὰ ἕκηλοι
κτήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ᾽ ἔπι φειδώ.
ὅσσαι γὰρ νύκτες τε καὶ ἡμέραι ἐκ Διός εἰσιν,
οὔ_ποθ᾽ ἓν ἱρεύουσ᾽ ἱερήϊον, οὐδὲ δύ᾽ οἴω·
οἶνον δὲ φθινύθουσιν ὑπέρβιον ἐξαφύοντες.
ἦ γάρ οἱ ζωή γ᾽ ἦν ἄσπετος· οὔ_τινι τόσση
ἀνδρῶν ἡρώων, οὔτ᾽ ἠπείροιο μελαίνης
οὔτ᾽ αὐτῆς Ἰθάκης· οὐδὲ ξυνεείκοσι φωτῶν
ἔστ᾽ ἄφενος τοσσοῦτον. ἐγὼ δέ κέ τοι καταλέξω.
δώδεκ᾽ ἐν ἠπείρωι ἀγέλαι· τόσα πώεα οἰῶν,
τόσσα συῶν συβόσια, τόσ᾽ αἰπόλια πλατέ᾽ αἰγῶν
Eumaeus βόσκουσι ξεῖνοί τε καὶ αὐτοῦ βώτορες ἄνδρες.
ἔνθα δὲ τ᾽ αἰπόλια πλατέ᾽ αἰγῶν ἕνδεκα πάντα
ἐσχατιῆι βόσκοντ᾽, ἐπὶ δ᾽ ἀνέρες ἐσθλοὶ ὄρονται.
τῶν αἰεί σφιν ἕκαστος ἐπ᾽ ἤματι μῆλον ἀγινεῖ,
ζατρεφέων αἰγῶν ὅς_τις φαίνηται ἄριστος.
αὐτὰρ ἐγὼ σῦς τάσδε φυλάσσω τε ῥύομαί τε,
καί σφι συῶν τὸν ἄριστον εὖ κρίνας ἀποπέμπω.” Eumaeus
“ὦ γέρον, οὔ_τις κεῖνον ἀνὴρ ἀλαλήμενος ἐλθὼν 14.122
ἀγγέλλων πείσειε γυναῖκά τε καὶ φίλον υἱὸν,
ἀλλ᾽ ἄλλως κομιδῆς κεχρημένοι ἄνδρες ἀλῆται
ψεύδοντ᾽, οὐδ᾽ ἐθέλουσιν ἀληθέα μυθήσασθαι.
ὃς δέ κ᾽ ἀλητεύων Ἰθάκης ἐς δῆμον ἵκηται,
ἐλθὼν ἐς δέσποιναν ἐμὴν ἀπατήλια βάζει·
ἡ δ᾽ εὖ δεξαμένη φιλέει καὶ ἕκαστα μεταλλᾶι,
καί οἱ ὀδυρομένηι βλεφάρων ἄπο δάκρυα πίπτει,
ἣ θέμις ἐστὶ γυναικὸς, ἐπὴν πόσις ἄλλοθ᾽ ὄληται.
αἶψά κε καὶ σὺ, γεραιὲ, ἔπος παρατεκτήναιο.
εἴ τίς τοι χλαῖνάν τε χιτῶνά τε εἵματα δοίη.
τοῦ δ᾽ ἤδη μέλλουσι κύνες ταχέες τ᾽ οἰωνοὶ
ῥινὸν ἀπ᾽ ὀστεόφιν ἐρύσαι, ψυχὴ δὲ λέλοιπεν·
ἢ τόν_γ᾽ ἐν πόντωι φάγον ἰχθύες, ὀστέα δ᾽ αὐτοῦ
κεῖται ἐπ᾽ ἠπείρου ψαμάθωι εἰλυμένα πολλῆι.
ὣς ὁ μὲν ἔνθ᾽ ἀπόλωλε, φίλοισι δὲ κήδε᾽ ὀπίσσω
πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τετεύχαται· οὐ γὰρ ἔτ᾽ ἄλλον
ἤπιον ὧδε ἄνακτα κιχήσομαι, ὁππόσ᾽ ἐπέλθω,
οὐδ᾽ εἴ κεν πατρὸς καὶ μητέρος αὖτις ἵκωμαι
οἶκον, ὅθι πρῶτον γενόμην καί μ᾽ ἔτρεφον αὐτοί.
οὐδέ νυ τῶν ἔτι τόσσον ὀδύρομαι, ἱέμενός περ
ὀφθαλμοῖσιν ἰδέσθαι ἐὼν ἐν πατρίδι γαίηι·
ἀλλά μ᾽ Ὀδυσσῆος πόθος αἴνυται οἰχομένοιο.
τὸν μὲν ἐγὼν, ὦ ξεῖνε, καὶ οὐ παρεόντ᾽ ὀνομάζειν
αἰδέομαι· περὶ γάρ μ᾽ ἐφίλει καὶ κήδετο θυμῶι·
ἀλλά μιν ἠθεῖον καλέω καὶ νόσφιν ἐόντα.” Eumaeus
“ὦ γέρον, οὔτ᾽ ἄρ᾽ ἐγὼν εὐαγγέλιον τόδε τείσω, 14.166
οὔτ᾽ Ὀδυσεὺς ἔτι οἶκον ἐλεύσεται· ἀλλὰ ἕκηλος
πῖνε, καὶ ἄλλα πάρεξ μεμνεώμεθα, μηδέ με τούτων
μίμνησκ᾽· ἦ γὰρ θυμὸς ἐνὶ στήθεσσιν ἐμοῖσιν
ἄχνυται, ὁππότε τις μνήσηι κεδνοῖο ἄνακτος.
ἀλλ᾽ ἤτοι ὅρκον μὲν ἐάσομεν, αὐτὰρ Ὀδυσσεὺς
ἔλθοι ὅπως μιν ἐγώ_γ᾽ ἐθέλω καὶ Πηνελόπεια
Λαέρτης θ᾽ ὁ γέρων καὶ Τηλέμαχος θεοειδής.
νῦν αὖ παιδὸς ἄλαστον ὀδύρομαι, ὃν τέκ᾽ Ὀδυσσεὺς,
Τηλεμάχου· τὸν ἐπεὶ θρέψαν θεοὶ ἔρνεϊ ἶσον,
καί μιν ἔφην ἔσσεσθαι ἐν ἀνδράσιν οὔ_τι χέρεια
πατρὸς ἑοῖο φίλοιο φρένας καὶ εἶδος ἀγητὸν,
τοῦ δέ τις ἀθανάτων βλάψε φρένας ἔνδον ἐΐσας
ἠέ τις ἀνθρώπων· ὁ δ᾽ ἔβη μετὰ πατρὸς ἀκουὴν
ἐς Πύλον ἠγαθέην· τὸν δὲ μνηστῆρες ἀγαυοὶ
οἴκαδ᾽ ἰόντα λοχῶσιν, ὅπως ἀπὸ φῦλον ὄληται
νώνυμον ἐξ Ἰθάκης Ἀρκεισίου ἀντιθέοιο.
ἀλλ᾽ ἤτοι κεῖνον μὲν ἐάσομεν, ἤ κεν ἁλοίη

ἤ κε φύγηι καί κέν οἱ ὑπέρσχηι χεῖρα Κρονίων.
ἀλλ' ἄγε μοι σύ, γεραιέ, τὰ σ' αὐτοῦ κήδε' ἐνίσπες,
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ·
τίς πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
ὁπποίης δ' ἐπὶ νηὸς ἀφίκεο; πῶς δέ σε ναῦται
Eumaeus ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι."
14.361 "ἆ δειλὲ ξείνων, ἦ μοι μάλα θυμὸν ὄρινας
ταῦτα ἕκαστα λέγων, ὅσα δὴ πάθες ἠδ' ὅσ' ἀλήθης.
ἀλλὰ τά γ' οὐ κατὰ κόσμον ὀΐομαι, οὐδέ με πείσεις
εἰπὼν ἀμφ' Ὀδυσῆϊ. τί σε χρὴ τοῖον ἐόντα
μαψιδίως ψεύδεσθαι; ἐγὼ δ' εὖ οἶδα καὶ αὐτὸς
νόστον ἐμοῖο ἄνακτος, ὅ τ' ἤχθετο πᾶσι θεοῖσιν
πάγχυ μάλ', ὅττί μιν οὔ τι μετὰ Τρώεσσι δάμασσαν
ἠὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσεν·
τῶ κέν οἱ τύμβον μὲν ἐποίησαν Παναχαιοὶ,
ἠδέ κε καὶ ὧι παιδὶ μέγα κλέος ἤρατ' ὀπίσσω.
νῦν δέ μιν ἀκλειῶς Ἅρπυιαι ἀνηρείψαντο.
αὐτὰρ ἐγὼ παρ' ὕεσσιν ἀπότροπος· οὐδὲ πόλινδε
ἔρχομαι, εἰ μή πού τι περίφρων Πηνελόπεια
ἐλθέμεν ὀτρύνησιν, ὅτ' ἀγγελίη ποθὲν ἔλθοι.
ἀλλ' οἱ μὲν τὰ ἕκαστα παρήμενοι ἐξερέουσιν,
ἠμὲν οἳ ἄχνυνται δὴν οἰχομένοιο ἄνακτος,
ἠδ' οἳ χαίρουσιν βίοτον νήποινον ἔδοντες·
ἀλλ' ἐμοὶ οὐ φίλον ἐστὶ μεταλλῆσαι καὶ ἐρέσθαι,
ἐξ οὗ δή μ' Αἰτωλὸς ἀνὴρ ἐξήπαφε μύθωι,
ὅς ῥ' ἄνδρα κτείνας, πολλὴν ἐπὶ γαῖαν ἀληθὶς,
ἤλυθ' ἐμὰ πρὸς δώματ'· ἐγὼ δέ μιν ἀμφαγάπαζον.
φῆ δέ μιν ἐν Κρήτεσσι παρ' Ἰδομενῆϊ ἰδέσθαι
νῆας ἀκειόμενον, τάς οἱ ξυνέαξαν ἄελλαι·
καὶ φάτ' ἐλεύσεσθαι ἢ ἐς θέρος ἢ ἐς ὀπώρην,
πολλὰ χρήματ' ἄγοντα σὺν ἀντιθέοις ἑτάροισιν.
καὶ σύ, γέρον πολυπενθὲς, ἐπεί σέ μοι ἤγαγε δαίμων,
μήτέ τί μοι ψεύδεσσι χαρίζεο μήτε τι θέλγε·
οὐ γὰρ τοὔνεκ' ἐγώ σ' αἰδέσσομαι οὐδὲ φιλήσω,
Eumaeus ἀλλὰ Δία ξένιον δείσας αὐτόν τ' ἐλεαίρων."
14.402 "ξεῖν', οὕτω γάρ κέν μοι ἐϋκλείη τ' ἀρετή τε
εἴη ἐπ' ἀνθρώπους ἅμα τ' αὐτίκα καὶ μετέπειτα,
ὅς σ' ἐπεὶ ἐς κλισίην ἄγαγον καὶ ξείνια δῶκα,
αὖτις δὲ κτείναιμι φίλον τ' ἀπὸ θυμὸν ἑλοίμην·
πρόφρων κεν δὴ ἔπειτα Δία Κρονίωνα λιτοίμην.
νῦν δ' ὥρη δόρποιο· τάχιστά μοι ἔνδον ἑταῖροι
Eumaeus εἶεν, ἵν' ἐν κλισίηι λαρὸν τετυκοίμεθα δόρπον."
14.414 "ἄξεθ' ὑῶν τὸν ἄριστον, ἵνα ξείνωι ἱερεύσω
τηλεδαπῶι· πρὸς δ' αὐτοὶ ὀνησόμεθ', οἵ περ ὀϊζὺν
δὴν ἔχομεν πάσχοντες ὑῶν ἕνεκ' ἀργιοδόντων·
Eumaeus ἄλλοι δ' ἡμέτερον κάματον νήποινον ἔδουσιν."
14.443 "ἔσθιε, δαιμόνιε ξείνων, καὶ τέρπεο τοῖσδε,
οἷα πάρεστι· θεὸς δὲ τὸ μὲν δώσει, τὸ δ' ἐάσει,
Eumaeus ὅττι κεν ὧι θυμῶι ἐθέληι· δύναται γὰρ ἅπαντα."

"ὦ γέρον, αἶνος μέν τοι ἀμύμων, ὃν κατέλεξας, 14.508
οὐδέ τί πω παρὰ μοῖραν ἔπος νηκερδὲς ἔειπες·
τῶι οὔτ' ἐσθῆτος δευήσεαι οὔτέ τευ ἄλλου,
ὧν ἐπέοιχ' ἱκέτην ταλαπείριον ἀντιάσαντα,
νῦν· ἀτὰρ ἠῶθέν γε τά σὰ ῥάκεα δνοπαλίξεις.
οὐ γάρ πολλαὶ χλαῖναι ἐπημοιβοί τε χιτῶνες
ἐνθάδε ἕννυσθαι, μία δ' οἴη φωτὶ ἑκάστωι." Eumaeus
"ὤι μοι, ξεῖνε, τίη τοι ἐνὶ φρεσὶ τοῦτο νόημα 15.326
ἔπλετο; ἦ σύ γε πάγχυ λιλαίεαι αὐτόθ' ὀλέσθαι,
εἰ δὴ μνηστήρων ἐθέλεις καταδῦναι ὅμιλον,
τῶν ὕβρις τε βίη τε σιδήρεον οὐρανὸν ἵκει.
οὔ τοι τοιοίδ' εἰσὶν ὑποδρηστῆρες ἐκείνων,
ἀλλὰ νέοι, χλαίνας εὖ εἱμένοι ἠδὲ χιτῶνας,
αἰεὶ δὲ λιπαροὶ κεφαλὰς καὶ καλὰ πρόσωπα,
οἵ σφιν ὑποδρώωσιν· ἐΰξεστοι δὲ τράπεζαι
σίτου καὶ κρειῶν ἠδ' οἴνου βεβρίθασιν.
ἀλλὰ μέν'· οὐ γάρ τίς τοι ἀνιᾶται παρεόντι,
οὔτ' ἐγὼ οὔτέ τις ἄλλος ἑταίρων, οἵ μοι ἔασιν.
αὐτὰρ ἐπὴν ἔλθησιν Ὀδυσσῆος φίλος υἱὸς,
κεῖνός σε χλαῖνάν τε χιτῶνά τε εἵματα ἕσσει,
πέμψει δ' ὅππηι σε κραδίη θυμός τε κελεύει." Eumaeus
"τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω. 15.352
Λαέρτης μὲν ἔτι ζώει, Διὶ δ' εὔχεται αἰεὶ
θυμὸν ἀπὸ μελέων φθίσθαι οἷς ἐν μεγάροισιν·
ἐκπάγλως γὰρ παιδὸς ὀδύρεται οἰχομένοιο
κουριδίης τ' ἀλόχοιο δαΐφρονος, ἥ ἑ μάλιστα
ἤκαχ' ἀποφθιμένη καὶ ἐν ὠμῶι γήραϊ θῆκεν.
ἡ δ' ἄχεϊ οὗ παιδὸς ἀπέφθιτο κυδαλίμοιο,
λευγαλέωι θανάτωι, ὡς μὴ θάνοι ὅς τις ἐμοί γε
ἐνθάδε ναιετάων φίλος εἴη καὶ φίλα ἔρδοι.
ὄφρα μὲν οὖν δὴ κείνη ἔην, ἀχέουσά περ ἔμπης,
τόφρα τί μοι φίλον ἔσκε μεταλλῆσαι καὶ ἐρέσθαι,
οὕνεκά μ' αὐτὴ θρέψεν ἅμα Κτιμένηι τανυπέπλωι,
θυγατέρ' ἰφθίμηι, τὴν ὁπλοτάτην τέκε παίδων·
τῆι ὁμοῦ ἐτρεφόμην, ὀλίγον δέ τί μ' ἧσσον ἐτίμα.
αὐτὰρ ἐπεί ῥ' ἥβην πολυήρατον ἱκόμεθ' ἄμφω,
τὴν μέν ἔπειτα Σάμηνδε δόσαν καὶ μυρί' ἕλοντο,
αὐτὰρ ἐμὲ χλαῖνάν τε χιτῶνά τε εἵματ' ἐκείνη
καλὰ μάλ' ἀμφιέσασα, ποσίν θ' ὑποδήματα δοῦσα,
ἀγρόνδε προΐαλλε· φίλει δέ με κηρόθι μᾶλλον.
νῦν δ' ἤδη τούτων ἐπιδεύομαι· ἀλλά μοι αὐτῶι
ἔργον ἀέξουσιν μάκαρες θεοὶ ὧι ἐπιμίμνω·
τῶν ἔφαγόν τ' ἔπιόν τε καὶ αἰδοίοισιν ἔδωκα.
ἐκ δ' ἄρα δεσποίνης οὐ μείλιχον ἔστιν ἀκοῦσαι
οὔτ' ἔπος οὔτέ τι ἔργον, ἐπεὶ κακὸν ἔμπεσεν οἴκωι,
ἄνδρες ὑπερφίαλοι· μέγα δὲ δμῶες χατέουσιν
ἀντία δεσποίνης φάσθαι καὶ ἕκαστα πυθέσθαι
καὶ φαγέμεν πιέμεν τε, ἔπειτα δὲ καί τι φέρεσθαι
ἀγρόνδ', οἷά τε θυμὸν ἀεὶ δμώεσσιν ἰαίνει." Eumaeus
"ξεῖν', ἐπεὶ ἂρ δὴ ταῦτά μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς, 15.390

σιγῆι νῦν ξυνίει καὶ τέρπεο, πῖνέ τε οἶνον
ἥμενος, αἵδε δὲ νύκτες ἀθέσφατοι· ἔστι μὲν εὕδειν,
ἔστι δὲ τερπομένοισιν ἀκούειν· οὐδέ τί σε χρή,
πρὶν ὥρη, καταλέχθαι· ἀνίη καὶ πολὺς ὕπνος.
τῶν δ' ἄλλων ὅτινα κραδίη καὶ θυμὸς ἀνώγει,
εὑδέτω ἐξελθών· ἅμα δ' ἠοῖ φαινομένηφιν
δειπνήσας ἅμ' ὕεσσιν ἀνακτορίηισιν ἑπέσθω.
νῶϊ δ' ἐνὶ κλισίηι πίνοντέ τε δαινυμένω τε
κήδεσιν ἀλλήλων τερπώμεθα λευγαλέοισιν,
μνωομένω· μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ,
ὅς τις δὴ μάλα πολλὰ πάθηι καὶ πόλλ' ἐπαληθῆι.
τοῦτο δέ τοι ἐρέω ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾶις.
νῆσός τις Συρίη κικλήσκεται, εἴ που ἀκούεις,
Ὀρτυγίης καθύπερθεν, ὅθι τροπαὶ ἠελίοιο,
οὔ τι περιπληθὴς λίην τόσον, ἀλλ' ἀγαθὴ μὲν,
εὔβοτος εὔμηλος, οἰνοπληθὴς, πολύπυρος.
✦ πείνη δ' οὔ ποτε δῆμον ἐσέρχεται, οὐδέ τις ἄλλη
νοῦσος ἐπὶ στυγερὴ πέλεται δειλοῖσι βροτοῖσιν·
ἀλλ' ὅτε γηράσκωσι πόλιν κάτα φῦλ' ἀνθρώπων,
ἐλθὼν ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξὺν
οἷς ἀγανοῖσι βέλεσσιν ἐποιχόμενος κατέπεφνεν.
ἔνθα δύω πόλιες, δίχα δέ σφισι πάντα δέδασται·
τῆισιν δ' ἀμφοτέρηισι πατὴρ ἐμὸς ἐμβασίλευεν,
Κτήσιος Ὀρμενίδης, ἐπιείκελος ἀθανάτοισιν.
ἔνθα δὲ Φοίνικες ναυσικλυτοὶ ἤλυθον ἄνδρες,
τρῶκται, μυρί' ἄγοντες ἀθύρματα νηῒ μελαίνηι.
ἔσκε δὲ πατρὸς ἐμοῖο γυνὴ Φοίνισσ' ἐνὶ οἴκωι,
καλή τε μεγάλη τε καὶ ἀγλαὰ ἔργ' ἰδυῖα·
τὴν δ' ἄρα Φοίνικες πολυπαίπαλοι ἠπερόπευον.
πλυνούσηι τις πρῶτα μίγη κοίληι παρὰ νηῒ
εὐνῆι καὶ φιλότητι, τά τε φρένας ἠπεροπεύει
θηλυτέρηισι γυναιξὶ, καὶ ἥ κ' εὐεργὸς ἔηισιν.
εἰρώτα δῆπειτα τίς εἴη καὶ πόθεν ἔλθοι·
ἡ δὲ μάλ' αὐτίκα πατρὸς ἐπέφραδεν ὑψερεφὲς δῶ·
'ἐκ μὲν Σιδῶνος πολυχάλκου εὔχομαι εἶναι,
κούρη δ' εἴμ' Ἀρύβαντος ἐγὼ ῥυδὸν ἀφνειοῖο·
ἀλλά μ' ἀνήρπαξαν Τάφιοι ληΐστορες ἄνδρες
ἀγρόθεν ἐρχομένην, πέρασαν δέ τε δεῦρ' ἀγαγόντες
τοῦδ' ἀνδρὸς πρὸς δώμαθ'· ὁ δ' ἄξιον ὦνον ἔδωκεν.'
τὴν δ' αὖτε προσέειπεν ἀνὴρ, ὃς ἐμίσγετο λάθρηι·
'ἦ ῥά κε νῦν πάλιν αὖτις ἅμ' ἡμῖν οἴκαδ' ἕποιο,
ὄφρα ἴδηι πατρὸς καὶ μητέρος ὑψερεφὲς δῶ
αὐτούς τ'; ἦ γὰρ ἔτ' εἰσὶ καὶ ἀφνειοὶ καλέονται.'
τὸν δ' αὖτε προσέειπε γυνὴ καὶ ἀμείβετο μύθωι·
'εἴη κεν καὶ τοῦτ', εἴ μοι ἐθέλοιτέ γε, ναῦται,
ὅρκωι πιστωθῆναι ἀπήμονά μ' οἴκαδ' ἀπάξειν.'
ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπώμνυον ὡς ἐκέλευεν.
αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,
τοῖς δ' αὖτις μετέειπε γυνὴ καὶ ἀμείβετο μύθωι·
'σιγῆι νῦν, μή τίς με προσαυδάτω ἐπέεσσιν
ὑμετέρων ἑτάρων, ξυμβλήμενος ἢ ἐν ἀγυιῆι,
ἤ που ἐπὶ κρήνηι· μή τις ποτὶ δῶμα γέροντι
ἐλθὼν ἐξείπηι, ὁ δ' ὀϊσάμενος καταδήσηι
δεσμῶι ἐν ἀργαλέωι, ὑμῖν δ' ἐπιφράσσετ' ὄλεθρον.
ἀλλ' ἔχετ' ἐν φρεσὶ μῦθον, ἐπείγετε δ' ὦνον ὁδαίων.
ἀλλ' ὅτε κεν δὴ νηῦς πλείη βιότοιο γένηται,
ἀγγελίη μοι ἔπειτα θοῶς ἐς δώμαθ' ἱκέσθω·
οἴσω γὰρ καὶ χρυσὸν, ὅ τίς χ' ὑποχείριος ἔλθηι·
καὶ δέ κεν ἄλλ' ἐπίβαθρον ἐγὼν ἐθέλουσά γε δοίην·
παῖδα γὰρ ἀνδρὸς ἐῆος ἐνὶ μεγάροις ἀτιτάλλω,
κερδαλέον δὴ τοῖον, ἅμα τροχόωντα θύραζε·
τόν κεν ἄγοιμ' ἐπὶ νηὸς, ὁ δ' ὑμῖν μυρίον ὦνον
ἄλφοι, ὅπηι περάσητε κατ' ἀλλοθρόους ἀνθρώπους.'
ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πρὸς δώματα καλὰ,
οἱ δ' ἐνιαυτὸν ἅπαντα παρ' ἡμῖν αὖθι μένοντες
ἐν νηῒ γλαφυρῆι βίοτον πολὺν ἐμπολόωντο.
ἀλλ' ὅτε δὴ κοίλη νηῦς ἤχθετο τοῖσι νέεσθαι,
καὶ τότ' ἄρ' ἄγγελον ἧκαν, ὃς ἀγγείλειε γυναικί.
ἤλυθ' ἀνὴρ πολυΐδρις ἐμοῦ πρὸς δώματα πατρὸς
χρύσεον ὅρμον ἔχων, μετὰ δ' ἠλέκτροισιν ἔερτο.
τὸν μὲν ἄρ' ἐν μεγάρωι δμωιαὶ καὶ πότνια μήτηρ
χερσίν τ' ἀμφαφόωντο καὶ ὀφθαλμοῖσιν ὁρῶντο,
ὦνον ὑπισχόμεναι· ὁ δὲ τῆι κατένευσε σιωπῆι.
ἦτοι ὁ καννεύσας κοίλην ἐπὶ νῆα βεβήκει,
ἡ δ' ἐμὲ χειρὸς ἑλοῦσα δόμων ἐξῆγε θύραζε.
ηὗρε δ' ἐνὶ προδόμωι ἠμὲν δέπα' ἠδὲ τραπέζας
ἀνδρῶν δαιτυμόνων, οἵ μευ πατέρ' ἀμφεπένοντο·
οἱ μὲν ἄρ' ἐς θῶκον πρόμολον, δήμοιό τε φῆμιν,
ἡ δ' αἶψα τρί' ἄλεισα κατακρύψασ' ὑπὸ κόλπωι
ἔκφερεν· αὐτὰρ ἐγὼν ἑπόμην ἀεσιφροσύνηισιν.
δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί·
ἡμεῖς δ' ἐς λιμένα κλυτὸν ἤλθομεν ὦκα κιόντες,
ἔνθ' ἄρα Φοινίκων ἀνδρῶν ἦν ὠκύαλος νηῦς.
οἱ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα,
νὼ ἀναβησάμενοι· ἐπὶ δὲ Ζεὺς οὖρον ἴαλλεν.
ἑξῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·
ἀλλ' ὅτε δὴ ἕβδομον ἦμαρ ἐπὶ Ζεὺς θῆκε Κρονίων,
τὴν μὲν ἔπειτα γυναῖκα βάλ' Ἄρτεμις ἰοχέαιρα,
ἄντλωι δ' ἐνδούπησε πεσοῦσ' ὡς εἰναλίη κήξ·
καὶ τὴν μὲν φώκηισι καὶ ἰχθύσι κύρμα γενέσθαι
ἔκβαλον, αὐτὰρ ἐγὼ λιπόμην ἀκαχήμενος ἦτορ·
τοὺς δ' Ἰθάκηι ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ,
ἔνθα με Λαέρτης πρίατο κτεάτεσσιν ἑοῖσιν.
οὕτω τήνδε γε γαῖαν ἐγὼν ἴδον ὀφθαλμοῖσιν." **Eumaeus**
"ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος. οὔ σ' ἔτ' ἐγώ γε **16.23**
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηῒ Πύλονδε.
ἀλλ' ἄγε νῦν εἴσελθε, φίλον τέκος, ὄφρα σε θυμῶι
τέρψομαι εἰσορόων νέον ἄλλοθεν ἔνδον ἐόντα.
οὐ μὲν γάρ τι θάμ' ἀγρὸν ἐπέρχεαι οὐδὲ νομῆας,
ἀλλ' ἐπιδημεύεις· ὣς γάρ νύ τοι εὔαδε θυμῶι,

Eumaeus ἀνδρῶν μνηστήρων ἐσορᾶν ἀΐδηλον ὅμιλον."
16.37 "καὶ λίην κείνη γε μένει τετληότι θυμῶι
σοῖσιν ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
Eumaeus φθίνουσιν νύκτες τε καὶ ἤματα δακρυ_χεούσηι."
16.61 "τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω.
ἐκ μὲν Κρητάων γένος εὔχεται εὐρειάων,
φησὶ δὲ πολλὰ βροτῶν ἐπὶ ἄστεα δινηθῆναι
πλαζόμενος· ὣς γάρ οἱ ἐπέκλωσεν τά_γε δαίμων.
νῦν αὖ Θεσπρωτῶν ἀνδρῶν παρὰ νηὸς ἀποδρὰς
ἤλυθ' ἐμὸν πρὸς σταθμόν, ἐγὼ δέ σοὶ ἐγγυαλίξω·
Eumaeus ἔρξον ὅπως ἐθέληις· ἱκέτης δέ τοι εὔχεται εἶναι."
16.136 "γιγνώσκω, φρονέω· τά_γε δὴ νοέοντι κελεύεις.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ἢ καὶ Λαέρτηι αὐτὴν ὁδὸν ἄγγελος ἔλθω
δυσμόρωι, ὃς τείως μὲν Ὀδυσσῆος μέγ' ἀχεύων
ἔργά τ' ἐποπτεύεσκε μετὰ δμώων τ' ἐνὶ οἴκωι
πῖνε καὶ ἦσθ', ὅτε θυμὸς ἐνὶ στήθεσσιν ἀνώγοι·
αὐτὰρ νῦν, ἐξ οὗ σύ_γε ᾤχεο νηῒ Πύλονδε,
οὔ_πώ μίν φασιν φαγέμεν καὶ πιέμεν αὔτως,
οὐδ' ἐπὶ ἔργα ἰδεῖν, ἀλλὰ στοναχῆι τε γόωι τε
Eumaeus ἧσται ὀδυρόμενος, φθινύθει δ' ἀμφ' ὀστεόφι χρώς."
16.465 "οὐκ ἔμελέν μοι ταῦτα μεταλλῆσαι καὶ ἐρέσθαι
ἄστυ κάτα_βλώσκοντα· τάχιστά με θυμὸς ἀνώγει
ἀγγελίην εἰπόντα πάλιν δεῦρ' ἀπονέεσθαι.
ὡμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ὠκύς,
κῆρυξ, ὃς δὴ πρῶτος ἔπος σῆι μητρὶ ἔειπεν.
ἄλλο δέ τοι τόδε οἶδα· τὸ γὰρ ἴδον ὀφθαλμοῖσιν.
ἤδη ὑπὲρ πόλιος, ὅθι Ἕρμαιος λόφος ἐστὶν,
ἦα κιών, ὅτε νῆα θοὴν ἰδόμην κατιοῦσαν
ἐς λιμέν' ἡμέτερον· πολλοὶ δ' ἔσαν ἄνδρες ἐν αὐτῆι,
βεβρίθει δὲ σάκεσσι καὶ ἔγχεσιν ἀμφιγύοισιν·
Eumaeus καί σφεας ᾠίσθην τοὺς ἔμμεναι, οὐδέ τι οἶδα."
17.185 "ξεῖν', ἐπεὶ ἂρ δῆπειτα πόλινδ' ἴμεναι μενεαίνεις
σήμερον, ὡς ἐπέτελλεν ἄναξ ἐμός — ἦ σ' ἂν ἐγώ_γε
αὐτοῦ βουλοίμην σταθμῶν ῥυτῆρα λιπέσθαι·
ἀλλὰ τὸν αἰδέομαι καὶ δείδια, μή μοι ὀπίσσω
νεικείηι· χαλεπαὶ δέ τ' ἀνάκτων εἰσιν ὁμοκλαί —
ἀλλ' ἄγε νῦν ἴομεν· δὴ γὰρ μέμβλωκε μάλιστα
Eumaeus ἦμαρ, ἀτὰρ τάχα τοι ποτὶ ἕσπερα ῥίγιον ἔσται."
17.273 "ῥεῖ' ἔγνως, ἐπεὶ οὐδὲ τά τ' ἄλλά πέρ ἐσσ' ἀνοήμων.
ἀλλ' ἄγε δὴ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα.
ἠὲ σὺ πρῶτος ἔσελθε δόμους εὖ_ναιετάοντας,
δύσεο δὲ μνηστῆρας, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ·
εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐγὼ δ' εἶμι προπάροιθεν·
μηδὲ σὺ δηθύνειν, μή τίς σ' ἔκτοσθε νοήσας
Eumaeus ἢ βάληι ἢ ἐλάσηι· τὰ δέ σε φράζεσθαι ἄνωγα."
17.312 "καὶ λίην ἀνδρός γε κύων ὅδε τῆλε θανόντος.
εἰ τοιόσδ' εἴη ἠμὲν δέμας ἠδὲ καὶ ἔργα,
οἷόν μιν Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεὺς,
αἶψά κε θηήσαιο ἰδὼν ταχυτῆτα καὶ ἀλκήν·
οὐ μὲν γάρ τι φύγεσκε βαθείης βένθεσιν ὕλης
κνώδαλον, ὅττι δίοιτο· καὶ ἴχνεσι γὰρ περιήιδει.
νῦν δ' ἔχεται κακότητι, ἄναξ δέ οἱ ἄλλοθι πάτρης
ὤλετο, τὸν δὲ γυναῖκες ἀκηδέες οὐ κομέουσιν.
δμῶες δ', εὖτ' ἂν μηκέτ' ἐπικρατέωσιν ἄνακτες,
οὐκέτ' ἔπειτ' ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι·
ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
ἀνέρος, εὖτ' ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλησιν." Eumaeus
"Τηλέμαχός τοι, ξεῖνε, διδοῖ τάδε, καί σε κελεύει 17.350
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
αἰδῶ δ' οὐκ ἀγαθήν φησ' ἔμμεναι ἀνδρὶ προΐκτηι." Eumaeus
"Ἀντίνο', οὐ μὲν καλὰ καὶ ἐσθλὸς ἐὼν ἀγορεύεις· 17.381
τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν αὐτὸς ἐπελθὼν
ἄλλόν γ', εἰ μὴ τῶν οἳ δημιοεργοὶ ἔασιν,
μάντιν ἢ ἰητῆρα κακῶν ἢ τέκτονα δούρων,
ἢ καὶ θέσπιν ἀοιδόν, ὅ κεν τέρπηισιν ἀείδων;
οὗτοι γὰρ κλητοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν·
πτωχὸν δ' οὐκ ἄν τις καλέοι τρύξοντα ἓ αὐτόν.
ἀλλ' αἰεὶ χαλεπὸς περὶ πάντων εἶς μνηστήρων
δμωσὶν Ὀδυσσῆος, περὶ δ' αὖτ' ἐμοί· αὐτὰρ ἐγώ γε
οὐκ ἀλέγω, εἵως μοι ἐχέφρων Πηνελόπεια
ζώει ἐνὶ μεγάροις καὶ Τηλέμαχος θεοειδής." Eumaeus
"εἰ γάρ τοι, βασίλεια, σιωπήσειαν Ἀχαιοί· 17.513
οἷ' ὅ_γε μυθεῖται, θέλγοιτό κέ τοι φίλον ἦτορ.
τρεῖς γὰρ δή μιν νύκτας ἔχον, τρία δ' ἤματ' ἔρυξα
ἐν κλισίηι· πρῶτον γάρ ἔμ' ἵκετο νηὸς ἀποδράς·
ἀλλ' οὔ_πω κακότητα διήνυσεν ἣν ἀγορεύων.
ὡς δ' ὅτ' ἀοιδὸν ἀνὴρ ποτιδέρκεται, ὅς_τε θεῶν ἒξ
ἀείδηι δεδαὼς ἔπε' ἱμερόεντα βροτοῖσιν,
τοῦ δ' ἄμοτον μεμάασιν ἀκουέμεν, ὁππότ' ἀείδηι·
ὣς ἐμὲ κεῖνος ἔθελγε παρήμενος ἐν μεγάροισιν.
φησὶ δ' Ὀδυσσῆος ξεῖνος πατρώϊος εἶναι,
Κρήτηι ναιετάων, ὅθι Μίνωος γένος ἐστίν.
ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκετο πήματα πάσχων,
προπροκυλινδόμενος· στεῦται δ' Ὀδυσῆος ἀκοῦσαι,
ἀγχοῦ, Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμωι,
ζωοῦ· πολλὰ δ' ἄγει κειμήλια ὅνδε δόμονδε." Eumaeus
"ξεῖνε πάτερ, καλέει σε περίφρων Πηνελόπεια, 17.553
μήτηρ Τηλεμάχοιο· μεταλλῆσαί τί ἑ θυμὸς
ἀμφὶ πόσει κέλεται, καὶ κήδεά περ πεπαθυίηι.
εἰ δέ κέ σε γνώηι νημερτέα πάντ' ἐνέποντα,
ἕσσει σε χλαῖνάν τε χιτῶνά τε, τῶν σὺ μάλιστα
χρηΐζεις· σῖτον δὲ καὶ αἰτίζων κατὰ δῆμον
γαστέρα βοσκήσεις· δώσει δέ τοι ὅς κ' ἐθέλησιν." Eumaeus
"μυθεῖται κατὰ μοῖραν, ἅ_πέρ κ' οἴοιτο καὶ ἄλλος, 17.580
ὕβριν ἀλυσκάζων ἀνδρῶν ὑπερηνορεόντων.
ἀλλά σε μεῖναι ἄνωγεν ἐς ἠέλιον καταδύντα.
καὶ δὲ σοί ὧδ' αὐτῆι πολὺ κάλλιον, ὦ βασίλεια,
οἵην πρὸς ξεῖνον φάσθαι ἔπος ἠδ' ἐπακοῦσαι." Eumaeus
"ὦ φίλ', ἐγὼ μὲν ἄπειμι, σύας καὶ κεῖνα φυλάξων, 17.593

σὸν καὶ ἐμὸν βίοτον· σοὶ δ' ἐνθάδε πάντα μελόντων.
αὐτὸν μέν σε πρῶτα σάω, καὶ φράζεο θυμῶι
μή τι πάθηις· πολλοὶ δὲ κακὰ φρονέουσιν Ἀχαιῶν,
Eumaeus τοὺς Ζεὺς ἐξολέσειε πρὶν ἡμῖν πῆμα γενέσθαι."
20.166 "ξεῖν', ἦ ἄρ τί σε μᾶλλον Ἀχαιοὶ εἰσορόωσιν,
Eumaeus ἦέ σ' ἀτιμάζουσι κατὰ μέγαρ', ὡς τὸ πάρος περ;"
22.195 "νῦν μὲν δὴ μάλα πάγχυ, Μελάνθιε, νύκτα φυλάξεις
εὐνῆι ἔνι μαλακῆι καταλέγμενος, ὥς σε ἔοικεν·
οὐδέ σέ γ' Ἠριγένεια παρ' Ὠκεανοῖο ῥοάων
λήσει ἐπερχομένη χρυσόθρονος, ἡνίκ' ἀγινεῖς
Eumaeus αἶγας μνηστήρεσσι δόμον κάτα δαῖτα πένεσθαι."

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 127 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF ROYAL MAIDSERVANT EURYKLEA IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

2.363 “τίπτε δέ τοι, φίλε τέκνον, ἐνὶ φρεσὶ τοῦτο νόημα
ἔπλετο; πῆι δ’ ἐθέλεις ἰέναι πολλὴν ἐπὶ γαῖαν
μοῦνος ἐὼν ἀγαπητός; ὁ δ’ ὤλετο τηλόθι πάτρης
διογενὴς Ὀδυσεὺς ἀλλογνώτωι ἐνὶ δήμωι.
οἱ δέ τοι αὐτίκ’ ἰόντι κακὰ φράσσονται ὀπίσσω,
ὥς κε δόλωι φθίηις, τάδε δ’ αὐτοὶ πάντα δάσονται.
Euryklea ἀλλὰ μέν’ αὖθ’ ἐπὶ σοῖσι καθήμενος· οὐδέ τί σε χρὴ
πόντον ἔπ’ ἀτρύγετον κακὰ πάσχειν οὐδ’ ἀλάλησθαι.”
4.743 “νύμφα φίλη, σὺ μὲν ἄρ με κατάκτανε νηλέϊ χαλκῶι
ἢ ἔα ἐν μεγάρωι· μῦθον δέ τοι οὐκ ἐπικεύσω.
ἤϊδε’ ἐγὼ τάδε πάντα, πόρον δέ οἱ ὅσσ’ ἐκέλευσεν,
σῖτον καὶ μέθυ ἡδύ· ἐμέο δ’ ἕλετο μέγαν ὅρκον,
✦ μὴ πρὶν σοὶ ἐρέειν, πρὶν δωδεκάτην τε γενέσθαι
ἢ σ’ αὐτὴν ποθέσαι καὶ ἀφορμηθέντος ἀκοῦσαι,
ὡς ἂν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτηις.
ἀλλ’ ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ’ ἑλοῦσα,
εἰς ὑπερῶι’ ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
εὔχε’ Ἀθηναίηι κούρηι Διὸς αἰγιόχοιο·
ἡ γάρ κέν μιν ἔπειτα καὶ ἐκ θανάτοιο σαώσαι.
μηδὲ γέροντα κάκου κεκακωμένον· οὐ γὰρ ὀΐω
πάγχυ θεοῖς μακάρεσσι γονὴν Ἀρκεισιάδαο
ἔχθεσθ’, ἀλλ’ ἔτι πού τις ἐπέσσεται ὅς κεν ἔχησιν
Euryklea δώματά θ’ ὑψερεφέα καὶ ἀπόπροθι πίονας ἀγρούς.”
19.22 “αἲ γάρ δή ποτε, τέκνον, ἐπιφροσύνας ἀνέλοιο
οἴκου κήδεσθαι καὶ κτήματα πάντα φυλάσσειν.
ἀλλ’ ἄγε, τίς τοι ἔπειτα μετοιχομένη φάος οἴσει;
Euryklea δμωὰς δ’ οὐκ εἴας προβλωσκέμεν, αἵ κεν ἔφαινον.”
19.363 “ὤ μοι ἐγὼ σέο, τέκνον, ἀμήχανος· ἦ σε περὶ Ζεὺς
ἀνθρώπων ἤχθηρε θεουδέα θυμὸν ἔχοντα.
οὐ γάρ πώ τις τόσσα βροτῶν Διὶ τερπικεραύνωι
πίονα μηρί’ ἔκη’ οὐδ’ ἐξαίτους ἑκατόμβας,
ὅσσα σὺ τῶι ἐδίδως, ἀρώμενος εἷος ἵκοιο
γῆράς τε λιπαρὸν θρέψαιό τε φαίδιμον υἱόν·
νῦν δέ τοι οἴωι πάμπαν ἀφείλετο νόστιμον ἦμαρ.
οὕτω που καὶ κείνωι ἐφεψιόωντο γυναῖκες
ξείνων τηλεδαπῶν, ὅτε τευ κλυτὰ δώμαθ’ ἵκοιτο,
ὡς σέθεν αἱ κύνες αἵδε καθεψιόωνται ἅπασαι,
τάων νῦν λώβην τε καὶ αἴσχεα πόλλ’ ἀλεείνων
οὐκ ἐάαις νίζειν· ἐμὲ δ’ οὐκ ἀέκουσαν ἄνωγεν
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
τῶι σε πόδας νίψω ἅμα τ’ αὐτῆς Πηνελοπείης
καὶ σέθεν εἵνεκ’, ἐπεί μοι ὀρώρεται ἔνδοθι θυμὸς
κήδεσιν. ἀλλ’ ἄγε νῦν ξυνίει ἔπος, ὅττί κεν εἴπω·
πολλοὶ δὴ ξεῖνοι ταλαπείριοι ἐνθάδ’ ἵκοντο,
ἀλλ’ οὔ πώ τινά φημι ἐοικότα ὧδε ἰδέσθαι
Euryklea ὡς σὺ δέμας φωνήν τε πόδας τ’ Ὀδυσῆϊ ἔοικας.”
19.403 “Αὐτόλυκ’, αὐτὸς νῦν ὄνομ’ εὕρεο ὅττι κε θεῖαι
Euryklea ✦ παιδὸς παιδὶ φίλωι· πολυάρητος δέ τοί ἐστιν.”
19.474 “ἦ μάλ’ Ὀδυσσεύς ἐσσι, φίλον τέκος· οὐδέ σ’ ἐγώ γε
Euryklea πρὶν ἔγνων, πρὶν πάντα ἄνακτ’ ἐμὸν ἀμφαφάασθαι.”

“τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων. 19.492
οἶσθα μὲν οἷον ἐμὸν μένος ἔμπεδον οὐδ’ ἐπιεικτόν,
ἕξω δ’ ὡς ὅτε τις στερεὴ λίθος ἠὲ σίδηρος.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
εἴ χ’ ὑπὸ σοί γε θεὸς δαμάσηι μνηστῆρας ἀγαυούς,
δὴ τότε τοι καταλέξω ἐνὶ μεγάροισι γυναῖκας,
αἵ τέ σ’ ἀτιμάζουσι καὶ αἳ νηλίτεῖς εἰσιν.” Euryklea
“οὐκ ἄν μιν νῦν, τέκνον, ἀναίτιον αἰτιόωιο. 20.135
οἶνον μὲν γὰρ πῖνε καθήμενος, ὄφρ’ ἔθελ’ αὐτός,
σίτου δ’ οὐκέτ’ ἔφη πεινήμεναι· εἴρετο γάρ μιν.
ἀλλ’ ὅτε δὴ κοίτοιο καὶ ὕπνου μιμνήσκοντο,
ἡ μὲν δέμνι’ ἄνωγεν ὑποστορέσαι δμωιῆισιν,
αὐτὰρ ὅ γ’, ὥς τις πάμπαν ὀϊζυρὸς καὶ ἄποτμος,
οὐκ ἔθελ’ ἐν λέκτροισι καὶ ἐν ῥήγεσσι καθεύδειν,
ἀλλ’ ἐν ἀδεψήτωι βοέηι καὶ κώεσιν οἰῶν
ἕδραθ’ ἐνὶ προδόμωι· χλαῖναν δ’ ἐπιέσσαμεν ἡμεῖς.” Euryklea
“ἄγρειθ’, αἱ μὲν δῶμα κορήσατε ποιπνύσασαι 20.149
ῥάσσατέ τ’, ἔν τε θρόνοις εὐποιήτοισι τάπητας βάλλετε
πορφυρέους· αἱ δὲ σπόγγοισι τραπέζας
πάσας ἀμφιμάσασθε, καθήρατε δὲ κρητῆρας
καὶ δέπα ἀμφικύπελλα τετυγμένα· ταὶ δὲ μεθ’ ὕδωρ
ἔρχεσθε κρήνηνδε, καὶ οἴσετε θᾶσσον ἰοῦσαι.
οὐ γὰρ δὴν μνηστῆρες ἀπέσσονται μεγάροιο,
ἀλλὰ μάλ’ ἦρι νέονται, ἐπεὶ καὶ πᾶσιν ἑορτή.” Euryklea
“τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω. 22.420
πεντήκοντά τοί εἰσιν ἐνὶ μεγάροισι γυναῖκες
δμωιαί· τὰς μέν τ’ ἔργα διδάξαμεν ἐργάζεσθαι,
εἴριά τε ξαίνειν καὶ δουλοσύνην ἀνέχεσθαι·
τάων δώδεκα πᾶσαι ἀναιδείης ἐπέβησαν,
οὔτ’ ἐμὲ τίουσαι οὔτ’ αὐτὴν Πηνελόπειαν.
Τηλέμαχος δὲ νέον μὲν ἀέξετο, οὐδέ ἑ μήτηρ
σημαίνειν εἴασκεν ἐπὶ δμωιῆισι γυναιξίν.
ἀλλ’ ἄγ’ ἐγὼν ἀναβᾶσ’ ὑπερώϊα σιγαλόεντα
εἴπω σῆι ἀλόχωι, τῆι τις θεὸς ὕπνον ἐπῶρσεν.” Euryklea
“ναὶ δὴ ταῦτά γε, τέκνον ἐμόν, κατὰ μοῖραν ἔειπες. 22.486
ἀλλ’ ἄγε τοι χλαῖνάν τε χιτῶνά τε εἵματ’ ἐνείκω,
μηδ’ οὕτω ῥάκεσιν πεπυκασμένος εὐρέας ὤμους
ἕσταθ’ ἐνὶ μεγάροισι· νεμεσσητὸν δέ κεν εἴη.”
“ἔγρεο, Πηνελόπεια, φίλον τέκος, ὄφρα ἴδηαι 23.5
ὀφθαλμοῖσι τεοῖσι τά τ’ ἔλδεαι ἤματα πάντα.
ἦλθ’ Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται, ὀψέ περ ἐλθών.
μνηστῆρας δ’ ἔκτεινεν ἀγήνορας, οἵ θ’ οἱ οἶκον
κήδεσκον καὶ κτήματ’ ἔδον βιόωντό τε παῖδα.” Euryklea
“οὔ τί σε λωβεύω, τέκνον φίλον, ἀλλ’ ἔτυμόν τοι 23.26
ἦλθ’ Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται, ὡς ἀγορεύω,
ὁ ξεῖνος, τὸν πάντες ἀτίμων ἐν μεγάροισιν.
Τηλέμαχος δ’ ἄρα μιν πάλαι ᾔδεεν ἔνδον ἐόντα,
ἀλλὰ σαοφροσύνηισι νοήματα πατρὸς ἔκευθεν,
ὄφρ’ ἀνδρῶν τείσαιτο βίην ὑπερηνορεόντων.” Euryklea
“οὐκ ἴδον, οὐ πυθόμην, ἀλλὰ στόνον οἷον ἄκουσα 23.40

κτεινομένων· ἡμεῖς δὲ μυχῶι θαλάμων εὐπήκτων
ἥμεθ’ ἀτυζόμεναι, σανίδες δ’ ἔχον εὖ ἀραρυῖαι,
πρίν γ’ ὅτε δή με σὸς υἱὸς ἀπὸ μεγάροιο κάλεσσεν
Τηλέμαχος· τὸν γάρ ῥα πατὴρ προέηκε καλέσσαι.
ηὗρον ἔπειτ’ Ὀδυσῆα μετὰ κταμένοισι νέκυσσιν
ἑσταόθ’· οἱ δέ μιν ἀμφὶ, κραταίπεδον οὖδας ἔχοντες,
κείατ’ ἐπ’ ἀλλήλοισιν· ἰδοῦσά κε θυμὸν ἰάνθης
αἵματι καὶ λύθρωι πεπαλαγμένον ὥς τε λέοντα.
νῦν δ’ οἱ μὲν δὴ πάντες ἐπ’ αὐλείῃσι θύρῃσιν
ἁθρόοι, αὐτὰρ ὁ δῶμα θεειοῦται περικαλλὲς,
πῦρ μέγα κηάμενος· σὲ δέ με προέηκε καλέσσαι.
ἀλλ’ ἕπε’, ὄφρα σφῶϊ ἐϋφροσύνης ἐπιβῆτον
ἀμφοτέρω φίλον ἦτορ, ἐπεὶ κακὰ πολλὰ πέπασθε.
νῦν δ’ ἤδη τόδε μακρὸν ἐέλδωρ ἐκτετέλεσται·
ἦλθε μὲν αὐτὸς ζωὸς ἐφέστιος, ηὗρε δὲ καὶ σὲ
καὶ παῖδ’ ἐν μεγάροισι· κακῶς δ’ οἵ πέρ μιν ἔρεζον
Euryklea μνηστῆρες, τοὺς πάντας ἐτείσατο ὧι ἐνὶ οἴκωι.”
23.70 “τέκνον ἐμὸν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
ἣ πόσιν ἔνδον ἐόντα παρ’ ἐσχάρηι οὔ ποτ’ ἔφησθα
οἴκαδ’ ἐλεύσεσθαι· θυμὸς δέ τοι αἰὲν ἄπιστος.
ἀλλ’ ἄγε τοι καὶ σῆμα ἀριφραδὲς ἄλλο τι εἴπω,
οὐλὴν, τήν ποτέ μιν σῦς ἤλασε λευκῶι ὀδόντι.
τὴν ἀπονίζουσα φρασάμην, ἔθελον δὲ σοὶ αὐτῆι
εἰπέμεν· ἀλλά με κεῖνος ἑλὼν ἐπὶ μάστακα χερσὶν
οὐκ ἔα εἰπέμεναι πολυκερδείῃσι νόοιο.
ἀλλ’ ἕπε’· αὐτὰρ ἐγὼν ἐμέθεν περιδώσομαι αὐτῆς,
Euryklea αἴ κέν σ’ ἐξαπάφω, κτεῖναί μ’ οἰκτίστωι ὀλέθρωι.”

Notes

Notes

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 9 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES OF PENELOPE'S ATTENDANT EURYNOME IN THE ODYSSEY

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

17.496 “εἰ γὰρ ἐπ’ ἀρῇσιν τέλος ἡμετέρῃσι γένοιτο·
Eurynome οὐκ ἄν τις τούτων γε ἐΰθρονον Ἠῶ ἵκοιτο.”
18.170 “ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες.
ἀλλ’ ἴθι καὶ σῷ παιδὶ ἔπος φάο μηδ’ ἐπίκευθε,
χρῶτ’ ἀπονιψαμένη καὶ ἐπιχρίσασα παρειάς·
μηδ’ οὕτω δακρύοισι πεφυρμένη ἀμφὶ πρόσωπα
ἔρχευ, ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί.
Eury- ἤδη μὲν γάρ τοι παῖς τηλίκος, ὃν σὺ μάλιστα
nome ἠρῶ ἀθανάτοισι γενειήσαντα ἰδέσθαι.”

17.496 “εἰ γὰρ ἐπ’ ἀρῇσιν τέλος ἡμετέρῃσι γένοιτο·
Eurynome οὐκ ἄν τις τούτων γε ἐΰθρονον Ἠῶ ἵκοιτο.”
18.170 “ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες.
ἀλλ’ ἴθι καὶ σῷ παιδὶ ἔπος φάο μηδ’ ἐπίκευθε,
χρῶτ’ ἀπονιψαμένη καὶ ἐπιχρίσασα παρειάς·
μηδ’ οὕτω δακρύοισι πεφυρμένη ἀμφὶ πρόσωπα

ἔρχευ, ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί.
Eury- ἤδη μὲν γάρ τοι παῖς τηλίκος, ὃν σὺ μάλιστα
nome ἠρῶ ἀθανάτοισι γενειήσαντα ἰδέσθαι.”

Notes

Notes

Ithakan Mentor, son of Alkimos,
is a friend whom Odysseus made
guardian of Telemachos.

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 13 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF
MENTOR
IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

2.229 “κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅττί κεν εἴπω·
μή τις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω
σκηπτοῦχος βασιλεύς, μηδὲ φρεσὶν αἴσιμα εἰδώς,
ἀλλ’ αἰεὶ χαλεπός τ’ εἴη καὶ αἴσυλα ῥέζοι.
ὣς οὔτις μέμνηται Ὀδυσσῆος θείοιο
✦ λαῶν, οἷσιν ἄνασσε, πατὴρ δ’ ὣς ἤπιος ἦεν.
ἀλλ’ ἤτοι μνηστῆρας ἀγήνορας οὔ τι μεγαίρω
ἔρδειν ἔργα βίαια κακορραφίηισι νόοιο·
σφὰς γὰρ παρθέμενοι κεφαλὰς κατέδουσι βιαίως
οἶκον Ὀδυσσῆος, τὸν δ’ οὐκέτι φασὶ νέεσθαι.
νῦν δ’ ἄλλωι δήμωι νεμεσίζομαι, οἷον ἅπαντες
ἧσθ’ ἄνεωι, ἀτὰρ οὔ τι καθαπτόμενοι ἐπέεσσιν
Mentor παύρους μνηστῆρας κατερύκετε πολλοὶ ἐόντες.”

“Τηλέμαχ’ οὐδ’ ὄπιθεν κακὸς ἔσσεαι οὐδ’ ἀνοήμων. 2.270
εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠΰ,
οἷος ἐκεῖνος ἔην τελέσαι ἔργόν τε ἔπος τε,
οὔ τοι ἔπειθ’ ἁλίη ὁδὸς ἔσσεται οὐδ’ ἀτέλεστος.
εἰ δ’ οὐ κείνου γ’ ἐσσὶ γόνος καὶ Πηνελοπείης,
οὔ σε γ’ ἔπειτα ἔολπα τελευτήσειν ἃ μενοινᾶις.
παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται,
οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους.
ἀλλ’ ἐπεὶ οὐδ’ ὄπιθεν κακὸς ἔσσεαι οὐδ’ ἀνοήμων,
οὐδέ σε πάγχυ γε μῆτις Ὀδυσσῆος προλέλοιπεν,
ἐλπωρή τοι ἔπειτα τελευτῆσαι τάδε ἔργα.
τῶι νῦν μνηστήρων μὲν ἔα βουλήν τε νόον τε
ἀφραδέων, ἐπεὶ οὔ τι νοήμονες οὐδὲ δίκαιοι·
οὐδέ τι ἴσασιν θάνατον καὶ κῆρα μέλαιναν,
ὃς δή σφι σχεδόν ἐστιν, ἐπ’ ἤματι πάντας ὀλέσθαι.

σοὶ δ' ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται ἣν σὺ μενοινᾷς·
τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώϊός εἰμι,
ὅς τοι νῆα θοὴν στελέω καὶ ἅμ' ἕψομαι αὐτός.
ἀλλὰ σὺ μὲν πρὸς δώματ' ἰὼν μνηστῆρσιν ὁμίλει,
ὅπλισσόν τ' ἤϊα καὶ ἄγγεσιν ἄρσον ἅπαντα,
οἶνον ἐν ἀμφιφορεῦσι, καὶ ἄλφιτα, μυελὸν ἀνδρῶν,
δέρμασιν ἐν πυκινοῖσιν· ἐγὼ δ' ἀνὰ δῆμον ἑταίρους
αἶψ' ἐθελοντῆρας συλλέξομαι. εἰσὶ δὲ νῆες
πολλαὶ ἐν ἀμφιάλωι Ἰθάκηι, νέαι ἠδὲ παλαιαί·
Athena as τάων μέν τοι ἐγὼν ἐπιόψομαι ἥ_τις ἀρίστη,
Mentor ὦκα δ' ἐφοπλίσσαντες ἐνήσομεν εὐρέϊ πόντωι."
<u>2.402</u> "Τηλέμαχ', ἤδη μὲν τοι ἐϋκνήμιδες ἑταῖροι
Athena as εἵατ' ἐπήρετμοι, τὴν σὴν ποτιδέγμενοι ὁρμήν·
Mentor ἀλλ' ἴομεν, μὴ δηθὰ διατρίβωμεν ὁδοῖο."

This Noemon provided a ship to Telemachos; he is neither the suitor Noemon nor the Lycian Noemon whom Odysseus killed.

ODYSSEY ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 14 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES OF NOEMON IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

4.632 “Ἀντίνο᾽, ἦ ῥά τι ἴδμεν ἐνὶ φρεσὶν, ἠὲ καὶ οὐκὶ,
ὁππότε Τηλέμαχος νεῖτ᾽ ἐκ Πύλου ἠμαθόεντος;
νῆά μοι οἴχετ᾽ ἄγων· ἐμὲ δὲ χρεὼ γίγνεται αὐτῆς
Ἤλιδ᾽ ἐς εὐρύχορον διαβήμεναι, ἔνθα μοι ἵπποι
δώδεκα θήλειαι, ὑπὸ δ᾽ ἡμίονοι ταλαεργοὶ
Noemon ἀδμῆτες· τῶν κεν τιν᾽ ἐλασσάμενος δαμασαίμην.”
4.649 “αὐτὸς ἑκών οἱ δῶκα· τί κεν ῥέξειε καὶ ἄλλος,
ὁππότ᾽ ἀνὴρ τοιοῦτος ἔχων μελεδήματα θυμῶι
αἰτίζηι; χαλεπόν κεν ἀνήνασθαι δόσιν εἴη.
κοῦροι δ᾽ οἳ κατὰ δῆμον ἀριστεύουσι μεθ᾽ ἡμέας,
οἵ οἱ ἕποντ᾽· ἐν δ᾽ ἀρχὸν ἐγὼ βαίνοντ᾽ ἐνόησα
Μέντορα, ἠὲ θεὸν, τῶι δ᾽ αὐτῶι πάντα ἐῴκει.
ἀλλὰ τὸ θαυμάζω· ἴδον ἐνθάδε Μέντορα δῖον
Noemon χθιζὸν ὑπηοῖον· τότε δ᾽ ἔμβη νηῒ Πύλονδε.”

4.632 “Ἀντίνο᾽, ἦ ῥά τι ἴδμεν ἐνὶ φρεσὶν, ἠὲ καὶ οὐκὶ,
ὁππότε Τηλέμαχος νεῖτ᾽ ἐκ Πύλου ἠμαθόεντος;
νῆά μοι οἴχετ᾽ ἄγων· ἐμὲ δὲ χρεὼ γίγνεται αὐτῆς
Ἤλιδ᾽ ἐς εὐρύχορον διαβήμεναι, ἔνθα μοι ἵπποι
δώδεκα θήλειαι, ὑπὸ δ᾽ ἡμίονοι ταλαεργοὶ
Noemon ἀδμῆτες· τῶν κεν τιν᾽ ἐλασσάμενος δαμασαίμην.”
4.649 “αὐτὸς ἑκών οἱ δῶκα· τί κεν ῥέξειε καὶ ἄλλος,
ὁππότ᾽ ἀνὴρ τοιοῦτος ἔχων μελεδήματα θυμῶι
αἰτίζηι; χαλεπόν κεν ἀνήνασθαι δόσιν εἴη.
κοῦροι δ᾽ οἳ κατὰ δῆμον ἀριστεύουσι μεθ᾽ ἡμέας,
οἵ οἱ ἕποντ᾽· ἐν δ᾽ ἀρχὸν ἐγὼ βαίνοντ᾽ ἐνόησα
Μέντορα, ἠὲ θεὸν, τῶι δ᾽ αὐτῶι πάντα ἐῴκει.
ἀλλὰ τὸ θαυμάζω· ἴδον ἐνθάδε Μέντορα δῖον
χθιζὸν ὑπηοῖον· τότε δ᾽ ἔμβη νηῒ Πύλονδε.” Noemon

4.632 “Ἀντίνο᾽, ἦ ῥά τι ἴδμεν ἐνὶ φρεσὶν, ἠὲ καὶ οὐκὶ,
ὁππότε Τηλέμαχος νεῖτ᾽ ἐκ Πύλου ἠμαθόεντος;
νῆά μοι οἴχετ᾽ ἄγων· ἐμὲ δὲ χρεὼ γίγνεται αὐτῆς
Ἤλιδ᾽ ἐς εὐρύχορον διαβήμεναι, ἔνθα μοι ἵπποι
δώδεκα θήλειαι, ὑπὸ δ᾽ ἡμίονοι ταλαεργοὶ
Noemon ἀδμῆτες· τῶν κεν τιν᾽ ἐλασσάμενος δαμασαίμην.”
4.649 “αὐτὸς ἑκών οἱ δῶκα· τί κεν ῥέξειε καὶ ἄλλος,
ὁππότ᾽ ἀνὴρ τοιοῦτος ἔχων μελεδήματα θυμῶι
αἰτίζηι; χαλεπόν κεν ἀνήνασθαι δόσιν εἴη.
κοῦροι δ᾽ οἳ κατὰ δῆμον ἀριστεύουσι μεθ᾽ ἡμέας,
οἵ οἱ ἕποντ᾽· ἐν δ᾽ ἀρχὸν ἐγὼ βαίνοντ᾽ ἐνόησα
Μέντορα, ἠὲ θεὸν, τῶι δ᾽ αὐτῶι πάντα ἐῴκει.
ἀλλὰ τὸ θαυμάζω· ἴδον ἐνθάδε Μέντορα δῖον
χθιζὸν ὑπηοῖον· τότε δ᾽ ἔμβη νηῒ Πύλονδε.” Noemon

Notes

Notes

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 43 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF THE ITHAKAN COWHERD PHILOITIOS IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

20.191 “τίς δὴ ὅδε ξεῖνος νέον εἰλήλουθε, συβῶτα,
ἡμέτερον πρὸς δῶμα; τέων δ’ ἐξ εὔχεται εἶναι
ἀνδρῶν; ποῦ δέ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα;
δύσμορος, ἦ τε ἔοικε δέμας βασιλῆϊ ἄνακτι·
Phil- ἀλλὰ θεοὶ δυόωσι πολυπλάγκτους ἀνθρώπους,
oitios ὁππότε καὶ βασιλεῦσιν ἐπικλώσωνται ὀϊζύν.”
20.199 “χαῖρε, πάτερ ὦ ξεῖνε· γένοιτό τοι ἔς περ ὀπίσσω
ὄλβος· ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι πολέεσσιν.
Ζεῦ πάτερ, οὔ τις σεῖο θεῶν ὀλοώτερος ἄλλος·
οὐκ ἐλεαίρεις ἄνδρας, ἐπὴν δὴ γείνεαι αὐτὸς,
μισγέμεναι κακότητι καὶ ἄλγεσι λευγαλέοισιν.
ἴδιον, ὡς ἐνόησα, δεδάκρυνται δέ μοι ὄσσε
μνησαμένωι Ὀδυσῆος, ἐπεὶ καὶ κεῖνον ὀΐω
τοιάδε λαίφε’ ἔχοντα κατ’ ἀνθρώπους ἀλάλησθαι,
εἴ που ἔτι ζώει καὶ ὁρᾶι φάος ἠελίοιο.
εἰ δ’ ἤδη τέθνηκε καὶ εἰν Ἀΐδαο δόμοισιν,
ὤι μοι ἔπειτ’ Ὀδυσῆος ἀμύμονος, ὅς μ’ ἐπὶ βουσὶν
εἷσ’ ἔτι τυτθὸν ἐόντα Κεφαλλήνων ἐνὶ δήμωι.
νῦν δ’ αἱ μὲν γίγνονται ἀθέσφατοι, οὐδέ κεν ἄλλως
ἀνδρί γ’ ὑποσταχύοιτο βοῶν γένος εὐρυμετώπων·
τὰς δ’ ἄλλοί με κέλονται ἀγινέμεναί σφισιν αὐτοῖς
ἔδμεναι· οὐδέ τι παιδός ἐνὶ μεγάροις ἀλέγουσιν,
οὐδ’ ὄπιδα τρομέουσι θεῶν· μεμάασι γὰρ ἤδη
κτήματα δάσσασθαι δὴν οἰχομένοιο ἄνακτος.
αὐτὰρ ἐμοὶ τόδε θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
πόλλ’ ἐπιδινεῖται· μάλα μὲν κακὸν υἷος ἐόντος
ἄλλων δῆμον ἱκέσθαι ἰόντ’ αὐτῆισι βόεσσιν,
ἄνδρας ἐς ἀλλοδαπούς· τὸ δὲ ῥίγιον, αὖθι μένοντα
βουσὶν ἔπ’ ἀλλοτρίῃσι καθήμενον ἄλγεα πάσχειν.
καί κεν δὴ πάλαι ἄλλον ὑπερμενέων βασιλήων
ἐξικόμην φεύγων, ἐπεὶ οὐκέτ’ ἀνεκτὰ πέλονται·
Phil- ἀλλ’ ἔτι τὸν δύστηνον ὀΐομαι, εἴ ποθεν ἐλθὼν
oitios ἀνδρῶν μνηστήρων σκέδασιν κατὰ δώματα θείη.”
20.236 “αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τελέσειε Κρονίων·
Philoitios γνοίης χ’ οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται.”
21.200 “Ζεῦ πάτερ, αἲ γὰρ τοῦτο τελευτήσειας ἐέλδωρ,
Phil- ὡς ἔλθοι μὲν κεῖνος ἀνὴρ, ἀγάγοι δέ ἑ δαίμων·
oitios γνοίης χ’ οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται.”
22.287 “ὦ Πολυθερσείδη φιλοκέρτομε, μή ποτε πάμπαν
εἴκων ἀφραδίῃς μέγα εἰπεῖν, ἀλλὰ θεοῖσιν
μῦθον ἐπιτρέψαι, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσιν.
τοῦτό τοι ἀντὶ ποδὸς ξεινήϊον, ὅν ποτ’ ἔδωκας
Philoitios ἀντιθέωι Ὀδυσῆϊ δόμον κάτ’ ἀλητεύοντι.”

20.191 "τίς δὴ ὅδε ξεῖνος νέον εἰλήλουθε, συβῶτα,
ἡμέτερον πρὸς δῶμα; τέων δ᾽ ἐξ εὔχεται εἶναι
ἀνδρῶν; ποῦ δέ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα;
δύσμορος, ἦ τε ἔοικε δέμας βασιλῆϊ ἄνακτι·
Phil- ἀλλὰ θεοὶ δυόωσι πολυπλάγκτους ἀνθρώπους,
oitios ὁππότε καὶ βασιλεῦσιν ἐπικλώσωνται ὀϊζύν."
20.199 "χαῖρε, πάτερ ὦ ξεῖνε· γένοιτό τοι ἔς περ ὀπίσσω
ὄλβος· ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι πολέεσσιν.
Ζεῦ πάτερ, οὔ_τις σεῖο θεῶν ὀλοώτερος ἄλλος·
οὐκ ἐλεαίρεις ἄνδρας, ἐπὴν δὴ γείνεαι αὐτὸς,
μισγέμεναι κακότητι καὶ ἄλγεσι λευγαλέοισιν.
ἴδιον, ὡς ἐνόησα, δεδάκρυνται δέ μοι ὄσσε
μνησαμένωι Ὀδυσῆος, ἐπεὶ καὶ κεῖνον ὀΐω
τοιάδε λαίφε᾽ ἔχοντα κατ᾽ ἀνθρώπους ἀλάλησθαι,
εἴ που ἔτι ζώει καὶ ὁρᾶι φάος ἠελίοιο.
εἰ δ᾽ ἤδη τέθνηκε καὶ εἰν Ἀΐδαο δόμοισιν,
ὤι μοι ἔπειτ᾽ Ὀδυσῆος ἀμύμονος, ὅς μ᾽ ἐπὶ βουσὶν
εἷσ᾽ ἔτι τυτθὸν ἐόντα Κεφαλλήνων ἐνὶ δήμωι.
νῦν δ᾽ αἱ μὲν γίγνονται ἀθέσφατοι, οὐδέ κεν ἄλλως
ἀνδρί γ᾽ ὑποσταχύοιτο βοῶν γένος εὐρυμετώπων·
τὰς δ᾽ ἄλλοί με κέλονται ἀγινέμεναί σφισιν αὐτοῖς
ἔδμεναι· οὐδέ τι παιδός ἐνὶ μεγάροις ἀλέγουσιν,
οὐδ᾽ ὄπιδα τρομέουσι θεῶν· μεμάασι γὰρ ἤδη
κτήματα δάσσασθαι δὴν οἰχομένοιο ἄνακτος.
αὐτὰρ ἐμοὶ τόδε θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
πόλλ᾽ ἐπιδινεῖται· μάλα μὲν κακὸν υἷος ἐόντος
ἄλλων δῆμον ἱκέσθαι ἰόντ᾽ αὐτῆισι βόεσσιν,
ἄνδρας ἐς ἀλλοδαπούς· τὸ δὲ ῥίγιον, αὖθι μένοντα
βουσὶν ἔπ᾽ ἀλλοτρίηισι καθήμενον ἄλγεα πάσχειν.
καί κεν δὴ πάλαι ἄλλον ὑπερμενέων βασιλήων
ἐξικόμην φεύγων, ἐπεὶ οὐκέτ᾽ ἀνεκτὰ πέλονται·
ἀλλ᾽ ἔτι τὸν δύστηνον ὀΐομαι, εἴ ποθεν ἐλθὼν Phil-
ἀνδρῶν μνηστήρων σκέδασιν κατὰ δώματα θείη." oitios
"αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τελέσειε Κρονίων· 20.236
γνοίης χ᾽ οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται." Philoitios
"Ζεῦ πάτερ, αἲ γὰρ τοῦτο τελευτήσειας ἐέλδωρ, 21.200
ὡς ἔλθοι μὲν κεῖνος ἀνὴρ, ἀγάγοι δέ ἑ δαίμων· Phil-
γνοίης χ᾽ οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται." oitios
"ὦ Πολυθερσείδη φιλοκέρτομε, μή_ποτε πάμπαν 22.287
εἴκων ἀφραδίῃς μέγα εἰπεῖν, ἀλλὰ θεοῖσιν
μῦθον ἐπιτρέψαι, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσιν.
τοῦτό τοι ἀντὶ ποδὸς ξεινήϊον, ὅν ποτ᾽ ἔδωκας
ἀντιθέωι Ὀδυσῆϊ δόμον κάτ᾽ ἀλητεύοντι." Philoitios

Notes

Notes

Ithakan Dolios was a gardener-slave of the royal family.

ODYSSEY ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 60 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES OF THE FAMILY OF DOLIOS IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

17.217 “νῦν μὲν δὴ μάλα πάγχυ κακὸς κακὸν ἡγηλάζει,
ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ἐς τὸν ὁμοῖον.
πῆι δὴ τόνδε μολοβρὸν ἄγεις, ἀμέγαρτε συβῶτα,
πτωχὸν ἀνιηρόν, δαιτῶν ἀπολυμαντῆρα;
ὃς πολλῆις φλιῆισι παραστὰς θλίψεται ὤμους,
αἰτίζων ἀκόλους, οὐκ ἄορας οὐδὲ λέβητας·
τόν κ' εἴ μοι δοίης σταθμῶν ῥυτῆρα λιπέσθαι
σηκοκόρον τ' ἔμεναι θαλλόν τ' ἐρίφοισι φορῆναι,
καί κεν ὀρὸν πίνων μεγάλην ἐπιγουνίδα θεῖτο.
ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθεν, οὐκ ἐθελήσει
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον
βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ' ἄναλτον.
ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
αἴ κ' ἔλθηι πρὸς δώματ' Ὀδυσσῆος θείοιο,
Mel- πολλά οἱ ἀμφὶ κάρη σφέλα' ἀνδρῶν ἐκ παλαμάων
antheus πλευραὶ ἀποτρίψουσι δόμον κάτα βαλλομένοιο.”
17.248 “ὢ πόποι, οἷον ἔειπε κύων ὀλοφώϊα εἰδώς,
τόν ποτ' ἐγὼν ἐπὶ νηὸς ἐϋσσέλμοιο μελαίνης
ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι.
αἲ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων
Mel- σήμερον ἐν μεγάροις, ἢ ὑπὸ μνηστῆρσι δαμείη,
antheus ὡς Ὀδυσῆΐ γε τηλοῦ ἀπώλετο νόστιμον ἦμαρ.”
17.370 “κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
τοῦδε περὶ ξείνου· ἦ γάρ μιν πρόσθεν ὄπωπα.
Mel- ἤτοι μέν οἱ δεῦρο συβώτης ἡγεμόνευεν,
antheus αὐτὸν δ' οὐ σάφα οἶδα, πόθεν γένος εὔχεται εἶναι.”
18.327 “ξεῖνε τάλαν, σύ γέ τις φρένας ἐκπεπαταγμένος ἐσσί,
◆ οὐδ' ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθών,
ἠέ που ἐς λέσχην, ἀλλ' ἐνθάδε πόλλ' ἀγορεύεις,
θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῶι
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.
ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;
μή τίς τοι τάχα Ἴρου ἀμείνων ἄλλος ἀναστῆι,
Mel- ὅς τίς σ' ἀμφὶ κάρη κεκοπὼς χερσὶ στιβαρῆισιν
antho δώματος ἐκπέμψηισι, φορύξας αἵματι πολλῶι.”
20.178 “ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις κατὰ δῶμα
ἀνέρας αἰτίζων, ἀτὰρ οὐκ ἔξεισθα θύραζε;
πάντως οὐκέτι νῶϊ διακρινέεσθαι ὀΐω
Mel- πρὶν χειρῶν γεύσασθαι, ἐπεὶ σύ περ οὐ κατὰ κόσμον
antheus αἰτίζεις. εἰσὶν δὲ καὶ ἄλλοθι δαῖτες Ἀχαιῶν.”
22.136 “οὔ πως ἔστ', Ἀγέλαε διοτρεφές· ἄγχι γὰρ αἰνῶς
αὐλῆς καλὰ θύρετρα καὶ ἀργαλέον στόμα λαύρης·
Mel- καί χ' εἷς πάντας ἐρύκοι ἀνήρ, ὅς τ' ἄλκιμος εἴη.
antheus ἀλλ' ἄγεθ', ὑμῖν τεύχε' ἐνείκω θωρηχθῆναι
ἐκ θαλάμου· ἔνδον γάρ, ὀΐομαι, οὐδέ πηι ἄλληι
τεύχεα κατθέσθην Ὀδυσεὺς καὶ φαίδιμος υἱός.”
22.164 “διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
κεῖνος δὴ αὖτ' ἀΐδηλος ἀνήρ, ὃν ὀϊόμεθ' αὐτοί,
ἔρχεται ἐς θάλαμον· σὺ δέ μοι νημερτὲς ἐνίσπες,
ἤ μιν ἀποκτείνω, αἴ κε κρείσσων γε γένωμαι,
ἦε σοὶ ἐνθάδ' ἄγω, ἵν' ὑπερβασίας ἀποτείσηι Mel-
πολλάς, ὅσσας οὗτος ἐμήσατο σῶι ἐνὶ οἴκωι.” antheus
“ὦ φίλ', ἐπεὶ νόστησας ἐελδομένοισι μάλ' ἡμῖν **24.400**
οὐδ' ἔτ' ὀϊομένοισι, θεοὶ δέ σε ἤγαγον αὐτοί,
οὖλέ τε καὶ μέγα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν.
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
ἢ ἤδη σάφα οἶδε περίφρων Πηνελόπεια
νοστήσαντά σε δεῦρ', ἢ ἄγγελον ὀτρύνωμεν;” Dolios
“οἵδε δὴ ἐγγὺς ἔασ'· ἀλλ' ὁπλιζώμεθα θᾶσσον.” **24.495**

24.495 υἱὸς Δολίου (not Melantheus, who is dead)
Dolios the gardener, father of Melatheus and Melantho,
Melantheus the disloyal goatherd who is dismembered
Melantho servant who slept with suitor(s)

17.217 “νῦν μὲν δὴ μάλα πάγχυ κακὸς κακὸν ἡγηλάζει,
ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ἐς τὸν ὁμοῖον.
πῆι δὴ τόνδε μολοβρὸν ἄγεις, ἀμέγαρτε συβῶτα,
πτωχὸν ἀνιηρόν, δαιτῶν ἀπολυμαντῆρα;
ὃς πολλῆις φλιῆισι παραστὰς θλίψεται ὤμους,
αἰτίζων ἀκόλους, οὐκ ἄορας οὐδὲ λέβητας·
τόν κ' εἴ μοι δοίης σταθμῶν ῥυτῆρα λιπέσθαι
σηκοκόρον τ' ἔμεναι θαλλόν τ' ἐρίφοισι φορῆναι,
καί κεν ὀρὸν πίνων μεγάλην ἐπιγουνίδα θεῖτο.
ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθεν, οὐκ ἐθελήσει
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον
βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ' ἄναλτον.
ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
αἴ κ' ἔλθηι πρὸς δώματ' Ὀδυσσῆος θείοιο,
Mel- πολλά οἱ ἀμφὶ κάρη σφέλα' ἀνδρῶν ἐκ παλαμάων
antheus πλευραὶ ἀποτρίψουσι δόμον κάτα βαλλομένοιο.”
17.248 “ὢ πόποι, οἷον ἔειπε κύων ὀλοφώϊα εἰδώς,
τόν ποτ' ἐγὼν ἐπὶ νηὸς ἐϋσσέλμοιο μελαίνης
ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι.
αἲ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων
Mel- σήμερον ἐν μεγάροις, ἢ ὑπὸ μνηστῆρσι δαμείη,
antheus ὡς Ὀδυσῆΐ γε τηλοῦ ἀπώλετο νόστιμον ἦμαρ.”
17.370 “κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
τοῦδε περὶ ξείνου· ἦ γάρ μιν πρόσθεν ὄπωπα.
Mel- ἤτοι μέν οἱ δεῦρο συβώτης ἡγεμόνευεν,
antheus αὐτὸν δ' οὐ σάφα οἶδα, πόθεν γένος εὔχεται εἶναι.”
18.327 “ξεῖνε τάλαν, σύ γέ τις φρένας ἐκπεπαταγμένος ἐσσί,
✦ οὐδ' ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθών,
ἠέ που ἐς λέσχην, ἀλλ' ἐνθάδε πόλλ' ἀγορεύεις,
θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῶι
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.
ἦ' ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;
μή τίς τοι τάχα Ἴρου ἀμείνων ἄλλος ἀναστῆι,
ὅς τίς σ' ἀμφὶ κάρη κεκοπὼς χερσὶ στιβαρῆισιν Mel-
δώματος ἐκπέμψῃσι, φορύξας αἵματι πολλῶι.” antho
“ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις κατὰ δῶμα 20.178
ἀνέρας αἰτίζων, ἀτὰρ οὐκ ἔξεισθα θύραζε;
πάντως οὐκέτι νῶϊ διακρινέεσθαι ὀΐω
πρὶν χειρῶν γεύσασθαι, ἐπεὶ σύ περ οὐ κατὰ κόσμον Mel-
αἰτίζεις. εἰσὶν δὲ καὶ ἄλλοθι δαῖτες Ἀχαιῶν.” antheus
“οὔ πως ἔστ', Ἀγέλαε διοτρεφές· ἄγχι γὰρ αἰνῶς 22.136
αὐλῆς καλὰ θύρετρα καὶ ἀργαλέον στόμα λαύρης·
καί χ' εἷς πάντας ἐρύκοι ἀνήρ, ὅς τ' ἄλκιμος εἴη. Mel-
ἀλλ' ἄγεθ', ὑμῖν τεύχε' ἐνείκω θωρηχθῆναι antheus
ἐκ θαλάμου· ἔνδον γάρ, ὀΐομαι, οὐδέ πηι ἄλληι
τεύχεα κατθέσθην Ὀδυσεὺς καὶ φαίδιμος υἱός.”
“διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, 22.164
κεῖνος δὴ αὖτ' ἀΐδηλος ἀνήρ, ὃν ὀϊόμεθ' αὐτοί,
ἔρχεται ἐς θάλαμον· σὺ δέ μοι νημερτὲς ἐνίσπες,
ἤ μιν ἀποκτείνω, αἴ κε κρείσσων γε γένωμαι,
ἠὲ σοὶ ἐνθάδ' ἄγω, ἵν' ὑπερβασίας ἀποτείσηι Mel-
πολλάς, ὅσσας οὗτος ἐμήσατο σῶι ἐνὶ οἴκωι.” antheus
“ὦ φίλ', ἐπεὶ νόστησας ἐελδομένοισι μάλ' ἡμῖν 24.400
οὐδ' ἔτ' ὀϊομένοισι, θεοὶ δέ σε ἤγαγον αὐτοί,
οὖλέ τε καὶ μέγα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν.
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
ἢ ἤδη σάφα οἶδε περίφρων Πηνελόπεια
νοστήσαντά σε δεῦρ', ἦ ἄγγελον ὀτρύνωμεν;” Dolios
“οἵδε δὴ ἐγγὺς ἔασ'· ἀλλ' ὁπλιζώμεθα θᾶσσον.” 24.495

24.495 υἱὸς Δολίου (not Melantheus, who is dead)
Dolios **the gardener, father of Melatheus and Melantho,**
Melantheus **the disloyal goatherd who is dismembered**
Melantho **servant who slept with suitor(s)**

17.217 “νῦν μὲν δὴ μάλα πάγχυ κακὸς κακὸν ἡγηλάζει,
ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ἐς τὸν ὁμοῖον.
πῆι δὴ τόνδε μολοβρὸν ἄγεις, ἀμέγαρτε συβῶτα,
πτωχὸν ἀνιηρὸν, δαιτῶν ἀπολυμαντῆρα;
ὃς πολλῆις φλιῆισι παραστὰς θλίψεται ὤμους,
αἰτίζων ἀκόλους, οὐκ ἄορας οὐδὲ λέβητας·
τόν κ’ εἴ μοι δοίης σταθμῶν ῥυτῆρα λιπέσθαι
σηκοκόρον τ’ ἔμεναι θαλλόν τ’ ἐρίφοισι φορῆναι,
καί κεν ὀρὸν πίνων μεγάλην ἐπιγουνίδα θεῖτο.
ἀλλ’ ἐπεὶ οὖν δὴ ἔργα κάκ’ ἔμμαθεν, οὐκ ἐθελήσει
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον
βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ’ ἄναλτον.
ἀλλ’ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
αἴ κ’ ἔλθηι πρὸς δώματ’ Ὀδυσσῆος θείοιο,
πολλά οἱ ἀμφὶ κάρη σφέλα’ ἀνδρῶν ἐκ παλαμάων Mel-
πλευραὶ ἀποτρίψουσι δόμον κάτα βαλλομένοιο.” antheus
“ὢ πόποι, οἷον ἔειπε κύων ὀλοφώϊα εἰδὼς, 17.248
τόν ποτ’ ἐγὼν ἐπὶ νηὸς ἐϋσσέλμοιο μελαίνης
ἄξω τῆλ’ Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι.
αἲ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων
σήμερον ἐν μεγάροις, ἢ ὑπὸ μνηστῆρσι δαμείη, Mel-
ὡς Ὀδυσῆϊ γε τηλοῦ ἀπώλετο νόστιμον ἦμαρ.” antheus
“κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης, 17.370
τοῦδε περὶ ξείνου· ἦ γάρ μιν πρόσθεν ὄπωπα.
ἤτοι μέν οἱ δεῦρο συβώτης ἡγεμόνευεν, Mel-
αὐτὸν δ’ οὐ σάφα οἶδα, πόθεν γένος εὔχεται εἶναι.” antheus

18.327 “ξεῖνε τάλαν, σύ γέ τις φρένας ἐκπεπαταγμένος ἐσσί,
◆ οὐδ’ ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθὼν,
ἠέ που ἐς λέσχην, ἀλλ’ ἐνθάδε πόλλ’ ἀγορεύεις,
θαρσαλέως πολλοῖσι μετ’ ἀνδράσιν, οὐδέ τι θυμῶι
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.
ἦ’ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;
μή τίς τοι τάχα Ἴρου ἀμείνων ἄλλος ἀναστῆι,
Mel- ὅς τίς σ’ ἀμφὶ κάρη κεκοπὼς χερσὶ στιβαρῇσιν
antho δώματος ἐκπέμψησι, φορύξας αἵματι πολλῶι.”
20.178 “ξεῖν’, ἔτι καὶ νῦν ἐνθάδ’ ἀνιήσεις κατὰ δῶμα
ἀνέρας αἰτίζων, ἀτὰρ οὐκ ἔξεισθα θύραζε;
πάντως οὐκέτι νῶϊ διακρινέεσθαι ὀΐω
πρὶν χειρῶν γεύσασθαι, ἐπεὶ σύ περ οὐ κατὰ κόσμον Mel-
αἰτίζεις. εἰσὶν δὲ καὶ ἄλλοθι δαῖτες Ἀχαιῶν.” antheus
“οὔ πως ἔστ’, Ἀγέλαε διοτρεφές· ἄγχι γὰρ αἰνῶς 22.136
αὐλῆς καλὰ θύρετρα καὶ ἀργαλέον στόμα λαύρης·
καί χ’ εἷς πάντας ἐρύκοι ἀνὴρ, ὅς τ’ ἄλκιμος εἴη. Mel-
ἀλλ’ ἄγεθ’, ὑμῖν τεύχε’ ἐνείκω θωρηχθῆναι antheus
ἐκ θαλάμου· ἔνδον γὰρ, ὀΐομαι, οὐδέ πηι ἄλλῃ
τεύχεα κατθέσθην Ὀδυσεὺς καὶ φαίδιμος υἱός.”
“διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ, 22.164
κεῖνος δὴ αὖτ’ ἀΐδηλος ἀνήρ, ὃν ὀϊόμεθ’ αὐτοὶ,
ἔρχεται ἐς θάλαμον· σὺ δέ μοι νημερτὲς ἐνίσπες,
ἤ μιν ἀποκτείνω, αἴ κε κρείσσων γε γένωμαι,
ἠὲ σοὶ ἐνθάδ’ ἄγω, ἵν’ ὑπερβασίας ἀποτείσῃ Mel-
πολλὰς, ὅσσας οὗτος ἐμήσατο σῶι ἐνὶ οἴκωι.” antheus
“ὦ φίλ’, ἐπεὶ νόστησας ἐελδομένοισι μάλ’ ἡμῖν 24.400
οὐδ’ ἔτ’ ὀϊομένοισι, θεοὶ δέ σε ἤγαγον αὐτοί,
οὖλέ τε καὶ μέγα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν.
καί μοι τοῦτ’ ἀγόρευσον ἐτήτυμον, ὄφρ’ εὖ εἰδῶ,
ἢ ἤδη σάφα οἶδε περίφρων Πηνελόπεια
νοστήσαντά σε δεῦρ’, ἦ ἄγγελον ὀτρύνωμεν;” Dolios
“οἵδε δὴ ἐγγὺς ἔασ’· ἀλλ’ ὁπλιζώμεθα θᾶσσον.” 24.495

24.495 υἱὸς Δολίου (not Melantheus, who is dead)
Dolios **the gardener, father of Melatheus and Melantho,**
Melantheus **the disloyal goatherd who is dismembered**
Melantho **servant who slept with suitor(s)**

Melantheus and Melantho, a goatherd, are the children of Dolios, slave-gardener to the Ithakan royal family.

ODYSSEY ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 43 v 10 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF

MELANTHEUS vs MELANTHO

IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

17.217 "νῦν μὲν δὴ μάλα πάγχυ κακὸς κακὸν ἡγηλάζει,
ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ἐς τὸν ὁμοῖον.
πῆι δὴ τόνδε μολοβρὸν ἄγεις, ἀμέγαρτε συβῶτα,
πτωχὸν ἀνιηρόν, δαιτῶν ἀπολυμαντῆρα;
ὃς πολλῆις φλιῆισι παραστὰς θλίψεται ὤμους,
αἰτίζων ἀκόλους, οὐκ ἄορας οὐδὲ λέβητας·
τόν κ' εἴ μοι δοίης σταθμῶν ῥυτῆρα λιπέσθαι
σηκοκόρον τ' ἔμεναι θαλλόν τ' ἐρίφοισι φορῆναι,
καί κεν ὀρὸν πίνων μεγάλην ἐπιγουνίδα θεῖτο.
ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθεν, οὐκ ἐθελήσει
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον
βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ' ἄναλτον.
ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
αἴ κ' ἔλθηι πρὸς δώματ' Ὀδυσσῆος θείοιο,
Mel- πολλά οἱ ἀμφὶ κάρη σφέλα' ἀνδρῶν ἐκ παλαμάων
antheus πλευραὶ ἀποτρίψουσι δόμον κάτα βαλλομένοιο."

17.248 "ὢ πόποι, οἷον ἔειπε κύων ὀλοφώϊα εἰδώς,
τόν ποτ' ἐγὼν ἐπὶ νηὸς ἐϋσσέλμοιο μελαίνης
ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι.
αἲ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων
Mel- σήμερον ἐν μεγάροις, ἢ ὑπὸ μνηστῆρσι δαμείη,
antheus ὡς Ὀδυσῆΐ γε τηλοῦ ἀπώλετο νόστιμον ἦμαρ."

17.370 "κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
τοῦδε περὶ ξείνου· ἦ γάρ μιν πρόσθεν ὄπωπα.
Mel- ἤτοι μέν οἱ δεῦρο συβώτης ἡγεμόνευεν,
antheus αὐτὸν δ' οὐ σάφα οἶδα, πόθεν γένος εὔχεται εἶναι."

20.178 "ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις κατὰ δῶμα
ἀνέρας αἰτίζων, ἀτὰρ οὐκ ἔξεισθα θύραζε;
πάντως οὐκέτι νῶϊ διακρινέεσθαι ὀΐω
Mel- πρὶν χειρῶν γεύσασθαι, ἐπεὶ σύ περ οὐ κατὰ κόσμον
antheus αἰτίζεις. εἰσὶν δὲ καὶ ἄλλοθι δαῖτες Ἀχαιῶν."

22.136 "οὔ πως ἔστ', Ἀγέλαε διοτρεφές· ἄγχι γὰρ αἰνῶς
αὐλῆς καλὰ θύρετρα καὶ ἀργαλέον στόμα λαύρης·
Mel- καί χ' εἷς πάντας ἐρύκοι ἀνήρ, ὅς τ' ἄλκιμος εἴη.
antheus ἀλλ' ἄγεθ', ὑμῖν τεύχε' ἐνείκω θωρηχθῆναι
ἐκ θαλάμου· ἔνδον γάρ, ὀΐομαι, οὐδέ πηι ἄλληι
τεύχεα κατθέσθην Ὀδυσεὺς καὶ φαίδιμος υἱός."

22.164 "διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
κεῖνος δὴ αὖτ' ἀΐδηλος ἀνήρ, ὃν ὀϊόμεθ' αὐτοί,
ἔρχεται ἐς θάλαμον· σὺ δέ μοι νημερτὲς ἐνίσπες,
ἤ μιν ἀποκτείνω, αἴ κε κρείσσων γε γένωμαι,
Mel- ἦὲ σοὶ ἐνθάδ' ἄγω, ἵν' ὑπερβασίας ἀποτείσηι
antheus πολλάς, ὅσσας οὗτος ἐμήσατο σῶι ἐνὶ οἴκωι."

"ξεῖνε τάλαν, σύ γέ τις φρένας ἐκπεπαταγμένος ἐσσί, 18.327
οὐδ' ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθών, ◆
ἠέ που ἐς λέσχην, ἀλλ' ἐνθάδε πόλλ' ἀγορεύεις,
θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῶι
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.
ἦ' ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;
μή τίς τοι τάχα Ἶρον ἀμείνων ἄλλος ἀναστῆι,
ὅς τίς σ' ἀμφὶ κάρη κεκοπὼς χερσὶ στιβαρῆισιν Mel-
δώματος ἐκπέμψησι, φορύξας αἵματι πολλῶι." antho

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 12 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF

UNIDENTIFIED CREW OF ODYSSEUS

IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

10.419 “σοί μὲν νοστήσαντι, διοτρεφὲς, ὣς ἐχάρημεν,
ὡς εἴ_τ’ εἰς Ἰθάκην ἀφικοίμεθα πατρίδα γαῖαν·
ἀλλ’ ἄγε, τῶν ἄλλων ἑτάρων κατάλεξον ὄλεθρον.”
10.443 “διογενὲς, τοῦτον μὲν ἐάσομεν, εἰ σὺ κελεύεις,
αὐτοῦ πὰρ νηΐ τε μένειν καὶ νῆα ἔρυσθαι·
ἡμῖν δ’ ἡγεμόνευ’ ἱερὰ πρὸς δώματα Κίρκης.”
10.472 “δαιμόνι’, ἤδη νῦν μιμνήσκεο πατρίδος αἴης,
εἴ τοι θέσφατόν ἐστι σαωθῆναι καὶ ἱκέσθαι
οἶκον ἐΰκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν.”
12.371 “Ζεῦ πάτερ ἠδ’ ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
ἦ με μάλ’ εἰς ἄτην κοιμήσατε νηλέϊ ὕπνωι·
οἱ δ’ ἕταροι μέγα ἔργον ἐμητίσαντο μένοντες.”

10.419 **ὀλοφυρόμενοι (once pigs)**

10.443 **ἑταῖροι (never pigs)**

10.472 **ἐρίηρες ἑταῖροι (once pigs?) NO**

12.371 **γεγώνεον [ἑταῖροι] (once pigs?) YES**

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 10 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF

CREWMAN OF ODYSSEUS

AEGYPTIOS

IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

2.25 “κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅττί κεν εἴπω·
οὔτέ ποθ’ ἡμετέρη ἀγορὴ γένετ’ οὔτε θόωκος
ἐξ οὗ Ὀδυσσεὺς δῖος ἔβη κοίλῃς ἐνὶ νηυσίν.
νῦν δὲ τίς ὧδ’ ἤγειρε; τίνα χρειὼ τόσον ἵκει,
ἠὲ νέων ἀνδρῶν, ἢ οἳ προγενέστεροί εἰσιν;
ἠέ τιν’ ἀγγελίην στρατοῦ ἔκλυεν ἐρχομένοιο,
ἥν χ’ ἡμιν σάφα εἴποι, ὅτε πρότερός γε πύθοιτο;
ἦέ τι δήμιον ἄλλο πιφαύσκεται ἠδ’ ἀγορεύει;
ἐσθλός μοι δοκεῖ εἶναι, ὀνήμενος. εἴθε οἱ αὐτῶι
Ζεὺς ἀγαθὸν τελέσειεν, ὅ τι φρεσὶν ᾗσι μενοινᾶι.

Aegyptios ✦

2.25 “κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅττί κεν εἴπω·
οὔτέ ποθ’ ἡμετέρη ἀγορὴ γένετ’ οὔτε θόωκος
ἐξ οὗ Ὀδυσσεὺς δῖος ἔβη κοίλῃς ἐνὶ νηυσίν.
νῦν δὲ τίς ὧδ’ ἤγειρε; τίνα χρειὼ τόσον ἵκει,
ἠὲ νέων ἀνδρῶν, ἢ οἳ προγενέστεροί εἰσιν;
ἠέ τιν’ ἀγγελίην στρατοῦ ἔκλυεν ἐρχομένοιο,
ἥν χ’ ἡμιν σάφα εἴποι, ὅτε πρότερός γε πύθοιτο;
ἦέ τι δήμιον ἄλλο πιφαύσκεται ἠδ’ ἀγορεύει;
ἐσθλός μοι δοκεῖ εἶναι, ὀνήμενος. εἴθε οἱ αὐτῶι
Ζεὺς ἀγαθὸν τελέσειεν, ὅ τι φρεσὶν ᾗσι μενοινᾶι.

Aegyptios ✦

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 19 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF

CREWMAN OF ODYSSEUS

ELPENOR

IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

11.60 “διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ,
ἆσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος οἶνος·
Κίρκης δ’ ἐν μεγάρωι καταλέγμενος οὐκ ἐνόησα
ἄψορρον καταβῆναι ἰὼν ἐς κλίμακα μακρήν,
ἀλλὰ καταντικρὺ τέγεος πέσον· ἐκ δέ μοι αὐχὴν
ἀστραγάλων ἐάγη, ψυχὴ δ’ Ἄϊδόσδε κατῆλθεν.
νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων,
πρὸς τ’ ἀλόχου καὶ πατρός, ὅ σ’ ἔτρεφε τυτθὸν ἐόντα,
Τηλεμάχου θ’, ὃν μοῦνον ἐνὶ μεγάροισιν ἔλειπες·
οἶδα γὰρ ὡς ἐνθένδε κιὼν δόμου ἐξ Ἀΐδαο
νῆσον ἐς Αἰαίην σχήσεις εὐεργέα νῆα·
ἔνθα σ’ ἔπειτα, ἄναξ, κέλομαι μνήσασθαι ἐμεῖο·
μή μ’ ἄκλαυτον, ἄθαπτον, ἰὼν ὄπιθεν καταλείπειν,
νοσφισθείς, μή τοί τι θεῶν μήνιμα γένωμαι,
ἀλλά με κακκῆαι σὺν τεύχεσιν, ἅσσα μοί ἐστιν,
σῆμά τέ μοι χεῦαι πολιῆς ἐπὶ θινὶ θαλάσσης
ἀνδρὸς δυστήνοιο, καὶ ἐσσομένοισι πυθέσθαι.
ταῦτά τέ μοι τελέσαι πῆξαί τ’ ἐπὶ τύμβωι ἐρετμόν,
Elpenor τῶι καὶ ζωὸς ἔρεσσον ἐὼν μετ’ ἐμοῖς ἑτάροισιν.”

11.60 “διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ,
ἆσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος οἶνος·
Κίρκης δ’ ἐν μεγάρωι καταλέγμενος οὐκ ἐνόησα
ἄψορρον καταβῆναι ἰὼν ἐς κλίμακα μακρήν,
ἀλλὰ καταντικρὺ τέγεος πέσον· ἐκ δέ μοι αὐχὴν
ἀστραγάλων ἐάγη, ψυχὴ δ’ Ἄϊδόσδε κατῆλθεν.
νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων,
πρὸς τ’ ἀλόχου καὶ πατρός, ὅ σ’ ἔτρεφε τυτθὸν ἐόντα,
Τηλεμάχου θ’, ὃν μοῦνον ἐνὶ μεγάροισιν ἔλειπες·
οἶδα γὰρ ὡς ἐνθένδε κιὼν δόμου ἐξ Ἀΐδαο
νῆσον ἐς Αἰαίην σχήσεις εὐεργέα νῆα·
ἔνθα σ’ ἔπειτα, ἄναξ, κέλομαι μνήσασθαι ἐμεῖο·
μή μ’ ἄκλαυτον, ἄθαπτον, ἰὼν ὄπιθεν καταλείπειν,
νοσφισθείς, μή τοί τι θεῶν μήνιμα γένωμαι,
ἀλλά με κακκῆαι σὺν τεύχεσιν, ἅσσα μοί ἐστιν,
σῆμά τέ μοι χεῦαι πολιῆς ἐπὶ θινὶ θαλάσσης
ἀνδρὸς δυστήνοιο, καὶ ἐσσομένοισι πυθέσθαι.
ταῦτά τέ μοι τελέσαι πῆξαί τ’ ἐπὶ τύμβωι ἐρετμόν,
τῶι καὶ ζωὸς ἔρεσσον ἐὼν μετ’ ἐμοῖς ἑτάροισιν.” Elpenor

ODYSSEY ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG **48** lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF

CREWMAN OF ODYSSEUS

EURYLOCHOS

IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

10.251 "ἤιομεν, ὡς ἐκέλευες ἀνὰ δρυμά, φαίδιμ' Ὀδυσσεῦ·
ηὕρομεν ἐν βήσσηισι τετυγμένα δώματα καλά,
ξεστοῖσιν λάεσσι περισκέπτωι ἐνὶ χώρωι.
ἔνθα δέ τις μέγαν ἱστὸν ἐποιχομένη λίγ' ἄειδεν
ἢ θεὸς ἠὲ γυνή· τοὶ δ' ἐφθέγγοντο καλεῦντες.
ἡ δ' αἶψ' ἐξελθοῦσα θύρας ὤϊξε φαεινὰς
καὶ κάλει· οἱ δ' ἅμα πάντες ἀϊδρίηισιν ἕποντο·
Eury- αὐτὰρ ἐγὼν ὑπέμεινα, ὀϊσάμενος δόλον εἶναι.
lochos οἱ δ' ἅμ' ἀϊστώθησαν ἀολλέες, οὐδέ τις αὐτῶν
ἐξεφάνη· δηρὸν δὲ καθήμενος ἐσκοπίαζον."
10.266 "μή μ' ἄγε κεῖσ' ἀέκοντα, διοτρεφές, ἀλλὰ λίπ' αὐτοῦ·
οἶδα γὰρ ὡς οὔτ' αὐτὸς ἐλεύσεαι οὔτέ τιν' ἄλλον
Eury- ἄξεις σῶν ἑτάρων· ἀλλὰ ξὺν τοίσδεσι θᾶσσον
lochos φεύγωμεν· ἔτι γάρ κεν ἀλύξαιμεν κακὸν ἦμαρ."
10.431 "ἆ δειλοί, πόσ' ἴμεν; τί κακῶν ἱμείρετε τούτων,
Κίρκης ἐς μέγαρον καταβήμεναι, ἥ κεν ἅπαντας
ἢ σῦς ἠὲ λύκους ποιήσεται ἠὲ λέοντας,
οἵ κέν οἱ μέγα δῶμα φυλάσσοιμεν καὶ ἀνάγκηι,
ὥς_περ Κύκλωψ ἕρξ', ὅτε οἱ μέσσαυλον ἵκοντο
Eury- ἡμέτεροι ἕταροι, σὺν δ' ὁ θρασὺς εἵπετ' Ὀδυσσεύς·
lochos τούτου γὰρ καὶ κεῖνοι ἀτασθαλίηισιν ὄλοντο."
12.279 "σχέτλιός εἰς, Ὀδυσεῦ, περί τοι μένος οὐδέ τι γυῖα
κάμνεις· ἦ ῥά νυ σοί_γε σιδήρεα πάντα τέτυκται,
ὅς ῥ' ἑτάρους καμάτωι ἀδηκότας ἠδὲ καὶ ὕπνωι
οὐκ ἐάαις γαίης ἐπιβήμεναι, ἔνθά κεν αὖτε
νήσωι ἐν ἀμφιρύτηι λαρὸν τετυκοίμεθα δόρπον,
ἀλλ' αὔτως διὰ νύκτα θοὴν ἀλάλησθαι ἄνωγας,
νήσου ἀποπλαγχθέντας ἐν ἠεροειδέϊ πόντωι.
ἐκ νυκτῶν δ' ἄνεμοι χαλεποί, δηλήματα νηῶν,
γίγνονται· πῆι κέν τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον,
ἤν πως ἐξαπίνης ἔλθηι ἀνέμοιο θύελλα,
ἢ Νότου ἢ Ζεφύροιο δυσαέος, οἵ_τε μάλιστα
νῆα διαρραίουσι, θεῶν ἀέκητι ἀνάκτων.
ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνηι
Eury- δόρπόν θ' ὁπλισόμεσθα θοῆι παρὰ νηῒ μένοντες·
lochos ἠῶθεν δ' ἀναβάντες ἐνήσομεν εὐρέϊ πόντωι."
12.340 "κέκλυτέ μευ μύθων, κακά περ πάσχοντες ἑταῖροι·
πάντες μὲν στυγεροὶ θάνατοι δειλοῖσι βροτοῖσιν,
λιμῶι δ' οἴκτιστον θανέειν καὶ πότμον ἐπισπεῖν.
ἀλλ' ἄγετ', Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας
ῥέξομεν ἀθανάτοισι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
εἰ δέ κεν εἰς Ἰθάκην ἀφικοίμεθα, πατρίδα γαῖαν,
αἶψά κεν Ἠελίωι Ὑπερίονι πίονα νηὸν
τεύξομεν, ἐν δέ κε θεῖμεν ἀγάλματα πολλὰ καὶ ἐσθλά.
Eury- εἰ δὲ χολωσάμενός τι βοῶν ὀρθοκραιράων
lochos νῆ' ἐθέληι ὀλέσαι, ἐπὶ δ' ἕσπωνται θεοὶ ἄλλοι,
βούλομ' ἅπαξ πρὸς κῦμα χανὼν ἀπὸ θυμὸν ὀλέσσαι
ἢ δηθὰ στρεύγεσθαι ἐὼν ἐν νήσωι ἐρήμηι."

One Polites was a member of Odysseus' crew; another was a son of Priam.

ILIAD AND OD.
ASCEND FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1866, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 11+3 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
ATTRIBUTED TO
POLITES
IN **HOMER**

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

2.796 "ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσιν,
ὥς ποτ᾽ ἐπ᾽ εἰρήνης· πόλεμος δ᾽ ἀλίαστος ὄρωρεν.
ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰσήλυθον ἀνδρῶν,
ἀλλ᾽ οὔ_πω τοιόνδε τοσόνδέ τε λαὸν ὄπωπα·
λίην γὰρ φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν
ἔρχονται πεδίοιο μαχησόμενοι προτὶ ἄστυ.
Ἕκτορ, σοὶ δὲ μάλιστ᾽ ἐπιτέλλομαι ὧδέ γε ῥέξαι·
Iris as πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου ἐπίκουροι,
Polites ἄλλη δ᾽ ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων·
son of τοῖσιν ἕκαστος ἀνὴρ σημαινέτω οἷσί περ ἄρχει,
Priam τῶν δ᾽ ἐξηγείσθω, κοσμησάμενος πολιήτας."

"ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἱστὸν 10.226
καλὸν ἀοιδιάει — δάπεδον δ᾽ ἅπαν ἀμφιμέμυκεν — Polites
ἢ θεὸς ἠὲ γυνή· ἀλλὰ φθεγγώμεθα θᾶσσον." crew of Od.

2.796 Ἶρις (εἴσατο δὲ φθογγὴν υἷι Πριάμοιο Πολίτηι)
10.226 Πολίτης

language: Homeric Greek

copy text: Dindorf (Teubner 1877)

typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 4 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF

CREWMAN OF TELEMACHOS

PEIRAIOS

IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

15.545 “Τηλέμαχ’, εἰ γάρ κεν σὺ πολὺν χρόνον ἐνθάδε μίμνοις,
Peiraios τόνδε δ’ ἐγὼ κομιῶ, ξενίων δέ οἱ οὐ ποθὴ ἔσται.”
17.75 “Τηλέμαχ’, αἶψ’ ὄτρυνον ἐμὸν ποτὶ δῶμα γυναῖκας,
Peiraios ὥς τοι δῶρ’ ἀποπέμψω, ἅ τοι Μενέλαος ἔδωκεν.”

15.545 “Τηλέμαχ’, εἰ γάρ κεν σὺ πολὺν χρόνον ἐνθάδε μίμνοις,
Peiraios τόνδε δ’ ἐγὼ κομιῶ, ξενίων δέ οἱ οὐ ποθὴ ἔσται.”

“Τηλέμαχ’, αἶψ’ ὄτρυνον ἐμὸν ποτὶ δῶμα γυναῖκας, 17.75
ὥς τοι δῶρ’ ἀποπέμψω, ἅ τοι Μενέλαος ἔδωκεν.” Peiraios

“Τηλέμαχ’, αἶψ’ ὄτρυνον ἐμὸν ποτὶ δῶμα γυναῖκας, 17.75
ὥς τοι δῶρ’ ἀποπέμψω, ἅ τοι Μενέλαος ἔδωκεν.” Peiraios

15.545 “Τηλέμαχ’, εἰ γάρ κεν σὺ πολὺν χρόνον ἐνθάδε μίμνοις,
Peiraios τόνδε δ’ ἐγὼ κομιῶ, ξενίων δέ οἱ οὐ ποθὴ ἔσται.”

Notes

Notes

2.796	Iris as Od. Crew Polites
7.159	Phae. Echeneos
8.133	Phae. Laodamas
8.145	Phae. Laodamas
8.159	Phae. Euryalios
8.401	Phae. Euryalios
8.408	Phae. Euryalios
10.226	Od. Crew Polites
10.251	Od. Crew Eurylochos
10.266	Od. Crew Eurylochos
10.419	Od. Crew ὀλοφυρόμενοι (once pigs)
10.431	Od. Crew Eurylochos
10.443	Od. Crew ἑταῖροι (never pigs)
10.472	Od. Crew ἐρίηρες ἑταῖροι (once pigs? no.)
11.60	Od. Crew Elpenor
11.344	Phae. Echeneos
12.279	Od. Crew Eurylochos
12.340	Od. Crew Eurylochos
12.371	Od. Crew γεγώνεον [ἑταῖροι] (once pigs? yes)
15.545	Peiraios Crew of Tel.
17.75	Peiraios Crew of Tel.

THE

SPOKEN LINES

OF

OARSMEN

IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 137 lines 3.0

2.796 “ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσιν,
ὥς ποτ’ ἐπ’ εἰρήνης· πόλεμος δ’ ἀλίαστος ὄρωρεν.
ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰσήλυθον ἀνδρῶν,
ἀλλ’ οὔ_πω τοιόνδε τοσόνδέ τε λαὸν ὄπωπα·
λίην γὰρ φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν
ἔρχονται πεδίοιο μαχησόμενοι προτὶ ἄστυ.
Ἕκτορ, σοὶ δὲ μάλιστ’ ἐπιτέλλομαι ὧδέ γε ῥέξαι·
πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου ἐπίκουροι,
ἄλλη δ’ ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων·
Iris as τοῖσιν ἕκαστος ἀνὴρ σημαινέτω οἷσί περ ἄρχει,
Polites τῶν δ’ ἐξηγείσθω, κοσμησάμενος πολιήτας.”
7.159 “Ἀλκίνο’, οὐ μέν τοι τόδε κάλλιον οὐδὲ ἔοικεν,
ξεῖνον μὲν χαμαὶ ἧσθαι ἐπ’ ἐσχάρηι ἐν κονίηισιν·
οἵδε δὲ σὸν μῦθον ποτιδέγμενοι ἰσχανόωνται.
ἀλλ’ ἄγε δὴ ξεῖνον μὲν ἐπὶ θρόνου ἀργυροήλου
εἷσον ἀναστήσας, σὺ δὲ κηρύκεσσι κέλευσον
οἶνον ἐπικρῆσαι, ἵνα καὶ Διὶ τερπικεραύνωι
σπείσομεν, ὅς_θ’ ἱκέτηισιν ἅμ’ αἰδοίοισιν ὀπηδεῖ·
Echeneos δόρπον δὲ ξείνωι ταμίη δότω ἔνδον ἐόντων.”
8.133 “δεῦτε, φίλοι, τὸν ξεῖνον ἐρώμεθα, εἴ τιν’ ἄεθλον
οἶδέ τε καὶ δεδάηκε· φυήν γε μὲν οὐ κακός ἐστιν,
μηρούς τε κνήμας τε καὶ ἄμφω χεῖρας ὕπερθεν
◆ αὐχένα τε στιβαρὸν μέγα τε σθένος· οὐδέ τι ἥβης
δεύεται, ἀλλὰ κακοῖσι συνέρρηκται πολέεσσιν.
Lao οὐ γὰρ ἐγώ_γέ τί φημι κακώτερον ἄλλο θαλάσσης
damas ἄνδρά γε συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη.”
8.145 “δεῦρ’ ἄγε καὶ σύ, ξεῖνε πάτερ, πείρησαι ἀέθλων,
εἴ τινά που δεδάηκας· ἔοικε δέ σ’ ἴδμεν ἀέθλους·
οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος, ὄφρα κεν ἦισιν,
Lao- ἢ ὅ τι ποσσίν τε ῥέξηι καὶ χερσὶν ἑῆισιν.
damas ἀλλ’ ἄγε πείρησαι, σκέδασον δ’ ἀπὸ κήδεα θυμοῦ.
σοὶ δ’ ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται, ἀλλά τοι ἤδη
νηῦς τε κατείρυσται καὶ ἐπαρτέες εἰσὶν ἑταῖροι.”
8.159 “οὐ γάρ σ’ οὐδέ, ξεῖνε, δαήμονι φωτὶ ἐΐσκω
ἄθλων, οἷά τε πολλὰ μετ’ ἀνθρώποισι πέλονται,
ἀλλὰ τῶι, ὅς_θ’ ἅμα νηῒ πολυκλήϊδι θαμίζων,
ἀρχὸς ναυτάων οἵ_τε πρηκτῆρες ἔασιν,
φόρτου τε μνήμων καὶ ἐπίσκοπος ἦισιν ὁδαίων
Euryalos κερδέων θ’ ἁρπαλέων· οὐδ’ ἀθλητῆρι ἔοικας.”
8.401 “Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
τοιγὰρ ἐγὼ τὸν ξεῖνον ἀρέσσομαι, ὡς σὺ κελεύεις.
δώσω οἱ τόδ’ ἄορ παγχάλκεον, ὧι ἔπι κώπη
ἀργυρέη, κολεὸν δὲ νεοπρίστου ἐλέφαντος
Euryalos ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιον ἔσται.”
8.408 “χαῖρε, πάτερ ὦ ξεῖνε· ἔπος δ’ εἴ_πέρ τι βέβακται
δεινόν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι.
σοὶ δὲ θεοὶ ἄλοχόν τ’ ἰδέειν καὶ πατρίδ’ ἱκέσθαι
Euryalos δοῖεν, ἐπεὶ_δὴ δηθὰ φίλων ἄπο πήματα πάσχεις.”
10.226 “ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἱστὸν
καλὸν ἀοιδιάει — δάπεδον δ’ ἅπαν ἀμφιμέμυκεν —
ἢ θεὸς ἠὲ γυνή· ἀλλὰ φθεγγώμεθα θᾶσσον.” Polites
“ἤιομεν, ὡς ἐκέλευες ἀνὰ δρυμά, φαίδιμ’ Ὀδυσσεῦ· 10.251
ηὕρομεν ἐν βήσσηισι τετυγμένα δώματα καλά,
ξεστοῖσιν λάεσσι περισκέπτωι ἐνὶ χώρωι.
ἔνθα δέ τις μέγαν ἱστὸν ἐποιχομένη λίγ’ ἄειδεν
ἢ θεὸς ἠὲ γυνή· τοὶ δ’ ἐφθέγγοντο καλεῦντες.
ἡ δ’ αἶψ’ ἐξελθοῦσα θύρας ὤϊξε φαεινὰς
καὶ κάλει· οἱ δ’ ἅμα πάντες ἀϊδρίηισιν ἕποντο·
αὐτὰρ ἐγὼν ὑπέμεινα, ὀϊσάμενος δόλον εἶναι. Eury-
οἱ δ’ ἅμ’ ἀϊστώθησαν ἀολλέες, οὐδέ τις αὐτῶν lochos
ἐξεφάνη· δηρὸν δὲ καθήμενος ἐσκοπίαζον.”
“μή μ’ ἄγε κεῖσ’ ἀέκοντα, διοτρεφές, ἀλλὰ λίπ’ αὐτοῦ· 10.266
οἶδα γὰρ ὡς οὔτ’ αὐτὸς ἐλεύσεαι οὔτέ τιν’ ἄλλον
ἄξεις σῶν ἑτάρων· ἀλλὰ ξὺν τοίσδεσι θᾶσσον Eury-
φεύγωμεν· ἔτι γάρ κεν ἀλύξαιμεν κακὸν ἦμαρ.” lochos
“σοί μὲν νοστήσαντι, διοτρεφές, ὣς ἐχάρημεν, 10.419
ὡς εἴ_τ’ εἰς Ἰθάκην ἀφικοίμεθα πατρίδα γαῖαν·
ἀλλ’ ἄγε, τῶν ἄλλων ἑτάρων κατάλεξον ὄλεθρον.”
“ἆ δειλοί, πόσ’ ἴμεν; τί κακῶν ἱμείρετε τούτων, 10.431
Κίρκης ἐς μέγαρον καταβήμεναι, ἥ κεν ἅπαντας
ἢ σῦς ἠὲ λύκους ποιήσεται ἠὲ λέοντας,
οἵ κέν οἱ μέγα δῶμα φυλάσσοιμεν καὶ ἀνάγκηι;
ὥς_περ Κύκλωψ ἔρξ’, ὅτε οἱ μέσσαυλον ἵκοντο
ἡμέτεροι ἕταροι, σὺν δ’ ὁ θρασὺς εἵπετ’ Ὀδυσσεύς· Eury-
τούτου γὰρ καὶ κεῖνοι ἀτασθαλίηισιν ὄλοντο.” lochos
“διογενές, τοῦτον μὲν ἐάσομεν, εἰ σὺ κελεύεις, 10.443
αὐτοῦ πὰρ νηΐ τε μένειν καὶ νῆα ἔρυσθαι·
ἡμῖν δ’ ἡγεμόνευ’ ἱερὰ πρὸς δώματα Κίρκης.”
“δαιμόνι’, ἤδη νῦν μιμνήσκεο πατρίδος αἴης, 10.472
εἴ τοι θέσφατόν ἐστι σαωθῆναι καὶ ἱκέσθαι ἐρίηρες
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν.” ἑταῖροι
“διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ, 11.60
ἆσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος οἶνος·
Κίρκης δ’ ἐν μεγάρωι καταλέγμενος οὐκ ἐνόησα
ἄψορρον καταβῆναι ἰὼν ἐς κλίμακα μακρήν,
ἀλλὰ καταντικρὺ τέγεος πέσον· ἐκ δέ μοι αὐχὴν
ἀστραγάλων ἐάγη, ψυχὴ δ’ Ἄϊδόσδε κατῆλθεν.
νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων,
πρός τ’ ἀλόχου καὶ πατρός, ὅ σ’ ἔτρεφε τυτθὸν ἐόντα,
Τηλεμάχου θ’, ὃν μοῦνον ἐνὶ μεγάροισιν ἔλειπες·
οἶδα γὰρ ὡς ἐνθένδε κιὼν δόμου ἐξ Ἀΐδαο
νῆσον ἐς Αἰαίην σχήσεις εὐεργέα νῆα·
ἔνθα σ’ ἔπειτα, ἄναξ, κέλομαι μνήσασθαι ἐμεῖο·
μή μ’ ἄκλαυτον, ἄθαπτον, ἰὼν ὄπιθεν καταλείπειν,
νοσφισθείς, μή τοί τι θεῶν μήνιμα γένωμαι,
ἀλλά με κακκῆαι σὺν τεύχεσιν, ἅσσά μοι ἐστίν,
σῆμά τέ μοι χεῦαι πολιῆς ἐπὶ θινὶ θαλάσσης
ἀνδρὸς δυστήνοιο, καὶ ἐσσομένοισι πυθέσθαι.
ταῦτά τέ μοι τελέσαι πῆξαί τ’ ἐπὶ τύμβωι ἐρετμόν,
τῶι καὶ ζωὸς ἔρεσσον ἐὼν μετ’ ἐμοῖς ἑτάροισιν.” Elpenor

11.344 “ὦ φίλοι, οὐ μὰν ἡμὶν ἀπὸ σκοποῦ οὐδ’ ἀπὸ δόξης
μυθεῖται βασίλεια περίφρων· ἀλλὰ πίθεσθε.
Echeneos Ἀλκινόου δ’ ἐκ τοῦδ’ ἔχεται ἔργόν τε ἔπος τε.”
12.279 “σχέτλιός εἰς, Ὀδυσεῦ, περί τοι μένος οὐδέ τι γυῖα
κάμνεις· ἦ ῥά νυ σοί γε σιδήρεα πάντα τέτυκται,
ὅς ῥ’ ἑτάρους καμάτωι ἀδηκότας ἠδὲ καὶ ὕπνωι
οὐκ ἐάαις γαίης ἐπιβήμεναι, ἔνθά κεν αὖτε
νήσωι ἐν ἀμφιρύτηι λαρὸν τετυκοίμεθα δόρπον,
ἀλλ’ αὔτως διὰ νύκτα θοὴν ἀλάλησθαι ἄνωγας,
νήσου ἀποπλαγχθέντας ἐν ἠεροειδέϊ πόντωι.
ἐκ νυκτῶν δ’ ἄνεμοι χαλεποί, δηλήματα νηῶν,
γίγνονται· πῆι κέν τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον,
ἤν πως ἐξαπίνης ἔλθηι ἀνέμοιο θύελλα,
ἢ Νότου ἢ Ζεφύροιο δυσαέος, οἵ τε μάλιστα
νῆα διαρραίουσι, θεῶν ἀέκητι ἀνάκτων.
ἀλλ’ ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνηι
Eury- δόρπόν θ’ ὁπλισόμεσθα θοῆι παρὰ νηῒ μένοντες·
lochos ἠῶθεν δ’ ἀναβάντες ἐνήσομεν εὐρέϊ πόντωι.”
12.340 “κέκλυτέ μευ μύθων, κακά περ πάσχοντες ἑταῖροι·
πάντες μὲν στυγεροὶ θάνατοι δειλοῖσι βροτοῖσιν,
λιμῶι δ’ οἴκτιστον θανέειν καὶ πότμον ἐπισπεῖν.
ἀλλ’ ἄγετ’, Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας
ῥέξομεν ἀθανάτοισι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
εἰ δέ κεν εἰς Ἰθάκην ἀφικοίμεθα, πατρίδα γαῖαν,
αἶψά κεν Ἠελίωι Ὑπερίονι πίονα νηὸν
τεύξομεν, ἐν δέ κε θεῖμεν ἀγάλματα πολλὰ καὶ ἐσθλά.
Eury- εἰ δὲ χολωσάμενός τι βοῶν ὀρθοκραιράων
lochos νῆ’ ἐθέληι ὀλέσαι, ἐπὶ δ’ ἕσπωνται θεοὶ ἄλλοι,
βούλομ’ ἅπαξ πρὸς κῦμα χανὼν ἀπὸ θυμὸν ὀλέσσαι
ἢ δηθὰ στρεύγεσθαι ἐὼν ἐν νήσωι ἐρήμηι.”
12.371 “Ζεῦ πάτερ ἠδ’ ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
ἦ με μάλ’ εἰς ἄτην κοιμήσατε νηλέϊ ὕπνωι·
οἱ δ’ ἕταροι μέγα ἔργον ἐμητίσαντο μένοντες.”
15.545 “Τηλέμαχ’, εἰ γάρ κεν σὺ πολὺν χρόνον ἐνθάδε μίμνοις,
Peiraios τόνδε δ’ ἐγὼ κομιῶ, ξενίων δέ οἱ οὐ ποθὴ ἔσται.”
17.75 “Τηλέμαχ’, αἶψ’ ὄτρυνον ἐμὸν ποτὶ δῶμα γυναῖκας,
Peiraios ὥς τοι δῶρ’ ἀποπέμψω, ἅ τοι Μενέλαος ἔδωκεν.”

11.344 “ὦ φίλοι, οὐ μὰν ἡμὶν ἀπὸ σκοποῦ οὐδ’ ἀπὸ δόξης
μυθεῖται βασίλεια περίφρων· ἀλλὰ πίθεσθε.
Echeneos Ἀλκινόου δ’ ἐκ τοῦδ’ ἔχεται ἔργόν τε ἔπος τε.”
12.279 “σχέτλιός εἶς, Ὀδυσεῦ, περί τοι μένος οὐδέ τι γυῖα
κάμνεις· ἦ ῥά νυ σοί_γε σιδήρεα πάντα τέτυκται,
ὅς ῥ’ ἑτάρους καμάτωι ἀδηκότας ἠδὲ καὶ ὕπνωι
οὐκ ἐάαις γαίης ἐπιβήμεναι, ἔνθά κεν αὖτε
νήσωι ἐν ἀμφιρύτηι λαρὸν τετυκοίμεθα δόρπον,
ἀλλ’ αὔτως διὰ νύκτα θοὴν ἀλάλησθαι ἄνωγας,
νήσου ἀποπλαγχθέντας ἐν ἠεροειδέϊ πόντωι.
ἐκ νυκτῶν δ’ ἄνεμοι χαλεποί, δηλήματα νηῶν,
γίγνονται· πῆι κέν τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον,
ἤν πως ἐξαπίνης ἔλθηι ἀνέμοιο θύελλα,
ἢ Νότου ἢ Ζεφύροιο δυσαέος, οἵ_τε μάλιστα
νῆα διαρραίουσι, θεῶν ἀέκητι ἀνάκτων.
ἀλλ’ ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνηι
Eury- δόρπόν θ’ ὁπλισόμεσθα θοῆι παρὰ νηῒ μένοντες·
lochos ἠῶθεν δ’ ἀναβάντες ἐνήσομεν εὐρέϊ πόντωι.”
12.340 “κέκλυτέ μευ μύθων, κακά περ πάσχοντες ἑταῖροι·
πάντες μὲν στυγεροὶ θάνατοι δειλοῖσι βροτοῖσιν,
λιμῶι δ’ οἴκτιστον θανέειν καὶ πότμον ἐπισπεῖν.
ἀλλ’ ἄγετ’, Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας
ῥέξομεν ἀθανάτοισι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
εἰ δέ κεν εἰς Ἰθάκην ἀφικοίμεθα, πατρίδα γαῖαν,
αἶψά κεν Ἠελίωι Ὑπερίονι πίονα νηὸν
τεύξομεν, ἐν δέ κε θεῖμεν ἀγάλματα πολλὰ καὶ ἐσθλά.
Eury- εἰ δὲ χολωσάμενός τι βοῶν ὀρθοκραιράων
lochos νῆ’ ἐθέληι ὀλέσαι, ἐπὶ δ’ ἕσπωνται θεοὶ ἄλλοι,
βούλομ’ ἅπαξ πρὸς κῦμα χανὼν ἀπὸ θυμὸν ὀλέσσαι
ἢ δηθὰ στρεύγεσθαι ἐὼν ἐν νήσωι ἐρήμηι.”
12.371 “Ζεῦ πάτερ ἠδ’ ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
ἦ με μάλ’ εἰς ἄτην κοιμήσατε νηλέϊ ὕπνωι·
οἱ δ’ ἕταροι μέγα ἔργον ἐμητίσαντο μένοντες.”
15.545 “Τηλέμαχ’, εἰ γάρ κεν σὺ πολὺν χρόνον ἐνθάδε μίμνοις,
Peiraios τόνδε δ’ ἐγὼ κομιῶ, ξενίων δέ οἱ οὐ ποθὴ ἔσται.”
17.75 “Τηλέμαχ’, αἶψ’ ὄτρυνον ἐμὸν ποτὶ δῶμα γυναῖκας,
Peiraios ὥς τοι δῶρ’ ἀποπέμψω, ἅ τοι Μενέλαος ἔδωκεν.”

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 370 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF
PHAEAKIANS
IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

6.57 “πάππα φίλ’, οὐκ ἂν δή μοι ἐφοπλίσσειας ἀπήνην
ὑψηλὴν εὔκυκλον, ἵνα κλυτὰ εἵματ’ ἄγωμαι
ἐς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται;
καὶ δὲ σοὶ αὐτῶι ἔοικε μετὰ πρώτοισιν ἐόντα
βουλὰς βουλεύειν καθαρὰ χροῒ εἵματ’ ἔχοντα.
πέντε δέ τοι φίλοι υἷες ἐνὶ μεγάροις γεγάασιν,
οἱ δύ’ ὀπυίοντες, τρεῖς δ’ ἠΐθεοι θαλέθοντες·
Nausi- οἱ δ’ αἰεὶ ἐθέλουσι νεόπλυτα εἵματ’ ἔχοντες
kaa ἐς χορὸν ἔρχεσθαι· τὰ δ’ ἐμῆι φρενὶ πάντα μέμηλεν.”
6.68 “οὔτέ τοι ἡμιόνων φθονέω, τέκος, οὔτέ τευ ἄλλου.
ἔρχευ· ἀτάρ τοι δμῶες ἐφοπλίσσουσιν ἀπήνην
Alkinoos ὑψηλὴν εὔκυκλον, ὑπερτερίηι ἀραρυῖαν.”
6.187 “ξεῖν’, ἐπεὶ οὔτε κακῶι οὔτ’ ἄφρονι φωτὶ ἔοικας —
Ζεὺς δ’ αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν,
ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλησιν, ἑκάστωι·
καί που σοὶ τά γ’ ἔδωκε· σὲ δὲ χρὴ τετλάμεν ἔμπης —
νῦν δ’, ἐπεὶ ἡμετέρην τε πόλιν καὶ γαῖαν ἱκάνεις,
οὔτ’ οὖν ἐσθῆτος δευήσεαι οὔτέ τε’ ἄλλου,
ὧν ἐπέοιχ’ ἱκέτην ταλαπείριον ἀντιάσαντα.
ἄστυ δέ τοι δείξω, ἐρέω δέ τοι οὔνομα λαῶν.
Φαίηκες μὲν τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν,
Nausi- εἰμὶ δ’ ἐγὼ θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο,
kaa τοῦ δ’ ἐκ Φαιήκων ἔχεται κάρτός τε βίη τε.”
6.199 “στῆτέ μοι, ἀμφίπολοι· πόσε φεύγετε φῶτα ἰδοῦσαι;
ἦ μή πού τινα δυσμενέων φάσθ’ ἔμμεναι ἀνδρῶν;
οὐκ ἔσθ’ οὗτος ἀνὴρ διερὸς βροτὸς, οὐδὲ γένηται,
ὅς κεν Φαιήκων ἀνδρῶν ἐς γαῖαν ἵκηται
δηϊοτῆτα φέρων· μάλα γὰρ φίλοι ἀθανάτοισιν.
οἰκέομεν δ’ ἀπάνευθε πολυκλύστωι ἐνὶ πόντωι,
ἔσχατοι, οὐδέ τις ἄμμι βροτῶν ἐπιμίσγεται ἄλλος.
ἀλλ’ ὅδε τις δύστηνος ἀλώμενος ἐνθάδ’ ἱκάνει,
τὸν νῦν χρὴ κομέειν· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
Nausi- ξεῖνοί τε πτωχοί τε, δόσις δ’ ὀλίγη τε φίλη τε.
kaa ἀλλὰ δότ’, ἀμφίπολοι, ξείνωι βρῶσίν τε πόσιν τε,
λούσατέ τ’ ἐν ποταμῶι, ὅθ’ ἐπὶ σκέπας ἔστ’ ἀνέμοιο.”
6.239 “κλῦτέ μοι, ἀμφίπολοι λευκώλενοι, ὄφρα τι εἴπω.
οὐ πάντων ἀέκητι θεῶν, οἳ Ὄλυμπον ἔχουσιν,
Φαιήκεσσ’ ὅδ’ ἀνὴρ ἐπιμίσγεται ἀντιθέοισιν·
πρόσθεν μὲν γὰρ δή μοι ἀεικέλιος δέατ’ εἶναι,
νῦν δὲ θεοῖσιν ἔοικε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη
Nausi- ἐνθάδε ναιετάων, καί οἱ ἅδοι αὐτόθι μίμνειν.
kaa ἀλλὰ δότ’, ἀμφίπολοι, ξείνωι βρῶσίν τε πόσιν τε.”
6.255 “ὄρσεο δὴ νῦν, ξεῖνε, πόλινδ’ ἴμεν, ὄφρα σε πέμψω
πατρὸς ἐμοῦ πρὸς δῶμα δαΐφρονος, ἔνθά σέ φημι
πάντων Φαιήκων εἰδησέμεν ὅσσοι ἄριστοι.
ἀλλὰ μάλ’ ὧδ’ ἔρδειν· δοκέεις δέ μοι οὐκ ἀπινύσσειν·
ὄφρ’ ἂν μέν κ’ ἀγροὺς ἴομεν καὶ ἔργ’ ἀνθρώπων,
τόφρα σὺν ἀμφιπόλοισι μεθ’ ἡμιόνους καὶ ἄμαξαν
καρπαλίμως ἔρχεσθαι, ἐγὼ δ’ ὁδὸν ἡγεμονεύσω.
αὐτὰρ ἐπὴν πόλιος ἐπιβῄομεν ἣν πέρι πύργος
ὑψηλὸς, καλὸς δὲ λιμὴν ἑκάτερθε πόληος,
λεπτὴ δ’ εἰσίθμη· νῆες δ’ ὁδὸν ἀμφιέλισσαι
εἰρύαται· πᾶσιν γὰρ ἐπίστιόν ἐστιν ἑκάστωι.
ἔνθα δέ τέ σφ’ ἀγορὴ, καλὸν Ποσιδήϊον ἀμφὶς,
ῥυτοῖσιν λάεσσι κατωρυχέεσσ’ ἀραρυῖα.
ἔνθα δὲ νηῶν ὅπλα μελαινάων ἀλέγουσιν,
πείσματα καὶ σπεῖρας, καὶ ἀποξύουσιν ἐρετμά.
οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς οὐδὲ φαρέτρη,
ἀλλ’ ἱστοὶ καὶ ἐρετμὰ νεῶν καὶ νῆες ἐῗσαι,
ἧισιν ἀγαλλόμενοι πολιὴν περόωσι θάλασσαν,
τῶν ἀλεείνω φῆμιν ἀδευκέα, μή τις ὀπίσσω
μωμεύηι — μάλα δ’ εἰσὶν ὑπερφίαλοι κατὰ δῆμον —
καί νύ τις ὧδ’ εἴπησι κακώτερος ἀντιβολήσας·
‘τίς δ’ ὅδε Ναυσικάαι ἕπεται καλός τε μέγας τε
ξεῖνος; ποῦ δέ μιν ηὗρε; πόσις νύ οἱ ἔσσεται αὐτῆι.
ἤ τινά που πλαγχθέντα κομίσσατο ἧς ἀπὸ νηὸς
ἀνδρῶν τηλεδαπῶν, ἐπεὶ οὔ τινες ἐγγύθεν εἰσίν·
ἤ τίς οἱ εὐξαμένηι πολυάρητος θεὸς ἦλθεν
οὐρανόθεν καταβὰς, ἕξει δέ μιν ἤματα πάντα.
βέλτερον, εἴ κ’ αὐτή περ ἐποιχομένη πόσιν ηὗρεν
ἄλλοθεν· ἦ γὰρ τούσδε γ’ ἀτιμάζει κατὰ δῆμον
Φαίηκας, τοί μιν μνῶνται πολέες τε καὶ ἐσθλοί.’
ὣς ἐρέουσιν, ἐμοὶ δέ κ’ ὀνείδεα ταῦτα γένοιτο.
καὶ δ’ ἄλληι νεμεσῶ, ἥ τις τοιαῦτά γε ῥέζοι,
ἥ τ’ ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων
ἀνδράσι μίσγηται πρίν γ’ ἀμφάδιον γάμον ἐλθεῖν.
ξεῖνε, σὺ δ’ ὦκ’ ἐμέθεν ξυνίει ἔπος, ὄφρα τάχιστα
πομπῆς καὶ νόστοιο τύχῃς παρὰ πατρὸς ἐμοῖο.
δήεις ἀγλαὸν ἄλσος Ἀθήνης ἄγχι κελεύθου
αἰγείρων· ἐν δὲ κρήνη νάει, ἀμφὶ δὲ λειμών·
ἔνθα δὲ πατρὸς ἐμοῦ τέμενος τεθαλυῖά τ’ ἀλωὴ,
τόσσον ἀπὸ πτόλιος, ὅσσον τε γέγωνε βοήσας·
ἔνθα καθεζόμενος μεῖναι χρόνον, εἰς ὅ κεν ἡμεῖς
ἄστυδε ἔλθωμεν καὶ ἱκώμεθα δώματα πατρός.
αὐτὰρ ἐπὴν ἡμέας ἔλπηι ποτὶ δώματ’ ἀφῖχθαι,
καὶ τότε Φαιήκων ἴμεν ἐς πόλιν ἠδ’ ἐρέεσθαι
δώματα πατρὸς ἐμοῦ, μεγαλήτορος Ἀλκινόοιο.
ῥεῖα δ’ ἀρίγνωτ’ ἐστὶ καὶ ἂν πάϊς ἡγήσαιτο
νήπιος· οὐ μὲν γάρ τι ἐοικότα τοῖσι τέτυκται
δώματα Φαιήκων, οἷος δόμος Ἀλκινόοιο
ἥρωος. ἀλλ’ ὁπότ’ ἄν σε δόμοι κεκύθωσι καὶ αὐλὴ,
ὦκα μάλα μεγάροιο διελθέμεν, ὄφρ’ ἂν ἵκηαι
μητέρ’ ἐμήν· ἡ δ’ ἧσται ἐπ’ ἐσχάρηι ἐν πυρὸς αὐγῆι,
ἠλάκατα στρωφῶσ’ ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι,
κίονι κεκλιμένη· δμωαὶ δέ οἱ εἵατ’ ὄπισθεν.
ἔνθα δὲ πατρὸς ἐμοῖο θρόνος ποτικέκλιται αὐτῆι,
τῶι ὅ γε οἰνοποτάζει ἐφήμενος ἀθάνατος ὥς.
τὸν παραμειψάμενος μητρὸς περὶ γούνασι χεῖρας
βάλλειν ἡμετέρης, ἵνα νόστιμον ἦμαρ ἴδηαι

χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐσσί.
Nausikaa εἴ κέν τοι κείνη γε φίλα φρονέῃσ' ἐνὶ θυμῶι,
ἐλπωρή τοι ἔπειτα φίλους τ' ἰδέειν καὶ ἱκέσθαι
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν."
7.159 "Ἀλκίνο', οὐ μέν τοι τόδε κάλλιον οὐδὲ ἔοικεν,
ξεῖνον μὲν χαμαὶ ἧσθαι ἐπ' ἐσχάρηι ἐν κονίῃσιν·
οἵδε δὲ σὸν μῦθον ποτιδέγμενοι ἰσχανόωνται.
ἀλλ' ἄγε δὴ ξεῖνον μὲν ἐπὶ θρόνου ἀργυροήλου
εἷσον ἀναστήσας, σὺ δὲ κηρύκεσσι κέλευσον
οἶνον ἐπικρῆσαι, ἵνα καὶ Διὶ τερπικεραύνωι
σπείσομεν, ὅς_θ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ·
Echeneos δόρπον δὲ ξείνωι ταμίη δότω ἔνδον ἐόντων."
7.179 "Ποντόνοε, κρητῆρα κερασσάμενος μέθυ νεῖμον
πᾶσιν ἀνὰ μέγαρον, ἵνα καὶ Διὶ τερπικεραύνωι
Alkinoos σπείσομεν, ὅς_θ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ."
7.186 "κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
νῦν μὲν δαισάμενοι κατακείετε οἴκαδ' ἰόντες·
ἠῶθεν δὲ γέροντας ἐπὶ πλέονας καλέσαντες
ξεῖνον ἐνὶ μεγάροις ξεινίσσομεν ἠδὲ θεοῖσιν
ῥέξομεν ἱερὰ καλά, ἔπειτα δὲ καὶ περὶ πομπῆς
μνησόμεθ', ὥς χ' ὁ ξεῖνος ἄνευθε πόνου καὶ ἀνίης
πομπῆι ὑφ' ἡμετέρηι ἣν πατρίδα γαῖαν ἵκηται
χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐστὶν,
μηδέ τι μεσσηγύς γε κακὸν καὶ πῆμα πάθῃσιν
πρίν γε τὸν ἧς γαίης ἐπιβήμεναι· ἔνθα δ' ἔπειτα
πείσεται ἅσσα οἱ Αἶσα κατὰ Κλῶθές τε βαρεῖαι
γεινομένωι νήσαντο λίνωι, ὅτε μιν τέκε μήτηρ.
εἰ δέ τις ἀθανάτων γε κατ' οὐρανοῦ εἰλήλουθεν,
ἄλλο τι δὴ τόδ' ἔπειτα θεοὶ περιμηχανόωνται.
αἰεὶ γὰρ τὸ πάρος γε θεοὶ φαίνονται ἐναργεῖς
ἡμῖν, εὖτ' ἔρδωμεν ἀγακλειτὰς ἑκατόμβας,
δαίνυνταί τε παρ' ἄμμι καθήμενοι ἔνθά περ ἡμεῖς.
εἰ δ' ἄρα τις καὶ μοῦνος ἰὼν ξυμβλῆται ὁδίτης,
οὔ τι κατακρύπτουσιν, ἐπεί σφισιν ἐγγύθεν εἰμὲν,
Alkinoos ὥς_περ Κύκλωπές τε καὶ ἄγρια φῦλα Γιγάντων."
7.237 "ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή·
τίς πόθεν εἰς ἀνδρῶν; τίς τοι τάδε εἵματ' ἔδωκεν;
Arete οὐ δὴ φῄς ἐπὶ πόντον ἀλώμενος ἐνθάδ' ἱκέσθαι;"
7.299 "ξεῖν', ἤτοι μὲν τοῦτό γ' ἐναίσιμον οὐκ ἐνόησεν
παῖς ἐμή, οὕνεκά σ' οὔ_τι μετ' ἀμφιπόλοισι γυναιξὶν
Alkinoos ἦγεν ἐς ἡμετέρου· σὺ δ' ἄρα πρώτην ἱκέτευσας."
7.309 "ξεῖν', οὔ μοι τοιοῦτον ἐνὶ στήθεσσι φίλον κῆρ,
μαψιδίως κεχολῶσθαι· ἀμείνω δ' αἴσιμα πάντα.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοῖος ἐὼν οἷός ἐσσι, τά τε φρονέων ἅ_τ' ἐγώ περ,
παῖδά τ' ἐμὴν ἐχέμεν καὶ ἐμὸς γαμβρὸς καλέεσθαι
αὖθι μένων· οἶκον δέ κ' ἐγὼ καὶ κτήματα δοίην,
εἴ κ' ἐθέλων γε μένοις· ἀέκοντα δέ σ' οὔ_τις ἐρύξει
Φαιήκων· μὴ τοῦτο φίλον Διὶ πατρὶ γένοιτο.
πομπὴν δ' ἐς τόδ' ἐγὼ τεκμαίρομαι, ὄφρ' εὖ εἰδῆις,
αὔριον ἔς· τῆμος δὲ σὺ μὲν δεδμημένος ὕπνωι
λέξεαι, οἱ δ' ἐλόωσι γαλήνην, ὄφρ' ἂν ἵκηαι
πατρίδα σὴν καὶ δῶμα, καὶ εἴ πού τοι φίλον ἐστὶν,
εἴ_περ καὶ μάλα πολλὸν ἑκαστέρω ἔστ' Εὐβοίης,
τήν_περ τηλοτάτω φάσ' ἔμμεναι οἵ μιν ἴδοντο
λαῶν ἡμετέρων, ὅτε τε ξανθὸν Ῥαδάμανθυν
ἦγον ἐποψόμενον Τιτυὸν, Γαιήϊον υἱόν.
καί μὲν οἱ ἔνθ' ἦλθον, καὶ ἄτερ καμάτοιο τέλεσσαν
ἤματι τῶι αὐτῶι καὶ ἀπήνυσαν οἴκαδ' ὀπίσσω.
εἰδήσεις δὲ καὶ αὐτὸς ἐνὶ φρεσὶν ὅσσον ἄρισται
νῆες ἐμαὶ καὶ κοῦροι ἀναρριπτεῖν ἅλα πηδῶι." Alkinoos
"κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες, 8.26
ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
ξεῖνος ὅδ', οὐκ οἶδ' ὅς_τις, ἀλώμενος ἵκετ' ἐμὸν δῶ,
ἠὲ πρὸς ἠοίων ἢ ἑσπερίων ἀνθρώπων·
πομπὴν δ' ὀτρύνει, καὶ λίσσεται ἔμπεδον εἶναι.
ἡμεῖς δ', ὡς τὸ πάρος περ, ἐποτρυνώμεθα πομπήν.
οὐδὲ γὰρ οὐδέ τις ἄλλος, ὅ_τίς κ' ἐμὰ δώμαθ' ἵκηται,
ἐνθάδ' ὀδυρόμενος δηρὸν μένει εἵνεκα πομπῆς.
ἀλλ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν
πρωτόπλοον, κούρω δὲ **δύω καὶ πεντήκοντα**
κρινάσθων κατὰ δῆμον, ὅσοι πάρος εἰσὶν ἄριστοι. ✦
δησάμενοι δ' εὖ πάντες ἐπὶ κληῖσιν ἐρετμὰ
ἔκβητ'· αὐτὰρ ἔπειτα θοὴν ἀλεγύνετε δαῖτα
ἡμέτερόνδ' ἐλθόντες· ἐγὼ δ' εὖ πᾶσι παρέξω.
κούροισιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ οἱ ἄλλοι
σκηπτοῦχοι βασιλῆες ἐμὰ πρὸς δώματα καλὰ
ἔρχεσθ', ὄφρα ξεῖνον ἐνὶ μεγάροις φιλέωμεν,
μηδέ τις ἀρνείσθω. καλέσασθε δὲ θεῖον ἀοιδόν,
Δημόδοκον· τῶι γάρ ῥα θεὸς περὶ δῶκεν ἀοιδὴν
τέρπειν, ὅππηι θυμὸς ἐποτρύνῃσιν ἀείδειν." Alkinoos
"κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες. 8.97
ἤδη μὲν δαιτὸς κεκορήμεθα θυμὸν ἐΐσης
φόρμιγγός θ', ἣ δαιτὶ συνήορός ἐστι θαλείηι·
νῦν δ' ἐξέλθωμεν καὶ ἀέθλων πειρηθέωμεν
πάντων, ὥς χ' ὁ ξεῖνος ἐνίσπηι οἷσι φίλοισιν,
οἴκαδε νοστήσας, ὅσσον περιγιγνόμεθ' ἄλλων
πύξ τε παλαιμοσύνῃ τε καὶ ἅλμασιν ἠδὲ πόδεσσιν." Alkinoos
"δεῦτε, φίλοι, τὸν ξεῖνον ἐρώμεθα, εἴ τιν' ἄεθλον 8.133
οἶδέ τε καὶ δεδάηκε· φυήν γε μὲν οὐ κακός ἐστιν,
μηρούς τε κνήμας τε καὶ ἄμφω χεῖρας ὕπερθεν
αὐχένα τε στιβαρὸν μέγα τε σθένος· οὐδέ τι ἥβης ✦
δεύεται, ἀλλὰ κακοῖσι συνέρρηκται πολέεσσιν.
οὐ γὰρ ἐγώ γέ τί φημι κακώτερον ἄλλο θαλάσσης Laodamas
ἄνδρά γε συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη."
"δεῦρ' ἄγε καὶ σύ, ξεῖνε πάτερ, πείρησαι ἀέθλων, 8.145
εἴ τινά που δεδάηκας· ἔοικε δέ σ' ἴδμεν ἀέθλους·
οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος, ὄφρα κεν ἦισιν,
ἢ ὅ τι ποσσίν τε ῥέξῃ καὶ χερσὶν ἑῆισιν.

Lao- ἀλλ' ἄγε πείρησαι, σκέδασον δ' ἀπὸ κήδεα θυμοῦ.
σοὶ δ' ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται, ἀλλά τοι ἤδη
damas νηῦς τε κατείρυσται καὶ ἐπαρτέες εἰσὶν ἑταῖροι."
8.159 "οὐ γάρ σ' οὐδέ, ξεῖνε, δαήμονι φωτὶ ἐΐσκω
ἄθλων, οἷά τε πολλὰ μετ' ἀνθρώποισι πέλονται,
ἀλλὰ τῶι, ὅς_θ' ἅμα νηῒ πολυκλήϊδι θαμίζων,
ἀρχὸς ναυτάων οἵ_τε πρηκτῆρες ἔασιν,
φόρτου τε μνήμων καὶ ἐπίσκοπος ᾖσιν ὁδαίων
Euryalos κερδέων θ' ἁρπαλέων· οὐδ' ἀθλητῆρι ἔοικας."
8.236 "ξεῖν', ἐπεὶ οὐκ ἀχάριστα μεθ' ἡμῖν ταῦτ' ἀγορεύεις,
ἀλλ' ἐθέλεις ἀρετὴν σὴν φαινέμεν, ἥ τοι ὀπηδεῖ,
χωόμενος ὅτι σ' οὗτος ἀνὴρ ἐν ἀγῶνι παραστὰς
νείκεσεν, ὡς ἂν σὴν ἀρετὴν βροτὸς οὔ_τις ὄνοιτο,
ὅς_τις ἐπίσταιτο ᾗσι φρεσὶν ἄρτια βάζειν·
ἀλλ' ἄγε νῦν ἐμέθεν ξυνίει ἔπος, ὄφρα καὶ ἄλλωι
εἴπηις ἡρώων, ὅτε κεν σοῖς ἐν μεγάροισιν
δαινύηι παρὰ σῆι τ' ἀλόχωι καὶ σοῖσι τέκεσσιν,
ἡμετέρης ἀρετῆς μεμνημένος, οἷα καὶ ἡμῖν
Ζεὺς ἐπὶ ἔργα τίθησι διαμπερὲς ἐξ_ἔτι πατρῶν.
οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες οὐδὲ παλαισταί,
ἀλλὰ ποσὶ κραιπνῶς θέομεν καὶ νηυσὶν ἄριστοι,
αἰεὶ δ' ἡμῖν δαίς τε φίλη κίθαρίς τε χοροί τε
εἵματά τ' ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐναί.
ἀλλ' ἄγε, Φαιήκων βητάρμονες ὅσσοι ἄριστοι,
παίσατε, ὥς χ' ὁ ξεῖνος ἐνίσπηι οἷσι φίλοισιν
οἴκαδε νοστήσας, ὅσσον περιγιγνόμεθ' ἄλλων
ναυτιλίηι καὶ ποσσὶ καὶ ὀρχηστυῖ καὶ ἀοιδῆι.
Δημοδόκωι δέ τις αἶψα κιὼν φόρμιγγα λίγειαν
Alkinoos οἰσέτω, ἥ που κεῖται ἐν ἡμετέροισι δόμοισιν."
8.387 "κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες.
ὁ ξεῖνος μάλα μοι δοκέει πεπνυμένος εἶναι·
ἀλλ' ἄγε οἱ δῶμεν ξεινήϊον, ὡς ἐπιεικές.
δώδεκα γὰρ κατὰ δῆμον ἀριπρεπέες βασιλῆες
ἀρχοὶ κραίνουσι, τρεισκαιδέκατος δ' ἐγὼ αὐτός·
τῶν οἱ φᾶρος_ἕκαστος ἐΰπλυνὲς ἠδὲ χιτῶνα
καὶ χρυσοῖο τάλαντον ἐνείκατε τιμήεντος.
αἶψα δὲ πάντα φέρωμεν ἀολλέες, ὄφρ' ἐνὶ χερσὶν
ξεῖνος ἔχων ἐπὶ δόρπον ἴηι χαίρων ἐνὶ θυμῶι.
Εὐρύαλος δέ ἑ αὐτὸς ἀρεσσάσθω ἐπέεσσιν
Alkinoos καὶ δώρωι, ἐπεὶ οὔ_τι ἔπος κατὰ μοῖραν ἔειπεν."
8.401 "Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
τοιγὰρ ἐγὼ τὸν ξεῖνον ἀρέσσομαι, ὡς σὺ κελεύεις.
δώσω οἱ τόδ' ἄορ παγχάλκεον, ὧι ἔπι κώπη
ἀργυρέη, κολεὸν δὲ νεοπρίστου ἐλέφαντος
Euryalos ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιον ἔσται."
8.408 "χαῖρε, πάτερ ὦ ξεῖνε· ἔπος δ' εἴ_πέρ τι βέβακται
δεινόν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι.
σοὶ δὲ θεοὶ ἄλοχόν τ' ἰδέειν καὶ πατρίδ' ἱκέσθαι
Euryalos δοῖεν, ἐπεὶ_δὴ δηθὰ φίλων ἄπο πήματα πάσχεις."
8.424 "δεῦρο, γύναι, φέρε χηλὸν ἀριπρεπέ', ἥ_τις ἀρίστη·
ἐν δ' αὐτὴ θὲς φᾶρος ἐΰπλυνὲς ἠδὲ χιτῶνα.
ἀμφὶ δέ οἱ πυρὶ χαλκὸν ἰήνατε, θέρμετε δ' ὕδωρ,
ὄφρα λοεσσάμενός τε ἰδών τ' εὖ κείμενα πάντα
δῶρα, τά οἱ Φαίηκες ἀμύμονες ἐνθάδ' ἔνεικαν,
δαιτί τε τέρπηται καὶ ἀοιδῆς ὕμνον ἀκούων.
καί οἱ ἐγὼ τόδ' ἄλεισον ἐμὸν περικαλλὲς ὀπάσσω,
χρύσεον, ὄφρ' ἐμέθεν μεμνημένος ἤματα πάντα
σπένδηι ἐνὶ μεγάρωι Διί τ' ἄλλοισίν τε θεοῖσιν." Alkinoos
"αὐτὸς νῦν ἴδε πῶμα, θοῶς δ' ἐπὶ δεσμὸν ἴηλον, 8.443
μή τίς τοι καθ' ὁδὸν δηλήσεται, ὁππότ' ἂν αὖτε
εὕδηισθα γλυκὺν ὕπνον ἐὼν ἐν νηῒ μελαίνηι." Arete
"χαῖρε, ξεῖν', ἵνα καί ποτ' ἐὼν ἐν πατρίδι γαίηι 8.461
μνήσηι ἐμεῦ, ὅτι μοι πρώτηι ζωάγρι' ὀφέλλεις." Nausikaa
"κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες, ✦ 8.536
Δημόδοκος δ' ἤδη σχεθέτω φόρμιγγα λίγειαν·
οὐ γάρ πω_ πάντεσσι χαριζόμενος τάδ' ἀείδει.
ἐξ οὗ δορπέομέν τε καὶ ὤρορε θεῖος ἀοιδός,
ἐκ τοῦ δ' οὔ_πω παύσατ' ὀϊζυροῖο γόοιο
ὁ ξεῖνος· μάλα πού μιν ἄχος φρένας ἀμφιβέβηκεν.
ἀλλ' ἄγ' ὁ μὲν σχεθέτω, ἵν' ὁμῶς τερπώμεθα πάντες
ξεινοδόκοι καὶ ξεῖνος, ἐπεὶ πολὺ κάλλιον οὕτως·
εἵνεκα γὰρ ξείνοιο τάδ' αἰδοίοιο τέτυκται,
πομπὴ καὶ φίλα δῶρα, τά οἱ δίδομεν φιλέοντες.
ἀντὶ κασιγνήτου ξεῖνός θ' ἱκέτης τε τέτυκται
ἀνέρι, ὅς_τ' ὀλίγον περ ἐπιψαύηι πραπίδεσσιν.
τῶι νῦν μηδὲ σὺ κεῦθε νοήμασι κερδαλέοισιν
ὅττι κέ σ' εἴρωμαι· φάσθαι δέ σε κάλλιόν ἐστιν.
εἴπ' ὄνομ' ὅττι σε κεῖθι κάλεον μήτηρ τε πατήρ τε,
ἄλλοί θ' οἳ κατὰ ἄστυ καὶ οἳ περιναιετάουσιν.
οὐ μὲν γάρ τις πάμπαν ἀνώνυμός ἐστ' ἀνθρώπων,
οὐ κακὸς οὐδὲ μὲν ἐσθλός, ἐπὴν τὰ πρῶτα γένηται,
ἀλλ' ἐπὶ πᾶσι τίθενται ἐπεί κε τέκωσι, τοκῆες.
εἰπὲ δέ μοι γαῖάν τε τεὴν δῆμόν τε πόλιν τε,
ὄφρα σε τῆι πέμψωσι τιτυσκόμεναι φρεσὶ νῆες·
οὐ γὰρ Φαιήκεσσι κυβερνητῆρες ἔασιν,
οὐδέ τι πηδάλι' ἐστί, τά τ' ἄλλαι νῆες ἔχουσιν·
ἀλλ' αὐταὶ ἴσασι νοήματα καὶ φρένας ἀνδρῶν,
καὶ πάντων ἴσασι πόλις καὶ πίονας ἀγροὺς
ἀνθρώπων, καὶ λαῖτμα τάχισθ' ἁλὸς ἐκπερόωσιν
ἠέρι καὶ νεφέληι κεκαλυμμέναι· οὐδέ ποτέ σφιν
οὔτέ τι πημανθῆναι ἔπι δέος οὔτ' ἀπολέσθαι.
ἀλλὰ τόδ' ὥς ποτε πατρὸς ἐγὼν εἰπόντος ἄκουσα
Ναυσιθόου, ὃς ἔφασκε Ποσειδάων' ἀγάσασθαι
ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.
φῆ ποτε Φαιήκων ἀνδρῶν εὐεργέα νῆα
ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροειδέϊ πόντωι
ῥαίσεσθαι, μέγα δ' ἡμῖν ὄρος πόλει ἀμφικαλύψειν.
ὣς ἀγόρευ' ὁ γέρων· τὰ δέ κεν θεὸς ἢ τελέσειεν,
ἤ κ' ἀτέλεστ' εἴη, ὥς οἱ φίλον ἔπλετο θυμῶι.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,

ὅππηι ἀπεπλάγχθης τε καὶ ἅς τινας ἵκεο χώρας
ἀνθρώπων, αὐτούς τε πόλις τ' εὖ ναιετοώσας,
ἠμὲν ὅσοι χαλεποί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
οἵ τε φιλόξεινοι καί σφιν νόος ἐστὶ θεουδής.
εἰπὲ δ' ὅ τι κλαίεις καὶ ὀδύρεαι ἔνδοθι θυμῶι
ἀργαλέον Δαναῶν ἠδ' Ἰλίου οἶτον ἀκούων.
τὸν δὲ θεοὶ μὲν τεῦξαν, ἐπεκλώσαντο δ' ὄλεθρον
ἀνθρώποις, ἵν' ἔῃσι καὶ ἐσσομένοισιν ἀοιδή.
ἦ τίς τοι καὶ πηὸς ἀπέφθιτο Ἰλιόθι πρό
ἐσθλὸς ἐών, γαμβρὸς ἢ πενθερὸς, οἵ τε μάλιστα
κήδιστοι τελέθουσι μεθ' αἷμά τε καὶ γένος αὐτῶν;
ἤ τίς που καὶ ἑταῖρος ἀνὴρ κεχαρισμένα εἰδὼς,
ἐσθλός; ἐπεὶ οὐ μέν τι κασιγνήτοιο χερείων
Alkinoos γίγνεται ὅς κεν ἑταῖρος ἐὼν πεπνυμένα εἴδηι."
11.336 "Φαίηκες, πῶς ὔμμιν ἀνὴρ ὅδε φαίνεται εἶναι
εἶδός τε μέγεθός τε ἰδὲ φρένας ἔνδον ἐΐσας;
ξεῖνος δ' αὖτ' ἐμός ἐστιν, ἕκαστος δ' ἔμμορε τιμῆς·
τῶι μὴ ἐπειγόμενοι ἀποπέμπετε, μηδὲ τὰ δῶρα
οὕτω χρηΐζοντι κολούετε· πολλὰ γὰρ ὑμῖν
Arete κτήματ' ἐνὶ μεγάροισι θεῶν ἰότητι κέονται."
11.344 "ὦ φίλοι, οὐ μὰν ἡμὶν ἀπὸ σκοποῦ οὐδ' ἀπὸ δόξης
μυθεῖται βασίλεια περίφρων· ἀλλὰ πίθεσθε.
Echeneos Ἀλκινόου δ' ἐκ τοῦδ' ἔχεται ἔργόν τε ἔπος τε."
11.348 "τοῦτο μὲν οὕτω δὴ ἔσται ἔπος, αἴ κεν ἐγώ γε
ζωὸς Φαιήκεσσι φιληρέτμοισιν ἀνάσσω·
ξεῖνος δὲ τλήτω, μάλα περ νόστοιο χατίζων,
ἔμπης οὖν ἐπιμεῖναι ἐς αὔριον, εἰς ὅ κε πᾶσαν
δωτίνην τελέσω· πομπὴ δ' ἄνδρεσσι μελήσει
Alkinoos πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ δήμωι."
11.363 "ὦ Ὀδυσεῦ, τὸ μὲν οὔ τί σ' ἐΐσκομεν εἰσορόωντες
ἠπεροπῆά τ' ἔμεν καὶ ἐπίκλοπον, οἷά τε πολλοὺς
βόσκει γαῖα μέλαινα πολυσπερέας ἀνθρώπους
ψεύδεά τ' ἀρτύνοντας, ὅθεν κέ τις οὐδὲ ἴδοιτο·
σοὶ δ' ἔπι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένες ἐσθλαί,
μῦθον δ' ὡς ὅτ' ἀοιδὸς ἐπισταμένως κατέλεξας,
πάντων Ἀργείων σέο τ' αὐτοῦ κήδεα λυγρά.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἴ τινας ἀντιθέων ἑτάρων ἴδες, οἵ τοι ἅμ' αὐτῶι
Ἴλιον εἰς ἅμ' ἕποντο καὶ αὐτοῦ πότμον ἐπέσπον.
νὺξ δ' ἥδε μάλα μακρὴ ἀθέσφατος· οὐδέ πω ὥρη
εὕδειν ἐν μεγάρωι· σὺ δέ μοι λέγε θέσκελα ἔργα.
καί κεν ἐς ἠῶ δῖαν ἀνασχοίμην, ὅτε μοι σὺ
Alkinoos τλαίης ἐν μεγάρωι τὰ σὰ κήδεα μυθήσασθαι."
13.4 "ὦ Ὀδυσεῦ, ἐπεὶ ἵκε' ἐμὸν ποτὶ χαλκοβατὲς δῶ,
ὑψερεφές, τῶι σ' οὔ τι πάλιν πλαγχθέντα γ' ὀΐω
ἂψ ἀπονοστήσειν, εἰ καὶ μάλα πολλὰ πέπονθας.
ὑμέων δ' ἀνδρὶ ἑκάστωι ἐφιέμενος τάδε εἴρω,
ὅσσοι ἐνὶ μεγάροισι γερούσιον αἴθοπα οἶνον
αἰεὶ πίνετ' ἐμοῖσιν, ἀκουάζεσθε δ' ἀοιδοῦ.
εἵματα μὲν δὴ ξείνωι ἐϋξέστηι ἐνὶ χηλῶι
κεῖται καὶ χρυσὸς πολυδαίδαλος ἄλλά τε πάντα
δῶρ', ὅσα Φαιήκων βουληφόροι ἐνθάδ' ἔνεικαν·
ἀλλ' ἄγε οἱ δῶμεν τρίποδα μέγαν ἠδὲ λέβητα
ἀνδρακάς· ἡμεῖς δ' αὖτε ἀγειρόμενοι κατὰ δῆμον
τεισόμεθ'· ἀργαλέον γὰρ ἕνα προικὸς χαρίσασθαι." Alkinoos
"Ποντόνοε, κρητῆρα κερασσάμενος μέθυ νεῖμον 13.50
πᾶσιν ἀνὰ μέγαρον, ὄφρ' εὐξάμενοι Διὶ πατρὶ
τὸν ξεῖνον πέμπωμεν ἑὴν ἐς πατρίδα γαῖαν." Alkinoos
"ὢ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει 13.172
πατρὸς ἐμοῦ, ὃς ἔφασκε Ποσειδάων ἀγάσασθαι
ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.
φῆ ποτε Φαιήκων ἀνδρῶν περικαλλέα νῆα,
ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντωι
ῥαισέμεναι, μέγα δ' ἧμιν ὄρος πόλει ἀμφικαλύψειν.
ὣς ἀγόρευ' ὁ γέρων· τὰ δὲ δὴ νῦν πάντα τελεῖται.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
πομπῆς μὲν παύσασθε βροτῶν, ὅτε κέν τις ἵκηται
ἡμέτερον προτὶ ἄστυ· Ποσειδάωνι δὲ ταύρους
δώδεκα κεκριμένους ἱερεύσομεν, αἴ κ' ἐλεήσηι,
μηδ' ἧμιν περίμηκες ὄρος πόλει ἀμφικαλύψηι." Alkinoos

Notes

Notes

ODYSSEY ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 255 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF
PHAEAKIAN MEN
IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

6.68 “οὔτέ τοι ἡμιόνων φθονέω, τέκος, οὔτέ τευ ἄλλου.
ἔρχευ· ἀτάρ τοι δμῶες ἐφοπλίσσουσιν ἀπήνην
Alkinoos ὑψηλὴν εὔκυκλον, ὑπερτερίηι ἀραρυῖαν.”
7.159 “Ἀλκίνο’, οὐ μέν τοι τόδε κάλλιον οὐδὲ ἔοικεν,
ξεῖνον μὲν χαμαὶ ἧσθαι ἐπ’ ἐσχάρηι ἐν κονίηισιν·
οἵδε δὲ σὸν μῦθον ποτιδέγμενοι ἰσχανόωνται.
ἀλλ’ ἄγε δὴ ξεῖνον μὲν ἐπὶ θρόνου ἀργυροήλου
εἷσον ἀναστήσας, σὺ δὲ κηρύκεσσι κέλευσον
οἶνον ἐπικρῆσαι, ἵνα καὶ Διὶ τερπικεραύνωι
σπείσομεν, ὅς_θ’ ἱκέτηισιν ἅμ’ αἰδοίοισιν ὀπηδεῖ·
Echeneos δόρπον δὲ ξείνωι ταμίη δότω ἔνδον ἐόντων.”
7.179 “Ποντόνοε, κρητῆρα κερασσάμενος μέθυ νεῖμον
πᾶσιν ἀνὰ μέγαρον, ἵνα καὶ Διὶ τερπικεραύνωι
Alkinoos σπείσομεν, ὅς_θ’ ἱκέτηισιν ἅμ’ αἰδοίοισιν ὀπηδεῖ.”
7.186 “κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
ὄφρ’ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
νῦν μὲν δαισάμενοι κατακείετε οἴκαδ’ ἰόντες·
ἠῶθεν δὲ γέροντας ἐπὶ πλέονας καλέσαντες
ξεῖνον ἐνὶ μεγάροις ξεινίσσομεν ἠδὲ θεοῖσιν
ῥέξομεν ἱερὰ καλά, ἔπειτα δὲ καὶ περὶ πομπῆς
μνησόμεθ’, ὥς χ’ ὁ ξεῖνος ἄνευθε πόνου καὶ ἀνίης
πομπῆι ὑφ’ ἡμετέρηι ἣν πατρίδα γαῖαν ἵκηται
χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐστὶν,
μηδέ τι μεσσηγύς γε κακὸν καὶ πῆμα πάθησιν
πρίν γε τὸν ἧς γαίης ἐπιβήμεναι· ἔνθα δ’ ἔπειτα
πείσεται ἅσσα οἱ Αἶσα κατὰ Κλῶθές τε βαρεῖαι
γεινομένωι νήσαντο λίνωι, ὅτε μιν τέκε μήτηρ.
εἰ δέ τις ἀθανάτων γε κατ’ οὐρανοῦ εἰλήλουθεν,
ἄλλο τι δὴ τόδ’ ἔπειτα θεοὶ περιμηχανόωνται.
αἰεὶ γὰρ τὸ πάρος γε θεοὶ φαίνονται ἐναργεῖς
ἡμῖν, εὖτ’ ἔρδωμεν ἀγακλειτὰς ἑκατόμβας,
δαίνυνταί τε παρ’ ἄμμι καθήμενοι ἔνθά περ ἡμεῖς.
εἰ δ’ ἄρα τις καὶ μοῦνος ἰὼν ξυμβλῆται ὁδίτης,
οὔ τι κατακρύπτουσιν, ἐπεί σφισιν ἐγγύθεν εἰμὲν,
Alkinoos ὥς_περ Κύκλωπές τε καὶ ἄγρια φῦλα Γιγάντων.”
7.299 “ξεῖν’, ἤτοι μὲν τοῦτό γ’ ἐναίσιμον οὐκ ἐνόησεν
παῖς ἐμή, οὕνεκά σ’ οὔ_τι μετ’ ἀμφιπόλοισι γυναιξὶν
Alkinoos ἦγεν ἐς ἡμετέρου· σὺ δ’ ἄρα πρώτην ἱκέτευσας.”
7.309 “ξεῖν’, οὔ μοι τοιοῦτον ἐνὶ στήθεσσι φίλον κῆρ,
μαψιδίως κεχολῶσθαι· ἀμείνω δ’ αἴσιμα πάντα.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοῖος ἐὼν οἷός ἐσσι, τά τε φρονέων ἅ_τ’ ἐγώ περ,
παῖδά τ’ ἐμὴν ἐχέμεν καὶ ἐμὸς γαμβρὸς καλέεσθαι
αὖθι μένων· οἶκον δέ κ’ ἐγὼ καὶ κτήματα δοίην,
εἴ κ’ ἐθέλων γε μένοις· ἀέκοντα δέ σ’ οὔ_τις ἐρύξει
Φαιήκων· μὴ τοῦτο φίλον Διὶ πατρὶ γένοιτο.
πομπὴν δ’ ἐς τόδ’ ἐγὼ τεκμαίρομαι, ὄφρ’ εὖ εἰδῆις,
αὔριον ἔς· τῆμος δὲ σὺ μὲν δεδμημένος ὕπνωι
λέξεαι, οἱ δ’ ἐλόωσι γαλήνην, ὄφρ’ ἂν ἵκηαι
πατρίδα σὴν καὶ δῶμα, καὶ εἴ πού τοι φίλον ἐστὶν,

εἴ_περ καὶ μάλα πολλὸν ἑκαστέρω ἔστ’ Εὐβοίης,
τήν_περ τηλοτάτω φάσ’ ἔμμεναι οἵ μιν ἴδοντο
λαῶν ἡμετέρων, ὅτε τε ξανθὸν Ῥαδάμανθυν
ἦγον ἐποψόμενον Τιτυὸν, Γαιήϊον υἱόν.
καὶ μὲν οἱ ἔνθ’ ἦλθον, καὶ ἄτερ καμάτοιο τέλεσσαν
ἤματι τῶι αὐτῶι καὶ ἀπήνυσαν οἴκαδ’ ὀπίσσω.
εἰδήσεις δὲ καὶ αὐτὸς ἐνὶ φρεσὶν ὅσσον ἄρισται
νῆες ἐμαὶ καὶ κοῦροι ἀναρριπτεῖν ἅλα πηδῶι.” Alkinoos
“κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες, 8.26
ὄφρ’ εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
ξεῖνος ὅδ’, οὐκ οἶδ’ ὅς_τις, ἀλώμενος ἵκετ’ ἐμὸν δῶ,
ἠὲ πρὸς ἠοίων ἦ ἑσπερίων ἀνθρώπων·
πομπὴν δ’ ὀτρύνει, καὶ λίσσεται ἔμπεδον εἶναι.
ἡμεῖς δ’, ὡς τὸ πάρος περ, ἐποτρυνώμεθα πομπήν.
οὐδὲ γὰρ οὐδέ τις ἄλλος, ὅ_τίς κ’ ἐμὰ δώμαθ’ ἵκηται,
ἐνθάδ’ ὀδυρόμενος δηρὸν μένει εἵνεκα πομπῆς.
ἀλλ’ ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν
πρωτόπλοον, κούρω δὲ **δύω καὶ πεντήκοντα**
κρινάσθων κατὰ δῆμον, ὅσοι πάρος εἰσὶν ἄριστοι. ◆
δησάμενοι δ’ εὖ πάντες ἐπὶ κληῖσιν ἐρετμὰ
ἔκβητ’· αὐτὰρ ἔπειτα θοὴν ἀλεγύνετε δαῖτα
ἡμέτερόνδ’ ἐλθόντες· ἐγὼ δ’ εὖ πᾶσι παρέξω.
κούροισιν μὲν ταῦτ’ ἐπιτέλλομαι· αὐτὰρ οἱ ἄλλοι
σκηπτοῦχοι βασιλῆες ἐμὰ πρὸς δώματα καλὰ
ἔρχεσθ’, ὄφρα ξεῖνον ἐνὶ μεγάροις φιλέωμεν,
μηδέ τις ἀρνείσθω. καλέσασθε δὲ θεῖον ἀοιδὸν,
Δημόδοκον· τῶι γάρ ῥα θεὸς περὶ δῶκεν ἀοιδὴν
τέρπειν, ὅππηι θυμὸς ἐποτρύνησιν ἀείδειν.” Alkinoos
“κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες. 8.97
ἤδη μὲν δαιτὸς κεκορήμεθα θυμὸν ἐΐσης
φόρμιγγός θ’, ἣ δαιτὶ συνήορός ἐστι θαλείηι·
νῦν δ’ ἐξέλθωμεν καὶ ἀέθλων πειρηθέωμεν
πάντων, ὥς χ’ ὁ ξεῖνος ἐνίσπηι οἷσι φίλοισιν,
οἴκαδε νοστήσας, ὅσσον περιγιγνόμεθ’ ἄλλων
πύξ τε παλαιμοσύνηι τε καὶ ἅλμασιν ἠδὲ πόδεσσιν.” Alkinoos
“δεῦτε, φίλοι, τὸν ξεῖνον ἐρώμεθα, εἴ τιν’ ἄεθλον 8.133
οἶδέ τε καὶ δεδάηκε· φυήν γε μὲν οὐ κακός ἐστιν,
μηρούς τε κνήμας τε καὶ ἄμφω χεῖρας ὕπερθεν
αὐχένα τε στιβαρὸν μέγα τε σθένος· οὐδέ τι ἥβης ◆
δεύεται, ἀλλὰ κακοῖσι συνέρρηκται πολέεσσιν.
οὐ γὰρ ἐγώ γέ τί φημι κακώτερον ἄλλο θαλάσσης Lao-
ἄνδρά γε συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη.” damas
“δεῦρ’ ἄγε καὶ σύ, ξεῖνε πάτερ, πείρησαι ἀέθλων, 8.145
εἴ τινά που δεδάηκας· ἔοικε δέ σ’ ἴδμεν ἀέθλους·
οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος, ὄφρα κεν ἦισιν,
ἢ ὅ τι ποσσίν τε ῥέξηι καὶ χερσὶν ἑῆισιν.
ἀλλ’ ἄγε πείρησαι, σκέδασον δ’ ἀπὸ κήδεα θυμοῦ. Lao-
σοὶ δ’ ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται, ἀλλά τοι ἤδη
νηῦς τε κατείρυσται καὶ ἐπαρτέες εἰσὶν ἑταῖροι.” damas
“οὐ γάρ σ’ οὐδέ, ξεῖνε, δαήμονι φωτὶ ἐΐσκω 8.159

ἄθλων, οἷά τε πολλὰ μετ' ἀνθρώποισι πέλονται,
ἀλλὰ τῶι, ὅς_θ' ἅμα νηῒ πολυκλήϊδι θαμίζων,
ἀρχὸς ναυτάων οἵ_τε πρηκτῆρες ἔασιν,
φόρτου τε μνήμων καὶ ἐπίσκοπος ἦσιν ὁδαίων
Euryalos κερδέων θ' ἁρπαλέων· οὐδ' ἀθλητῆρι ἔοικας."
8.236 "ξεῖν', ἐπεὶ οὐκ ἀχάριστα μεθ' ἡμῖν ταῦτ' ἀγορεύεις,
ἀλλ' ἐθέλεις ἀρετὴν σὴν φαινέμεν, ἥ τοι ὀπηδεῖ,
χωόμενος ὅτι σ' οὗτος ἀνὴρ ἐν ἀγῶνι παραστὰς
νείκεσεν, ὡς ἂν σὴν ἀρετὴν βροτὸς οὔ_τις ὄνοιτο,
ὅς_τις ἐπίσταιτο ἧισι φρεσὶν ἄρτια βάζειν·
ἀλλ' ἄγε νῦν ἐμέθεν ξυνίει ἔπος, ὄφρα καὶ ἄλλωι
εἴπηις ἡρώων, ὅτε κεν σοῖς ἐν μεγάροισιν
δαινύηι παρὰ σῆι τ' ἀλόχωι καὶ σοῖσι τέκεσσιν,
ἡμετέρης ἀρετῆς μεμνημένος, οἷα καὶ ἡμῖν
Ζεὺς ἐπὶ ἔργα τίθησι διαμπερὲς ἐξ_ἔτι πατρῶν.
οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες οὐδὲ παλαισταί,
ἀλλὰ ποσὶ κραιπνῶς θέομεν καὶ νηυσὶν ἄριστοι,
αἰεὶ δ' ἡμῖν δαίς τε φίλη κίθαρίς τε χοροί τε
εἵματά τ' ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐναί.
ἀλλ' ἄγε, Φαιήκων βητάρμονες ὅσσοι ἄριστοι,
παίσατε, ὥς χ' ὁ ξεῖνος ἐνίσπηι οἷσι φίλοισιν
οἴκαδε νοστήσας, ὅσσον περιγιγνόμεθ' ἄλλων
ναυτιλίηι καὶ ποσσὶ καὶ ὀρχηστυῖ καὶ ἀοιδῆι.
Δημοδόκωι δέ τις αἶψα κιὼν φόρμιγγα λίγειαν
Alkinoos οἰσέτω, ἥ που κεῖται ἐν ἡμετέροισι δόμοισιν."
8.387 "κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες.
ὁ ξεῖνος μάλα μοι δοκέει πεπνυμένος εἶναι·
ἀλλ' ἄγε οἱ δῶμεν ξεινήϊον, ὡς ἐπιεικές.
δώδεκα γὰρ κατὰ δῆμον ἀριπρεπέες βασιλῆες
ἀρχοὶ κραίνουσι, τρεισκαιδέκατος δ' ἐγὼ αὐτός·
τῶν οἱ φᾶρος_ἕκαστος ἐΰπλυνὲς ἠδὲ χιτῶνα
καὶ χρυσοῖο τάλαντον ἐνείκατε τιμήεντος.
αἶψα δὲ πάντα φέρωμεν ἀολλέες, ὄφρ' ἐνὶ χερσὶν
ξεῖνος ἔχων ἐπὶ δόρπον ἴηι χαίρων ἐνὶ θυμῶι.
Εὐρύαλος δέ ἑ αὐτὸς ἀρεσσάσθω ἐπέεσσιν
Alkinoos καὶ δώρωι, ἐπεὶ οὔ_τι ἔπος κατὰ μοῖραν ἔειπεν."
8.401 "Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
τοιγὰρ ἐγὼ τὸν ξεῖνον ἀρέσσομαι, ὡς σὺ κελεύεις.
δώσω οἱ τόδ' ἄορ παγχάλκεον, ὧι ἔπι κώπη
ἀργυρέη, κολεὸν δὲ νεοπρίστου ἐλέφαντος
Euryalos ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιον ἔσται."
8.408 "χαῖρε, πάτερ ὦ ξεῖνε· ἔπος δ' εἴ_πέρ τι βέβακται
δεινὸν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι.
σοὶ δὲ θεοὶ ἄλοχόν τ' ἰδέειν καὶ πατρίδ' ἱκέσθαι
Euryalos δοῖεν, ἐπεὶ_δὴ δηθὰ φίλων ἄπο πήματα πάσχεις."
8.424 "δεῦρο, γύναι, φέρε χηλὸν ἀριπρεπέ', ἥ_τις ἀρίστη·
ἐν δ' αὐτὴ θὲς φᾶρος ἐΰπλυνὲς ἠδὲ χιτῶνα.
ἀμφὶ δέ οἱ πυρὶ χαλκὸν ἰήνατε, θέρμετε δ' ὕδωρ,
ὄφρα λοεσσάμενός τε ἰδών τ' εὖ κείμενα πάντα
δῶρα, τά οἱ Φαίηκες ἀμύμονες ἐνθάδ' ἔνεικαν,
δαιτί τε τέρπηται καὶ ἀοιδῆς ὕμνον ἀκούων.
καί οἱ ἐγὼ τόδ' ἄλεισον ἐμὸν περικαλλὲς ὀπάσσω,
χρύσεον, ὄφρ' ἐμέθεν μεμνημένος ἤματα πάντα
σπένδηι ἐνὶ μεγάρωι Διί τ' ἄλλοισίν τε θεοῖσιν." Alkinoos
"κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες, ◆ 8.536
Δημόδοκος δ' ἤδη σχεθέτω φόρμιγγα λίγειαν·
οὐ γάρ πω_ πάντεσσι χαριζόμενος τάδ' ἀείδει.
ἐξ οὗ δορπέομέν τε καὶ ὤρορε θεῖος ἀοιδὸς,
ἐκ τοῦ δ' οὔ_πω παύσατ' ὀϊζυροῖο γόοιο
ὁ ξεῖνος· μάλα πού μιν ἄχος φρένας ἀμφιβέβηκεν.
ἀλλ' ἄγ' ὁ μὲν σχεθέτω, ἵν' ὁμῶς τερπώμεθα πάντες
ξεινοδόκοι καὶ ξεῖνος, ἐπεὶ πολὺ κάλλιον οὕτως·
εἵνεκα γὰρ ξείνοιο τάδ' αἰδοίοιο τέτυκται,
πομπὴ καὶ φίλα δῶρα, τά οἱ δίδομεν φιλέοντες.
ἀντὶ κασιγνήτου ξεῖνός θ' ἱκέτης τε τέτυκται
ἀνέρι, ὅς_τ' ὀλίγον περ ἐπιψαύηι πραπίδεσσιν.
τῶι νῦν μηδὲ σὺ κεῦθε νοήμασι κερδαλέοισιν
ὅττί κέ σ' εἴρωμαι· φάσθαι δέ σε κάλλιόν ἐστιν.
εἴπ' ὄνομ' ὅττι σε κεῖθι κάλεον μήτηρ τε πατήρ τε,
ἄλλοί θ' οἳ κατὰ ἄστυ καὶ οἳ περιναιετάουσιν.
οὐ μὲν γάρ τις πάμπαν ἀνώνυμός ἐστ' ἀνθρώπων,
οὐ κακὸς οὐδὲ μὲν ἐσθλὸς, ἐπὴν τὰ πρῶτα γένηται,
ἀλλ' ἐπὶ πᾶσι τίθενται ἐπεί κε τέκωσι, τοκῆες.
εἰπὲ δέ μοι γαῖάν τε τεὴν δῆμόν τε πόλιν τε,
ὄφρα σε τῆι πέμψωσι τιτυσκόμεναι φρεσὶ νῆες·
οὐ γὰρ Φαιήκεσσι κυβερνητῆρες ἔασιν,
οὐδέ τι πηδάλι' ἐστὶ, τά τ' ἄλλαι νῆες ἔχουσιν·
ἀλλ' αὐταὶ ἴσασι νοήματα καὶ φρένας ἀνδρῶν,
καὶ πάντων ἴσασι πόλις καὶ πίονας ἀγροὺς
ἀνθρώπων, καὶ λαῖτμα τάχισθ' ἁλὸς ἐκπερόωσιν
ἠέρι καὶ νεφέληι κεκαλυμμέναι· οὐδέ ποτέ σφιν
οὔτέ τι πημανθῆναι ἔπι δέος οὔτ' ἀπολέσθαι.
ἀλλὰ τόδ' ὥς ποτε πατρὸς ἐγὼν εἰπόντος ἄκουσα
Ναυσιθόου, ὃς ἔφασκε Ποσειδάων' ἀγάσασθαι
ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.
φῆ ποτε Φαιήκων ἀνδρῶν εὐεργέα νῆα
ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροειδέϊ πόντωι
ῥαίσεσθαι, μέγα δ' ἡμῖν ὄρος πόλει ἀμφικαλύψειν.
ὣς ἀγόρευ' ὁ γέρων· τὰ δέ κεν θεὸς ἢ τελέσειεν,
ἤ κ' ἀτέλεστ' εἴη, ὥς οἱ φίλον ἔπλετο θυμῶι.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ὅππηι ἀπεπλάγχθης τε καὶ ἅς_τινας ἵκεο χώρας
ἀνθρώπων, αὐτούς τε πόλις τ' εὖ ναιετοώσας,
ἠμὲν ὅσοι χαλεποί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
οἵ τε φιλόξεινοι καί σφιν νόος ἐστὶ θεουδής.
εἰπὲ δ' ὅ τι κλαίεις καὶ ὀδύρεαι ἔνδοθι θυμῶι
ἀργαλέον Δαναῶν ἠδ' Ἰλίου οἶτον ἀκούων.
τὸν δὲ θεοὶ μὲν τεῦξαν, ἐπεκλώσαντο δ' ὄλεθρον
ἀνθρώποις, ἵν' ἔησι καὶ ἐσσομένοισιν ἀοιδή.
ἦ τίς τοι καὶ πηὸς ἀπέφθιτο Ἰλιόθι πρό

ἐσθλὸς ἐών, γαμβρὸς ἢ πενθερὸς, οἵ τε μάλιστα
κήδιστοι τελέθουσι μεθ' αἷμά τε καὶ γένος αὐτῶν;
ἤ τίς που καὶ ἑταῖρος ἀνὴρ κεχαρισμένα εἰδὼς,
ἐσθλός; ἐπεὶ οὐ μέν τι κασιγνήτοιο χερείων
Alkinoos γίγνεται ὅς κεν ἑταῖρος ἐὼν πεπνυμένα εἴδηι."
11.344 "ὦ φίλοι, οὐ μὰν ἡμὶν ἀπὸ σκοποῦ οὐδ' ἀπὸ δόξης
μυθεῖται βασίλεια περίφρων· ἀλλὰ πίθεσθε.
Echeneos Ἀλκινόου δ' ἐκ τοῦδ' ἔχεται ἔργόν τε ἔπος τε."
11.348 "τοῦτο μὲν οὕτω δὴ ἔσται ἔπος, αἴ κεν ἐγώ γε
ζωὸς Φαιήκεσσι φιληρέτμοισιν ἀνάσσω·
ξεῖνος δὲ τλήτω, μάλα περ νόστοιο χατίζων,
ἔμπης οὖν ἐπιμεῖναι ἐς αὔριον, εἰς ὅ κε πᾶσαν
δωτίνην τελέσω· πομπὴ δ' ἄνδρεσσι μελήσει
Alkinoos πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ δήμωι."
11.363 "ὦ Ὀδυσεῦ, τὸ μὲν οὔ τί σ' ἐίσκομεν εἰσορόωντες
ἠπεροπῆά τ' ἔμεν καὶ ἐπίκλοπον, οἷά τε πολλοὺς
βόσκει γαῖα μέλαινα πολυσπερέας ἀνθρώπους
ψεύδεά τ' ἀρτύνοντας, ὅθεν κέ τις οὐδὲ ἴδοιτο·
σοὶ δ' ἔπι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένες ἐσθλαί,
μῦθον δ' ὡς ὅτ' ἀοιδὸς ἐπισταμένως κατέλεξας,
πάντων Ἀργείων σέο τ' αὐτοῦ κήδεα λυγρά.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἴ τινας ἀντιθέων ἑτάρων ἴδες, οἵ τοι ἅμ' αὐτῶι
Ἴλιον εἰς ἅμ' ἕποντο καὶ αὐτοῦ πότμον ἐπέσπον.
νὺξ δ' ἥδε μάλα μακρὴ ἀθέσφατος· οὐδέ πω ὥρη
εὕδειν ἐν μεγάρωι· σὺ δέ μοι λέγε θέσκελα ἔργα.
καί κεν ἐς ἠῶ δῖαν ἀνασχοίμην, ὅτε μοι σὺ
Alkinoos τλαίης ἐν μεγάρωι τὰ σὰ κήδεα μυθήσασθαι."
13.4 "ὦ Ὀδυσεῦ, ἐπεὶ ἵκε' ἐμὸν ποτὶ χαλκοβατὲς δῶ,
ὑψερεφὲς, τῶι σ' οὔ τι πάλιν πλαγχθέντά γ' ὀΐω
ἂψ ἀπονοστήσειν, εἰ καὶ μάλα πολλὰ πέπονθας.
ὑμέων δ' ἀνδρὶ ἑκάστωι ἐφιέμενος τάδε εἴρω,
ὅσσοι ἐνὶ μεγάροισι γερούσιον αἴθοπα οἶνον
αἰεὶ πίνετ' ἐμοῖσιν, ἀκουάζεσθε δ' ἀοιδοῦ.
εἵματα μὲν δὴ ξείνωι ἐϋξέστηι ἐνὶ χηλῶι
κεῖται καὶ χρυσὸς πολυδαίδαλος ἄλλά τε πάντα
δῶρ', ὅσα Φαιήκων βουληφόροι ἐνθάδ' ἔνεικαν·
ἀλλ' ἄγε οἱ δῶμεν τρίποδα μέγαν ἠδὲ λέβητα
ἀνδρακάς· ἡμεῖς δ' αὖτε ἀγειρόμενοι κατὰ δῆμον
Alkinoos τεισόμεθ'· ἀργαλέον γὰρ ἕνα προικὸς χαρίσασθαι."
13.50 "Ποντόνοε, κρητῆρα κερασσάμενος μέθυ νεῖμον
πᾶσιν ἀνὰ μέγαρον, ὄφρ' εὐξάμενοι Διὶ πατρὶ
Alkinoos τὸν ξεῖνον πέμπωμεν ἑήν ἐς πατρίδα γαῖαν."
13.172 "ὢ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει
πατρὸς ἐμοῦ, ὃς ἔφασκε Ποσειδάων ἀγάσασθαι
ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.
φῆ ποτε Φαιήκων ἀνδρῶν περικαλλέα νῆα,
ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντωι
ῥαισέμεναι, μέγα δ' ἧμιν ὄρος πόλει ἀμφικαλύψειν.
ὣς ἀγόρευ' ὁ γέρων· τὰ δὲ δὴ νῦν πάντα τελεῖται.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
πομπῆς μὲν παύσασθε βροτῶν, ὅτε κέν τις ἵκηται
ἡμέτερον προτί ἄστυ· Ποσειδάωνι δὲ ταύρους
δώδεκα κεκριμένους ἱερεύσομεν, αἴ κ' ἐλεήσηι,
μηδ' ἥμιν περίμηκες ὄρος πόλει ἀμφικαλύψηι." Alkinoos

ODYSSEY ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 115 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF PHAEAKIAN WOMEN IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

6.57 “πάππα φίλ’, οὐκ ἂν δή μοι ἐφοπλίσσειας ἀπήνην
ὑψηλὴν εὔκυκλον, ἵνα κλυτὰ εἵματ’ ἄγωμαι
ἐς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται;
καὶ δὲ σοὶ αὐτῶι ἔοικε μετὰ πρώτοισιν ἐόντα
βουλὰς βουλεύειν καθαρὰ χροῒ εἵματ’ ἔχοντα.
πέντε δέ τοι φίλοι υἷες ἐνὶ μεγάροις γεγάασιν,
οἱ δύ’ ὀπυίοντες, τρεῖς δ’ ἠΐθεοι θαλέθοντες·
Nausi- οἱ δ’ αἰεὶ ἐθέλουσι νεόπλυτα εἵματ’ ἔχοντες
kaa ἐς χορὸν ἔρχεσθαι· τὰ δ’ ἐμῆι φρενὶ πάντα μέμηλεν.”
6.187 “ξεῖν’, ἐπεὶ οὔτε κακῶι οὔτ’ ἄφρονι φωτὶ ἔοικας —
Ζεὺς δ’ αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν,
ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλῃσιν, ἑκάστωι·
καί που σοὶ τά γ’ ἔδωκε· σὲ δὲ χρὴ τετλάμεν ἔμπης —
νῦν δ’, ἐπεὶ ἡμετέρην τε πόλιν καὶ γαῖαν ἱκάνεις,
οὔτ’ οὖν ἐσθῆτος δευήσεαι οὔτέ τε’ ἄλλου,
ὧν ἐπέοιχ’ ἱκέτην ταλαπείριον ἀντιάσαντα.
ἄστυ δέ τοι δείξω, ἐρέω δέ τοι οὔνομα λαῶν.
Φαίηκες μὲν τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν,
Nausi- εἰμὶ δ’ ἐγὼ θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο,
kaa τοῦ δ’ ἐκ Φαιήκων ἔχεται κάρτος τε βίη τε.”
6.199 “στῆτέ μοι, ἀμφίπολοι· πόσε φεύγετε φῶτα ἰδοῦσαι;
ἦ μή πού τινα δυσμενέων φάσθ’ ἔμμεναι ἀνδρῶν;
οὐκ ἔσθ’ οὗτος ἀνὴρ διερὸς βροτὸς, οὐδὲ γένηται,
ὅς κεν Φαιήκων ἀνδρῶν ἐς γαῖαν ἵκηται
δηϊοτῆτα φέρων· μάλα γὰρ φίλοι ἀθανάτοισιν.
οἰκέομεν δ’ ἀπάνευθε πολυκλύστωι ἐνὶ πόντωι,
ἔσχατοι, οὐδέ τις ἄμμι βροτῶν ἐπιμίσγεται ἄλλος.
ἀλλ’ ὅδε τις δύστηνος ἀλώμενος ἐνθάδ’ ἱκάνει,
τὸν νῦν χρὴ κομέειν· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
Nausi- ξεῖνοί τε πτωχοί τε, δόσις δ’ ὀλίγη τε φίλη τε.
kaa ἀλλὰ δότ’, ἀμφίπολοι, ξείνωι βρῶσίν τε πόσιν τε,
λούσατέ τ’ ἐν ποταμῶι, ὅθ’ ἐπὶ σκέπας ἔστ’ ἀνέμοιο.”
6.239 “κλῦτέ μοι, ἀμφίπολοι λευκώλενοι, ὄφρα τι εἴπω.
οὐ πάντων ἀέκητι θεῶν, οἳ Ὄλυμπον ἔχουσιν,
Φαιήκεσσ’ ὅδ’ ἀνὴρ ἐπιμίσγεται ἀντιθέοισιν·
πρόσθεν μὲν γὰρ δή μοι ἀεικέλιος δέατ’ εἶναι,
νῦν δὲ θεοῖσιν ἔοικε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη
Nausi- ἐνθάδε ναιετάων, καί οἱ ἅδοι αὐτόθι μίμνειν.
kaa ἀλλὰ δότ’, ἀμφίπολοι, ξείνωι βρῶσίν τε πόσιν τε.”
6.255 “ὄρσεο δὴ νῦν, ξεῖνε, πόλινδ’ ἴμεν, ὄφρα σε πέμψω
πατρὸς ἐμοῦ πρὸς δῶμα δαΐφρονος, ἔνθά σέ φημι
πάντων Φαιήκων εἰδησέμεν ὅσσοι ἄριστοι.
ἀλλὰ μάλ’ ὧδ’ ἔρδειν· δοκέεις δέ μοι οὐκ ἀπινύσσειν·
ὄφρ’ ἂν μέν κ’ ἀγροὺς ἴομεν καὶ ἔργ’ ἀνθρώπων,
τόφρα σὺν ἀμφιπόλοισι μεθ’ ἡμιόνους καὶ ἄμαξαν
καρπαλίμως ἔρχεσθαι, ἐγὼ δ’ ὁδὸν ἡγεμονεύσω.
αὐτὰρ ἐπὴν πόλιος ἐπιβήομεν ἣν πέρι πύργος
ὑψηλὸς, καλὸς δὲ λιμὴν ἑκάτερθε πόληος,
λεπτὴ δ’ εἰσίθμη· νῆες δ’ ὁδὸν ἀμφιέλισσαι
εἰρύαται· πᾶσιν γὰρ ἐπίστιόν ἐστιν ἑκάστωι.
ἔνθα δέ τέ σφ’ ἀγορὴ, καλὸν Ποσιδήϊον ἀμφὶς,
ῥυτοῖσιν λάεσσι κατωρυχέεσσ’ ἀραρυῖα.
ἔνθα δὲ νηῶν ὅπλα μελαινάων ἀλέγουσιν,
πείσματα καὶ σπείρας, καὶ ἀποξύουσιν ἐρετμά.
οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς οὐδὲ φαρέτρη,
ἀλλ’ ἱστοὶ καὶ ἐρετμὰ νεῶν καὶ νῆες ἐΐσαι,
ᾗσιν ἀγαλλόμενοι πολιὴν περόωσι θάλασσαν,
τῶν ἀλεείνω φῆμιν ἀδευκέα, μή τις ὀπίσσω
μωμεύηι — μάλα δ’ εἰσὶν ὑπερφίαλοι κατὰ δῆμον —
καί νύ τις ὧδ’ εἴπῃσι κακώτερος ἀντιβολήσας·
‘τίς δ’ ὅδε Ναυσικάαι ἕπεται καλός τε μέγας τε
ξεῖνος; ποῦ δέ μιν ηὗρε; πόσις νύ οἱ ἔσσεται αὐτῆι.
ἤ τινά που πλαγχθέντα κομίσσατο ἧς ἀπὸ νηὸς
ἀνδρῶν τηλεδαπῶν, ἐπεὶ οὔ τινες ἐγγύθεν εἰσίν·
ἤ τίς οἱ εὐξαμένηι πολυάρητος θεὸς ἦλθεν
οὐρανόθεν καταβὰς, ἕξει δέ μιν ἤματα πάντα.
βέλτερον, εἴ κ’ αὐτή περ ἐποιχομένη πόσιν ηὗρεν
ἄλλοθεν· ἦ γὰρ τούσδε γ’ ἀτιμάζει κατὰ δῆμον
Φαίηκας, τοί μιν μνῶνται πολέες τε καὶ ἐσθλοί.’
ὣς ἐρέουσιν, ἐμοὶ δέ κ’ ὀνείδεα ταῦτα γένοιτο.
καὶ δ’ ἄλληι νεμεσῶ, ἥ τις τοιαῦτά γε ῥέζοι,
ἥ τ’ ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων
ἀνδράσι μίσγηται πρίν γ’ ἀμφάδιον γάμον ἐλθεῖν.
ξεῖνε, σὺ δ’ ὦκ’ ἐμέθεν ξυνίει ἔπος, ὄφρα τάχιστα
πομπῆς καὶ νόστοιο τύχῃς παρὰ πατρὸς ἐμοῖο.
δήεις ἀγλαὸν ἄλσος Ἀθήνης ἄγχι κελεύθου
αἰγείρων· ἐν δὲ κρήνη νάει, ἀμφὶ δὲ λειμών·
ἔνθα δὲ πατρὸς ἐμοῦ τέμενος τεθαλυῖά τ’ ἀλωὴ,
τόσσον ἀπὸ πτόλιος, ὅσσον τε γέγωνε βοήσας·
ἔνθα καθεζόμενος μεῖναι χρόνον, εἰς ὅ κεν ἡμεῖς
ἄστυδε ἔλθωμεν καὶ ἱκώμεθα δώματα πατρός.
αὐτὰρ ἐπὴν ἡμέας ἔλπηι ποτὶ δώματ’ ἀφῖχθαι,
καὶ τότε Φαιήκων ἴμεν ἐς πόλιν ἠδ’ ἐρέεσθαι
δώματα πατρὸς ἐμοῦ, μεγαλήτορος Ἀλκινόοιο.
ῥεῖα δ’ ἀρίγνωτ’ ἐστὶ καὶ ἂν πάϊς ἡγήσαιτο
νήπιος· οὐ μὲν γάρ τι ἐοικότα τοῖσι τέτυκται
δώματα Φαιήκων, οἷος δόμος Ἀλκινόοιο
ἥρωος. ἀλλ’ ὁπότ’ ἄν σε δόμοι κεκύθωσι καὶ αὐλὴ,
ὦκα μάλα μεγάροιο διελθέμεν, ὄφρ’ ἂν ἵκηαι
μητέρ’ ἐμήν· ἡ δ’ ἧσται ἐπ’ ἐσχάρηι ἐν πυρὸς αὐγῆι,
ἠλάκατα στρωφῶσ’ ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι,
κίονι κεκλιμένη· δμωαὶ δέ οἱ εἵατ’ ὄπισθεν.
ἔνθα δὲ πατρὸς ἐμοῖο θρόνος ποτικέκλιται αὐτῆι,
τῶι ὅ γε οἰνοποτάζει ἐφήμενος ἀθάνατος ὥς.
τὸν παραμειψάμενος μητρὸς περὶ γούνασι χεῖρας
βάλλειν ἡμετέρης, ἵνα νόστιμον ἦμαρ ἴδηαι
χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐσσί.
εἴ κέν τοι κείνη γε φίλα φρονέῃσ’ ἐνὶ θυμῶι, Nausi-
ἐλπωρή τοι ἔπειτα φίλους τ’ ἰδέειν καὶ ἱκέσθαι kaa

οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν."

7.237 "ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή·
τίς πόθεν εἶs ἀνδρῶν; τίς τοι τάδε εἵματ' ἔδωκεν;
Arete οὐ δὴ φῄς ἐπὶ πόντον ἀλώμενος ἐνθάδ' ἱκέσθαι;"

8.443 "αὐτὸς νῦν ἴδε πῶμα, θοῶς δ' ἐπὶ δεσμὸν ἴηλον,
μή τίς τοι καθ' ὁδὸν δηλήσεται, ὁππότ' ἂν αὖτε
Arete εὕδῃσθα γλυκὺν ὕπνον ἐὼν ἐν νηῒ μελαίνῃ."

8.461 "χαῖρε, ξεῖν', ἵνα καί ποτ' ἐὼν ἐν πατρίδι γαίηι
Nausikaa μνήσηι ἐμεῦ, ὅτι μοι πρώτηι ζωάγρι' ὀφέλλεις."

11.336 "Φαίηκες, πῶς ὔμμιν ἀνὴρ ὅδε φαίνεται εἶναι
εἶδός τε μέγεθός τε ἰδὲ φρένας ἔνδον ἐΐσας;
ξεῖνος δ' αὖτ' ἐμός ἐστιν, ἕκαστος δ' ἔμμορε τιμῆς·
τῶι μὴ ἐπειγόμενοι ἀποπέμπετε, μηδὲ τὰ δῶρα
◆ οὕτω χρηίζοντι κολούετε· πολλὰ γὰρ ὑμῖν
Arete κτήματ' ἐνὶ μεγάροισι θεῶν ἰότητι κέονται."

6.57 "πάππα φίλ', οὐκ ἂν δή μοι ἐφοπλίσσειας ἀπήνην
ὑψηλὴν εὔκυκλον, ἵνα κλυτὰ εἵματ' ἄγωμαι
ἐς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται;
καὶ δὲ σοὶ αὐτῶι ἔοικε μετὰ πρώτοισιν ἐόντα
βουλὰς βουλεύειν καθαρὰ χροῒ εἵματ' ἔχοντα.
πέντε δέ τοι φίλοι υἷες ἐνὶ μεγάροις γεγάασιν,
οἱ δύ' ὀπυίοντες, τρεῖς δ' ἠΐθεοι θαλέθοντες·
Nausi- οἱ δ' αἰεὶ ἐθέλουσι νεόπλυτα εἵματ' ἔχοντες
kaa ἐς χορὸν ἔρχεσθαι· τὰ δ' ἐμῆι φρενὶ πάντα μέμηλεν."
6.187 "ξεῖν', ἐπεὶ οὔτε κακῶι οὔτ' ἄφρονι φωτὶ ἔοικας —
Ζεὺς δ' αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν,
ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλῃσιν, ἑκάστωι·
καί που σοί τά γ' ἔδωκε· σὲ δὲ χρὴ τετλάμεν ἔμπης —
νῦν δ', ἐπεὶ ἡμετέρην τε πόλιν καὶ γαῖαν ἱκάνεις,
οὔτ' οὖν ἐσθῆτος δευήσεαι οὔτέ τε' ἄλλου,
ὧν ἐπέοιχ' ἱκέτην ταλαπείριον ἀντιάσαντα.
ἄστυ δέ τοι δείξω, ἐρέω δέ τοι οὔνομα λαῶν.
Φαίηκες μὲν τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν,
Nausi- εἰμὶ δ' ἐγὼ θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο,
kaa τοῦ δ' ἐκ Φαιήκων ἔχεται κάρτός τε βίη τε."
6.199 "στῆτέ μοι, ἀμφίπολοι· πόσε φεύγετε φῶτα ἰδοῦσαι;
ἦ μή πού τινα δυσμενέων φάσθ' ἔμμεναι ἀνδρῶν;
οὐκ ἔσθ' οὗτος ἀνὴρ διερὸς βροτὸς, οὐδὲ γένηται,
ὅς κεν Φαιήκων ἀνδρῶν ἐς γαῖαν ἵκηται
δηϊοτῆτα φέρων· μάλα γὰρ φίλοι ἀθανάτοισιν.
οἰκέομεν δ' ἀπάνευθε πολυκλύστωι ἐνὶ πόντωι,
ἔσχατοι, οὐδέ τις ἄμμι βροτῶν ἐπιμίσγεται ἄλλος.
ἀλλ' ὅδε τις δύστηνος ἀλώμενος ἐνθάδ' ἱκάνει,
τὸν νῦν χρὴ κομέειν· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
Nausi- ξεῖνοί τε πτωχοί τε, δόσις δ' ὀλίγη τε φίλη τε.
kaa ἀλλὰ δότ', ἀμφίπολοι, ξείνωι βρῶσίν τε πόσιν τε,
λούσατέ τ' ἐν ποταμῶι, ὅθ' ἐπὶ σκέπας ἔστ' ἀνέμοιο."

"κλῦτέ μοι, ἀμφίπολοι λευκώλενοι, ὄφρα τι εἴπω. 6.239
οὐ πάντων ἀέκητι θεῶν, οἳ Ὄλυμπον ἔχουσιν,
Φαιήκεσσ' ὅδ' ἀνὴρ ἐπιμίσγεται ἀντιθέοισιν·
πρόσθεν μὲν γὰρ δή μοι ἀεικέλιος δέατ' εἶναι,
νῦν δὲ θεοῖσιν ἔοικε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη
ἐνθάδε ναιετάων, καὶ οἱ ἅδοι αὐτόθι μίμνειν. Nausi-
ἀλλὰ δότ', ἀμφίπολοι, ξείνωι βρῶσίν τε πόσιν τε." kaa
"ὄρσεο δὴ νῦν, ξεῖνε, πόλινδ' ἴμεν, ὄφρα σε πέμψω 6.255
πατρὸς ἐμοῦ πρὸς δῶμα δαΐφρονος, ἔνθά σέ φημι
πάντων Φαιήκων εἰδησέμεν ὅσσοι ἄριστοι.
ἀλλὰ μάλ' ὧδ' ἔρδειν· δοκέεις δέ μοι οὐκ ἀπινύσσειν·
ὄφρ' ἂν μέν κ' ἀγροὺς ἴομεν καὶ ἔργ' ἀνθρώπων,
τόφρα σὺν ἀμφιπόλοισι μεθ' ἡμιόνους καὶ ἄμαξαν
καρπαλίμως ἔρχεσθαι, ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω.
αὐτὰρ ἐπὴν πόλιος ἐπιβήομεν ἣν πέρι πύργος
ὑψηλὸς, καλὸς δὲ λιμὴν ἑκάτερθε πόληος,
λεπτὴ δ' εἰσίθμη· νῆες δ' ὁδὸν ἀμφιέλισσαι
εἰρύαται· πᾶσιν γὰρ ἐπίστιόν ἐστιν ἑκάστωι.
ἔνθα δέ τέ σφ' ἀγορὴ, καλὸν Ποσιδήϊον ἀμφὶς,
ῥυτοῖσιν λάεσσι κατωρυχέεσσ' ἀραρυῖα.
ἔνθα δὲ νηῶν ὅπλα μελαινάων ἀλέγουσιν,
πείσματα καὶ σπείρας, καὶ ἀποξύουσιν ἐρετμά.
οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς οὐδὲ φαρέτρη,
ἀλλ' ἱστοὶ καὶ ἐρετμὰ νεῶν καὶ νῆες ἐῖσαι,
ἧισιν ἀγαλλόμενοι πολιὴν περόωσι θάλασσαν,
τῶν ἀλεείνω φῆμιν ἀδευκέα, μή τις ὀπίσσω
μωμεύῃ — μάλα δ' εἰσὶν ὑπερφίαλοι κατὰ δῆμον —
καί νύ τις ὧδ' εἴπῃσι κακώτερος ἀντιβολήσας·
'τίς δ' ὅδε Ναυσικάαι ἕπεται καλός τε μέγας τε
ξεῖνος; ποῦ δέ μιν ηὗρε; πόσις νύ οἱ ἔσσεται αὐτῆι.
ἤ τινά που πλαγχθέντα κομίσσατο ἧς ἀπὸ νηὸς

ἀνδρῶν τηλεδαπῶν, ἐπεὶ οὔ τινες ἐγγύθεν εἰσίν·
ἤ τίς οἱ εὐξαμένηι πολυάρητος θεὸς ἦλθεν
οὐρανόθεν καταβάς, ἕξει δέ μιν ἤματα πάντα.
βέλτερον, εἴ κ' αὐτή περ ἐποιχομένη πόσιν ηὗρεν
ἄλλοθεν· ἦ γὰρ τούσδε γ' ἀτιμάζει κατὰ δῆμον
Φαίηκας, τοί μιν μνῶνται πολέες τε καὶ ἐσθλοί.'
ὣς ἐρέουσιν, ἐμοὶ δέ κ' ὀνείδεα ταῦτα γένοιτο.
καὶ δ' ἄλληι νεμεσῶ, ἥ τις τοιαῦτά γε ῥέζοι,
ἥ τ' ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων
ἀνδράσι μίσγηται πρίν γ' ἀμφάδιον γάμον ἐλθεῖν.
ξεῖνε, σὺ δ' ὦκ' ἐμέθεν ξυνίει ἔπος, ὄφρα τάχιστα
πομπῆς καὶ νόστοιο τύχηις παρὰ πατρὸς ἐμοῖο.
δήεις ἀγλαὸν ἄλσος Ἀθήνης ἄγχι κελεύθου
αἰγείρων· ἐν δὲ κρήνη νάει, ἀμφὶ δὲ λειμών·
ἔνθα δὲ πατρὸς ἐμοῦ τέμενος τεθαλυῖά τ' ἀλωὴ,
τόσσον ἀπὸ πτόλιος, ὅσσον τε γέγωνε βοήσας·
ἔνθα καθεζόμενος μεῖναι χρόνον, εἰς ὅ κεν ἡμεῖς
ἄστυδε ἔλθωμεν καὶ ἱκώμεθα δώματα πατρός.
αὐτὰρ ἐπὴν ἡμέας ἔλπηι ποτὶ δώματ' ἀφῖχθαι,
καὶ τότε Φαιήκων ἴμεν ἐς πόλιν ἠδ' ἐρέεσθαι
δώματα πατρὸς ἐμοῦ, μεγαλήτορος Ἀλκινόοιο.
ῥεῖα δ' ἀρίγνωτ' ἐστὶ καὶ ἂν πάϊς ἡγήσαιτο
νήπιος· οὐ μὲν γάρ τι ἐοικότα τοῖσι τέτυκται
δώματα Φαιήκων, οἷος δόμος Ἀλκινόοιο
ἥρωος. ἀλλ' ὁπότ' ἄν σε δόμοι κεκύθωσι καὶ αὐλὴ,
ὦκα μάλα μεγάροιο διελθέμεν, ὄφρ' ἂν ἵκηαι
μητέρ' ἐμήν· ἡ δ' ἧσται ἐπ' ἐσχάρηι ἐν πυρὸς αὐγῆι,
ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι,
κίονι κεκλιμένη· δμωαὶ δέ οἱ εἵατ' ὄπισθεν.
ἔνθα δὲ πατρὸς ἐμοῖο θρόνος ποτικέκλιται αὐτῆι,
τῶι ὅ γε οἰνοποτάζει ἐφήμενος ἀθάνατος ὥς.
τὸν παραμειψάμενος μητρὸς περὶ γούνασι χεῖρας
βάλλειν ἡμετέρης, ἵνα νόστιμον ἦμαρ ἴδηαι
χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐσσί.
εἴ κέν τοι κείνη γε φίλα φρονέηισ' ἐνὶ θυμῶι,
Nausi- ἐλπωρή τοι ἔπειτα φίλους τ' ἰδέειν καὶ ἱκέσθαι
kaa οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν."
7.237 "ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή·
τίς πόθεν εἶς ἀνδρῶν; τίς τοι τάδε εἵματ' ἔδωκεν;
Arete οὐ δὴ φῄς ἐπὶ πόντον ἀλώμενος ἐνθάδ' ἱκέσθαι;"

"αὐτὸς νῦν ἴδε πῶμα, θοῶς δ' ἐπὶ δεσμὸν ἴηλον, 8.443
μή τίς τοι καθ' ὁδὸν δηλήσεται, ὁππότ' ἂν αὖτε
εὕδηισθα γλυκὺν ὕπνον ἰὼν ἐν νηῒ μελαίνηι." Arete
"χαῖρε, ξεῖν', ἵνα καί ποτ' ἐὼν ἐν πατρίδι γαίηι 8.461
μνήσηι ἐμεῦ, ὅτι μοι πρώτηι ζωάγρι' ὀφέλλεις." Nausikaa
"Φαίηκες, πῶς ὔμμιν ἀνὴρ ὅδε φαίνεται εἶναι 11.336
εἶδός τε μέγεθός τε ἰδὲ φρένας ἔνδον ἐΐσας;
ξεῖνος δ' αὖτ' ἐμός ἐστιν, ἕκαστος δ' ἔμμορε τιμῆς·
τῶι μὴ ἐπειγόμενοι ἀποπέμπετε, μηδὲ τὰ δῶρα
οὕτω χρηΐζοντι κολούετε· πολλὰ γὰρ ὑμῖν
κτήματ' ἐνὶ μεγάροισι θεῶν ἰότητι κέονται." Arete

Notes

Notes

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 215 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES
OF PHAEAKIAN KING
ALKINOOS
IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

6.68 “οὔτέ τοι ἡμιόνων φθονέω, τέκος, οὔτέ τευ ἄλλου.
ἔρχευ· ἀτάρ τοι δμῶες ἐφοπλίσσουσιν ἀπήνην
Alkinoos ὑψηλὴν εὔκυκλον, ὑπερτερίηι ἀραρυῖαν.”
7.179 “Ποντόνοε, κρητῆρα κερασσάμενος μέθυ νεῖμον
πᾶσιν ἀνὰ μέγαρον, ἵνα καὶ Διὶ τερπικεραύνωι
Alkinoos σπείσομεν, ὅς_θ’ ἱκέτῃσιν ἅμ’ αἰδοίοισιν ὀπηδεῖ.”
7.186 “κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
ὄφρ’ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
νῦν μὲν δαισάμενοι κατακείετε οἴκαδ’ ἰόντες·
ἠῶθεν δὲ γέροντας ἐπὶ πλέονας καλέσαντες
ξεῖνον ἐνὶ μεγάροις ξεινίσσομεν ἠδὲ θεοῖσιν
ῥέξομεν ἱερὰ καλὰ, ἔπειτα δὲ καὶ περὶ πομπῆς
μνησόμεθ’, ὥς χ’ ὁ ξεῖνος ἄνευθε πόνου καὶ ἀνίης
πομπῆι ὕφ’ ἡμετέρηι ἣν πατρίδα γαῖαν ἵκηται
χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐστὶν,
μηδέ τι μεσσηγύς γε κακὸν καὶ πῆμα πάθησιν
πρίν γε τὸν ἧς γαίης ἐπιβήμεναι· ἔνθα δ’ ἔπειτα
πείσεται ἄσσα οἱ Αἶσα κατὰ Κλῶθές τε βαρεῖαι
γεινομένωι νήσαντο λίνωι, ὅτε μιν τέκε μήτηρ.
εἰ δέ τις ἀθανάτων γε κατ’ οὐρανοῦ εἰλήλουθεν,
ἄλλο τι δὴ τόδ’ ἔπειτα θεοὶ περιμηχανόωνται.
αἰεὶ γὰρ τὸ πάρος γε θεοὶ φαίνονται ἐναργεῖς
ἡμῖν, εὖτ’ ἔρδωμεν ἀγακλειτὰς ἑκατόμβας,
δαίνυνταί τε παρ’ ἄμμι καθήμενοι ἔνθά περ ἡμεῖς.
εἰ δ’ ἄρα τις καὶ μοῦνος ἰὼν ξυμβλῆται ὁδίτης,
οὔ τι κατακρύπτουσιν, ἐπεί σφισιν ἐγγύθεν εἰμὲν,
Alkinoos ὥς_περ Κύκλωπές τε καὶ ἄγρια φῦλα Γιγάντων.”
7.299 “ξεῖν’, ἤτοι μὲν τοῦτό γ’ ἐναίσιμον οὐκ ἐνόησεν
παῖς ἐμὴ, οὕνεκά σ’ οὔ_τι μετ’ ἀμφιπόλοισι γυναιξὶν
Alkinoos ἦγεν ἐς ἡμετέρου· σὺ δ’ ἄρα πρώτην ἱκέτευσας.”
7.309 “ξεῖν’, οὔ μοι τοιοῦτον ἐνὶ στήθεσσι φίλον κῆρ,
μαψιδίως κεχολῶσθαι· ἀμείνω δ’ αἴσιμα πάντα.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοῖος ἐὼν οἷός ἐσσι, τά τε φρονέων ἅ_τ’ ἐγώ περ,
παῖδά τ’ ἐμὴν ἐχέμεν καὶ ἐμὸς γαμβρὸς καλέεσθαι
αὖθι μένων· οἶκον δέ κ’ ἐγὼ καὶ κτήματα δοίην,
εἴ κ’ ἐθέλων γε μένοις· ἀέκοντα δέ σ’ οὔ_τις ἐρύξει
Φαιήκων· μὴ τοῦτο φίλον Διὶ πατρὶ γένοιτο.
πομπὴν δ’ ἐς τόδ’ ἐγὼ τεκμαίρομαι, ὄφρ’ εὖ εἰδῇς,
αὔριον ἔς· τῆμος δὲ σὺ μὲν δεδμημένος ὕπνωι
λέξεαι, οἱ δ’ ἐλόωσι γαλήνην, ὄφρ’ ἂν ἵκηαι
πατρίδα σὴν καὶ δῶμα, καὶ εἴ πού τοι φίλον ἐστὶν,
εἴ_περ καὶ μάλα πολλὸν ἑκαστέρω ἔστ’ Εὐβοίης,
τήν_περ τηλοτάτω φάσ’ ἔμμεναι οἵ μιν ἴδοντο
λαῶν ἡμετέρων, ὅτε τε ξανθὸν Ῥαδάμανθυν
ἦγον ἐποψόμενον Τιτυὸν, Γαιήϊον υἱόν.
καί μὲν οἱ ἔνθ’ ἦλθον, καὶ ἄτερ καμάτοιο τέλεσσαν
ἤματι τῶι αὐτῶι καὶ ἀπήνυσαν οἴκαδ’ ὀπίσσω.
εἰδήσεις δὲ καὶ αὐτὸς ἐνὶ φρεσὶν ὅσσον ἄρισται
Alkinoos νῆες ἐμαὶ καὶ κοῦροι ἀναρριπτεῖν ἅλα πηδῶι.”

“κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες, 8.26
ὄφρ’ εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
ξεῖνος ὅδ’, οὐκ οἶδ’ ὅς_τις, ἀλώμενος ἵκετ’ ἐμὸν δῶ,
ἠὲ πρὸς ἠοίων ἢ ἑσπερίων ἀνθρώπων·
πομπὴν δ’ ὀτρύνει, καὶ λίσσεται ἔμπεδον εἶναι.
ἡμεῖς δ’, ὡς τὸ πάρος περ, ἐποτρυνώμεθα πομπήν.
οὐδὲ γὰρ οὐδέ τις ἄλλος, ὅ_τίς κ’ ἐμὰ δώμαθ’ ἵκηται,
ἐνθάδ’ ὀδυρόμενος δηρὸν μένει εἵνεκα πομπῆς.
ἀλλ’ ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν
πρωτόπλοον, κούρω δὲ δύω καὶ πεντήκοντα
κρινάσθων κατὰ δῆμον, ὅσοι πάρος εἰσὶν ἄριστοι. ✦
δησάμενοι δ’ εὖ πάντες ἐπὶ κληῖσιν ἐρετμὰ
ἔκβητ’· αὐτὰρ ἔπειτα θοὴν ἀλεγύνετε δαῖτα
ἡμέτερόνδ’ ἐλθόντες· ἐγὼ δ’ εὖ πᾶσι παρέξω.
κούροισιν μὲν ταῦτ’ ἐπιτέλλομαι· αὐτὰρ οἱ ἄλλοι
σκηπτοῦχοι βασιλῆες ἐμὰ πρὸς δώματα καλὰ
ἔρχεσθ’, ὄφρα ξεῖνον ἐνὶ μεγάροις φιλέωμεν,
μηδέ τις ἀρνείσθω. καλέσασθε δὲ θεῖον ἀοιδὸν,
Δημόδοκον· τῶι γάρ ῥα θεὸς περὶ δῶκεν ἀοιδὴν
τέρπειν, ὅππηι θυμὸς ἐποτρύνῃσιν ἀείδειν.” Alkinoos
“κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες. 8.97
ἤδη μὲν δαιτὸς κεκορήμεθα θυμὸν ἐΐσης
φόρμιγγός θ’, ἣ δαιτὶ συνήορός ἐστι θαλείηι·
νῦν δ’ ἐξέλθωμεν καὶ ἀέθλων πειρηθέωμεν
πάντων, ὥς χ’ ὁ ξεῖνος ἐνίσπηι οἷσι φίλοισιν,
οἴκαδε νοστήσας, ὅσσον περιγιγνόμεθ’ ἄλλων
πύξ τε παλαιμοσύνῃ τε καὶ ἅλμασιν ἠδὲ πόδεσσιν.” Alkinoos
“ξεῖν’, ἐπεὶ οὐκ ἀχάριστα μεθ’ ἡμῖν ταῦτ’ ἀγορεύεις, 8.236
ἀλλ’ ἐθέλεις ἀρετὴν σὴν φαινέμεν, ἥ τοι ὀπηδεῖ,
χωόμενος ὅτι σ’ οὗτος ἀνὴρ ἐν ἀγῶνι παραστὰς
νείκεσεν, ὡς ἂν σὴν ἀρετὴν βροτὸς οὔ_τις ὄνοιτο,
ὅς_τις ἐπίσταιτο ᾗσι φρεσὶν ἄρτια βάζειν·
ἀλλ’ ἄγε νῦν ἐμέθεν ξυνίει ἔπος, ὄφρα καὶ ἄλλωι
εἴπῃς ἡρώων, ὅτε κεν σοῖς ἐν μεγάροισιν
δαινύῃ παρὰ σῇ τ’ ἀλόχωι καὶ σοῖσι τέκεσσιν,
ἡμετέρης ἀρετῆς μεμνημένος, οἷα καὶ ἡμῖν
Ζεὺς ἐπὶ ἔργα τίθησι διαμπερὲς ἐξ_ἔτι πατρῶν.
οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες οὐδὲ παλαισταὶ,
ἀλλὰ ποσὶ κραιπνῶς θέομεν καὶ νηυσὶν ἄριστοι,
αἰεὶ δ’ ἡμῖν δαίς τε φίλη κίθαρίς τε χοροί τε
εἵματά τ’ ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐναί.
ἀλλ’ ἄγε, Φαιήκων βητάρμονες ὅσσοι ἄριστοι,
παίσατε, ὥς χ’ ὁ ξεῖνος ἐνίσπηι οἷσι φίλοισιν
οἴκαδε νοστήσας, ὅσσον περιγιγνόμεθ’ ἄλλων
ναυτιλίῃ καὶ ποσσὶ καὶ ὀρχηστυῖ καὶ ἀοιδῆι.
Δημοδόκωι δέ τις αἶψα κιὼν φόρμιγγα λίγειαν
οἰσέτω, ἥ που κεῖται ἐν ἡμετέροισι δόμοισιν.” Alkinoos
“κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες. 8.387
ὁ ξεῖνος μάλα μοι δοκέει πεπνυμένος εἶναι·
ἀλλ’ ἄγε οἱ δῶμεν ξεινήϊον, ὡς ἐπιεικές.

δώδεκα γὰρ κατὰ δῆμον ἀριπρεπέες βασιλῆες
ἀρχοὶ κραίνουσι, τρεισκαιδέκατος δ' ἐγὼ αὐτός·
τῶν οἱ φᾶρος ἕκαστος ἐϋπλυνὲς ἠδὲ χιτῶνα
καὶ χρυσοῖο τάλαντον ἐνείκατε τιμήεντος.
αἶψα δὲ πάντα φέρωμεν ἀολλέες, ὄφρ' ἐνὶ χερσὶν
ξεῖνος ἔχων ἐπὶ δόρπον ἴηι χαίρων ἐνὶ θυμῶι.
Εὐρύαλος δέ ἑ αὐτὸς ἀρεσσάσθω ἐπέεσσιν
Alkinoos καὶ δώρωι, ἐπεὶ οὔ τι ἔπος κατὰ μοῖραν ἔειπεν."
8.424 "δεῦρο, γύναι, φέρε χηλὸν ἀριπρεπέ', ἥ τις ἀρίστη·
ἐν δ' αὐτῇ θὲς φᾶρος ἐϋπλυνὲς ἠδὲ χιτῶνα.
ἀμφὶ δέ οἱ πυρὶ χαλκὸν ἰήνατε, θέρμετε δ' ὕδωρ,
ὄφρα λοεσσάμενός τε ἰδών τ' εὖ κείμενα πάντα
δῶρα, τά οἱ Φαίηκες ἀμύμονες ἐνθάδ' ἔνεικαν,
δαιτί τε τέρπηται καὶ ἀοιδῆς ὕμνον ἀκούων.
καί οἱ ἐγὼ τόδ' ἄλεισον ἐμὸν περικαλλὲς ὀπάσσω,
χρύσεον, ὄφρ' ἐμέθεν μεμνημένος ἤματα πάντα
Alkinoos σπένδηι ἐνὶ μεγάρωι Διί τ' ἄλλοισίν τε θεοῖσιν."
8.536 ✦ "κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
Δημόδοκος δ' ἤδη σχεθέτω φόρμιγγα λίγειαν·
οὐ γάρ πω πάντεσσι χαριζόμενος τάδ' ἀείδει.
ἐξ οὗ δορπέομέν τε καὶ ὤρορε θεῖος ἀοιδὸς,
ἐκ τοῦ δ' οὔ πω παύσατ' ὀϊζυροῖο γόοιο
ὁ ξεῖνος· μάλα πού μιν ἄχος φρένας ἀμφιβέβηκεν.
ἀλλ' ἄγ' ὁ μὲν σχεθέτω, ἵν' ὁμῶς τερπώμεθα πάντες
ξεινοδόκοι καὶ ξεῖνος, ἐπεὶ πολὺ κάλλιον οὕτως·
εἵνεκα γὰρ ξείνοιο τάδ' αἰδοίοιο τέτυκται,
πομπὴ καὶ φίλα δῶρα, τά οἱ δίδομεν φιλέοντες.
ἀντὶ κασιγνήτου ξεῖνός θ' ἱκέτης τε τέτυκται
ἀνέρι, ὅς τ' ὀλίγον περ ἐπιψαύηι πραπίδεσσιν.
τῶι νῦν μηδὲ σὺ κεῦθε νοήμασι κερδαλέοισιν
ὅττί κέ σ' εἴρωμαι· φάσθαι δέ σε κάλλιόν ἐστιν.
εἴπ' ὄνομ' ὅττι σε κεῖθι κάλεον μήτηρ τε πατήρ τε,
ἄλλοί θ' οἳ κατὰ ἄστυ καὶ οἳ περιναιετάουσιν.
οὐ μὲν γάρ τις πάμπαν ἀνώνυμός ἐστ' ἀνθρώπων,
οὐ κακὸς οὐδὲ μὲν ἐσθλὸς, ἐπὴν τὰ πρῶτα γένηται,
ἀλλ' ἐπὶ πᾶσι τίθενται ἐπεί κε τέκωσι, τοκῆες.
εἰπὲ δέ μοι γαῖάν τε τεὴν δῆμόν τε πόλιν τε,
ὄφρα σε τῆι πέμψωσι τιτυσκόμεναι φρεσὶ νῆες·
οὐ γὰρ Φαιήκεσσι κυβερνητῆρες ἔασιν,
οὐδέ τι πηδάλι' ἐστὶ, τά τ' ἄλλαι νῆες ἔχουσιν·
ἀλλ' αὐταὶ ἴσασι νοήματα καὶ φρένας ἀνδρῶν,
καὶ πάντων ἴσασι πόλις καὶ πίονας ἀγροὺς
ἀνθρώπων, καὶ λαῖτμα τάχισθ' ἁλὸς ἐκπερόωσιν
ἠέρι καὶ νεφέληι κεκαλυμμέναι· οὐδέ ποτέ σφιν
οὔτέ τι πημανθῆναι ἔπι δέος οὔτ' ἀπολέσθαι.
ἀλλὰ τόδ' ὥς ποτε πατρὸς ἐγὼν εἰπόντος ἄκουσα
Ναυσιθόου, ὃς ἔφασκε Ποσειδάων' ἀγάσασθαι
ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.
φῆ ποτε Φαιήκων ἀνδρῶν εὐεργέα νῆα
ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροειδέϊ πόντωι
ῥαίσεσθαι, μέγα δ' ἡμῖν ὄρος πόλει ἀμφικαλύψειν.
ὣς ἀγόρευ' ὁ γέρων· τὰ δέ κεν θεὸς ἢ τελέσειεν,
ἤ κ' ἀτέλεστ' εἴη, ὥς οἱ φίλον ἔπλετο θυμῶι.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ὅππηι ἀπεπλάγχθης τε καὶ ἅς τινας ἵκεο χώρας
ἀνθρώπων, αὐτούς τε πόλις τ' εὖ ναιετοώσας,
ἠμὲν ὅσοι χαλεποί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
οἵ τε φιλόξεινοι καί σφιν νόος ἐστὶ θεουδής.
εἰπὲ δ' ὅ τι κλαίεις καὶ ὀδύρεαι ἔνδοθι θυμῶι
ἀργαλέον Δαναῶν ἠδ' Ἰλίου οἶτον ἀκούων.
τὸν δὲ θεοὶ μὲν τεῦξαν, ἐπεκλώσαντο δ' ὄλεθρον
ἀνθρώποις, ἵν' ἔηισι καὶ ἐσσομένοισιν ἀοιδή.
ἦ τίς τοι καὶ πηὸς ἀπέφθιτο Ἰλιόθι πρό
ἐσθλὸς ἐών, γαμβρὸς ἢ πενθερὸς, οἵ τε μάλιστα
κήδιστοι τελέθουσι μεθ' αἷμά τε καὶ γένος αὐτῶν;
ἤ τίς που καὶ ἑταῖρος ἀνὴρ κεχαρισμένα εἰδὼς,
ἐσθλός; ἐπεὶ οὐ μέν τι κασιγνήτοιο χερείων
γίγνεται ὅς κεν ἑταῖρος ἐὼν πεπνυμένα εἰδῆι." Alkinoos
"τοῦτο μὲν οὕτω δὴ ἔσται ἔπος, αἴ κεν ἐγώ γε 11.348
ζωὸς Φαιήκεσσι φιληρέτμοισιν ἀνάσσω·
ξεῖνος δὲ τλήτω, μάλα περ νόστοιο χατίζων,
ἔμπης οὖν ἐπιμεῖναι ἐς αὔριον, εἰς ὅ κε πᾶσαν
δωτίνην τελέσω· πομπὴ δ' ἄνδρεσσι μελήσει
πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ δήμωι." Alkinoos
"ὦ Ὀδυσεῦ, τὸ μὲν οὔ τί σ' ἐίσκομεν εἰσορόωντες 11.363
ἠπεροπῆά τ' ἔμεν καὶ ἐπίκλοπον, οἷά τε πολλοὺς
βόσκει γαῖα μέλαινα πολυσπερέας ἀνθρώπους
ψεύδεά τ' ἀρτύνοντας, ὅθεν κέ τις οὐδὲ ἴδοιτο·
σοὶ δ' ἔπι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένες ἐσθλαὶ,
μῦθον δ' ὡς ὅτ' ἀοιδὸς ἐπισταμένως κατέλεξας,
πάντων Ἀργείων σέο τ' αὐτοῦ κήδεα λυγρά.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἴ τινας ἀντιθέων ἑτάρων ἴδες, οἵ τοι ἅμ' αὐτῶι
Ἴλιον εἰς ἅμ' ἕποντο καὶ αὐτοῦ πότμον ἐπέσπον.
νὺξ δ' ἥδε μάλα μακρὴ ἀθέσφατος· οὐδέ πω ὥρη
εὕδειν ἐν μεγάρωι· σὺ δέ μοι λέγε θέσκελα ἔργα.
καί κεν ἐς ἠῶ δῖαν ἀνασχοίμην, ὅτε μοι σὺ
τλαίης ἐν μεγάρωι τὰ σὰ κήδεα μυθήσασθαι."
"ὦ Ὀδυσεῦ, ἐπεὶ ἵκε' ἐμὸν ποτὶ χαλκοβατὲς δῶ, 13.4
ὑψερεφὲς, τῶι σ' οὔ τι πάλιν πλαγχθέντά γ' ὀΐω
ἂψ ἀπονοστήσειν, εἰ καὶ μάλα πολλὰ πέπονθας.
ὑμέων δ' ἀνδρὶ ἑκάστωι ἐφιέμενος τάδε εἴρω,
ὅσσοι ἐνὶ μεγάροισι γερούσιον αἴθοπα οἶνον
αἰεὶ πίνετ' ἐμοῖσιν, ἀκουάζεσθε δ' ἀοιδοῦ.
εἵματα μὲν δὴ ξείνωι ἐϋξέστηι ἐνὶ χηλῶι
κεῖται καὶ χρυσὸς πολυδαίδαλος ἄλλά τε πάντα
δῶρ', ὅσα Φαιήκων βουληφόροι ἐνθάδ' ἔνεικαν·
ἀλλ' ἄγε οἱ δῶμεν τρίποδα μέγαν ἠδὲ λέβητα
ἀνδρακάς· ἡμεῖς δ' αὖτε ἀγειρόμενοι κατὰ δῆμον
τεισόμεθ'· ἀργαλέον γὰρ ἕνα προικὸς χαρίσασθαι." Alkinoos

13.50 “Ποντόνοε, κρητῆρα κεραssάμενος μέθυ νεῖμον
πᾶσιν ἀνὰ μέγαρον, ὄφρ’ εὐξάμενοι Διὶ πατρὶ
Alkinoos τὸν ξεῖνον πέμπωμεν ἑήν ἐς πατρίδα γαῖαν.”

13.172 “ὢ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ’ ἱκάνει
πατρὸς ἐμοῦ, ὃς ἔφασκε Ποσειδάων ἀγάσασθαι
ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.
φῆ ποτε Φαιήκων ἀνδρῶν περικαλλέα νῆα,
ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντωι
ῥαισέμεναι, μέγα δ’ ἧμιν ὄρος πόλει ἀμφικαλύψειν.
ὣς ἀγόρευ’ ὁ γέρων· τὰ δὲ δὴ νῦν πάντα τελεῖται.
ἀλλ’ ἄγεθ’, ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
πομπῆς μὲν παύσασθε βροτῶν, ὅτε κέν τις ἵκηται
ἡμέτερον προτί ἄστυ· Ποσειδάωνι δὲ ταύρους
δώδεκα κεκριμένους ἱερεύσομεν, αἴ κ’ ἐλεήσηι,
Alkinoos μηδ’ ἥμιν περίμηκες ὄρος πόλει ἀμφικαλύψηι.”

ODYSSEY ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 12 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF PHAEAKIAN QUEEN
ARETE
IN **THE ODYSSEY**

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

7.237 “ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή·
τίς πόθεν εἶς ἀνδρῶν; τίς τοι τάδε εἵματ’ ἔδωκεν;
Arete οὐ δὴ φηίς ἐπὶ πόντον ἀλώμενος ἐνθάδ’ ἱκέσθαι;”
8.443 “αὐτὸς νῦν ἴδε πῶμα, θοῶς δ’ ἐπὶ δεσμὸν ἴηλον,
μή τίς τοι καθ’ ὁδὸν δηλήσεται, ὁππότ’ ἂν αὖτε
Arete εὕδηισθα γλυκὺν ὕπνον ἐὼν ἐν νηῒ μελαίνηι.”
11.336 “Φαίηκες, πῶς ὔμμιν ἀνὴρ ὅδε φαίνεται εἶναι
εἶδός τε μέγεθός τε ἰδὲ φρένας ἔνδον ἐΐσας;
ξεῖνος δ’ αὖτ’ ἐμός ἐστιν, ἕκαστος δ’ ἔμμορε τιμῆς·
τῶι μὴ ἐπειγόμενοι ἀποπέμπετε, μηδὲ τὰ δῶρα
οὕτω χρηίζοντι κολούετε· πολλὰ γὰρ ὑμῖν
Arete κτήματ’ ἐνὶ μεγάροισι θεῶν ἰότητι κέονται.”

7.237 “ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή·
τίς πόθεν εἶς ἀνδρῶν; τίς τοι τάδε εἵματ’ ἔδωκεν;
Arete οὐ δὴ φηίς ἐπὶ πόντον ἀλώμενος ἐνθάδ’ ἱκέσθαι;”
8.443 “αὐτὸς νῦν ἴδε πῶμα, θοῶς δ’ ἐπὶ δεσμὸν ἴηλον,
μή τίς τοι καθ’ ὁδὸν δηλήσεται, ὁππότ’ ἂν αὖτε
Arete εὕδηισθα γλυκὺν ὕπνον ἐὼν ἐν νηῒ μελαίνηι.”

“Φαίηκες, πῶς ὔμμιν ἀνὴρ ὅδε φαίνεται εἶναι 11.336
εἶδός τε μέγεθός τε ἰδὲ φρένας ἔνδον ἐΐσας;
ξεῖνος δ’ αὖτ’ ἐμός ἐστιν, ἕκαστος δ’ ἔμμορε τιμῆς·
τῶι μὴ ἐπειγόμενοι ἀποπέμπετε, μηδὲ τὰ δῶρα
οὕτω χρηίζοντι κολούετε· πολλὰ γὰρ ὑμῖν
κτήματ’ ἐνὶ μεγάροισι θεῶν ἰότητι κέονται.” Arete

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 11+15 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF PHAEAKIANS ECHENEOS AND EURYALIOS IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

WEAK

7.159 "Ἀλκίνο', οὐ μέν τοι τόδε κάλλιον οὐδὲ ἔοικεν,
ξεῖνον μὲν χαμαὶ ἧσθαι ἐπ' ἐσχάρηι ἐν κονίηισιν·
οἵδε δὲ σὸν μῦθον ποτιδέγμενοι ἰσχανόωνται.
ἀλλ' ἄγε δὴ ξεῖνον μὲν ἐπὶ θρόνου ἀργυροήλου
εἷσον ἀναστήσας, σὺ δὲ κηρύκεσσι κέλευσον
οἶνον ἐπικρῆσαι, ἵνα καὶ Διὶ τερπικεραύνωι
σπείσομεν, ὅς_θ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ·
Echeneos δόρπον δὲ ξείνωι ταμίη δότω ἔνδον ἐόντων."
11.344 "ὦ φίλοι, οὐ μὰν ἡμῖν ἀπὸ σκοποῦ οὐδ' ἀπὸ δόξης
μυθεῖται βασίλεια περίφρων· ἀλλὰ πίθεσθε.
Echeneos Ἀλκινόου δ' ἐκ τοῦδ' ἔχεται ἔργόν τε ἔπος τε."

"οὐ γάρ σ' οὐδέ, ξεῖνε, δαήμονι φωτὶ ἐΐσκω 8.159
ἄθλων, οἷά τε πολλὰ μετ' ἀνθρώποισι πέλονται,
ἀλλὰ τῶι, ὅς_θ' ἅμα νηῒ πολυκλήϊδι θαμίζων,
ἀρχὸς ναυτάων οἵ_τε πρηκτῆρες ἔασιν,
φόρτου τε μνήμων καὶ ἐπίσκοπος ἧσιν ὁδαίων
κερδέων θ' ἁρπαλέων· οὐδ' ἀθλητῆρι ἔοικας." Euryalos
"Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν, 8.401
τοιγὰρ ἐγὼ τὸν ξεῖνον ἀρέσσομαι, ὡς σὺ κελεύεις.
δώσω οἱ τόδ' ἄορ παγχάλκεον, ὧι ἔπι κώπη
ἀργυρέη, κολεὸν δὲ νεοπρίστου ἐλέφαντος
ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιον ἔσται." Euryalos
"χαῖρε, πάτερ ὦ ξεῖνε· ἔπος δ' εἴ_πέρ τι βέβακται 8.408
δεινόν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι.
σοὶ δὲ θεοὶ ἄλοχόν τ' ἰδέειν καὶ πατρίδ' ἱκέσθαι
δοῖεν, ἐπεὶ_δὴ δηθὰ φίλων ἄπο πήματα πάσχεις." Euryalos

BEST

"οὐ γάρ σ' οὐδέ, ξεῖνε, δαήμονι φωτὶ ἐΐσκω 8.159
ἄθλων, οἷά τε πολλὰ μετ' ἀνθρώποισι πέλονται,
ἀλλὰ τῶι, ὅς_θ' ἅμα νηῒ πολυκλήϊδι θαμίζων,
ἀρχὸς ναυτάων οἵ_τε πρηκτῆρες ἔασιν,
φόρτου τε μνήμων καὶ ἐπίσκοπος ἧσιν ὁδαίων
κερδέων θ' ἁρπαλέων· οὐδ' ἀθλητῆρι ἔοικας." Euryalos

7.159 "Ἀλκίνο', οὐ μέν τοι τόδε κάλλιον οὐδὲ ἔοικεν,
ξεῖνον μὲν χαμαὶ ἧσθαι ἐπ' ἐσχάρηι ἐν κονίηισιν·
οἵδε δὲ σὸν μῦθον ποτιδέγμενοι ἰσχανόωνται.
ἀλλ' ἄγε δὴ ξεῖνον μὲν ἐπὶ θρόνου ἀργυροήλου
εἷσον ἀναστήσας, σὺ δὲ κηρύκεσσι κέλευσον
οἶνον ἐπικρῆσαι, ἵνα καὶ Διὶ τερπικεραύνωι
σπείσομεν, ὅς_θ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ·
Echeneos δόρπον δὲ ξείνωι ταμίη δότω ἔνδον ἐόντων."
11.344 "ὦ φίλοι, οὐ μὰν ἡμῖν ἀπὸ σκοποῦ οὐδ' ἀπὸ δόξης
μυθεῖται βασίλεια περίφρων· ἀλλὰ πίθεσθε.
Echeneos Ἀλκινόου δ' ἐκ τοῦδ' ἔχεται ἔργόν τε ἔπος τε."

"Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν, 8.401
τοιγὰρ ἐγὼ τὸν ξεῖνον ἀρέσσομαι, ὡς σὺ κελεύεις.
δώσω οἱ τόδ' ἄορ παγχάλκεον, ὧι ἔπι κώπη
ἀργυρέη, κολεὸν δὲ νεοπρίστου ἐλέφαντος
ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιον ἔσται." Euryalos
"χαῖρε, πάτερ ὦ ξεῖνε· ἔπος δ' εἴ_πέρ τι βέβακται 8.408
δεινόν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι.
σοὶ δὲ θεοὶ ἄλοχόν τ' ἰδέειν καὶ πατρίδ' ἱκέσθαι
δοῖεν, ἐπεὶ_δὴ δηθὰ φίλων ἄπο πήματα πάσχεις." Euryalos

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 14 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF PHAEAKIAN
LAODAMAS
IN **THE ODYSSEY**

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

8.133 “δεῦτε, φίλοι, τὸν ξεῖνον ἐρώμεθα, εἴ τιν’ ἄεθλον
οἶδέ τε καὶ δεδάηκε· φυήν γε μὲν οὐ κακός ἐστιν,
μηρούς τε κνήμας τε καὶ ἄμφω χεῖρας ὕπερθεν
✦ αὐχένα τε στιβαρὸν μέγα τε σθένος· οὐδέ τι ἥβης
δεύεται, ἀλλὰ κακοῖσι συνέρρηκται πολέεσσιν.
Lao- οὐ γὰρ ἐγώ γέ τί φημι κακώτερον ἄλλο θαλάσσης
damas ἄνδρά γε συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη.”
8.145 “δεῦρ’ ἄγε καὶ σύ, ξεῖνε πάτερ, πείρησαι ἀέθλων,
εἴ τινά που δεδάηκας· ἔοικε δέ σ’ ἴδμεν ἀέθλους·
οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος, ὄφρα κεν ἦισιν,
ἢ ὅ τι ποσσίν τε ῥέξηι καὶ χερσὶν ἑῆισιν.
Lao- ἀλλ’ ἄγε πείρησαι, σκέδασον δ’ ἀπὸ κήδεα θυμοῦ.
σοὶ δ’ ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται, ἀλλά τοι ἤδη
damas νηῦς τε κατείρυσται καὶ ἐπαρτέες εἰσὶν ἑταῖροι.”

8.133 “δεῦτε, φίλοι, τὸν ξεῖνον ἐρώμεθα, εἴ τιν’ ἄεθλον
οἶδέ τε καὶ δεδάηκε· φυήν γε μὲν οὐ κακός ἐστιν,
μηρούς τε κνήμας τε καὶ ἄμφω χεῖρας ὕπερθεν
✦ αὐχένα τε στιβαρὸν μέγα τε σθένος· οὐδέ τι ἥβης
δεύεται, ἀλλὰ κακοῖσι συνέρρηκται πολέεσσιν.
Lao- οὐ γὰρ ἐγώ γέ τί φημι κακώτερον ἄλλο θαλάσσης
damas ἄνδρά γε συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη.”

“δεῦρ’ ἄγε καὶ σύ, ξεῖνε πάτερ, πείρησαι ἀέθλων, 8.145
εἴ τινά που δεδάηκας· ἔοικε δέ σ’ ἴδμεν ἀέθλους·
οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος, ὄφρα κεν ἦισιν,
ἢ ὅ τι ποσσίν τε ῥέξηι καὶ χερσὶν ἑῆισιν.
ἀλλ’ ἄγε πείρησαι, σκέδασον δ’ ἀπὸ κήδεα θυμοῦ. Lao-
σοὶ δ’ ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται, ἀλλά τοι ἤδη
νηῦς τε κατείρυσται καὶ ἐπαρτέες εἰσὶν ἑταῖροι.” damas

8.133 “δεῦτε, φίλοι, τὸν ξεῖνον ἐρώμεθα, εἴ τιν’ ἄεθλον
οἶδέ τε καὶ δεδάηκε· φυήν γε μὲν οὐ κακός ἐστιν,
μηρούς τε κνήμας τε καὶ ἄμφω χεῖρας ὕπερθεν
✦ αὐχένα τε στιβαρὸν μέγα τε σθένος· οὐδέ τι ἥβης
δεύεται, ἀλλὰ κακοῖσι συνέρρηκται πολέεσσιν.
Lao- οὐ γὰρ ἐγώ γέ τί φημι κακώτερον ἄλλο θαλάσσης
damas ἄνδρά γε συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη.”

“δεῦρ’ ἄγε καὶ σύ, ξεῖνε πάτερ, πείρησαι ἀέθλων, 8.145
εἴ τινά που δεδάηκας· ἔοικε δέ σ’ ἴδμεν ἀέθλους·
οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος, ὄφρα κεν ἦισιν,
ἢ ὅ τι ποσσίν τε ῥέξηι καὶ χερσὶν ἑῆισιν.
ἀλλ’ ἄγε πείρησαι, σκέδασον δ’ ἀπὸ κήδεα θυμοῦ. Lao-
σοὶ δ’ ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται, ἀλλά τοι ἤδη
νηῦς τε κατείρυσται καὶ ἐπαρτέες εἰσὶν ἑταῖροι.” damas

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 103 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF PHAEAKIAN PRINCESS NAUSIKAA IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

6.57 “πάππα φίλ’, οὐκ ἂν δή μοι ἐφοπλίσσειας ἀπήνην
ὑψηλὴν εὔκυκλον, ἵνα κλυτὰ εἵματ’ ἄγωμαι
ἐς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται;
καὶ δὲ σοὶ αὐτῶι ἔοικε μετὰ πρώτοισιν ἐόντα
βουλὰς βουλεύειν καθαρὰ χροῒ εἵματ’ ἔχοντα.
πέντε δέ τοι φίλοι υἷες ἐνὶ μεγάροις γεγάασιν,
οἱ δύ’ ὀπυίοντες, τρεῖς δ’ ἠΐθεοι θαλέθοντες·
Nausi- οἱ δ’ αἰεὶ ἐθέλουσι νεόπλυτα εἵματ’ ἔχοντες
kaa ἐς χορὸν ἔρχεσθαι· τὰ δ’ ἐμῆι φρενὶ πάντα μέμηλεν.”
6.187 “ξεῖν’, ἐπεὶ οὔτε κακῶι οὔτ’ ἄφρονι φωτὶ ἔοικας —
Ζεὺς δ’ αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν,
ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλησιν, ἑκάστωι·
καί που σοί τά γ’ ἔδωκε· σὲ δὲ χρὴ τετλάμεν ἔμπης —
νῦν δ’, ἐπεὶ ἡμετέρην τε πόλιν καὶ γαῖαν ἱκάνεις,
οὔτ’ οὖν ἐσθῆτος δευήσεαι οὔτέ τε’ ἄλλου,
ὧν ἐπέοιχ’ ἱκέτην ταλαπείριον ἀντιάσαντα.
ἄστυ δέ τοι δείξω, ἐρέω δέ τοι οὔνομα λαῶν.
Φαίηκες μὲν τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν,
Nausi- εἰμὶ δ’ ἐγὼ θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο,
kaa τοῦ δ’ ἐκ Φαιήκων ἔχεται κάρτός τε βίη τε.”
6.199 “στῆτέ μοι, ἀμφίπολοι· πόσε φεύγετε φῶτα ἰδοῦσαι;
ἦ μή πού τινα δυσμενέων φάσθ’ ἔμμεναι ἀνδρῶν;
οὐκ ἔσθ’ οὗτος ἀνὴρ διερὸς βροτὸς, οὐδὲ γένηται,
ὅς κεν Φαιήκων ἀνδρῶν ἐς γαῖαν ἵκηται
δηϊοτῆτα φέρων· μάλα γὰρ φίλοι ἀθανάτοισιν.
οἰκέομεν δ’ ἀπάνευθε πολυκλύστωι ἐνὶ πόντωι,
ἔσχατοι, οὐδέ τις ἄμμι βροτῶν ἐπιμίσγεται ἄλλος.
ἀλλ’ ὅδε τις δύστηνος ἀλώμενος ἐνθάδ’ ἱκάνει,
τὸν νῦν χρὴ κομέειν· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
Nausi- ξεῖνοί τε πτωχοί τε, δόσις δ’ ὀλίγη τε φίλη τε.
kaa ἀλλὰ δότ’, ἀμφίπολοι, ξείνωι βρῶσίν τε πόσιν τε,
λούσατέ τ’ ἐν ποταμῶι, ὅθ’ ἐπὶ σκέπας ἔστ’ ἀνέμοιο.”
6.239 “κλῦτέ μοι, ἀμφίπολοι λευκώλενοι, ὄφρα τι εἴπω.
οὐ πάντων ἀέκητι θεῶν, οἳ Ὄλυμπον ἔχουσιν,
Φαιήκεσσ’ ὅδ’ ἀνὴρ ἐπιμίσγεται ἀντιθέοισιν·
πρόσθεν μὲν γὰρ δή μοι ἀεικέλιος δέατ’ εἶναι,
νῦν δὲ θεοῖσιν ἔοικε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη
Nausi- ἐνθάδε ναιετάων, καὶ οἱ ἅδοι αὐτόθι μίμνειν.
kaa ἀλλὰ δότ’, ἀμφίπολοι, ξείνωι βρῶσίν τε πόσιν τε.”
6.255 “ὄρσεο δὴ νῦν, ξεῖνε, πόλινδ’ ἴμεν, ὄφρα σε πέμψω
πατρὸς ἐμοῦ πρὸς δῶμα δαΐφρονος, ἔνθά σέ φημι
πάντων Φαιήκων εἰδησέμεν ὅσσοι ἄριστοι.
ἀλλὰ μάλ’ ὧδ’ ἔρδειν· δοκέεις δέ μοι οὐκ ἀπινύσσειν·
ὄφρ’ ἂν μέν κ’ ἀγροὺς ἴομεν καὶ ἔργ’ ἀνθρώπων,
τόφρα σὺν ἀμφιπόλοισι μεθ’ ἡμιόνους καὶ ἅμαξαν
καρπαλίμως ἔρχεσθαι, ἐγὼ δ’ ὁδὸν ἡγεμονεύσω.
αὐτὰρ ἐπὴν πόλιος ἐπιβήομεν ἣν πέρι πύργος
ὑψηλὸς, καλὸς δὲ λιμὴν ἑκάτερθε πόληος,
λεπτὴ δ’ εἰσίθμη· νῆες δ’ ὁδὸν ἀμφιέλισσαι
εἰρύαται· πᾶσιν γὰρ ἐπίστιόν ἐστιν ἑκάστωι.
ἔνθα δέ τέ σφ’ ἀγορὴ, καλὸν Ποσιδήϊον ἀμφὶς,
ῥυτοῖσιν λάεσσι κατωρυχέεσσ’ ἀραρυῖα.
ἔνθα δὲ νηῶν ὅπλα μελαινάων ἀλέγουσιν,
πείσματα καὶ σπεῖρας, καὶ ἀποξύουσιν ἐρετμά.
οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς οὐδὲ φαρέτρη,
ἀλλ’ ἱστοὶ καὶ ἐρετμὰ νεῶν καὶ νῆες ἐῖσαι,
ἧισιν ἀγαλλόμενοι πολιὴν περόωσι θάλασσαν,
τῶν ἀλεείνω φῆμιν ἀδευκέα, μή τις ὀπίσσω
μωμεύηι — μάλα δ’ εἰσὶν ὑπερφίαλοι κατὰ δῆμον —
καί νύ τις ὧδ’ εἴπησι κακώτερος ἀντιβολήσας·
‘τίς δ’ ὅδε Ναυσικάαι ἕπεται καλός τε μέγας τε
ξεῖνος; ποῦ δέ μιν ηὗρε; πόσις νύ οἱ ἔσσεται αὐτῆι.
ἤ τινά που πλαγχθέντα κομίσσατο ἧς ἀπὸ νηὸς
ἀνδρῶν τηλεδαπῶν, ἐπεὶ οὔ τινες ἐγγύθεν εἰσίν·
ἤ τίς οἱ εὐξαμένηι πολυάρητος θεὸς ἦλθεν
οὐρανόθεν καταβὰς, ἕξει δέ μιν ἤματα πάντα.
βέλτερον, εἴ κ’ αὐτή περ ἐποιχομένη πόσιν ηὗρεν
ἄλλοθεν· ἦ γὰρ τούσδε γ’ ἀτιμάζει κατὰ δῆμον
Φαίηκας, τοί μιν μνῶνται πολέες τε καὶ ἐσθλοί.’
ὣς ἐρέουσιν, ἐμοὶ δέ κ’ ὀνείδεα ταῦτα γένοιτο.
καὶ δ’ ἄλληι νεμεσῶ, ἥ τις τοιαῦτά γε ῥέζοι,
ἥ τ’ ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων
ἀνδράσι μίσγηται πρίν γ’ ἀμφάδιον γάμον ἐλθεῖν.
ξεῖνε, σὺ δ’ ὦκ’ ἐμέθεν ξυνίει ἔπος, ὄφρα τάχιστα
πομπῆς καὶ νόστοιο τύχῃς παρὰ πατρὸς ἐμοῖο.
δήεις ἀγλαὸν ἄλσος Ἀθήνης ἄγχι κελεύθου
αἰγείρων· ἐν δὲ κρήνη νάει, ἀμφὶ δὲ λειμών·
ἔνθα δὲ πατρὸς ἐμοῦ τέμενος τεθαλυῖά τ’ ἀλωὴ,
τόσσον ἀπὸ πτόλιος, ὅσσον τε γέγωνε βοήσας·
ἔνθα καθεζόμενος μεῖναι χρόνον, εἰς ὅ κεν ἡμεῖς
ἄστυδε ἔλθωμεν καὶ ἱκώμεθα δώματα πατρός.
αὐτὰρ ἐπὴν ἡμέας ἔλπηι ποτὶ δώματ’ ἀφῖχθαι,
καὶ τότε Φαιήκων ἴμεν ἐς πόλιν ἠδ’ ἐρέεσθαι
δώματα πατρὸς ἐμοῦ, μεγαλήτορος Ἀλκινόοιο.
ῥεῖα δ’ ἀρίγνωτ’ ἐστὶ καὶ ἂν πάϊς ἡγήσαιτο
νήπιος· οὐ μὲν γάρ τι ἐοικότα τοῖσι τέτυκται
δώματα Φαιήκων, οἷος δόμος Ἀλκινόοιο
ἥρωος. ἀλλ’ ὁπότ’ ἄν σε δόμοι κεκύθωσι καὶ αὐλὴ,
ὦκα μάλα μεγάροιο διελθέμεν, ὄφρ’ ἂν ἵκηαι
μητέρ’ ἐμήν· ἡ δ’ ἧσται ἐπ’ ἐσχάρηι ἐν πυρὸς αὐγῆι,
ἠλάκατα στρωφῶσ’ ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι,
κίονι κεκλιμένη· δμωαὶ δέ οἱ εἵατ’ ὄπισθεν.
ἔνθα δὲ πατρὸς ἐμοῖο θρόνος ποτικέκλιται αὐτῆι,
τῶι ὅ γε οἰνοποτάζει ἐφήμενος ἀθάνατος ὥς.
τὸν παραμειψάμενος μητρὸς περὶ γούνασι χεῖρας
βάλλειν ἡμετέρης, ἵνα νόστιμον ἦμαρ ἴδηαι
χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐσσί.
εἴ κέν τοι κείνη γε φίλα φρονέῃσ’ ἐνὶ θυμῶι, Nausi-
ἐλπωρή τοι ἔπειτα φίλους τ’ ἰδέειν καὶ ἱκέσθαι kaa

οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν."

8.461 "χαῖρε, ξεῖν', ἵνα καί ποτ' ἐὼν ἐν πατρίδι γαίῃ
Nausikaa μνήσῃ ἐμεῦ, ὅτι μοι πρώτῃ ζωάγρι' ὀφέλλεις."

6.57 “πάππα φίλ’, οὐκ ἂν δή μοι ἐφοπλίσσειας ἀπήνην
ὑψηλὴν εὔκυκλον, ἵνα κλυτὰ εἵματ’ ἄγωμαι
ἐς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται;
καὶ δὲ σοὶ αὐτῶι ἔοικε μετὰ πρώτοισιν ἐόντα
βουλὰς βουλεύειν καθαρὰ χροῒ εἵματ’ ἔχοντα.
πέντε δέ τοι φίλοι υἷες ἐνὶ μεγάροις γεγάασιν,
οἱ δύ’ ὀπυίοντες, τρεῖς δ’ ἠΐθεοι θαλέθοντες·
Nausi- οἱ δ’ αἰεὶ ἐθέλουσι νεόπλυτα εἵματ’ ἔχοντες
kaa ἐς χορὸν ἔρχεσθαι· τὰ δ’ ἐμῆι φρενὶ πάντα μέμηλεν.”
6.187 “ξεῖν’, ἐπεὶ οὔτε κακῶι οὔτ’ ἄφρονι φωτὶ ἔοικας —
Ζεὺς δ’ αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν,
ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλησιν, ἑκάστωι·
καί που σοί τά γ’ ἔδωκε· σὲ δὲ χρὴ τετλάμεν ἔμπης —
νῦν δ’, ἐπεὶ ἡμετέρην τε πόλιν καὶ γαῖαν ἱκάνεις,
οὔτ’ οὖν ἐσθῆτος δευήσεαι οὔτέ τε’ ἄλλου,
ὧν ἐπέοιχ’ ἱκέτην ταλαπείριον ἀντιάσαντα.
ἄστυ δέ τοι δείξω, ἐρέω δέ τοι οὔνομα λαῶν.
Φαίηκες μὲν τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν,
Nausi- εἰμὶ δ’ ἐγὼ θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο,
kaa τοῦ δ’ ἐκ Φαιήκων ἔχεται κάρτος τε βίη τε.”
6.199 “στῆτέ μοι, ἀμφίπολοι· πόσε φεύγετε φῶτα ἰδοῦσαι;
ἦ μή πού τινα δυσμενέων φάσθ’ ἔμμεναι ἀνδρῶν;
οὐκ ἔσθ’ οὗτος ἀνὴρ διερὸς βροτὸς, οὐδὲ γένηται,
ὅς κεν Φαιήκων ἀνδρῶν ἐς γαῖαν ἵκηται
δηϊοτῆτα φέρων· μάλα γὰρ φίλοι ἀθανάτοισιν.
οἰκέομεν δ’ ἀπάνευθε πολυκλύστωι ἐνὶ πόντωι,
ἔσχατοι, οὐδέ τις ἄμμι βροτῶν ἐπιμίσγεται ἄλλος.
ἀλλ’ ὅδε τις δύστηνος ἀλώμενος ἐνθάδ’ ἱκάνει,
τὸν νῦν χρὴ κομέειν· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
Nausi- ξεῖνοί τε πτωχοί τε, δόσις δ’ ὀλίγη τε φίλη τε.
kaa ἀλλὰ δότ’, ἀμφίπολοι, ξείνωι βρῶσίν τε πόσιν τε,
λούσατέ τ’ ἐν ποταμῶι, ὅθ’ ἐπὶ σκέπας ἔστ’ ἀνέμοιο.”

“κλῦτέ μοι, ἀμφίπολοι λευκώλενοι, ὄφρα τι εἴπω. **6.239**
οὐ πάντων ἀέκητι θεῶν, οἳ Ὄλυμπον ἔχουσιν,
Φαιήκεσσ’ ὅδ’ ἀνὴρ ἐπιμίσγεται ἀντιθέοισιν·
πρόσθεν μὲν γὰρ δή μοι ἀεικέλιος δέατ’ εἶναι,
νῦν δὲ θεοῖσιν ἔοικε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη
ἐνθάδε ναιετάων, καί οἱ ἅδοι αὐτόθι μίμνειν. **Nausi-**
ἀλλὰ δότ’, ἀμφίπολοι, ξείνωι βρῶσίν τε πόσιν τε.” **kaa**
“ὄρσεο δὴ νῦν, ξεῖνε, πόλινδ’ ἴμεν, ὄφρα σε πέμψω **6.255**
πατρὸς ἐμοῦ πρὸς δῶμα δαΐφρονος, ἔνθά σέ φημι
πάντων Φαιήκων εἰδησέμεν ὅσσοι ἄριστοι.
ἀλλὰ μάλ’ ὧδ’ ἔρδειν· δοκέεις δέ μοι οὐκ ἀπινύσσειν·
ὄφρ’ ἂν μέν κ’ ἀγροὺς ἴομεν καὶ ἔργ’ ἀνθρώπων,
τόφρα σὺν ἀμφιπόλοισι μεθ’ ἡμιόνους καὶ ἅμαξαν
καρπαλίμως ἔρχεσθαι, ἐγὼ δ’ ὁδὸν ἡγεμονεύσω.
αὐτὰρ ἐπὴν πόλιος ἐπιβήομεν ἣν πέρι πύργος
ὑψηλὸς, καλὸς δὲ λιμὴν ἑκάτερθε πόληος,
λεπτὴ δ’ εἰσίθμη· νῆες δ’ ὁδὸν ἀμφιέλισσαι
εἰρύαται· πᾶσιν γὰρ ἐπίστιόν ἐστιν ἑκάστωι.
ἔνθα δέ τέ σφ’ ἀγορὴ, καλὸν Ποσιδήϊον ἀμφὶς,
ῥυτοῖσιν λάεσσι κατωρυχέεσσ’ ἀραρυῖα.
ἔνθα δὲ νηῶν ὅπλα μελαινάων ἀλέγουσιν,
πείσματα καὶ σπείρας, καὶ ἀποξύουσιν ἐρετμά.
οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς οὐδὲ φαρέτρη,
ἀλλ’ ἱστοὶ καὶ ἐρετμὰ νεῶν καὶ νῆες ἐῖσαι,
ᾗσιν ἀγαλλόμενοι πολιὴν περόωσι θάλασσαν,
τῶν ἀλεείνω φῆμιν ἀδευκέα, μή τις ὀπίσσω
μωμεύηι — μάλα δ’ εἰσὶν ὑπερφίαλοι κατὰ δῆμον —
καί νύ τις ὧδ’ εἴπησι κακώτερος ἀντιβολήσας·
‘τίς δ’ ὅδε Ναυσικάαι ἕπεται καλός τε μέγας τε
ξεῖνος; ποῦ δέ μιν ηὗρε; πόσις νύ οἱ ἔσσεται αὐτῆι.
ἦ τινά που πλαγχθέντα κομίσσατο ἧς ἀπὸ νηὸς

ἀνδρῶν τηλεδαπῶν, ἐπεὶ οὔ_τινες ἐγγύθεν εἰσίν·
ἤ τίς οἱ εὐξαμένηι πολυάρητος θεὸς ἦλθεν
οὐρανόθεν καταβάς, ἕξει δέ μιν ἤματα πάντα.
βέλτερον, εἴ κ' αὐτή περ ἐποιχομένη πόσιν ηὗρεν
ἄλλοθεν· ἦ γὰρ τούσδε γ' ἀτιμάζει κατὰ δῆμον
Φαίηκας, τοί μιν μνῶνται πολέες τε καὶ ἐσθλοί.'
ὣς ἐρέουσιν, ἐμοὶ δέ κ' ὀνείδεα ταῦτα γένοιτο.
καὶ δ' ἄλληι νεμεσῶ, ἥ_τις τοιαῦτά γε ῥέζοι,
ἥ_τ' ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων
ἀνδράσι μίσγηται πρίν γ' ἀμφάδιον γάμον ἐλθεῖν.
ξεῖνε, σὺ δ' ὦκ' ἐμέθεν ξυνίει ἔπος, ὄφρα τάχιστα
πομπῆς καὶ νόστοιο τύχηις παρὰ πατρὸς ἐμοῖο.
δήεις ἀγλαὸν ἄλσος Ἀθήνης ἄγχι κελεύθου
αἰγείρων· ἐν δὲ κρήνη νάει, ἀμφὶ δὲ λειμών·
ἔνθα δὲ πατρὸς ἐμοῦ τέμενος τεθαλυῖά τ' ἀλωή,
τόσσον ἀπὸ πτόλιος, ὅσσον τε γέγωνε βοήσας·
ἔνθα καθεζόμενος μεῖναι χρόνον, εἰς_ὅ_κεν ἡμεῖς
ἄστυδε ἔλθωμεν καὶ ἱκώμεθα δώματα πατρός.
αὐτὰρ ἐπὴν ἡμέας ἔλπηι ποτὶ δώματ' ἀφῖχθαι,
καὶ τότε Φαιήκων ἴμεν ἐς πόλιν ἠδ' ἐρέεσθαι
δώματα πατρὸς ἐμοῦ, μεγαλήτορος Ἀλκινόοιο.
ῥεῖα δ' ἀρίγνωτ' ἐστὶ καὶ ἂν πάϊς ἡγήσαιτο
νήπιος· οὐ μὲν γάρ τι ἐοικότα τοῖσι τέτυκται
δώματα Φαιήκων, οἷος δόμος Ἀλκινόοιο
ἥρωος. ἀλλ' ὁπότ' ἄν σε δόμοι κεκύθωσι καὶ αὐλή,
ὦκα μάλα μεγάροιο διελθέμεν, ὄφρ' ἂν ἵκηαι
μητέρ' ἐμήν· ἡ δ' ἧσται ἐπ' ἐσχάρηι ἐν πυρὸς αὐγῆι,
ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι,
κίονι κεκλιμένη· δμωαὶ δέ οἱ εἵατ' ὄπισθεν.
ἔνθα δὲ πατρὸς ἐμοῖο θρόνος ποτικέκλιται αὐτῆι,
τῶι ὅ_γε οἰνοποτάζει ἐφήμενος ἀθάνατος ὥς.
τὸν παραμειψάμενος μητρὸς περὶ γούνασι χεῖρας
βάλλειν ἡμετέρης, ἵνα νόστιμον ἦμαρ ἴδηαι
χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐσσί.
εἴ κέν τοι κείνη γε φίλα φρονέηισ' ἐνὶ θυμῶι,
Nausi- ἐλπωρή τοι ἔπειτα φίλους τ' ἰδέειν καὶ ἱκέσθαι
kaa οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν."
8.461 "χαῖρε, ξεῖν', ἵνα καί ποτ' ἐὼν ἐν πατρίδι γαίηι
Nausi- μνήσηι ἐμεῦ, ὅτι μοι πρώτηι ζωάγρι' ὀφέλλεις."
kaa

6.57 “πάππα φίλ’, οὐκ ἂν δή μοι ἐφοπλίσσειας ἀπήνην
ὑψηλὴν εὔκυκλον, ἵνα κλυτὰ εἵματ’ ἄγωμαι
ἐς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται;
καὶ δὲ σοὶ αὐτῶι ἔοικε μετὰ πρώτοισιν ἐόντα
βουλὰς βουλεύειν καθαρὰ χροῒ εἵματ’ ἔχοντα.
πέντε δέ τοι φίλοι υἷες ἐνὶ μεγάροις γεγάασιν,
οἱ δύ’ ὀπυίοντες, τρεῖς δ’ ἠΐθεοι θαλέθοντες·
Nausi- οἱ δ’ αἰεὶ ἐθέλουσι νεόπλυτα εἵματ’ ἔχοντες
kaa ἐς χορὸν ἔρχεσθαι· τὰ δ’ ἐμῆι φρενὶ πάντα μέμηλεν.”
6.187 “ξεῖν’, ἐπεὶ οὔτε κακῶι οὔτ’ ἄφρονι φωτὶ ἔοικας —
Ζεὺς δ’ αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν,
ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλῃσιν, ἑκάστωι·
καί που σοί τά γ’ ἔδωκε· σὲ δὲ χρὴ τετλάμεν ἔμπης —
νῦν δ’, ἐπεὶ ἡμετέρην τε πόλιν καὶ γαῖαν ἱκάνεις,
οὔτ’ οὖν ἐσθῆτος δευήσεαι οὔτέ τε’ ἄλλου,
ὧν ἐπέοιχ’ ἱκέτην ταλαπείριον ἀντιάσαντα.
ἄστυ δέ τοι δείξω, ἐρέω δέ τοι οὔνομα λαῶν.
Φαίηκες μὲν τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν,
Nausi- εἰμὶ δ’ ἐγὼ θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο,
kaa τοῦ δ’ ἐκ Φαιήκων ἔχεται κάρτός τε βίη τε.”
6.199 “στῆτέ μοι, ἀμφίπολοι· πόσε φεύγετε φῶτα ἰδοῦσαι;
ἦ μή πού τινα δυσμενέων φάσθ’ ἔμμεναι ἀνδρῶν;
οὐκ ἔσθ’ οὗτος ἀνὴρ διερὸς βροτὸς, οὐδὲ γένηται,
ὅς κεν Φαιήκων ἀνδρῶν ἐς γαῖαν ἵκηται
δηϊοτῆτα φέρων· μάλα γὰρ φίλοι ἀθανάτοισιν.
οἰκέομεν δ’ ἀπάνευθε πολυκλύστωι ἐνὶ πόντωι,
ἔσχατοι, οὐδέ τις ἄμμι βροτῶν ἐπιμίσγεται ἄλλος.
ἀλλ’ ὅδε τις δύστηνος ἀλώμενος ἐνθάδ’ ἱκάνει,
τὸν νῦν χρὴ κομέειν· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
Nausi- ξεῖνοί τε πτωχοί τε, δόσις δ’ ὀλίγη τε φίλη τε.
kaa ἀλλὰ δότ’, ἀμφίπολοι, ξείνωι βρῶσίν τε πόσιν τε,
λούσατέ τ’ ἐν ποταμῶι, ὅθ’ ἐπὶ σκέπας ἔστ’ ἀνέμοιο.”

“κλῦτέ μοι, ἀμφίπολοι λευκώλενοι, ὄφρα τι εἴπω. 6.239
οὐ πάντων ἀέκητι θεῶν, οἳ Ὄλυμπον ἔχουσιν,
Φαιήκεσσ’ ὅδ’ ἀνὴρ ἐπιμίσγεται ἀντιθέοισιν·
πρόσθεν μὲν γὰρ δή μοι ἀεικέλιος δέατ’ εἶναι,
νῦν δὲ θεοῖσιν ἔοικε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη
ἐνθάδε ναιετάων, καὶ οἱ ἅδοι αὐτόθι μίμνειν. Nausi-
ἀλλὰ δότ’, ἀμφίπολοι, ξείνωι βρῶσίν τε πόσιν τε.” kaa
“ὄρσεο δὴ νῦν, ξεῖνε, πόλινδ’ ἴμεν, ὄφρα σε πέμψω 6.255
πατρὸς ἐμοῦ πρὸς δῶμα δαΐφρονος, ἔνθά σέ φημι
πάντων Φαιήκων εἰδησέμεν ὅσσοι ἄριστοι.
ἀλλὰ μάλ’ ὧδ’ ἔρδειν· δοκέεις δέ μοι οὐκ ἀπινύσσειν·
ὄφρ’ ἂν μέν κ’ ἀγροὺς ἴομεν καὶ ἔργ’ ἀνθρώπων,
τόφρα σὺν ἀμφιπόλοισι μεθ’ ἡμιόνους καὶ ἄμαξαν
καρπαλίμως ἔρχεσθαι, ἐγὼ δ’ ὁδὸν ἡγεμονεύσω.
αὐτὰρ ἐπὴν πόλιος ἐπιβήομεν ἣν πέρι πύργος
ὑψηλὸς, καλὸς δὲ λιμὴν ἑκάτερθε πόληος,
λεπτὴ δ’ εἰσίθμη· νῆες δ’ ὁδὸν ἀμφιέλισσαι
εἰρύαται· πᾶσιν γὰρ ἐπίστιόν ἐστιν ἑκάστωι.
ἔνθα δέ τέ σφ’ ἀγορή, καλὸν Ποσιδήϊον ἀμφὶς,
ῥυτοῖσιν λάεσσι κατωρυχέεσσ’ ἀραρυῖα.
ἔνθα δὲ νηῶν ὅπλα μελαινάων ἀλέγουσιν,
πείσματα καὶ σπείρας, καὶ ἀποξύνουσιν ἐρετμά.
οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς οὐδὲ φαρέτρη,
ἀλλ’ ἱστοὶ καὶ ἐρετμὰ νεῶν καὶ νῆες ἐῖσαι,
ᾗσιν ἀγαλλόμενοι πολιὴν περόωσι θάλασσαν,
τῶν ἀλεείνω φῆμιν ἀδευκέα, μή τις ὀπίσσω
μωμεύηι — μάλα δ’ εἰσὶν ὑπερφίαλοι κατὰ δῆμον —
καί νύ τις ὧδ’ εἴπησι κακώτερος ἀντιβολήσας·
‘τίς δ’ ὅδε Ναυσικάαι ἕπεται καλός τε μέγας τε
ξεῖνος; ποῦ δέ μιν ηὗρε; πόσις νύ οἱ ἔσσεται αὐτῆι.
ἤ τινά που πλαγχθέντα κομίσσατο ἧς ἀπὸ νηὸς

ἀνδρῶν τηλεδαπῶν, ἐπεὶ οὔ τινες ἐγγύθεν εἰσίν·
ἤ τίς οἱ εὐξαμένηι πολυάρητος θεὸς ἦλθεν
οὐρανόθεν καταβάς, ἕξει δέ μιν ἤματα πάντα.
βέλτερον, εἴ κ' αὐτή περ ἐποιχομένη πόσιν ηὗρεν
ἄλλοθεν· ἦ γὰρ τούσδε γ' ἀτιμάζει κατὰ δῆμον
Φαίηκας, τοί μιν μνῶνται πολέες τε καὶ ἐσθλοί.'
ὣς ἐρέουσιν, ἐμοὶ δέ κ' ὀνείδεα ταῦτα γένοιτο.
καὶ δ' ἄλληι νεμεσῶ, ἥ τις τοιαῦτά γε ῥέζοι,
ἥ τ' ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων
ἀνδράσι μίσγηται πρίν γ' ἀμφάδιον γάμον ἐλθεῖν.
ξεῖνε, σὺ δ' ὦκ' ἐμέθεν ξυνίει ἔπος, ὄφρα τάχιστα
πομπῆς καὶ νόστοιο τύχηις παρὰ πατρὸς ἐμοῖο.
δήεις ἀγλαὸν ἄλσος Ἀθήνης ἄγχι κελεύθου
αἰγείρων· ἐν δὲ κρήνη νάει, ἀμφὶ δὲ λειμών·
ἔνθα δὲ πατρὸς ἐμοῦ τέμενος τεθαλυῖά τ' ἀλωὴ,
τόσσον ἀπὸ πτόλιος, ὅσσον τε γέγωνε βοήσας·
ἔνθα καθεζόμενος μεῖναι χρόνον, εἰς ὅ κεν ἡμεῖς
ἄστυδε ἔλθωμεν καὶ ἱκώμεθα δώματα πατρός.
αὐτὰρ ἐπὴν ἡμέας ἔλπηι ποτὶ δώματ' ἀφῖχθαι,
καὶ τότε Φαιήκων ἴμεν ἐς πόλιν ἠδ' ἐρέεσθαι
δώματα πατρὸς ἐμοῦ, μεγαλήτορος Ἀλκινόοιο.
ῥεῖα δ' ἀρίγνωτ' ἐστὶ καὶ ἂν πάϊς ἡγήσαιτο
νήπιος· οὐ μὲν γάρ τι ἐοικότα τοῖσι τέτυκται
δώματα Φαιήκων, οἷος δόμος Ἀλκινόοιο
ἥρωος. ἀλλ' ὁπότ' ἄν σε δόμοι κεκύθωσι καὶ αὐλὴ,
ὦκα μάλα μεγάροιο διελθέμεν, ὄφρ' ἂν ἵκηαι
μητέρ' ἐμήν· ἡ δ' ἧσται ἐπ' ἐσχάρηι ἐν πυρὸς αὐγῆι,
ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι,
κίονι κεκλιμένη· δμωαὶ δέ οἱ εἴατ' ὄπισθεν.
ἔνθα δὲ πατρὸς ἐμοῖο θρόνος ποτικέκλιται αὐτῆι,
τῶι ὅ γε οἰνοποτάζει ἐφήμενος ἀθάνατος ὥς.
τὸν παραμειψάμενος μητρὸς περὶ γούνασι χεῖρας
βάλλειν ἡμετέρης, ἵνα νόστιμον ἦμαρ ἴδηαι
χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐσσί.
εἴ κέν τοι κείνη γε φίλα φρονέηισ' ἐνὶ θυμῶι,
Nausi-kaa ἐλπωρή τοι ἔπειτα φίλους τ' ἰδέειν καὶ ἱκέσθαι
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν."
8.461 "χαῖρε, ξεῖν', ἵνα καί ποτ' ἐὼν ἐν πατρίδι γαίηι
Nausi-kaa μνήσηι ἐμεῦ, ὅτι μοι πρώτηι ζωάγρι' ὀφέλλεις."

Notes

Notes

THE

SPOKEN LINES

OF

KALYPSO

AND KIRKE

IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

ODYSSEY ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 244 lines 3.0

5.87 “τίπτε μοι, Ἑρμεία χρυσόρραπι, εἰλήλουθας,
αἰδοῖός τε φίλος τε; πάρος γε μὲν οὔ‿τι θαμίζεις.
αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν.
Kalypso ἀλλ’ ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θείω.”
5.118 “σχέτλιοί ἐστε, θεοί, ζηλήμονες ἔξοχον ἄλλων,
οἵ‿τε θεαῖς ἀγάασθε παρ’ ἀνδράσιν εὐνάζεσθαι
ἀμφαδίην, ἤν τίς τε φίλον ποιήσετ’ ἀκοίτην·
ὡς μὲν ὅτ’ Ὠρίων’ ἕλετο ῥοδοδάκτυλος Ἠώς,
τόφρα οἱ ἠγάασθε θεοὶ ῥεῖα ζώοντες,
ἕως μιν ἐν Ὀρτυγίηι χρυσόθρονος Ἄρτεμις ἁγνὴ
οἷς ἀγανοῖσι βέλεσσιν ἐποιχομένη κατέπεφνεν.
ὡς δ’ ὁπότ’ Ἰασίωνι ἐϋπλόκαμος Δημήτηρ,
ὧι θυμῶι εἴξασα, μίγη φιλότητι καὶ εὐνῆι
νειῶι ἔνι τριπόλωι· οὐδὲ δὴν ἦεν ἄπυστος
Ζεύς, ὅς μιν κατέπεφνε βαλὼν ἀργῆτι κεραυνῶι.
ὣς αὖ νῦν μοι ἄγασθε, θεοί, βροτὸν ἄνδρα παρεῖναι.
τὸν μὲν ἐγὼν ἐσάωσα περὶ τρόπιος βεβαῶτα
οἶον, ἐπεί οἱ νῆα θοὴν ἀργῆτι κεραυνῶι
Ζεὺς ἐλάσας ἐκέασσε μέσωι ἐνὶ οἴνοπι πόντωι.
ἔνθ’ ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,
τὸν δ’ ἄρα δεῦρ’ ἄνεμός τε φέρων καὶ κῦμα πέλασσεν.
τὸν μὲν ἐγὼ φίλεόν τε καὶ ἔτρεφον, ἠδὲ ἔφασκον
θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα.
ἀλλ’ ἐπεὶ οὔ‿πως ἔστι Διὸς νόον αἰγιόχοιο
οὔτε παρεξελθεῖν ἄλλον θεὸν οὔθ’ ἁλιῶσαι,
ἐρρέτω, εἴ μιν κεῖνος ἐποτρύνει καὶ ἀνώγει,
πόντον ἐπ’ ἀτρύγετον. πέμψω δέ μιν οὔ‿πηι ἐγώ γε·
οὐ γάρ μοι πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
οἵ κέν μιν πέμποιεν ἐπ’ εὐρέα νῶτα θαλάσσης.
✦ αὐτάρ οἱ πρόφρων ὑποθήσομαι, οὐδ’ ἐπικεύσω,
Kalypso ὥς κε μάλ’ ἀσκηθὴς ἣν πατρίδα γαῖαν ἵκηται.”
5.160 “κάμμορε, μή μοι ἔτ’ ἐνθάδ’ ὀδύρεο, μηδέ τοι αἰὼν
φθινέτω· ἤδη γάρ σε μάλα πρόφρασσ’ ἀποπέμψω.
ἀλλ’ ἄγε δούρατα μακρὰ ταμὼν ἁρμόζεο χαλκῶι
εὐρεῖαν σχεδίην· ἀτὰρ ἴκρια πῆξαι ἐπ’ αὐτῆς
ὑψοῦ, ὥς σε φέρησιν ἐπ’ ἠεροειδέα πόντον.
αὐτὰρ ἐγὼ σῖτον καὶ ὕδωρ καὶ οἶνον ἐρυθρὸν
ἐνθήσω μενοεικέ’, ἅ κέν τοι λιμὸν ἐρύκοι,
εἵματά τ’ ἀμφιέσω, πέμψω δέ τοι οὖρον ὄπισθεν,
ὥς κε μάλ’ ἀσκηθὴς σὴν πατρίδα γαῖαν ἵκηαι,
αἴ κε θεοί γ’ ἐθέλωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
οἵ μευ φέρτεροί εἰσι νοῆσαί τε κρῆναί τε.”
5.182 ✦ “ἦ δὴ ἀλιτρός γ’ ἐσσὶ καὶ οὐκ ἀποφώλια εἰδώς,
οἷον δὴ τὸν μῦθον ἐπεφράσθης ἀγορεῦσαι.
ἴστω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς‿τε μέγιστος
ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσιν,
μή‿τί τοι αὐτῶι πῆμα κακὸν βουλευσέμεν ἄλλο.
ἀλλὰ τὰ μὲν νοέω καὶ φράσσομαι, ἅσσ’ ἂν ἐμοί περ
αὐτῆι μηδοίμην, ὅτε με χρειὼ τόσον ἵκοι·
καὶ γὰρ ἐμοὶ νόος ἐστὶν ἐναίσιμος, οὐδέ μοι αὐτῆι
θυμὸς ἐνὶ στήθεσσι σιδήρεος, ἀλλ’ ἐλεήμων.” Kalypso
“διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ, 5.203
οὕτω δὴ οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν
αὐτίκα νῦν ἐθέλεις ἰέναι· σὺ δὲ χαῖρε καὶ ἔμπης.
εἴ‿γε μὲν εἰδείης σῆισι φρεσὶν ὅσσα τοι αἶσα
κήδε’ ἀναπλῆσαι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
ἐνθάδε κ’ αὖθι μένων παρ’ ἐμοὶ τόδε δῶμα φυλάσσοις
ἀθάνατός τ’ εἴης, ἱμειρόμενός περ ἰδέσθαι
σὴν ἄλοχον, τῆς τ’ αἰὲν ἐέλδεαι ἤματα πάντα.
οὐ μέν θην κείνης γε χερείων εὔχομαι εἶναι,
οὐ δέμας, οὐδὲ φυήν, ἐπεὶ οὔ‿πως οὐδὲ ἔοικεν
θνητὰς ἀθανάτηισι δέμας καὶ εἶδος ἐρίζειν.” Kalypso
“τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες; 10.325
θαῦμά μ’ ἔχει ὡς οὔ‿τι πιὼν τάδε φάρμακ’ ἐθέλχθης.
οὐδὲ γάρ οὐδέ τις ἄλλος ἀνὴρ τάδε φάρμακ’ ἀνέτλη,
ὅς κε πίηι καὶ πρῶτον ἀμείψεται ἕρκος ὀδόντων.
σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστίν.
ἦ σύ‿γ’ Ὀδυσσεύς ἐσσι πολύτροπος, ὅν‿τέ μοι αἰεὶ
φάσκεν ἐλεύσεσθαι χρυσόρραπις Ἀργειφόντης,
ἐκ Τροίης ἀνιόντα θοῆι σὺν νηῒ μελαίνηι.
ἀλλ’ ἄγε δὴ κολεῶι μὲν ἄορ θέο, νῶϊ δ’ ἔπειτα
εὐνῆς ἡμετέρης ἐπιβήομεν, ὄφρα μιγέντε
εὐνῆι καὶ φιλότητι πεποίθομεν ἀλλήλοισιν.” Kirke
“τίφθ’ οὕτως, Ὀδυσεῦ, κατ’ ἄρ’ ἕζεαι ἶσος ἀναύδωι, 10.378
θυμὸν ἔδων, βρώμης δ’ οὐχ ἅπτεαι οὐδὲ ποτῆτος;
ἦ τινά που δόλον ἄλλον ὀΐεαι· οὐδέ τί σε χρὴ
δειδίμεν· ἤδη γάρ τοι ἀπώμοσα καρτερὸν ὅρκον.” Kirke
“διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ, 10.401
ἔρχεο νῦν ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσατε ἤπειρόνδε,
κτήματα δ’ ἐν σπήεσσι πελάσσατε ὅπλα τε πάντα·
αὐτὸς δ’ ἂψ ἰέναι καὶ ἄγειν ἐρίηρας ἑταίρους.” Kirke
“διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ, 10.456
μηκέτι νῦν θαλερὸν γόον ὄρνυτε· οἶδα καὶ αὐτὴ
ἠμὲν ὅσ’ ἐν πόντωι πάθετ’ ἄλγεα ἰχθυόεντι,
ἠδ’ ὅσ’ ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ’ ἐπὶ χέρσου.
ἀλλ’ ἄγετ’ ἐσθίετε βρώμην καὶ πίνετε οἶνον,
εἰς‿ὅ κεν αὖτις θυμὸν ἐνὶ στήθεσσι λάβητε,
οἷον ὅτε πρώτιστον ἐλείπετε πατρίδα γαῖαν
τρηχείης Ἰθάκης. νῦν δ’ ἀσκελέες καὶ ἄθυμοι,
αἰὲν ἄλης χαλεπῆς μεμνημένοι· οὐδέ ποθ’ ὑμῖν
θυμὸς ἐν εὐφροσύνηις, ἐπεὶ ἦ μάλα πολλὰ πέπασθε.”
“διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ, 10.488
μηκέτι νῦν ἀέκοντες ἐμῶι ἐνὶ μίμνετε οἴκωι·
ἀλλ’ ἄλλην χρὴ πρῶτον ὁδὸν τελέσαι καὶ ἱκέσθαι
εἰς Ἀΐδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης,
ψυχῆι χρησομένους Θηβαίου Τειρεσίαο,
μάντιος ἀλαοῦ, τοῦ‿τε φρένες ἔμπεδοί εἰσιν·

τῶι καὶ τεθνηῶτι νόον πόρε Περσεφόνεια
οἴωι πεπνῦσθαι· τοὶ δὲ σκιαὶ ἀΐσσουσιν.”
10.504 “διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ,
μή_τί τοι ἡγεμόνος γε ποθὴ παρὰ νηῒ μελέσθω,
ἱστὸν δὲ στήσας ἀνά θ’ ἱστία λευκὰ πετάσσας
ἧσθαι· τὴν δέ κέ τοι πνοιὴ Βορέαο φέρησιν.
ἀλλ’ ὁπότ’ ἂν δὴ νηῒ δι’ Ὠκεανοῖο περήσηις,
ἔνθ’ ἀκτή τε λάχεια καὶ ἄλσεα Περσεφονείης
μακραί τ’ αἴγειροι καὶ ἰτέαι ὠλεσίκαρποι,
νῆα μὲν αὐτοῦ κέλσαι ἐπ’ Ὠκεανῶι βαθυδίνηι,
αὐτὸς δ’ εἰς Ἀΐδεω ἰέναι δόμον εὐρώεντα.
ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσιν
Κώκυτός θ’, ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ,
πέτρη τε ξύνεσίς τε δύω ποταμῶν ἐριδούπων.
ἔνθα δ’ ἔπειθ’, ἥρως, χριμφθεὶς πέλας, ὥς σε κελεύω,
βόθρον ὀρύξαι ὅσον τε πυγούσιον ἔνθα καὶ ἔνθα,
ἀμφ’ αὐτῶι δὲ χοὴν χεῖσθαι πᾶσιν νεκύεσσιν,
πρῶτα μελικρήτωι, μετέπειτα δὲ ἡδέϊ οἴνωι,
τὸ τρίτον αὖθ’ ὕδατι· ἐπὶ δ’ ἄλφιτα λευκὰ παλύνειν.
πολλὰ δὲ γουνοῦσθαι νεκύων ἀμενηνὰ κάρηνα,
ἐλθὼν εἰς Ἰθάκην στεῖραν βοῦν, ἥ_τις ἀρίστη,
ῥέξειν ἐν μεγάροισι πυρήν τ’ ἐμπλησέμεν ἐσθλῶν,
✦ Τειρεσίηι δ’ ἀπάνευθεν ὄϊν ἱερευσέμεν οἴωι
παμμέλαν’, ὃς μήλοισι μεταπρέπει ὑμετέροισιν.
αὐτὰρ ἐπὴν εὐχῆισι λίσηι κλυτὰ ἔθνεα νεκρῶν,
ἔνθ’ ὄϊν ἀρνειὸν ῥέζειν θῆλύν τε μέλαιναν
εἰς Ἔρεβος στρέψας, αὐτὸς δ’ ἀπονόσφι τραπέσθαι
ἱέμενος ποταμοῖο ῥοάων· ἔνθα δὲ πολλαὶ
ψυχαὶ ἐλεύσονται νεκύων κατατεθνηώτων.
δὴ τότ’ ἔπειθ’ ἑτάροισιν ἐποτρῦναι καὶ ἀνῶξαι
μῆλα, τὰ δὴ κατάκειτ’ ἐσφαγμένα νηλέϊ χαλκῶι,
δείραντας κατακῆαι, ἐπεύξασθαι δὲ θεοῖσιν,
ἰφθίμωι τ’ Ἀΐδηι καὶ ἐπαινῆι Περσεφονείηι·
αὐτὸς δὲ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
ἧσθαι, μηδὲ ἐᾶν νεκύων ἀμενηνὰ κάρηνα
αἵματος ἆσσον ἴμεν, πρὶν Τειρεσίαο πυθέσθαι.
ἔνθα τοι αὐτίκα μάντις ἐλεύσεται, ὄρχαμε λαῶν,
Kirke ὅς κέν τοι εἴπησιν ὁδὸν καὶ μέτρα κελεύθου
νόστόν θ’, ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.”
12.21 “σχέτλιοι, οἳ ζώοντες ὑπήλθετε δῶμ’ Ἀΐδαο,
δισθανέες, ὅτε τ’ ἄλλοι ἅπαξ θνήισκουσ’ ἄνθρωποι.
ἀλλ’ ἄγετ’ ἐσθίετε βρώμην καὶ πίνετε οἶνον
αὖθι πανημέριοι· ἅμα δ’ ἠοῖ φαινομένηφιν
✦ πλεύσεσθ’· αὐτὰρ ἐγὼ δείξω ὁδὸν ἠδὲ ἕκαστα
σημανέω, ἵνα μή τι κακορραφίηι ἀλεγεινῆι
Kirke ἢ ἁλὸς ἢ ἐπὶ γῆς ἀλγήσετε πῆμα παθόντες.”
12.37 “ταῦτα μὲν οὕτω πάντα πεπείρανται, σὺ δ’ ἄκουσον,
ὥς τοι ἐγὼν ἐρέω, μνήσει δέ σε καὶ θεὸς αὐτός.
Σειρῆνας μὲν πρῶτον ἀφίξεαι, αἵ ῥά τε πάντας
ἀνθρώπους θέλγουσιν, ὅτις σφεας εἰσαφίκηται.
ὅς_τις ἀϊδρίηι πελάσηι καὶ φθόγγον ἀκούσηι
Σειρήνων, τῶι δ’ οὔ_τι γυνὴ καὶ νήπια τέκνα
οἴκαδε νοστήσαντι παρίσταται οὐδὲ γάνυνται,
ἀλλά τε Σειρῆνες λιγυρῆι θέλγουσιν ἀοιδῆι,
ἥμεναι ἐν λειμῶνι· πολὺς δ’ ἀμφ’ ὀστεόφιν θὶς
ἀνδρῶν πυθομένων, περὶ δὲ ῥινοὶ μινύθουσιν.
ἀλλὰ πάρεξ ἐλάαν, ἐπὶ δ’ οὔατ’ ἀλεῖψαι ἑταίρων
κηρὸν δεψήσας μελιηδέα, μή τις ἀκούσηι
τῶν ἄλλων· ἀτάρ αὐτὸς ἀκουέμεν αἴ κ’ ἐθέληισθα,
δησάντων σ’ ἐν νηῒ θοῆι χεῖράς τε πόδας τε
ὀρθὸν ἐν ἱστοπέδηι, ἐκ δ’ αὐτοῦ πείρατ’ ἀνήφθω,
ὄφρα κε τερπόμενος ὄπ’ ἀκούσηις Σειρήνοιϊν.
εἰ δέ κε λίσσηαι ἑτάρους λῦσαί τε κελεύηις,
οἱ δέ σ’ ἔτι πλεόνεσσι τότ’ ἐν δεσμοῖσι διδέντων.
αὐτὰρ ἐπὴν δὴ τάς_γε πάρεξ ἐλάσωσιν ἑταῖροι,
ἔνθα τοι οὐκέτ’ ἔπειτα διηνεκέως ἀγορεύσω,
ὁπποτέρηι δή τοι ὁδὸς ἔσσεται, ἀλλὰ καὶ αὐτὸς
θυμῶι βουλεύειν· ἐρέω δέ τοι ἀμφοτέρωθεν.
ἔνθεν μὲν γὰρ πέτραι ἐπηρεφέες, ποτὶ δ’ αὐτὰς
κῦμα μέγα ῥοχθεῖ κυανώπιδος Ἀμφιτρίτης·
Πλαγκτὰς δ’ ἤτοι τάς γε θεοὶ μάκαρες καλέουσιν.
τῆι μέν τ’ οὐδὲ ποτητὰ παρέρχεται οὐδὲ πέλειαι
τρήρωνες, ταί τ’ ἀμβροσίην Διὶ πατρὶ φέρουσιν,
ἀλλά τε καὶ τῶν αἰεὶ ἀφαιρεῖται λὶς πέτρη·
ἀλλ’ ἄλλην ἐνίησι πατὴρ ἐναρίθμιον εἶναι.
τῆι δ’ οὔ_πώ τις νηῦς φύγεν ἀνδρῶν, ἥ_τις ἵκηται,
ἀλλά θ’ ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
κύμαθ’ ἁλὸς φορέουσι πυρός τ’ ὀλοοῖο θύελλαι.
οἴη δὴ κείνηι γε παρέπλω ποντοπόρος νηῦς
Ἀργὼ πᾶσι μέλουσα, παρ’ Αἰήταο πλέουσα.
καὶ νύ κε τήν ἔνθ’ ὦκα βάλεν μεγάλας ποτὶ πέτρας,
ἀλλ’ Ἥρη παρέπεμψεν, ἐπεὶ φίλος ἦεν Ἰήσων.
οἱ δὲ δύω σκόπελοι ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει
ὀξείηι κορυφῆι, νεφέλη δέ μιν ἀμφιβέβηκεν
κυανέη· τὸ μὲν οὔ_ποτ’ ἐρωεῖ, οὐδέ ποτ’ αἴθρη
κείνου ἔχει κορυφὴν οὔτ’ ἐν θέρει οὔτ’ ἐν ὀπώρηι.
οὐδέ κεν ἀμβαίη βροτὸς ἀνήρ, οὐ_καταβαίη,
οὐδ’ εἴ οἱ χεῖρές γε ἐείκοσι καὶ πόδες εἶεν·
πέτρη γὰρ λίς ἐστι, περιξεστῆι εἰκυῖα.
μέσσωι δ’ ἐν σκοπέλωι ἐστὶ σπέος ἠεροειδές,
πρὸς ζόφον εἰς Ἔρεβος τετραμμένον, ἧι_περ ἂν ὑμεῖς
νῆα παρὰ γλαφυρὴν ἰθύνετε, φαίδιμ’ Ὀδυσσεῦ.
οὐδέ κεν ἐκ νηὸς γλαφυρῆς αἰζήϊος ἀνὴρ
τόξωι ὀϊστεύσας κοῖλον σπέος εἰσαφίκοιτο.
ἔνθα δ’ ἐνὶ Σκύλλη ναίει δεινὸν λελακυῖα·
τῆς ἤτοι φωνὴ μὲν ὅση σκύλακος νεογιλλῆς
γίγνεται, αὐτὴ δ’ αὖτε πέλωρ κακόν· οὐδέ κέ τίς μιν
γηθήσειεν ἰδών, οὐδ’ εἰ θεὸς ἀντιάσειεν.
τῆς ἤτοι πόδες εἰσὶ δυώδεκα πάντες ἄωροι,
ἓξ δέ τέ οἱ δειραὶ περιμήκεες, ἐν δὲ ἑκάστηι

σμερδαλέη κεφαλή, ἐν δὲ τρίστοιχοι ὀδόντες,
πυκνοὶ καὶ θαμέες, πλεῖοι μέλανος θανάτοιο.
μέσση μέν τε κατὰ σπείους κοίλοιο δέδυκεν,
ἔξω δ' ἐξίσχει κεφαλὰς δεινοῖο βερέθρου,
αὐτοῦ δ' ἰχθυάαι, σκόπελον περιμαιμώωσα,
δελφῖνάς τε κύνας τε καὶ εἴ ποθι μεῖζον ἕλησιν
κῆτος, ἃ μυρία βόσκει ἀγάστονος Ἀμφιτρίτη.
τῆι δ' οὔ πώ_ποτε ναῦται ἀκήριοι εὐχετόωνται
παρφυγέειν σὺν νηΐ· φέρει δέ τε κρατὶ ἑκάστωι
φῶτ' ἐξαρπάξασα νεὸς κυανοπρώιροιο.
τὸν δ' ἕτερον σκόπελον χθαμαλώτερον ὄψει, Ὀδυσσεῦ,
πλησίον ἀλλήλων· καί κεν διοϊστεύσειας.
◆ τῶι δ' ἐν ἐρινεός ἐστι μέγας, φύλλοισι τεθηλώς·
τῶι δ' ὕπο δῖα Χάρυβδις ἀναρρυβδεῖ μέλαν ὕδωρ.
τρὶς μὲν γάρ τ' ἀνίησιν ἐπ' ἤματι, τρὶς δ' ἀναρυβδεῖ,
δεινόν· μὴ σύ_γε κεῖθι τύχοις, ὅτε ῥοιβδήσειεν·
οὐ γάρ κεν ῥύσαιτό σ' ὕπεκ κακοῦ οὐδ' Ἐνοσίχθων.
ἀλλὰ μάλα Σκύλλης σκοπέλωι πεπλημένος ὦκα
Kirke νῆα πάρεξ ἐλάαν, ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν
ἓξ ἑτάρους ἐν νηΐ ποθήμεναι ἢ ἅμα πάντας."
12.116 "σχέτλιε, καὶ δὴ αὖ τοι πολεμήϊα ἔργα μέμηλεν
καὶ πόνος· οὐδὲ θεοῖσιν ὑπείξεαι ἀθανάτοισιν;
ἡ δέ τοι οὐ θνητή, ἀλλ' ἀθάνατον κακόν ἐστιν,
δεινόν τ' ἀργαλέον τε καὶ ἄγριον οὐδὲ μαχητόν·
οὐδέ τις ἔστ' ἀλκή· φυγέειν κάρτιστον ἀπ' αὐτῆς.
ἢν γὰρ δηθύνησθα κορυσσόμενος παρὰ πέτρηι,
δείδω μή σ' ἐξαῦτις ἐφορμηθεῖσα κίχησιν
τόσσηισιν κεφαλῆισι, τόσους δ' ἐκ φῶτας ἕληται.
ἀλλὰ μάλα σφοδρῶς ἐλάαν, βωστρεῖν δὲ Κράταιϊν,
μητέρα τῆς Σκύλλης, ἥ μιν τέκε πῆμα βροτοῖσιν·
ἥ μιν ἔπειτ' ἀποπαύσει ἐς ὕστερον ὁρμηθῆναι.
Θρινακίην δ' ἐς νῆσον ἀφίξεαι· ἔνθα δὲ πολλαὶ
βόσκοντ' Ἠελίοιο βόες καὶ ἴφια μῆλα,
ἑπτὰ βοῶν ἀγέλαι, τόσα δ' οἰῶν πώεα καλά,
πεντήκοντα δ' ἕκαστα· γόνος δ' οὐ γίνεται αὐτῶν,
οὐδέ_ποτε φθινύθουσι. θεαὶ δ' ἐπὶ_ποιμένες εἰσὶν,
νύμφαι ἐϋπλόκαμοι, Φαέθουσά τε Λαμπετίη τε,
ἃς τέκεν Ἠελίωι Ὑπερίονι δῖα Νέαιρα.
τὰς μὲν ἄρα θρέψασα τεκοῦσά τε πότνια μήτηρ
Θρινακίην ἐς νῆσον ἀπῴκισε τηλόθι ναίειν,
μῆλα φυλασσέμεναι πατρώϊα καὶ ἕλικας βοῦς.
τὰς εἰ μέν κ' ἀσινέας ἐάαις νόστου τε μέδηαι,
ἦ τ' ἂν ἔτ' εἰς Ἰθάκην κακά περ πάσχοντες ἵκοισθε·
Kirke ◆ εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον."

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 347 lines 3.0

THE SPOKEN LINES OF SUITORS OF ODYSSEUS KALYPSO, NAUSIKAA AND KIRKE IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

5.87 “τίπτε μοι, Ἑρμεία χρυσόρραπι, εἰλήλουθας,
αἰδοῖός τε φίλος τε; πάρος γε μὲν οὔ_τι θαμίζεις.
αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν.
Kalypso ἀλλ' ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θείω.”
5.118 “σχέτλιοί ἐστε, θεοί, ζηλήμονες ἔξοχον ἄλλων,
οἵ_τε θεαῖς ἀγάασθε παρ' ἀνδράσιν εὐνάζεσθαι
ἀμφαδίην, ἥν τίς τε φίλον ποιήσετ' ἀκοίτην·
ὡς μὲν ὅτ' Ὠρίων' ἕλετο ῥοδοδάκτυλος Ἠώς,
τόφρα οἱ ἠγάασθε θεοὶ ῥεῖα ζώοντες,
ἕως μιν ἐν Ὀρτυγίηι χρυσόθρονος Ἄρτεμις ἁγνὴ
οἷς ἀγανοῖσι βέλεσσιν ἐποιχομένη κατέπεφνεν.
ὡς δ' ὁπότ' Ἰασίωνι ἐϋπλόκαμος Δημήτηρ,
ὧι θυμῶι εἴξασα, μίγη φιλότητι καὶ εὐνῆι
νειῶι ἔνι τριπόλωι· οὐδὲ δὴν ἦεν ἄπυστος
Ζεύς, ὅς μιν κατέπεφνε βαλὼν ἀργῆτι κεραυνῶι.
ὡς αὖ νῦν μοι ἄγασθε, θεοί, βροτὸν ἄνδρα παρεῖναι.
τὸν μὲν ἐγὼν ἐσάωσα περὶ τρόπιος βεβαῶτα
οἶον, ἐπεί οἱ νῆα θοὴν ἀργῆτι κεραυνῶι
Ζεὺς ἐλάσας ἐκέασσε μέσωι ἐνὶ οἴνοπι πόντωι.
ἔνθ' ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,
τὸν δ' ἄρα δεῦρ' ἄνεμός τε φέρων καὶ κῦμα πέλασσεν.
τὸν μὲν ἐγὼ φίλεόν τε καὶ ἔτρεφον, ἠδὲ ἔφασκον
θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα.
ἀλλ' ἐπεὶ οὔ_πως ἔστι Διὸς νόον αἰγιόχοιο
οὔτε παρεξελθεῖν ἄλλον θεὸν οὔθ' ἁλιῶσαι,
ἐρρέτω, εἴ μιν κεῖνος ἐποτρύνει καὶ ἀνώγει,
πόντον ἔπ' ἀτρύγετον. πέμψω δέ μιν οὔ_πηι ἐγώ γε·
οὐ γάρ μοι πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
◆ αὐτάρ οἱ πρόφρων ὑποθήσομαι, οὐδ' ἐπικεύσω,
Kalypso ὥς κε μάλ' ἀσκηθὴς ἣν πατρίδα γαῖαν ἵκηται.”
5.160 “κάμμορε, μή μοι ἔτ' ἐνθάδ' ὀδύρεο, μηδέ τοι αἰὼν
φθινέτω· ἤδη γάρ σε μάλα πρόφρασσ' ἀποπέμψω.
ἀλλ' ἄγε δούρατα μακρὰ ταμὼν ἁρμόζεο χαλκῶι
εὐρεῖαν σχεδίην· ἀτὰρ ἴκρια πῆξαι ἐπ' αὐτῆς
ὑψοῦ, ὥς σε φέρησιν ἐπ' ἠεροειδέα πόντον.
αὐτὰρ ἐγὼ σῖτον καὶ ὕδωρ καὶ οἶνον ἐρυθρὸν
ἐνθήσω μενοεικέ', ἅ κέν τοι λιμὸν ἐρύκοι,
εἵματά τ' ἀμφιέσω, πέμψω δέ τοι οὖρον ὄπισθεν,
ὥς κε μάλ' ἀσκηθὴς σὴν πατρίδα γαῖαν ἵκηαι,
αἴ κε θεοί γ' ἐθέλωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
οἵ μευ φέρτεροί εἰσι νοῆσαί τε κρῆναί τε.”
5.182 “ἦ δὴ ἀλιτρός γ' ἐσσὶ καὶ οὐκ ἀποφώλια εἰδώς,
οἷον δὴ τὸν μῦθον ἐπεφράσθης ἀγορεῦσαι.
ἴστω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν
◆ καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς_τε μέγιστος
ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσιν,
μή_τί τοι αὐτῶι πῆμα κακὸν βουλευσέμεν ἄλλο.
ἀλλὰ τὰ μὲν νοέω καὶ φράσσομαι, ἅσσ' ἂν ἐμοί περ
αὐτῆι μηδοίμην, ὅτε με χρειὼ τόσον ἵκοι·
καὶ γὰρ ἐμοὶ νόος ἐστὶν ἐναίσιμος, οὐδέ μοι αὐτῆι
θυμὸς ἐνὶ στήθεσσι σιδήρεος, ἀλλ' ἐλεήμων.” Kalypso
“διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, 5.203
οὕτω δὴ οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν
αὐτίκα νῦν ἐθέλεις ἰέναι· σὺ δὲ χαῖρε καὶ ἔμπης.
εἴ_γε μὲν εἰδείης σῆισι φρεσὶν ὅσσα τοι αἶσα
κήδε' ἀναπλῆσαι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
ἐνθάδε κ' αὖθι μένων παρ' ἐμοὶ τόδε δῶμα φυλάσσοις
ἀθάνατός τ' εἴης, ἱμειρόμενός περ ἰδέσθαι
σὴν ἄλοχον, τῆς τ' αἰὲν ἐέλδεαι ἤματα πάντα.
οὐ μέν θην κείνης γε χερείων εὔχομαι εἶναι,
οὐ δέμας, οὐδὲ φυήν, ἐπεὶ οὔ_πως οὐδὲ ἔοικεν
θνητὰς ἀθανάτηισι δέμας καὶ εἶδος ἐρίζειν.” Kalypso
“πάππα φίλ', οὐκ ἂν δή μοι ἐφοπλίσσειας ἀπήνην 6.57
ὑψηλὴν εὔκυκλον, ἵνα κλυτὰ εἵματ' ἄγωμαι
ἐς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται;
καὶ δὲ σοὶ αὐτῶι ἔοικε μετὰ πρώτοισιν ἐόντα
βουλὰς βουλεύειν καθαρὰ χροῒ εἵματ' ἔχοντα.
πέντε δέ τοι φίλοι υἷες ἐνὶ μεγάροις γεγάασιν,
οἱ δύ' ὀπυίοντες, τρεῖς δ' ἠΐθεοι θαλέθοντες·
οἱ δ' αἰεὶ ἐθέλουσι νεόπλυτα εἵματ' ἔχοντες Nausi-
ἐς χορὸν ἔρχεσθαι· τὰ δ' ἐμῆι φρενὶ πάντα μέμηλεν.” kaa
“ξεῖν', ἐπεὶ οὔτε κακῶι οὔτ' ἄφρονι φωτὶ ἔοικας — 6.187
Ζεὺς δ' αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν,
ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλησιν, ἑκάστωι·
καί που σοί τά γ' ἔδωκε· σὲ δὲ χρὴ τετλάμεν ἔμπης —
νῦν δ', ἐπεὶ ἡμετέρην τε πόλιν καὶ γαῖαν ἱκάνεις,
οὔτ' οὖν ἐσθῆτος δευήσεαι οὔτέ τε' ἄλλου,
ὧν ἐπέοιχ' ἱκέτην ταλαπείριον ἀντιάσαντα.
ἄστυ δέ τοι δείξω, ἐρέω δέ τοι οὔνομα λαῶν.
Φαίηκες μὲν τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν,
εἰμὶ δ' ἐγὼ θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο, Nausi-
τοῦ δ' ἐκ Φαιήκων ἔχεται κάρτος τε βίη τε.” kaa
“στῆτέ μοι, ἀμφίπολοι· πόσε φεύγετε φῶτα ἰδοῦσαι; 6.199
ἦ μή πού τινα δυσμενέων φάσθ' ἔμμεναι ἀνδρῶν;
οὐκ ἔσθ' οὗτος ἀνὴρ διερὸς βροτός, οὐδὲ γένηται,
ὅς κεν Φαιήκων ἀνδρῶν ἐς γαῖαν ἵκηται
δηϊοτῆτα φέρων· μάλα γὰρ φίλοι ἀθανάτοισιν.
οἰκέομεν δ' ἀπάνευθε πολυκλύστωι ἐνὶ πόντωι,
ἔσχατοι, οὐδέ τις ἄμμι βροτῶν ἐπιμίσγεται ἄλλος.
ἀλλ' ὅδε τις δύστηνος ἀλώμενος ἐνθάδ' ἱκάνει,
τὸν νῦν χρὴ κομέειν· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
ξεῖνοί τε πτωχοί τε, δόσις δ' ὀλίγη τε φίλη τε. Nausi-
ἀλλὰ δότ', ἀμφίπολοι, ξείνωι βρῶσίν τε πόσιν τε, kaa
λούσατέ τ' ἐν ποταμῶι, ὅθ' ἐπὶ σκέπας ἔστ' ἀνέμοιο.”
“κλῦτέ μοι, ἀμφίπολοι λευκώλενοι, ὄφρα τι εἴπω. 6.239
οὐ πάντων ἀέκητι θεῶν, οἳ Ὄλυμπον ἔχουσιν,
Φαιήκεσσ' ὅδ' ἀνὴρ ἐπιμίσγεται ἀντιθέοισιν·
πρόσθεν μὲν γὰρ δή μοι ἀεικέλιος δέατ' εἶναι,

νῦν δὲ θεοῖσιν ἔοικε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη
Nausikaa ἐνθάδε ναιετάων, καί οἱ ἅδοι αὐτόθι μίμνειν.
ἀλλὰ δότ', ἀμφίπολοι, ξείνωι βρῶσίν τε πόσιν τε."
6.255 "ὄρσεο δὴ νῦν, ξεῖνε, πόλινδ' ἴμεν, ὄφρα σε πέμψω
πατρὸς ἐμοῦ πρὸς δῶμα δαΐφρονος, ἔνθά σέ φημι
πάντων Φαιήκων εἰδησέμεν ὅσσοι ἄριστοι.
ἀλλὰ μάλ' ὧδ' ἔρδειν· δοκέεις δέ μοι οὐκ ἀπινύσσειν·
ὄφρ' ἂν μέν κ' ἀγροὺς ἴομεν καὶ ἔργ' ἀνθρώπων,
τόφρα σὺν ἀμφιπόλοισι μεθ' ἡμιόνους καὶ ἅμαξαν
καρπαλίμως ἔρχεσθαι, ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω.
αὐτὰρ ἐπὴν πόλιος ἐπιβήομεν ἣν πέρι πύργος
ὑψηλὸς, καλὸς δὲ λιμὴν ἑκάτερθε πόληος,
λεπτὴ δ' εἰσίθμη· νῆες δ' ὁδὸν ἀμφιέλισσαι
εἰρύαται· πᾶσιν γὰρ ἐπίστιόν ἐστιν ἑκάστωι.
ἔνθα δέ τέ σφ' ἀγορὴ, καλὸν Ποσιδήϊον ἀμφὶς,
ῥυτοῖσιν λάεσσι κατωρυχέεσσ' ἀραρυῖα.
ἔνθα δὲ νηῶν ὅπλα μελαινάων ἀλέγουσιν,
πείσματα καὶ σπείρας, καὶ ἀποξύουσιν ἐρετμά.
οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς οὐδὲ φαρέτρη,
ἀλλ' ἱστοὶ καὶ ἐρετμὰ νεῶν καὶ νῆες ἐῖσαι,
ἧισιν ἀγαλλόμενοι πολιὴν περόωσι θάλασσαν,
τῶν ἀλεείνω φῆμιν ἀδευκέα, μή τις ὀπίσσω
μωμεύηι — μάλα δ' εἰσὶν ὑπερφίαλοι κατὰ δῆμον —
καί νύ τις ὧδ' εἴπησι κακώτερος ἀντιβολήσας·
'τίς δ' ὅδε Ναυσικάαι ἕπεται καλός τε μέγας τε
ξεῖνος; ποῦ δέ μιν ηὗρε; πόσις νύ οἱ ἔσσεται αὐτῆι.
ἤ τινά που πλαγχθέντα κομίσσατο ἧς ἀπὸ νηὸς
ἀνδρῶν τηλεδαπῶν, ἐπεὶ οὔ τινες ἐγγύθεν εἰσίν·
ἤ τίς οἱ εὐξαμένηι πολυάρητος θεὸς ἦλθεν
οὐρανόθεν καταβὰς, ἕξει δέ μιν ἤματα πάντα.
βέλτερον, εἰ κ' αὐτή περ ἐποιχομένη πόσιν ηὗρεν
ἄλλοθεν· ἦ γὰρ τούσδε γ' ἀτιμάζει κατὰ δῆμον
Φαίηκας, τοί μιν μνῶνται πολέες τε καὶ ἐσθλοί.'
ὣς ἐρέουσιν, ἐμοὶ δέ κ' ὀνείδεα ταῦτα γένοιτο.
καὶ δ' ἄλληι νεμεσῶ, ἥ τις τοιαῦτά γε ῥέζοι,
ἥ τ' ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων
ἀνδράσι μίσγηται πρίν γ' ἀμφάδιον γάμον ἐλθεῖν.
ξεῖνε, σὺ δ' ὦκ' ἐμέθεν ξυνίει ἔπος, ὄφρα τάχιστα
πομπῆς καὶ νόστοιο τύχηις παρὰ πατρὸς ἐμοῖο.
δήεις ἀγλαὸν ἄλσος Ἀθήνης ἄγχι κελεύθου
αἰγείρων· ἐν δὲ κρήνη νάει, ἀμφὶ δὲ λειμών·
ἔνθα δὲ πατρὸς ἐμοῦ τέμενος τεθαλυῖά τ' ἀλωὴ,
τόσσον ἀπὸ πτόλιος, ὅσσον τε γέγωνε βοήσας·
ἔνθα καθεζόμενος μεῖναι χρόνον, εἰς ὅ κεν ἡμεῖς
ἄστυδε ἔλθωμεν καὶ ἱκώμεθα δώματα πατρός.
◆ αὐτὰρ ἐπὴν ἡμέας ἔλπηι ποτὶ δώματ' ἀφῖχθαι,
καὶ τότε Φαιήκων ἴμεν ἐς πόλιν ἠδ' ἐρέεσθαι
δώματα πατρὸς ἐμοῦ, μεγαλήτορος Ἀλκινόοιο.
ῥεῖα δ' ἀρίγνωτ' ἐστὶ καὶ ἂν πάϊς ἡγήσαιτο
νήπιος· οὐ μὲν γάρ τι ἐοικότα τοῖσι τέτυκται
δώματα Φαιήκων, οἷος δόμος Ἀλκινόοιο
ἥρωος. ἀλλ' ὁπότ' ἄν σε δόμοι κεκύθωσι καὶ αὐλὴ,
ὦκα μάλα μεγάροιο διελθέμεν, ὄφρ' ἂν ἵκηαι
μητέρ' ἐμήν· ἡ δ' ἧσται ἐπ' ἐσχάρηι ἐν πυρὸς αὐγῆι,
ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι,
κίονι κεκλιμένη· δμωαὶ δέ οἱ εἵατ' ὄπισθεν.
ἔνθα δὲ πατρὸς ἐμοῖο θρόνος ποτικέκλιται αὐτῆι,
τῶι ὅ γε οἰνοποτάζει ἐφήμενος ἀθάνατος ὥς.
τὸν παραμειψάμενος μητρὸς περὶ γούνασι χεῖρας
βάλλειν ἡμετέρης, ἵνα νόστιμον ἦμαρ ἴδηαι
χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐσσί.
εἴ κέν τοι κείνη γε φίλα φρονέηισ' ἐνὶ θυμῶι, Nausikaa
ἐλπωρή τοι ἔπειτα φίλους τ' ἰδέειν καὶ ἱκέσθαι
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν."
"χαῖρε, ξεῖν', ἵνα καί ποτ' ἐὼν ἐν πατρίδι γαίηι 8.461
μνήσηι ἐμεῦ, ὅτι μοι πρώτηι ζωάγρι' ὀφέλλεις." Nausikaa
"τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες; 10.325
θαῦμά μ' ἔχει ὡς οὔ τι πιὼν τάδε φάρμακ' ἐθέλχθης.
οὐδὲ γάρ οὐδέ τις ἄλλος ἀνὴρ τάδε φάρμακ' ἀνέτλη,
ὅς κε πίηι καὶ πρῶτον ἀμείψεται ἕρκος ὀδόντων.
σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστίν.
ἦ σύ γ' Ὀδυσσεύς ἐσσι πολύτροπος, ὅν τέ μοι αἰεὶ
φάσκεν ἐλεύσεσθαι χρυσόρραπις Ἀργειφόντης,
ἐκ Τροίης ἀνιόντα θοῆι σὺν νηῒ μελαίνηι.
ἀλλ' ἄγε δὴ κολεῶι μὲν ἄορ θέο, νῶϊ δ' ἔπειτα
εὐνῆς ἡμετέρης ἐπιβήομεν, ὄφρα μιγέντε
εὐνῆι καὶ φιλότητι πεποίθομεν ἀλλήλοισιν." Kirke
"τίφθ' οὕτως, Ὀδυσεῦ, κατ' ἄρ' ἕζεαι ἶσος ἀναύδωι, 10.378
θυμὸν ἔδων, βρώμης δ' οὐχ ἅπτεαι οὐδὲ ποτῆτος;
ἦ τινά που δόλον ἄλλον ὀΐεαι· οὐδὲ τί σε χρὴ
δειδίμεν· ἤδη γάρ τοι ἀπώμοσα καρτερὸν ὅρκον." Kirke
"διογενές Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, 10.401
ἔρχεο νῦν ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσατε ἤπειρόνδε,
κτήματα δ' ἐν σπήεσσι πελάσσατε ὅπλα τε πάντα·
αὐτὸς δ' ἂψ ἰέναι καὶ ἄγειν ἐρίηρας ἑταίρους." Kirke
"διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, 10.456
μηκέτι νῦν θαλερὸν γόον ὄρνυτε· οἶδα καὶ αὐτὴ
ἠμὲν ὅσ' ἐν πόντωι πάθετ' ἄλγεα ἰχθυόεντι,
ἠδ' ὅσ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου.
ἀλλ' ἄγετ' ἐσθίετε βρώμην καὶ πίνετε οἶνον,
εἰς ὅ κεν αὖτις θυμὸν ἐνὶ στήθεσσι λάβητε,
οἷον ὅτε πρώτιστον ἐλείπετε πατρίδα γαῖαν
τρηχείης Ἰθάκης. νῦν δ' ἀσκελέες καὶ ἄθυμοι,
αἰὲν ἄλης χαλεπῆς μεμνημένοι· οὐδέ ποθ' ὑμῖν
θυμὸς ἐν εὐφροσύνηις, ἐπεὶ ἦ μάλα πολλὰ πέπασθε."
"διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, 10.488
μηκέτι νῦν ἀέκοντες ἐμῶι ἐνὶ μίμνετε οἴκωι·
ἀλλ' ἄλλην χρὴ πρῶτον ὁδὸν τελέσαι καὶ ἱκέσθαι

εἰς Ἀΐδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης,
ψυχῆι χρησομένους Θηβαίου Τειρεσίαο,
μάντιος ἀλαοῦ, τοῦ τε φρένες ἔμπεδοί εἰσιν·
τῶι καὶ τεθνηῶτι νόον πόρε Περσεφόνεια
οἴωι πεπνῦσθαι· τοὶ δὲ σκιαὶ ἀΐσσουσιν."
10.504 "διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
μή τί τοι ἡγεμόνος γε ποθὴ παρὰ νηῒ μελέσθω,
ἱστὸν δὲ στήσας ἀνά θ' ἱστία λευκὰ πετάσσας
ἧσθαι· τὴν δέ κέ τοι πνοιὴ Βορέαο φέρησιν.
ἀλλ' ὁπότ' ἂν δὴ νηῒ δι' Ὠκεανοῖο περήσηις,
ἔνθ' ἀκτή τε λάχεια καὶ ἄλσεα Περσεφονείης
μακραί τ' αἴγειροι καὶ ἰτέαι ὠλεσίκαρποι,
νῆα μὲν αὐτοῦ κέλσαι ἐπ' Ὠκεανῶι βαθυδίνηι,
αὐτὸς δ' εἰς Ἀΐδεω ἰέναι δόμον εὐρώεντα.
ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσιν
Κώκυτός θ', ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ,
πέτρη τε ξύνεσίς τε δύω ποταμῶν ἐριδούπων.
ἔνθα δ' ἔπειθ', ἥρως, χριμφθεὶς πέλας, ὥς σε κελεύω,
βόθρον ὀρύξαι ὅσον τε πυγούσιον ἔνθα καὶ ἔνθα,
ἀμφ' αὐτῶι δὲ χοὴν χεῖσθαι πᾶσιν νεκύεσσιν,
πρῶτα μελικρήτωι, μετέπειτα δὲ ἡδέϊ οἴνωι,
τὸ τρίτον αὖθ' ὕδατι· ἐπὶ δ' ἄλφιτα λευκὰ παλύνειν.
πολλὰ δὲ γουνοῦσθαι νεκύων ἀμενηνὰ κάρηνα,
ἐλθὼν εἰς Ἰθάκην στεῖραν βοῦν, ἥ τις ἀρίστη,
ῥέξειν ἐν μεγάροισι πυρήν τ' ἐμπλησέμεν ἐσθλῶν,
◆ Τειρεσίηι δ' ἀπάνευθεν ὄϊν ἱερευσέμεν οἴωι
παμμέλαν', ὃς μήλοισι μεταπρέπει ὑμετέροισιν.
αὐτὰρ ἐπὴν εὐχῆισι λίσηι κλυτὰ ἔθνεα νεκρῶν,
ἔνθ' ὄϊν ἀρνειὸν ῥέζειν θῆλύν τε μέλαιναν
εἰς Ἔρεβος στρέψας, αὐτὸς δ' ἀπονόσφι τραπέσθαι
ἱέμενος ποταμοῖο ῥοάων· ἔνθα δὲ πολλαὶ
ψυχαὶ ἐλεύσονται νεκύων κατατεθνηώτων.
δὴ τότ' ἔπειθ' ἑτάροισιν ἐποτρῦναι καὶ ἀνῶξαι
μῆλα, τὰ δὴ κατάκειτ' ἐσφαγμένα νηλέϊ χαλκῶι,
δείραντας κατακῆαι, ἐπεύξασθαι δὲ θεοῖσιν,
ἰφθίμωι τ' Ἀΐδηι καὶ ἐπαινῆι Περσεφονείηι·
αὐτὸς δὲ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
ἧσθαι, μηδὲ ἐᾶν νεκύων ἀμενηνὰ κάρηνα
αἵματος ἆσσον ἴμεν, πρὶν Τειρεσίαο πυθέσθαι.
ἔνθα τοι αὐτίκα μάντις ἐλεύσεται, ὄρχαμε λαῶν,
Kirke ὅς κέν τοι εἴπησιν ὁδὸν καὶ μέτρα κελεύθου
νόστόν θ', ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα."
12.21 "σχέτλιοι, οἳ ζώοντες ὑπήλθετε δῶμ' Ἀΐδαο,
δισθανέες, ὅτε τ' ἄλλοι ἅπαξ θνήισκουσ' ἄνθρωποι.
ἀλλ' ἄγετ' ἐσθίετε βρώμην καὶ πίνετε οἶνον
αὖθι πανημέριοι· ἅμα δ' ἠοῖ φαινομένηφιν
◆ πλεύσεσθ'· αὐτὰρ ἐγὼ δείξω ὁδὸν ἠδὲ ἕκαστα
σημανέω, ἵνα μή τι κακορραφίηι ἀλεγεινῆι
Kirke ἢ ἁλὸς ἢ ἐπὶ γῆς ἀλγήσετε πῆμα παθόντες."
12.37 "ταῦτα μὲν οὕτω πάντα πεπείρανται, σὺ δ' ἄκουσον,
ὥς τοι ἐγὼν ἐρέω, μνήσει δέ σε καὶ θεὸς αὐτός.
Σειρῆνας μὲν πρῶτον ἀφίξεαι, αἵ ῥά τε πάντας
ἀνθρώπους θέλγουσιν, ὅτίς σφεας εἰσαφίκηται.
ὅς τις ἀϊδρίηι πελάσηι καὶ φθόγγον ἀκούσηι
Σειρήνων, τῶι δ' οὔ τι γυνὴ καὶ νήπια τέκνα
οἴκαδε νοστήσαντι παρίσταται οὐδὲ γάνυνται,
ἀλλά τε Σειρῆνες λιγυρῆι θέλγουσιν ἀοιδῆι,
ἥμεναι ἐν λειμῶνι· πολὺς δ' ἀμφ' ὀστεόφιν θὶς
ἀνδρῶν πυθομένων, περὶ δὲ ῥινοὶ μινύθουσιν.
ἀλλὰ πάρεξ ἐλάαν, ἐπὶ δ' οὔατ' ἀλεῖψαι ἑταίρων
κηρὸν δεψήσας μελιηδέα, μή τις ἀκούσηι
τῶν ἄλλων· ἀτάρ αὐτὸς ἀκουέμεν αἴ κ' ἐθέληισθα,
δησάντων σ' ἐν νηῒ θοῆι χεῖράς τε πόδας τε
ὀρθὸν ἐν ἱστοπέδηι, ἐκ δ' αὐτοῦ πείρατ' ἀνήφθω,
ὄφρα κε τερπόμενος ὄπ' ἀκούσηις Σειρήνοιϊν.
εἰ δέ κε λίσσηαι ἑτάρους λῦσαί τε κελεύηις,
οἱ δέ σ' ἔτι πλεόνεσσι τότ' ἐν δεσμοῖσι διδέντων.
αὐτὰρ ἐπὴν δὴ τάς γε πάρεξ ἐλάσωσιν ἑταῖροι,
ἔνθα τοι οὐκέτ' ἔπειτα διηνεκέως ἀγορεύσω,
ὁπποτέρηι δή τοι ὁδὸς ἔσσεται, ἀλλὰ καὶ αὐτὸς
θυμῶι βουλεύειν· ἐρέω δέ τοι ἀμφοτέρωθεν.
ἔνθεν μὲν γὰρ πέτραι ἐπηρεφέες, ποτὶ δ' αὐτὰς
κῦμα μέγα ῥοχθεῖ κυανώπιδος Ἀμφιτρίτης·
Πλαγκτὰς δ' ἤτοι τάς γε θεοὶ μάκαρες καλέουσιν.
τῆι μέν τ' οὐδὲ ποτητὰ παρέρχεται οὐδὲ πέλειαι
τρήρωνες, ταί τ' ἀμβροσίην Διὶ πατρὶ φέρουσιν,
ἀλλά τε καὶ τῶν αἰεὶ ἀφαιρεῖται λὶς πέτρη·
ἀλλ' ἄλλην ἐνίησι πατὴρ ἐναρίθμιον εἶναι.
τῆι δ' οὔ πώ τις νηῦς φύγεν ἀνδρῶν, ἥ τις ἵκηται,
ἀλλά θ' ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
κύμαθ' ἁλὸς φορέουσι πυρός τ' ὀλοοῖο θύελλαι.
οἴη δὴ κείνηι γε παρέπλω ποντοπόρος νηῦς
Ἀργὼ πᾶσι μέλουσα, παρ' Αἰήταο πλέουσα.
καὶ νύ κε τήν ἔνθ' ὦκα βάλεν μεγάλας ποτὶ πέτρας,
ἀλλ' Ἥρη παρέπεμψεν, ἐπεὶ φίλος ἦεν Ἰήσων.
οἱ δὲ δύω σκόπελοι ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει
ὀξείηι κορυφῆι, νεφέλη δέ μιν ἀμφιβέβηκεν
κυανέη· τὸ μὲν οὔ ποτ' ἐρωεῖ, οὐδέ ποτ' αἴθρη
κείνου ἔχει κορυφὴν οὔτ' ἐν θέρει οὔτ' ἐν ὀπώρηι.
οὐδέ κεν ἀμβαίη βροτὸς ἀνήρ, οὐ καταβαίη,
οὐδ' εἴ οἱ χεῖρές γε ἐείκοσι καὶ πόδες εἶεν·
πέτρη γὰρ λίς ἐστι, περιξεστῆι εἰκυῖα.
μέσσωι δ' ἐν σκοπέλωι ἐστὶ σπέος ἠεροειδές,
πρὸς ζόφον εἰς Ἔρεβος τετραμμένον, ἧι περ ἂν ὑμεῖς
νῆα παρὰ γλαφυρὴν ἰθύνετε, φαίδιμ' Ὀδυσσεῦ.
οὐδέ κεν ἐκ νηὸς γλαφυρῆς αἰζήϊος ἀνὴρ
τόξωι ὀϊστεύσας κοῖλον σπέος εἰσαφίκοιτο.
ἔνθα δ' ἐνὶ Σκύλλη ναίει δεινὸν λελακυῖα·
τῆς ἤτοι φωνὴ μὲν ὅση σκύλακος νεογιλλῆς
γίγνεται, αὐτὴ δ' αὖτε πέλωρ κακόν· οὐδέ κέ τίς μιν

γηθήσειεν ἰδών, οὐδ᾽ εἰ θεὸς ἀντιάσειεν.
τῆς ἤτοι πόδες εἰσὶ δυώδεκα πάντες ἄωροι,
ἓξ δέ τέ οἱ δειραὶ περιμήκεες, ἐν δὲ ἑκάστηι
σμερδαλέη κεφαλή, ἐν δὲ τρίστοιχοι ὀδόντες,
πυκνοὶ καὶ θαμέες, πλεῖοι μέλανος θανάτοιο.
μέσση μέν τε κατὰ σπείους κοίλοιο δέδυκεν,
ἔξω δ᾽ ἐξίσχει κεφαλὰς δεινοῖο βερέθρου,
αὐτοῦ δ᾽ ἰχθυάαι, σκόπελον περιμαιμώωσα,
δελφῖνάς τε κύνας τε καὶ εἴ ποθι μεῖζον ἕλησιν
κῆτος, ἃ μυρία βόσκει ἀγάστονος Ἀμφιτρίτη.
τῆι δ᾽ οὔ πώ_ποτε ναῦται ἀκήριοι εὐχετόωνται
παρφυγέειν σὺν νηΐ· φέρει δέ τε κρατὶ ἑκάστωι
φῶτ᾽ ἐξαρπάξασα νεὸς κυανοπρώιροιο.
τὸν δ᾽ ἕτερον σκόπελον χθαμαλώτερον ὄψει, Ὀδυσσεῦ,
πλησίον ἀλλήλων· καί κεν διοϊστεύσειας.
✦ τῶι δ᾽ ἐν ἐρινεός ἐστι μέγας, φύλλοισι τεθηλώς·
τῶι δ᾽ ὕπο δῖα Χάρυβδις ἀναρρυβδεῖ μέλαν ὕδωρ.
τρὶς μὲν γάρ τ᾽ ἀνίησιν ἐπ᾽ ἤματι, τρὶς δ᾽ ἀναρυβδεῖ,
δεινόν· μὴ σύ_γε κεῖθι τύχοις, ὅτε ῥοιβδήσειεν·
οὐ γάρ κεν ῥύσαιτό σ᾽ ὑπεκ κακοῦ οὐδ᾽ Ἐνοσίχθων.
ἀλλὰ μάλα Σκύλλης σκοπέλωι πεπλημένος ὦκα
Kirke νῆα πάρεξ ἐλάαν, ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν
ἓξ ἑτάρους ἐν νηῒ ποθήμεναι ἢ ἅμα πάντας."
12.116 "σχέτλιε, καὶ δὴ αὖ τοι πολεμήϊα ἔργα μέμηλεν
καὶ πόνος· οὐδὲ θεοῖσιν ὑπείξεαι ἀθανάτοισιν;
ἡ δέ τοι οὐ θνητή, ἀλλ᾽ ἀθάνατον κακόν ἐστιν,
δεινόν τ᾽ ἀργαλέον τε καὶ ἄγριον οὐδὲ μαχητόν·
οὐδέ τις ἔστ᾽ ἀλκή· φυγέειν κάρτιστον ἀπ᾽ αὐτῆς.
ἢν γὰρ δηθύνησθα κορυσσόμενος παρὰ πέτρηι,
δείδω μή σ᾽ ἐξαῦτις ἐφορμηθεῖσα κίχησιν
τόσσῃσιν κεφαλῇσι, τόσους δ᾽ ἐκ φῶτας ἕληται.
ἀλλὰ μάλα σφοδρῶς ἐλάαν, βωστρεῖν δὲ Κράταιϊν,
μητέρα τῆς Σκύλλης, ἥ μιν τέκε πῆμα βροτοῖσιν·
ἥ μιν ἔπειτ᾽ ἀποπαύσει ἐς ὕστερον ὁρμηθῆναι.
Θρινακίην δ᾽ ἐς νῆσον ἀφίξεαι· ἔνθα δὲ πολλαὶ
βόσκοντ᾽ Ἠελίοιο βόες καὶ ἴφια μῆλα,
ἑπτὰ βοῶν ἀγέλαι, τόσα δ᾽ οἰῶν πώεα καλά,
πεντήκοντα δ᾽ ἕκαστα· γόνος δ᾽ οὐ γίνεται αὐτῶν,
οὐδέ_ποτε φθινύθουσι. θεαὶ δ᾽ ἐπὶ_ποιμένες εἰσὶν,
νύμφαι ἐϋπλόκαμοι, Φαέθουσά τε Λαμπετίη τε,
ἃς τέκεν Ἠελίωι Ὑπερίονι δῖα Νέαιρα.
τὰς μὲν ἄρα θρέψασα τεκοῦσά τε πότνια μήτηρ
Θρινακίην ἐς νῆσον ἀπώικισε τηλόθι ναίειν,
μῆλα φυλασσέμεναι πατρώϊα καὶ ἕλικας βοῦς.
τὰς εἰ μέν κ᾽ ἀσινέας ἐάαις νόστου τε μέδηαι,
ἦ τ᾽ ἂν ἔτ᾽ εἰς Ἰθάκην κακά περ πάσχοντες ἵκοισθε·
Kirke ✦ εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ᾽ ὄλεθρον."

Notes

Notes

ODYSSEY ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 531 lines 3.0

THE SPOKEN LINES OF THE SUITORS OF PENELOPE IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.384 “Τηλέμαχ’, ἦ μάλα δή σε διδάσκουσιν θεοὶ αὐτοὶ
ὑψαγόρην τ’ ἔμεναι καὶ θαρσαλέως ἀγορεύειν.
μὴ σέ_γ’ ἐν ἀμφιάλωι Ἰθάκηι βασιλῆα Κρονίων
Antinoos ποιήσειεν, ὅ τοι γενεῆι πατρώϊόν ἐστιν.”
1.400 “Τηλέμαχ’, ἤτοι ταῦτα θεῶν ἐν γούνασι κεῖται,
ὅς_τις ἐν ἀμφιάλωι Ἰθάκηι βασιλεύσει Ἀχαιῶν·
κτήματα δ’ αὐτὸς ἔχοις καὶ δώμασι σοῖσιν ἀνάσσοις.
μὴ γὰρ ὅ_γ’ ἔλθοι ἀνὴρ ὅς_τίς σ’ ἀέκοντα βίηφιν
κτήματ’ ἀπορραίσει’, Ἰθάκης ἔτι ναιεταώσης.
ἀλλ’ ἐθέλω σε, φέριστε, περὶ ξείνοιο ἐρέσθαι,
ὁππόθεν οὗτος ἀνήρ, ποίης δ’ ἐξ εὔχεται εἶναι
γαίης, ποῦ δέ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα·
Eury- ἠέ τιν’ ἀγγελίην πατρὸς φέρει ἐρχομένοιο,
machos ἦ ἑὸν αὐτοῦ χρεῖος ἐελδόμενος τόδ’ ἱκάνει;
οἷον ἀναΐξας ἄφαρ οἴχεται, οὐδ’ ὑπέμεινεν
γνώμεναι· οὐ μὲν γάρ τι κακῶι εἰς ὦπα ἐώικει.”
2.85 “Τηλέμαχ’ ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες
ἡμέας αἰσχύνων, ἐθέλοις δέ κε μῶμον ἀνάψαι.
σοὶ δ’ οὔ_τι μνηστῆρες Ἀχαιῶν αἴτιοί εἰσιν,
ἀλλὰ φίλη μήτηρ, ἥ τοι περὶ κέρδεα οἶδεν.
ἤδη γὰρ τρίτον ἐστὶν ἔτος, τάχα δ’ εἶσι τέταρτον,
ἐξ οὗ ἀτέμβει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
πάντας μέν ῥ’ ἔλπει καὶ ὑπίσχεται ἀνδρὶ ἑκάστωι,
ἀγγελίας προϊεῖσα· νόος δέ οἱ ἄλλα μενοινᾶι.
ἡ δὲ δόλον τόνδ’ ἄλλον ἐνὶ φρεσὶ μερμήριξεν·
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινεν,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ’ ἡμῖν μετέειπεν·
‘κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
μίμνετ’ ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς_ὅ κε φᾶρος
ἐκτελέσω — μή μοι μεταμώνια νήματ’ ὄληται —
◆ Λαέρτηι ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
Μοῖρ’ ὀλοὴ καθέλησι τανηλεγέος θανάτοιο,
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσηι,
αἴ κεν ἄτερ σπείρου κεῖται πολλὰ κτεατίσσας.’
ὣς ἔφαθ’, ἡμῖν δ’ αὖτ’ ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστόν,
νύκτας δ’ ἀλλύεσκεν, ἐπεὶ δαΐδας παραθεῖτο.
ὣς τρίετες μὲν ἔληθε δόλωι καὶ ἔπειθεν Ἀχαιούς·
ἀλλ’ ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι,
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ἤιδει,
καὶ τήν_γ’ ἀλλύουσαν ἐφηύρομεν ἀγλαὸν ἱστόν.
ὣς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ’ ὑπ’ ἀνάγκης·
σοὶ δ’ ὧδε μνηστῆρες ὑποκρίνονται, ἵν’ εἰδῆις
αὐτὸς σῶι θυμῶι, εἰδῶσι δὲ πάντες Ἀχαιοί·
μητέρα σὴν ἀπόπεμψον, ἄνωχθι δέ μιν γαμέεσθαι
τῶι ὅτεώι τε πατὴρ κέλεται καὶ ἁνδάνει αὐτῆι.
εἰ δ’ ἔτ’ ἀνιήσει γε πολὺν χρόνον υἷας Ἀχαιῶν
τὰ φρονέουσ’ ἀνὰ θυμὸν ἅ οἱ περὶ δῶκεν Ἀθήνη,
ἔργα τ’ ἐπίστασθαι περικαλλέα καὶ φρένας ἐσθλὰς
κέρδεά θ’, οἷ’ οὔ_πώ τιν’ ἀκούομεν οὐδὲ παλαιῶν,
τάων αἳ πάρος ἦσαν ἐϋπλοκαμῖδες Ἀχαιαί,
Τυρώ τ’ Ἀλκμήνη τε ἐϋστέφανός τε Μυκήνη·
τάων οὔ_τις ὁμοῖα νοήματα Πηνελοπείηι
ἤιδη· ἀτὰρ μὲν τοῦτό γ’ ἐναίσιμον οὐκ ἐνόησεν.
τόφρα γὰρ οὖν βίοτόν τε τεὸν καὶ κτήματα ἔδονται,
ὄφρα κε κείνη τοῦτον ἔχηι νόον, ὅν_τινά οἱ νῦν
ἐν στήθεσσι τιθεῖσι θεοί· μέγα μὲν κλέος αὐτῆι
ποιεῖτ’, αὐτὰρ σοί_γε ποθὴ πολέος βιότοιο·
ἡμεῖς δ’ οὔτ’ ἐπὶ ἔργα πάρος γ’ ἴμεν οὔτέ πηι ἄλληι,
πρίν γ’ αὐτὴν γήμασθαι Ἀχαιῶν ὧι κ’ ἐθέληισιν.” Antinoos
“ὦ γέρον, εἰ δ’ ἄγε νῦν μαντεύεο σοῖσι τέκεσσιν 2.178
οἴκαδ’ ἰών, μή πού τι κακὸν πάσχωσιν ὀπίσσω·
ταῦτα δ’ ἐγὼ σέο πολλὸν ἀμείνων μαντεύεσθαι.
ὄρνιθες δέ τε πολλοὶ ὑπ’ αὐγὰς ἠελίοιο
φοιτῶσ’, οὐδέ τε πάντες ἐναίσιμοι· αὐτὰρ Ὀδυσσεὺς
ὤλετο τῆλ’, ὡς καὶ σὺ καταφθίσθαι σὺν ἐκείνωι
ὤφελες· οὐκ ἂν τόσσα θεοπροπέων ἀγόρευες,
οὐδέ κε Τηλέμαχον κεχολωμένον ὧδ’ ἀνιείης,
σῶι οἴκωι δῶρον ποτιδέγμενος, αἴ κε πόρηισιν.
ἀλλ’ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
αἴ κε νεώτερον ἄνδρα παλαιά τε πολλά τε εἰδὼς
παρφάμενος ἐπέεσσιν ἐποτρύνηις χαλεπαίνειν,
αὐτῶι μέν οἱ πρῶτον ἀνιηρέστερον ἔσται,
πρῆξαι δ’ ἔμπης οὔ τι δυνήσεται εἵνεκα τῶν_γε·
σοὶ δέ, γέρον, θωὴν ἐπιθήσομεν ἥν κ’ ἐνὶ θυμῶι
τίνων ἀσχάλληις· χαλεπὸν δέ τοι ἔσσεται ἄλγος.
Τηλεμάχωι δ’ ἐν πᾶσιν ἐγὼν ὑποθήσομαι αὐτός·
μητέρ’ ἑὴν ἐς πατρὸς ἀνωγέτω ἀπονέεσθαι·
οἱ δὲ γάμον τεύξουσι καὶ ἀρτυνέουσιν ἔεδνα
πολλὰ μάλ’, ὅσσα ἔοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι.
οὐ γὰρ πρὶν παύσεσθαι ὀΐομαι υἷας Ἀχαιῶν
μνηστύος ἀργαλέης, ἐπεὶ οὔ_τινα δείδιμεν ἔμπης,
οὔτ’ οὖν Τηλέμαχον, μάλα περ πολύμυθον ἐόντα·
οὔτε θεοπροπίης ἐμπαζόμεθ’, ἣν σύ, γεραιέ,
μυθέαι ἀκράαντον, ἀπεχθάνεαι δ’ ἔτι μᾶλλον.
χρήματα δ’ αὖτε κακῶς βεβρώσεται, οὐδέ ποτ’ ἶσα
ἔσσεται, ὄφρα κεν ἥ_γε διατρίβηισιν Ἀχαιοὺς
ὃν γάμον· ἡμεῖς δ’ αὖ ποτιδέγμενοι ἤματα πάντα
εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν, οὐδὲ μετ’ ἄλλας Eury-
ἐρχόμεθ’, ἃς ἐπιεικὲς ὀπυιέμεν ἐστὶν ἑκάστωι.” machos
“Μέντορ ἀταρτηρέ, φρένας ἠλεέ, ποῖον ἔειπες 2.243
ἡμέας ὀτρύνων καταπαυέμεν. ἀργαλέον δὲ
ἀνδράσι καὶ πλεόνεσσι μαχέσσασθαι περὶ δαιτί.
εἴ_περ γάρ κ’ Ὀδυσεὺς Ἰθακήσιος αὐτὸς ἐπελθὼν
δαινυμένους κατὰ δῶμα ἑὸν μνηστῆρας ἀγαυοὺς
ἐξελάσαι μεγάροιο μενοινήσει’ ἐνὶ θυμῶι,
οὔ κέν οἱ κεχάροιτο γυνή, μάλα περ χατέουσα,
ἐλθόντ’, ἀλλά κεν αὐτοῦ ἀεικέα πότμον ἐπίσποι,
εἰ πλεόνεσσι μάχοιτο· σὺ δ’ οὐ κατὰ μοῖραν ἔειπες.
ἀλλ’ ἄγε, λαοὶ μὲν σκίδνασθ’ ἐπὶ ἔργα ἕκαστος,

τούτωι δ' ὀτρυνέει Μέντωρ ὁδὸν ἠδ' Ἀλιθέρσης,
οἵ τέ οἱ ἐξ ἀρχῆς πατρώϊοι εἰσιν ἑταῖροι.
Leo- ἀλλ', ὀΐω, καὶ δηθὰ καθήμενος ἀγγελιάων
kritos πεύσεται εἰν Ἰθάκηι, τελέει δ' ὁδὸν οὔ ποτε ταύτην."
2.303 "Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, μή τί τοι ἄλλο
ἐν στήθεσσι κακὸν μελέτω ἔργον τε ἔπος τε,
ἀλλά μοι ἐσθιέμεν καὶ πινέμεν, ὡς τὸ πάρος περ.
ταῦτα δέ τοι μάλα πάντα τελευτήσουσιν Ἀχαιοί,
νῆα καὶ ἐξαίτους ἐρέτας, ἵνα θᾶσσον ἵκηαι
Antinoos ἐς Πύλον ἠγαθέην μετ' ἀγαυοῦ πατρὸς ἀκουήν."
4.642 "νημερτές μοι ἔνισπε, πότ' ᾤχετο καὶ τίνες αὐτῶι
κοῦροι ἕποντ'; Ἰθάκης ἐξαίρετοι, ἦ ἑοὶ αὐτοῦ
θῆτές τε δμῶές τε; δύναιτό κε καὶ τὸ τελέσσαι.
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Anti- ἤ σε βίηι ἀέκοντος ἀπηύρα νῆα μέλαιναν,
noos ✦ ἦε ἑκών οἱ δῶκας, ἐπεὶ προσπτύξατο μύθωι."
4.663 "ὢ πόποι, ἦ μέγα ἔργον ὑπερφιάλως ἐτελέσθη
Τηλεμάχωι ὁδὸς ἥδε· φάμεν δέ οἱ οὐ τελέεσθαι.
ἐκ τοσσῶν δ' ἀέκητι νέος παῖς οἴχεται αὔτως,
νῆα ἐρυσσάμενος, κρίνας τ' ἀνὰ δῆμον ἀρίστους.
ἄρξει καὶ προτέρω κακὸν ἔμμεναι· ἀλλά οἱ αὐτῶι
Ζεὺς ὀλέσειε βίην, πρὶν ἡμῖν πῆμα φυτεῦσαι.
ἀλλ' ἄγ' ἐμοὶ δότε νῆα θοὴν καὶ εἴκοσ' ἑταίρους,
ὄφρα μιν αὐτὸν ἰόντα λοχήσομαι ἠδὲ φυλάξω
ἐν πορθμῶι Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης,
Antinoos ὡς ἂν ἐπισμυγερῶς ναυτίλλεται εἵνεκα πατρός."
4.774 "δαιμόνιοι, μύθους μὲν ὑπερφιάλους ἀλέασθε
πάντας ὁμῶς, μή πού τις ἀπαγγείλησι καὶ εἴσω.
ἀλλ' ἄγε σιγῆι τοῖον ἀναστάντες τελέωμεν
Antinoos μῦθον, ὃ δὴ καὶ πᾶσιν ἐνὶ φρεσὶν ἤραρεν ἡμῖν."
16.346 ✦ "ὦ φίλοι, ἦ μέγα ἔργον ὑπερφιάλως τετέλεσται.
Τηλεμάχωι ὁδὸς ἥδε· φάμεν δέ οἱ οὐ τελέεσθαι.
Eury- ἀλλ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν, ἥ τις ἀρίστη,
machos ἐς δ' ἐρέτας ἁλιῆας ἀγείρομεν, οἵ κε τάχιστα
κείνοις ἀγγείλωσι θοῶς οἶκόνδε νέεσθαι."
16.355 "μή τιν' ἔτ' ἀγγελίην ὀτρύνομεν· οἵδε γὰρ ἔνδον.
Amphi- ἤ τίς σφιν τόδ' ἔειπε θεῶν, ἢ εἴσιδον αὐτοὶ
nomos νῆα παρερχομένην, τὴν δ' οὐκ ἐδύναντο κιχῆναι."
16.364 "ὢ πόποι, ὡς τόνδ' ἄνδρα θεοὶ κακότητος ἔλυσαν.
ἤματα μὲν σκοποὶ ἷζον ἐπ' ἄκριας ἠνεμοέσσας
αἰὲν ἐπασσύτεροι· ἅμα δ' ἠελίωι καταδύντι
οὔ ποτ' ἐπ' ἠπείρου νύκτ' ἄσαμεν, ἀλλ' ἐνὶ πόντωι
νηῒ θοῆι πλείοντες ἐμίμνομεν Ἠῶ δῖαν,
Τηλέμαχον λοχόωντες, ἵνα φθείσωμεν ἑλόντες
αὐτόν· τὸν δ' ἄρα τεῖος ἀπήγαγεν οἴκαδε δαίμων,
ἡμεῖς δ' ἐνθάδε οἱ φραζώμεθα λυγρὸν ὄλεθρον
Τηλεμάχωι, μηδ' ἧμας ὑπεκφύγοι· οὐ γὰρ ὀΐω
τούτου γε ζώοντος ἀνύσσεσθαι τάδε ἔργα.
αὐτὸς μὲν γὰρ ἐπιστήμων βουλῆι τε νόωι τε,
λαοὶ δ' οὐκέτι πάμπαν ἐφ' ἡμῖν ἦρα φέρουσιν.
ἀλλ' ἄγετε, πρὶν κεῖνον ὁμηγυρίσασθαι Ἀχαιοὺς
εἰς ἀγορήν — οὐ γάρ τι μεθησέμεναί μιν ὀΐω,
ἀλλ' ἀπομηνίσει, ἐρέει δ' ἐν πᾶσιν ἀναστὰς
οὕνεκά οἱ φόνον αἰπὺν ἐράπτομεν οὐδ' ἐκίχημεν·
οἱ δ' οὐκ αἰνήσουσιν ἀκούοντες κακὰ ἔργα.
μή τι κακὸν ῥέξωσι καὶ ἡμέας ἐξελάσωσιν
γαίης ἡμετέρης, ἄλλων δ' ἀφικώμεθα δῆμον —
ἀλλὰ φθέωμεν ἑλόντες ἐπ' ἀγροῦ νόσφι πόληος
ἢ ἐν ὁδῶι· βίοτον δ' αὐτοὶ καὶ κτήματ' ἔχωμεν,
δασσάμενοι κατὰ μοῖραν ἐφ' ἡμέας, οἰκία δ' αὖτε
κείνου μητέρι δοῖμεν ἔχειν ἠδ' ὅς τις ὀπυίοι.
εἰ δ' ὑμῖν ὅδε μῦθος ἀφανδάνει, ἀλλὰ βόλεσθε
αὐτόν τε ζώειν καὶ ἔχειν πατρώϊα πάντα,
μή οἱ χρήματ' ἔπειτα ἅλις θυμηδέ' ἔδωμεν
ἐνθάδ' ἀγειρόμενοι, ἀλλ' ἐκ μεγάροιο ἕκαστος
μνάσθω ἐέδνοισιν διζήμενος· ἡ δέ κ' ἔπειτα
γήμαιθ' ὅς κε πλεῖστα πόροι καὶ μόρσιμος ἔλθοι." Antinoos
"ὦ φίλοι, οὐκ ἂν ἐγώ γε κατακτείνειν ἐθέλοιμι 16.400
Τηλέμαχον· δεινὸν δὲ γένος βασιλήιον ἐστιν
κτείνειν· ἀλλὰ πρῶτα θεῶν εἰρώμεθα βουλάς.
εἰ μέν κ' αἰνήσωσι Διὸς μεγάλοιο θέμιστες,
αὐτός τε κτενέω τούς τ' ἄλλους πάντας ἀνώξω· Amphi-
εἰ δέ κ' ἀποτρωπῶσι θεοί, παύσασθαι ἄνωγα." nomos
"κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια, 16.435
θάρσει· μή τοι ταῦτα μετὰ φρεσὶ σῆισι μελόντων.
οὐκ ἔσθ' οὗτος ἀνὴρ οὐδ' ἔσσεται οὐδὲ γένηται,
ὅς κεν Τηλεμάχωι σῶι υἱέϊ χεῖρας ἐποίσει
ζώοντός γ' ἐμέθεν καὶ ἐπὶ χθόνι δερκομένοιο.
ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·
αἶψά οἱ αἷμα κελαινὸν ἐρωήσει περὶ δουρὶ
ἡμετέρωι, ἐπεὶ ἦ καὶ ἐμὲ πτολίπορθος Ὀδυσσεὺς
πολλάκι γούνασιν οἷσιν ἐφεσσάμενος κρέας ὀπτὸν
ἐν χείρεσσιν ἔθηκεν, ἐπέσχε τε οἶνον ἐρυθρόν.
τῶι μοι Τηλέμαχος πάντων πολὺ φίλτατός ἐστιν
ἀνδρῶν, οὐδέ τί μιν θάνατον τρομέεσθαι ἄνωγα Eury-
ἔκ γε μνηστήρων· θεόθεν δ' οὐκ ἔστ' ἀλέασθαι." machos
"ὦ ἀρίγνωτε συβῶτα, τίη δὲ σὺ τόνδε πόλινδε 17.375
ἤγαγες; ἦ οὐχ ἅλις ἡμὶν ἀλήμονές εἰσι καὶ ἄλλοι,
πτωχοὶ ἀνιηροί, δαιτῶν ἀπολυμαντῆρες;
ἦ ὄνοσαι ὅτι τοι βίοτον κατέδουσιν ἄνακτος
ἐνθάδ' ἀγειρόμενοι, σὺ δὲ καὶ προτὶ τόνδ' ἐκάλεσσας;" Antinoos
"Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες; ✦ 17.406
εἴ οἱ τόσσον πάντες ὀρέξειαν μνηστῆρες,
καί κέν μιν τρεῖς μῆνας ἀπόπροθεν οἶκος ἐρύκοι." Antinoos
"τίς δαίμων τόδε πῆμα προσήγαγε, δαιτὸς ἀνίην; 17.446
στῆθ' οὕτως ἐς μέσσον, ἐμῆς ἀπάνευθε τραπέζης,
μὴ τάχα πικρὴν Αἴγυπτον καὶ Κύπρον ἵκηαι·
ὥς τις θαρσαλέος καὶ ἀναιδής ἐσσι προΐκτης.
ἑξείης πάντεσσι παρίστασαι· οἱ δὲ διδοῦσιν
μαψιδίως, ἐπεὶ οὔ τις ἐπίσχεσις οὐδ' ἐλεητὺς

Antinoos ἀλλοτρίων χαρίσασθαι, ἐπεὶ πάρα πολλὰ ἑκάστωι."
17.460 "νῦν δή σ' οὐκέτι καλὰ διὲκ μεγάροιο γ' ὀΐω
Antinoos ἂψ ἀναχωρήσειν, ὅ_τε δὴ καὶ ὀνείδεα βάζεις."
17.468 "κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
οὐ μὰν οὔτ' ἄχος ἐστὶ μετὰ φρεσὶν οὔτέ τι πένθος,
ὁππότ' ἀνὴρ περὶ οἷσι μαχειόμενος κτεάτεσσιν
βλήεται, ἢ περὶ βουσὶν ἢ ἀργεννῇς ὀΐεσσιν·
αὐτὰρ ἔμ' Ἀντίνοος βάλε γαστέρος εἵνεκα λυγρῆς,
οὐλομένης, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσιν.
ἀλλ' εἴ που πτωχῶν γε θεοὶ καὶ Ἐρινύες εἰσὶν,
Antinoos Ἀντίνοον πρὸ γάμοιο τέλος θανάτοιο κιχείη."
17.483 "Ἀντίνο', οὐ μὲν κάλ' ἔβαλες δύστηνον ἀλήτην.
οὐλόμεν', εἰ δή πού τις ἐπουράνιος θεός ἐστιν.
καί τε θεοί ξείνοισιν ἐοικότες ἀλλοδαποῖσιν,
παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας,
τις ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες."
18.36 "ὦ φίλοι, οὐ μέν πώ τι πάρος τοιοῦτον ἐτύχθη,
οἵην τερπωλὴν θεὸς ἤγαγεν ἐς τόδε δῶμα.
οἱ δ’ οἶοι λείπονται ἐπὶ πρώτηισι θύρηισιν.
τῶι νῦν μὴ ἅμα πάντες ἐφίετε δούρατα μακρά,
ἀλλ’ ἄγεθ’ οἱ ἓξ πρῶτον ἀκοντίσατ’, αἴ κέ ποθι Ζεὺς
Age- δώηι Ὀδυσσῆα βλῆσθαι καὶ κῦδος ἀρέσθαι.
leos τῶν δ’ ἄλλων οὐ κῆδος, ἐπὴν οὗτός γε πέσηισιν.”

“ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίωι **20.322**
ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι·
μήτέ τι τὸν ξεῖνον στυφελίζετε μήτε τιν’ ἄλλον
δμώων, οἳ κατὰ δώματ’ Ὀδυσσῆος θείοιο.
Τηλεμάχωι δέ κε μῦθον ἐγὼ καὶ μητέρι φαίην
ἤπιον, εἴ σφωϊν κραδίηι ἄδοι ἀμφοτέροιϊν.
ὄφρα μὲν ὑμῖν θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
νοστήσειν Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε,
τόφρ’ οὔ τις νέμεσις μενέμεν τ’ ἦν ἰσχέμεναί τε
μνηστῆρας κατὰ δώματ’, ἐπεὶ τόδε κέρδιον ἦεν,
εἰ νόστησ’ Ὀδυσεὺς καὶ ὑπότροπος ἵκετο δῶμα·
νῦν δ’ ἤδη τόδε δῆλον, ὅ τ’ οὐκέτι νόστιμός ἐστιν.
ἀλλ’ ἄγε, σῆι τάδε μητρὶ παρεζόμενος κατάλεξον,
γήμασθ’ ὅς τις ἄριστος ἀνὴρ καὶ πλεῖστα πόρηισιν,
ὄφρα σὺ μὲν χαίρων πατρώϊα πάντα νέμηαι **Age-**
ἔσθων καὶ πίνων, ἡ δ’ ἄλλου δῶμα κομίζηι.” **laos**
“Μέντορ, μή σ’ ἐπέεσσι παραιπεπίθησιν Ὀδυσσεὺς **22.213**
μνηστήρεσσι μάχεσθαι, ἀμυνέμεναι δὲ οἱ αὐτῶι.
ὧδε γὰρ ἡμέτερόν γε νόον τελέεσθαι ὀΐω·
ὁππότε κεν τούτους κτέωμεν, πατέρ’ ἠδὲ καὶ υἱόν,
ἐν δὲ σὺ τοῖσιν ἔπειτα πεφήσεαι, οἷα μενοινᾶις
ἔρδειν ἐν μεγάροις· σῶι δ’ αὐτοῦ κράατι τείσεις.
αὐτὰρ ἐπὴν ὑμέων γε βίας ἀφελώμεθα χαλκῶι,
κτήμαθ’ ὁπόσσα τοί ἐστι, τά τ’ ἔνδοθι καὶ τὰ θύρηφιν,
τοῖσιν Ὀδυσσῆος μεταμείξομεν· οὐδέ τοι υἷας
ζώειν ἐν μεγάροισιν ἐάσομεν, οὐδὲ θύγατρας **Age-**
οὐδ’ ἄλοχον κεδνὴν Ἰθάκης κατὰ ἄστυ πολεύειν.” **laos**

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 70 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF (DEAD SUITOR OF PEN.) AMPHIMEDON IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

24.121 “Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
μέμνημαι τάδε πάντα, διοτρεφές, ὡς ἀγορεύεις·
σοὶ δ’ ἐγὼ εὖ μάλα πάντα καὶ ἀτρεκέως καταλέξω,
ἡμετέρου θανάτοιο κακὸν τέλος, οἷον ἐτύχθη.
μνώμεθ’ Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα·
ἡ δ’ οὔτ’ ἠρνεῖτο στυγερὸν γάμον οὔτ’ ἐτελεύτα,
ἡμῖν φραζομένη θάνατον καὶ κῆρα μέλαιναν.
ἀλλὰ δόλον τόνδ’ ἄλλον ἐνὶ φρεσὶ μερμήριξεν·
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινεν,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ’ ἡμῖν μετέειπεν·
‘κοῦροι ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
μίμνετ’ ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
ἐκτελέσω — μή μοι μεταμώνια νήματ’ ὄληται —
Λαέρτηι ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
Μοῖρ’ ὀλοὴ καθέλησι τανηλεγέος θανάτοιο,
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσηι,
αἴ κεν ἄτερ σπείρου κεῖται πολλὰ κτεατίσσας.’
ὣς ἔφαθ’, ἡμῖν δ’ αὖτ’ ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστόν,
νύκτας δ’ ἀλλύεσκεν, ἐπεὶ δαΐδας παραθεῖτο.
ὣς τρίετες μὲν ἔληθε δόλωι καὶ ἔπειθεν Ἀχαιούς·
ἀλλ’ ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι,
μηνῶν φθινόντων, περὶ δ’ ἤματα πάντ’ ἐτελέσθη,
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ἤιδει,
καὶ τήν γ’ ἀλλύουσαν ἐφηύρομεν ἀγλαὸν ἱστόν.
ὣς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ’, ὑπ’ ἀνάγκης.
εὖθ’ ἡ φᾶρος ἔδειξεν, ὑφήνασα μέγαν ἱστόν,
πλύνασ’, ἠελίωι ἐναλίγκιον ἠὲ σελήνηι,
καὶ τότε δή ῥ’ Ὀδυσῆα κακός ποθεν ἤγαγε δαίμων
ἀγροῦ ἐπ’ ἐσχατιήν, ὅθι δώματα ναῖε συβώτης.
ἔνθ’ ἦλθεν φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
ἐκ Πύλου ἠμαθόεντος ἰὼν σὺν νηῒ μελαίνηι·
τὼ δὲ μνηστῆρσιν θάνατον κακὸν ἀρτύναντε
ἵκοντο προτὶ ἄστυ περικλυτόν, ἤτοι Ὀδυσσεὺς
ὕστερος, αὐτὰρ Τηλέμαχος πρόσθ’ ἡγεμόνευεν.
τὸν δὲ συβώτης ἦγε κακὰ χροῒ εἵματ’ ἔχοντα,
πτωχῶι λευγαλέωι ἐναλίγκιον ἠδὲ γέροντι
σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο·
οὐδέ τις ἡμείων δύνατο γνῶναι τὸν ἐόντα
ἐξαπίνης προφανέντ’, οὐδ’ οἳ προγενέστεροι ἦσαν,
ἀλλ’ ἔπεσίν τε κακοῖσιν ἐνίσσομεν ἠδὲ βολῆισιν.
αὐτὰρ ὁ τέως ἐτόλμα ἐνὶ μεγάροισιν ἑοῖσιν
βαλλόμενος καὶ ἐνισσόμενος τετληότι θυμῶι·
ἀλλ’ ὅτε δή μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο,
σὺν μὲν Τηλεμάχωι περικαλλέα τεύχε’ ἀείρας
ἐς θάλαμον κατέθηκε, καὶ ἐκλήϊσεν ὀχῆας·
αὐτὰρ ὁ ἣν ἄλοχον πολυκερδείηισιν ἄνωγεν
τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον,
ἡμῖν αἰνομόροισιν ἀέθλια καὶ φόνου ἀρχήν.
οὐδέ τις ἡμείων δύνατο κρατεροῖο βιοῖο
νευρὴν ἐντανύσαι, πολλὸν δ’ ἐπιδευέες ἦμεν.
ἀλλ’ ὅτε χεῖρας ἵκανεν Ὀδυσσῆος μέγα τόξον,
ἔνθ’ ἡμεῖς μὲν πάντες ὁμοκλέομεν ἐπέεσσιν
τόξον μὴ δόμεναι, μηδ’ εἰ μάλα πόλλ’ ἀγορεύοι·
Τηλέμαχος δέ μιν οἶος ἐποτρύνων ἐκέλευσεν.
αὐτὰρ ὁ δέξατο χειρὶ πολύτλας δῖος Ὀδυσσεύς,
ῥηϊδίως δ’ ἐτάνυσσε βιόν, διὰ δ’ ἧκε σιδήρου.
στῆ δ’ ἄρ’ ἐπ’ οὐδὸν ἰών, ταχέας δ’ ἐκχεύατ’ ὀϊστοὺς
δεινὸν παπταίνων, βάλε δ’ Ἀντίνοον βασιλῆα.
αὐτὰρ ἔπειτ’ ἄλλοις ἐφίει βέλεα στονόεντα,
ἄντα τιτυσκόμενος· τοὶ δ’ ἀγχηστῖνοι ἔπιπτον.
γνωτὸν δ’ ἦν ὅ ῥά τίς σφι θεῶν ἐπιτάρροθος ἦεν·
αὐτίκα γὰρ κατὰ δώματ’ ἐπισπόμενοι μένεϊ σφῶι
κτεῖνον ἐπιστροφάδην, τῶν δὲ στόνος ὤρνυτ’ ἀεικὴς
κράτων τυπτομένων, δάπεδον δ’ ἅπαν αἵματι θῦεν.
ὣς ἡμεῖς, Ἀγάμεμνον, ἀπωλόμεθ’, ὧν ἔτι καὶ νῦν
σώματ’ ἀκηδέα κεῖται ἐνὶ μεγάροις Ὀδυσῆος·
οὐ γάρ πω ἴσασι φίλοι κατὰ δώμαθ’ ἑκάστου, **Amphi-**
οἵ κ’ ἀπονίψαντες μέλανα βρότον ἐξ ὠτειλέων **medon**
κατθέμενοι γοάοιεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων.”

24.121 "Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
μέμνημαι τάδε πάντα, διοτρεφές, ὡς ἀγορεύεις·
σοὶ δ' ἐγὼ εὖ μάλα πάντα καὶ ἀτρεκέως καταλέξω,
ἡμετέρου θανάτοιο κακὸν τέλος, οἷον ἐτύχθη.
μνώμεθ' Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα·
ἡ δ' οὔτ' ἠρνεῖτο στυγερὸν γάμον οὔτ' ἐτελεύτα,
ἡμῖν φραζομένη θάνατον καὶ κῆρα μέλαιναν.
ἀλλὰ δόλον τόνδ' ἄλλον ἐνὶ φρεσὶ μερμήριξεν·
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινεν,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' ἡμῖν μετέειπεν·
'κοῦροι ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
ἐκτελέσω — μή μοι μεταμώνια νήματ' ὄληται —
Λαέρτηι ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
Μοῖρ' ὀλοὴ καθέλησι τανηλεγέος θανάτοιο,
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσηι,
αἴ κεν ἄτερ σπείρου κεῖται πολλὰ κτεατίσσας.'
ὣς ἔφαθ', ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστὸν,
νύκτας δ' ἀλλύεσκεν, ἐπεὶ δαΐδας παραθεῖτο.
ὣς τρίετες μὲν ἔληθε δόλωι καὶ ἔπειθεν Ἀχαιούς·
ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι,
μηνῶν φθινόντων, περὶ δ' ἤματα πάντ' ἐτελέσθη,
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ἤιδει,
καὶ τήν γ' ἀλλύουσαν ἐφηύρομεν ἀγλαὸν ἱστόν.
ὣς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ', ὑπ' ἀνάγκης.
εὖθ' ἡ φᾶρος ἔδειξεν, ὑφήνασα μέγαν ἱστὸν,
πλύνασ', ἠελίωι ἐναλίγκιον ἠὲ σελήνηι,
καὶ τότε δή ῥ' Ὀδυσῆα κακός ποθεν ἤγαγε δαίμων
ἀγροῦ ἐπ' ἐσχατιὴν, ὅθι δώματα ναῖε συβώτης.
ἔνθ' ἦλθεν φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
ἐκ Πύλου ἠμαθόεντος ἰὼν σὺν νηῒ μελαίνηι·
τὼ δὲ μνηστῆρσιν θάνατον κακὸν ἀρτύναντε
ἵκοντο προτὶ ἄστυ περικλυτόν, ἤτοι Ὀδυσσεὺς
ὕστερος, αὐτὰρ Τηλέμαχος πρόσθ' ἡγεμόνευεν.
τὸν δὲ συβώτης ἦγε κακὰ χροῒ εἵματ' ἔχοντα,
πτωχῶι λευγαλέωι ἐναλίγκιον ἠδὲ γέροντι
σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο·
οὐδέ τις ἡμείων δύνατο γνῶναι τὸν ἐόντα
ἐξαπίνης προφανέντ', οὐδ' οἳ προγενέστεροι ἦσαν,
ἀλλ' ἔπεσίν τε κακοῖσιν ἐνίσσομεν ἠδὲ βολῆισιν.
αὐτὰρ ὁ τέως ἐτόλμα ἐνὶ μεγάροισιν ἑοῖσιν
βαλλόμενος καὶ ἐνισσόμενος τετληότι θυμῶι·
ἀλλ' ὅτε δή μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο,
σὺν μὲν Τηλεμάχωι περικαλλέα τεύχε' ἀείρας
ἐς θάλαμον κατέθηκε, καὶ ἐκλήϊσεν ὀχῆας·

αὐτὰρ ὁ ἣν ἄλοχον πολυκερδείῃσιν ἄνωγεν
τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον,
ἡμῖν αἰνομόροισιν ἀέθλια καὶ φόνου ἀρχήν.
οὐδέ τις ἡμείων δύνατο κρατεροῖο βιοῖο
νευρὴν ἐντανύσαι, πολλὸν δ᾽ ἐπιδευέες ἦμεν.
ἀλλ᾽ ὅτε χεῖρας ἵκανεν Ὀδυσσῆος μέγα τόξον,
ἔνθ᾽ ἡμεῖς μὲν πάντες ὁμοκλέομεν ἐπέεσσιν
τόξον μὴ δόμεναι, μηδ᾽ εἰ μάλα πόλλ᾽ ἀγορεύοι·
Τηλέμαχος δέ μιν οἶος ἐποτρύνων ἐκέλευσεν.
αὐτὰρ ὁ δέξατο χειρὶ πολύτλας δῖος Ὀδυσσεύς,
ῥηϊδίως δ᾽ ἐτάνυσσε βιόν, διὰ δ᾽ ἧκε σιδήρου.
στῆ δ᾽ ἄρ᾽ ἐπ᾽ οὐδὸν ἰών, ταχέας δ᾽ ἐκχεύατ᾽ ὀϊστοὺς
δεινὸν παπταίνων, βάλε δ᾽ Ἀντίνοον βασιλῆα.
αὐτὰρ ἔπειτ᾽ ἄλλοις ἐφίει βέλεα στονόεντα,
ἄντα τιτυσκόμενος· τοὶ δ᾽ ἀγχηστῖνοι ἔπιπτον.
γνωτὸν δ᾽ ἦν ὅ ῥά τίς σφι θεῶν ἐπιτάρροθος ἦεν·
αὐτίκα γὰρ κατὰ δώματ᾽ ἐπισπόμενοι μένεϊ σφῶι
κτεῖνον ἐπιστροφάδην, τῶν δὲ στόνος ὤρνυτ᾽ ἀεικὴς
κράτων τυπτομένων, δάπεδον δ᾽ ἅπαν αἵματι θῦεν.
ὣς ἡμεῖς, Ἀγάμεμνον, ἀπωλόμεθ᾽, ὧν ἔτι καὶ νῦν
σώματ᾽ ἀκηδέα κεῖται ἐνὶ μεγάροις Ὀδυσῆος·
Amphi *οὐ γάρ πω ἴσασι φίλοι κατὰ δώμαθ᾽ ἑκάστου,*
medon *οἵ κ᾽ ἀπονίψαντες μέλανα βρότον ἐξ ὠτειλέων*
κατθέμενοι γοάοιεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων."

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 21 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES OF
(SUITOR OF PEN.)

AMPHINOMOS

IN THE ODYSSEY

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

16.355 “μή τιν’ ἔτ’ ἀγγελίην ὀτρύνομεν· οἵδε γὰρ ἔνδον.
Amphi- ἤ τίς σφιν τόδ’ ἔειπε θεῶν, ἢ εἴσιδον αὐτοὶ
nomos νῆα παρερχομένην, τὴν δ’ οὐκ ἐδύναντο κιχῆναι.”
16.400 “ὦ φίλοι, οὐκ ἂν ἐγώ γε κατακτείνειν ἐθέλοιμι
Τηλέμαχον· δεινὸν δὲ γένος βασιλήιον ἐστιν
κτείνειν· ἀλλὰ πρῶτα θεῶν εἰρώμεθα βουλάς.
εἰ μέν κ’ αἰνήσωσι Διὸς μεγάλοιο θέμιστες,
Amphi- αὐτός τε κτενέω τούς τ’ ἄλλους πάντας ἀνώξω·
nomos εἰ δέ κ’ ἀποτρωπῶσι θεοί, παύσασθαι ἄνωγα.”
18.122 “χαῖρε, πάτερ ὦ ξεῖνε, γένοιτό τοι ἔς περ ὀπίσσω

Amphi-
ὄλβος· ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι πολέεσσιν.” nomos
“ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίωι 18.414
ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι.
μήτ’ ἔτι τὸν ξεῖνον στυφελίζετε μήτέ τιν’ ἄλλον
δμώων, οἳ κατὰ δώματ’ Ὀδυσσῆος θείοιο.
ἀλλ’ ἄγετ’, οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν, Amphi-
ὄφρα σπείσαντες κατακείομεν οἴκαδ’ ἰόντες· nomos
τὸν ξεῖνον δ’ εἰῶμεν ἐνὶ μεγάροις Ὀδυσῆος
Τηλεμάχωι μελέμεν· τοῦ γὰρ φίλον ἵκετο δῶμα.”
“ὦ φίλοι, οὐχ ἡμῖν συνθεύσεται ἥδέ γε βουλή, 20.245
Τηλεμάχοιο φόνος· ἀλλὰ μνησώμεθα δαιτός.” Amphi-
nomos

Notes

Notes

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 227 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES OF
(LEAD SUITOR OF PEN.)

ANTINOOS

IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.384 “Τηλέμαχ’, ἦ μάλα δή σε διδάσκουσιν θεοὶ αὐτοὶ
ὑψαγόρην τ’ ἔμεναι καὶ θαρσαλέως ἀγορεύειν.
μὴ σέ_γ’ ἐν ἀμφιάλωι Ἰθάκηι βασιλῆα Κρονίων
Antinoos ποιήσειεν, ὅ τοι γενεῆι πατρώϊόν ἐστιν.”
2.85 “Τηλέμαχ’ ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες
ἡμέας αἰσχύνων, ἐθέλοις δέ κε μῶμον ἀνάψαι.
σοὶ δ’ οὔ_τι μνηστῆρες Ἀχαιῶν αἴτιοί εἰσιν,
ἀλλὰ φίλη μήτηρ, ἥ τοι περὶ κέρδεα οἶδεν.
ἤδη γὰρ τρίτον ἐστὶν ἔτος, τάχα δ’ εἶσι τέταρτον,
ἐξ οὗ ἀτέμβει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
πάντας μέν ῥ’ ἔλπει καὶ ὑπίσχεται ἀνδρὶ ἑκάστωι,
ἀγγελίας προϊεῖσα· νόος δέ οἱ ἄλλα μενοινᾶι.
ἡ δὲ δόλον τόνδ’ ἄλλον ἐνὶ φρεσὶ μερμήριξεν·
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινεν,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ’ ἡμῖν μετέειπεν·
‘κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
μίμνετ’ ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς_ὅ κε φᾶρος
ἐκτελέσω — μή μοι μεταμώνια νήματ’ ὄληται —
Λαέρτηι ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
Μοῖρ’ ὀλοὴ καθέλησι τανηλεγέος θανάτοιο,
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσηι,
αἴ κεν ἄτερ σπείρου κεῖται πολλὰ κτεατίσσας.’
ὣς ἔφαθ’, ἡμῖν δ’ αὖτ’ ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστὸν,
νύκτας δ’ ἀλλύεσκεν, ἐπεὶ δαΐδας παραθεῖτο.
ὣς τρίετες μὲν ἔληθε δόλωι καὶ ἔπειθεν Ἀχαιούς·
ἀλλ’ ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι,
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ἤιδει,
καὶ τήν_γ’ ἀλλύουσαν ἐφηύρομεν ἀγλαὸν ἱστόν.
ὣς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ’ ὑπ’ ἀνάγκης·
σοὶ δ’ ὧδε μνηστῆρες ὑποκρίνονται, ἵν’ εἰδῆις
αὐτὸς σῶι θυμῶι, εἰδῶσι δὲ πάντες Ἀχαιοί·
μητέρα σὴν ἀπόπεμψον, ἄνωχθι δέ μιν γαμέεσθαι
τῶι ὅτεῶι τε πατὴρ κέλεται καὶ ἁνδάνει αὐτῆι.
εἰ δ’ ἔτ’ ἀνιήσει γε πολὺν χρόνον υἷας Ἀχαιῶν
τὰ φρονέουσ’ ἀνὰ θυμὸν ἅ οἱ περὶ δῶκεν Ἀθήνη,
ἔργα τ’ ἐπίστασθαι περικαλλέα καὶ φρένας ἐσθλὰς
κέρδεά θ’, οἷ’ οὔ_πώ τιν’ ἀκούομεν οὐδὲ παλαιῶν,
τάων αἳ πάρος ἦσαν ἐϋπλοκαμῖδες Ἀχαιαί,
Τυρώ τ’ Ἀλκμήνη τε ἐϋστέφανός τε Μυκήνη·
τάων οὔ_τις ὁμοῖα νοήματα Πηνελοπείηι
ἤιδη· ἀτὰρ μὲν τοῦτό γ’ ἐναίσιμον οὐκ ἐνόησεν.
τόφρα γὰρ οὖν βίοτον τε τεὸν καὶ κτήματα ἔδονται,
ὄφρα κε κείνη τοῦτον ἔχηι νόον, ὅν_τινά οἱ νῦν
ἐν στήθεσσι τιθεῖσι θεοί· μέγα μὲν κλέος αὐτῆι
ποιεῖτ’, αὐτὰρ σοί_γε ποθὴ πολέος βιότοιο·
ἡμεῖς δ’ οὔτ’ ἐπὶ ἔργα πάρος γ’ ἴμεν οὔτέ πηι ἄλληι,
Antinoos πρίν γ’ αὐτὴν γήμασθαι Ἀχαιῶν ὧι κ’ ἐθέλησιν.”
2.303 “Τηλέμαχ’ ὑψαγόρη, μένος ἄσχετε, μή τί τοι ἄλλο
ἐν στήθεσσι κακὸν μελέτω ἔργον τε ἔπος τε,
ἀλλά μοι ἐσθιέμεν καὶ πινέμεν, ὡς τὸ πάρος περ.
ταῦτα δέ τοι μάλα πάντα τελευτήσουσιν Ἀχαιοί,
νῆα καὶ ἐξαίτους ἐρέτας, ἵνα θᾶσσον ἵκηαι
ἐς Πύλον ἠγαθέην μετ’ ἀγαυοῦ πατρὸς ἀκουήν.” Antinoos
“νημερτές μοι ἔνισπε, πότ’ ᾤχετο καὶ τίνες αὐτῶι 4.642
κοῦροι ἕποντ’; Ἰθάκης ἐξαίρετοι, ἦ ἑοὶ αὐτοῦ
θῆτές τε δμῶές τε; δύναιτό κε καὶ τὸ τελέσσαι.
καί μοι τοῦτ’ ἀγόρευσον ἐτήτυμον, ὄφρ’ εὖ εἰδῶ,
ἤ σε βίηι ἀέκοντος ἀπηύρα νῆα μέλαιναν,
ἦε ἑκών οἱ δῶκας, ἐπεὶ προσπτύξατο μύθωι.” ◆ Antinoos
“ὢ πόποι, ἦ μέγα ἔργον ὑπερφιάλως ἐτελέσθη 4.663
Τηλεμάχωι ὁδὸς ἥδε· φάμεν δέ οἱ οὐ τελέεσθαι.
ἐκ τοσσῶν_δ’ ἀέκητι νέος παῖς οἴχεται αὔτως,
νῆα ἐρυσσάμενος, κρίνας τ’ ἀνὰ δῆμον ἀρίστους.
ἄρξει καὶ προτέρω κακὸν ἔμμεναι· ἀλλά οἱ αὐτῶι
Ζεὺς ὀλέσειε βίην, πρὶν ἡμῖν πῆμα φυτεῦσαι.
ἀλλ’ ἄγ’ ἐμοὶ δότε νῆα θοὴν καὶ εἴκοσ’ ἑταίρους,
ὄφρα μιν αὐτὸν ἰόντα λοχήσομαι ἠδὲ φυλάξω
ἐν πορθμῶι Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης,
ὡς ἂν ἐπισμυγερῶς ναυτίλλεται εἵνεκα πατρός.” Antinoos
“δαιμόνιοι, μύθους μὲν ὑπερφιάλους ἀλέασθε 4.774
πάντας ὁμῶς, μή πού τις ἀπαγγείλησι καὶ εἴσω.
ἀλλ’ ἄγε σιγῆι τοῖον ἀναστάντες τελέωμεν
μῦθον, ὃ δὴ καὶ πᾶσιν ἐνὶ φρεσὶν ἤραρεν ἡμῖν.” Antinoos
“ὢ πόποι, ὡς τόνδ’ ἄνδρα θεοὶ κακότητος ἔλυσαν. 16.364
ἤματα μὲν σκοποὶ ἷζον ἐπ’ ἄκριας ἠνεμοέσσας
αἰὲν ἐπασσύτεροι· ἅμα δ’ ἠελίωι καταδύντι
οὔ_ποτ’ ἐπ’ ἠπείρου νύκτ’ ἄσαμεν, ἀλλ’ ἐνὶ πόντωι
νηῒ θοῆι πλείοντες ἐμίμνομεν Ἠῶ δῖαν,
Τηλέμαχον λοχόωντες, ἵνα φθείσωμεν ἑλόντες
αὐτόν· τὸν δ’ ἄρα τεῖος ἀπήγαγεν οἴκαδε δαίμων,
ἡμεῖς δ’ ἐνθάδε οἱ φραζώμεθα λυγρὸν ὄλεθρον
Τηλεμάχωι, μηδ’ ἧμας ὑπεκφύγοι· οὐ γὰρ ὀΐω
τούτου γε ζώοντος ἀνύσσεσθαι τάδε ἔργα.
αὐτὸς μὲν γὰρ ἐπιστήμων βουλῆι τε νόωι τε,
λαοὶ δ’ οὐκέτι πάμπαν ἐφ’ ἡμῖν ἦρα φέρουσιν.
ἀλλ’ ἄγετε, πρὶν κεῖνον ὁμηγυρίσασθαι Ἀχαιοὺς
εἰς ἀγορήν — οὐ γάρ τι μεθησέμεναί μιν ὀΐω,
ἀλλ’ ἀπομηνίσει, ἐρέει δ’ ἐν πᾶσιν ἀναστὰς
οὕνεκά οἱ φόνον αἰπὺν ἐράπτομεν οὐδ’ ἐκίχημεν·
οἱ δ’ οὐκ αἰνήσουσιν ἀκούοντες κακὰ ἔργα.
μή τι κακὸν ῥέξωσι καὶ ἡμέας ἐξελάσωσιν
γαίης ἡμετέρης, ἄλλων δ’ ἀφικώμεθα δῆμον —
ἀλλὰ φθέωμεν ἑλόντες ἐπ’ ἀγροῦ νόσφι πόληος
ἢ ἐν ὁδῶι· βίοτον δ’ αὐτοὶ καὶ κτήματ’ ἔχωμεν,
δασσάμενοι κατὰ μοῖραν ἐφ’ ἡμέας, οἰκία δ’ αὖτε
κείνου μητέρι δοῖμεν ἔχειν ἠδ’ ὅς_τις ὀπυίοι.
εἰ δ’ ὑμῖν ὅδε μῦθος ἀφανδάνει, ἀλλὰ βόλεσθε
αὐτόν τε ζώειν καὶ ἔχειν πατρώϊα πάντα,
μή οἱ χρήματ’ ἔπειτα ἅλις θυμηδέ’ ἔδωμεν

ἐνθάδ' ἀγειρόμενοι, ἀλλ' ἐκ μεγάροιο ἕκαστος
μνάσθω ἐέδνοισιν διζήμενος· ἡ δέ κ' ἔπειτα
Antinoos γήμαιθ' ὅς κε πλεῖστα πόροι καὶ μόρσιμος ἔλθοι."
17.375 "ὦ ἀρίγνωτε συβῶτα, τίη δὲ σὺ τόνδε πόλινδε
ἤγαγες; ἦ οὐχ ἅλις ἡμὶν ἀλήμονές εἰσι καὶ ἄλλοι,
πτωχοὶ ἀνιηροί, δαιτῶν ἀπολυμαντῆρες;
ἦ ὄνοσαι ὅτι τοι βίοτον κατέδουσιν ἄνακτος
Antinoos ἐνθάδ' ἀγειρόμενοι, σὺ δὲ καὶ προτὶ τόνδ' ἐκάλεσσας;"
17.406 ◆ "Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες;
εἴ οἱ τόσσον πάντες ὀρέξειαν μνηστῆρες,
Antinoos καί κέν μιν τρεῖς μῆνας ἀπόπροθεν οἶκος ἐρύκοι."
17.446 "τίς δαίμων τόδε πῆμα προσήγαγε, δαιτὸς ἀνίην;
στῆθ' οὕτως ἐς μέσσον, ἐμῆς ἀπάνευθε τραπέζης,
μὴ τάχα πικρὴν Αἴγυπτον καὶ Κύπρον ἵκηαι·
ὥς τις θαρσαλέος καὶ ἀναιδής ἐσσι προΐκτης.
ἑξείης πάντεσσι παρίστασαι· οἱ δὲ διδοῦσιν
μαψιδίως, ἐπεὶ οὔ τις ἐπίσχεσις οὐδ' ἐλεητὺς
Antinoos ἀλλοτρίων χαρίσασθαι, ἐπεὶ πάρα πολλὰ ἑκάστωι."
17.460 "νῦν δή σ' οὐκέτι καλὰ διὲκ μεγάροιο γ' ὀΐω
Antinoos ἂψ ἀναχωρήσειν, ὅ τε δὴ καὶ ὀνείδεα βάζεις."
17.468 "κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
οὐ μὰν οὔτ' ἄχος ἐστὶ μετὰ φρεσὶν οὔτέ τι πένθος,
ὁππότ' ἀνὴρ περὶ οἷσι μαχειόμενος κτεάτεσσιν
βλήεται, ἢ περὶ βουσὶν ἢ ἀργεννῇις ὀΐεσσιν·
αὐτὰρ ἔμ' Ἀντίνοος βάλε γαστέρος εἵνεκα λυγρῆς,
οὐλομένης, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσιν.
ἀλλ' εἴ που πτωχῶν γε θεοὶ καὶ Ἐρινύες εἰσὶν,
Antinoos Ἀντίνοον πρὸ γάμοιο τέλος θανάτοιο κιχείη."
18.36 "ὦ φίλοι, οὐ μέν πώ τι πάρος τοιοῦτον ἐτύχθη,
οἵην τερπωλὴν θεὸς ἤγαγεν ἐς τόδε δῶμα.
ὁ ξεῖνός τε καὶ Ἶρος ἐρίζετον ἀλλήλοιϊν
Antinoos χερσὶ μαχήσασθαι· ἀλλὰ ξυνελάσσομεν ὦκα."
18.43 "κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, ὄφρα τι εἴπω.
γαστέρες αἵδ' αἰγῶν κέατ' ἐν πυρί, τὰς ἐπὶ δόρπωι
κατθέμεθα κνίσης τε καὶ αἵματος ἐμπλήσαντες·
ὁππότερος δέ κε νικήσηι κρείσσων τε γένηται,
τάων ἥν κ' ἐθέλησιν ἀναστὰς αὐτὸς ἑλέσθω·
αἰεὶ δ' αὖθ' ἥμιν μεταδαίσεται, οὐδέ τιν' ἄλλον
Antinoos πτωχὸν ἔσω μίσγεσθαι ἐάσομεν αἰτήσοντα."
18.79 "νῦν μὲν μήτ' εἴης, βουγάϊε, μήτε γένοιο,
εἰ δὴ τοῦτόν γε τρομέεις καὶ δείδιας αἰνῶς,
ἄνδρα γέροντα, δύηι ἀρημένον, ἥ μιν ἱκάνει.
ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
αἴ κέν σ' οὗτος νικήσηι κρείσσων τε γένηται,
πέμψω σ' ἤπειρόνδε, βαλὼν ἐν νηῒ μελαίνηι,
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,
ὅς κ' ἀπὸ ῥῖνα τάμηισι καὶ οὔατα νηλέϊ χαλκῶι
Antinoos μήδεά τ' ἐξερύσας δώηι κυσὶν ὠμὰ δάσασθαι."
18.112 "Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὅττι μάλιστ' ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῶι,
ὅς τοῦτον τὸν ἄναλτον ἀλητεύειν ἀπέπαυσας
ἐν δήμωι· τάχα γάρ μιν ἀνάξομεν ἤπειρόνδε
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων." laughing
"κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια, 18.285
δῶρα μὲν ὅς κ' ἐθέλησιν Ἀχαιῶν ἐνθάδ' ἐνεῖκαι,
δέξασθ'· οὐ γὰρ καλὸν ἀνήνασθαι δόσιν ἐστίν·
ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος γ' ἴμεν οὔτε πηι ἄλλῃ,
πρίν γέ σε τῶι γήμασθαι Ἀχαιῶν, ὅς τις ἄριστος." Antinoos
"καὶ χαλεπόν περ ἐόντα δεχώμεθα μῦθον, Ἀχαιοί, 20.271
Τηλεμάχου· μάλα δ' ἡμὶν ἀπειλήσας ἀγορεύει.
οὐ γὰρ Ζεὺς εἴασε Κρονίων· τῶι κέ μιν ἤδη
παύσαμεν ἐν μεγάροισι, λιγύν περ ἐόντ' ἀγορητήν." Antinoos
"νήπιοι ἀγροιῶται, ἐπημέρια φρονέοντες, 21.85
ἆ δειλώ, τί νυ δάκρυ κατείβετον ἠδὲ γυναικὶ
θυμὸν ἐνὶ στήθεσσιν ὀρίνετον; ἧι τε καὶ ἄλλως
κεῖται ἐν ἄλγεσι θυμός, ἐπεὶ φίλον ὤλεσ' ἀκοίτην.
ἀλλ' ἀκέων δαίνυσθε καθήμενοι, ἠὲ θύραζε
κλαίετον ἐξελθόντε, κατ' αὐτόθι τόξα λιπόντε,
μνηστήρεσσιν ἄεθλον ἀάατον· οὐ γὰρ ὀΐω
ῥηϊδίως τόδε τόξον ἐΰξοον ἐντανύεσθαι.
οὐ γάρ τις μέτα τοῖος ἀνὴρ ἐν τοίσδεσι πᾶσιν
οἷος Ὀδυσσεὺς ἔσκεν. ἐγὼ δέ μιν αὐτὸς ὄπωπα —
καὶ γὰρ μνήμων εἰμί — πάϊς δ' ἔτι νήπιος ἦα." Antinoos
"ὄρνυσθ' ἑξείης ἐπιδέξια πάντες ἑταῖροι, 21.141
ἀρξάμενοι τοῦ χώρου, ὅθεν τέ περ οἰνοχοεύει."
"Λειῶδες, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων, 21.168
δεινόν τ' ἀργαλέον τε, — νεμεσσῶμαι δέ τ' ἀκούων —
εἰ δὴ τοῦτό γε τόξον ἀριστῆας κεκαδήσει
θυμοῦ καὶ ψυχῆς, ἐπεὶ οὐ δύνασαι σὺ τανύσσαι.
οὐ γάρ τοί σέ γε τοῖον ἐγείνατο πότνια μήτηρ,
οἷόν τε ῥυτῆρα βιοῦ τ' ἔμεναι καὶ ὀϊστῶν·
ἀλλ' ἄλλοι τανύουσι τάχα μνηστῆρες ἀγαυοί." Antinoos
"ἄγρει δή, πῦρ κεῖον ἐνὶ μεγάροισι, Μελανθεῦ, 21.176
πὰρ δὲ τίθει δίφρον τε μέγαν καὶ κῶας ἐπ' αὐτοῦ,
ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος,
ὄφρα νέοι θάλποντες, ἐπιχρίοντες ἀλοιφῆι, Antinoos
τόξου πειρώμεσθα καὶ ἐκτελέωμεν ἄεθλον."
"Εὐρύμαχ', οὐχ οὕτως ἔσται· νοέεις δὲ καὶ αὐτός. 21.257
νῦν μὲν γὰρ κατὰ δῆμον ἑορτὴ τοῖο θεοῖο
ἁγνή· τίς δέ κε τόξα τιταίνοιτ'; ἀλλὰ ἕκηλοι
κάτθετ'· ἀτὰρ πελέκεάς γε καὶ εἴ κ' εἰῶμεν ἅπαντας
ἑστάμεν· οὐ μὲν γάρ τιν' ἀναιρήσεσθαι ὀΐω,
ἐλθόντ' ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
ἀλλ' ἄγετ', οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
ὄφρα σπείσαντες καταθείομεν ἀγκύλα τόξα·
ἠῶθεν δὲ κέλεσθε Μελάνθιον, αἰπόλον αἰγῶν,
αἶγας ἄγειν, αἳ πᾶσι μέγ' ἔξοχοι αἰπολίοισιν,
ὄφρ' ἐπὶ μηρία θέντες Ἀπόλλωνι κλυτοτόξωι
τόξου πειρώμεσθα καὶ ἐκτελέωμεν ἄεθλον." Antinoos

21.288 “ἆ δειλὲ ξείνων, ἔνι τοι φρένες οὐδ’ ἠβαιαί·
οὐκ ἀγαπᾶις ὃ ἕκηλος ὑπερφιάλοισι μεθ’ ἡμῖν
δαίνυσαι, οὐδέ τι δαιτὸς ἀμέρδεαι, αὐτὰρ ἀκούεις
μύθων ἡμετέρων καὶ ῥήσιος; οὐδὲ τις ἄλλος
ἡμετέρων μύθων ξεῖνος καὶ πτωχὸς ἀκούει.
οἶνός σε τρώει μελιηδὴς, ὅς_τε καὶ ἄλλους
βλάπτει, ὃς ἄν μιν χανδὸν ἕληι μηδ’ αἴσιμα πίνηι.
οἶνος καὶ Κένταυρον, ἀγακλυτὸν Εὐρυτίωνα,
ἄασ’ ἐνὶ μεγάρωι μεγαθύμου Πειριθόοιο,
ἐς Λαπίθας ἐλθόνθ’· ὁ δ’ ἐπεὶ φρένας ἄασεν οἴνωι,
μαινόμενος κάκ’ ἔρεξε δόμον κάτα Πειριθόοιο·
ἥρωας δ’ ἄχος εἷλε, διὲκ προθύρου δὲ θύραζε
ἕλκον ἀναΐξαντες, ἀπ’ οὔατα νηλέϊ χαλκῶι
ῥῖνάς τ’ ἀμήσαντες· ὁ δὲ φρεσὶν ᾗσιν ἀασθεὶς
ἤϊεν ἣν ἄτην ὀχέων ἀεσίφρονι θυμῶι.
ἐξ οὗ Κενταύροισι καὶ ἀνδράσι νεῖκος ἐτύχθη·
οἷ δ’ αὐτῶι πρώτωι κακὸν ηὕρετο οἰνοβαρείων.
ὣς καὶ σοὶ μέγα πῆμα πιφαύσκομαι, αἴ κε τὸ τόξον
ἐντανύσηις· οὐ γάρ τευ ἐπητύος ἀντιβολήσεις
ἡμετέρωι ἐνὶ δήμωι, ἄφαρ δέ σε νηῒ μελαίνηι
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,
Antinoos πέμψομεν· ἔνθεν δ’ οὔ_τι σαώσεαι· ἀλλὰ ἕκηλος
πῖνέ τε, μηδ’ ἐρίδαινε μετ’ ἀνδράσι κουροτέροισιν.”
22.27 “ξεῖνε, κακῶς ἀνδρῶν τοξάζεαι· οὐκέτ’ ἀέθλων
ἄλλων ἀντιάσεις· νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
καὶ γὰρ δὴ νῦν φῶτα κατέκτανες ὃς μέγ’ ἄριστος
suitors κούρων εἰν Ἰθάκηι· τῶι σ’ ἐνθάδε γῦπες ἔδονται.”

18.112 γελώοντες
22.27 μνηστῆρες

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 7 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF

(SUITOR OF PEN.)

AUTOLYKOS

IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

19.406 “γαμβρὸς ἐμὸς θύγατέρ τε, τίθεσθ’ ὄνομ’ ὅττί κεν εἴπω·
πολλοῖσιν γὰρ ἐγώ γε ὀδυσσάμενος τόδ’ ἱκάνω,
ἀνδράσιν ἠδὲ γυναιξὶν ἀνὰ χθόνα πουλυβότειραν·
τῶι δ’ Ὀδυσεὺς ὄνομ’ ἔστω ἐπώνυμον. αὐτὰρ ἐγώ_γε,
ὁππότ’ ἂν ἡβήσας μητρώϊον ἐς μέγα δῶμα
Auto- ἔλθηι Παρνησσόνδ’, ὅθι πού μοι κτήματ’ ἔασιν,
lykos τῶν οἱ ἐγὼ δώσω, καί μιν χαίροντ’ ἀποπέμψω.”

19.406 “γαμβρὸς ἐμὸς θύγατέρ τε, τίθεσθ’ ὄνομ’ ὅττί κεν εἴπω·
πολλοῖσιν γὰρ ἐγώ γε ὀδυσσάμενος τόδ’ ἱκάνω,
ἀνδράσιν ἠδὲ γυναιξὶν ἀνὰ χθόνα πουλυβότειραν·
τῶι δ’ Ὀδυσεὺς ὄνομ’ ἔστω ἐπώνυμον. αὐτὰρ ἐγώ_γε,
ὁππότ’ ἂν ἡβήσας μητρώϊον ἐς μέγα δῶμα
ἔλθηι Παρνησσόνδ’, ὅθι πού μοι κτήματ’ ἔασιν, **Auto-**
τῶν οἱ ἐγὼ δώσω, καί μιν χαίροντ’ ἀποπέμψω.” **lykos**

ODYSSEY ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 124 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF (SUITOR OF PEN.) EURYMACHOS IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.400 “Τηλέμαχ’, ἦτοι ταῦτα θεῶν ἐν γούνασι κεῖται,
ὅς_τις ἐν ἀμφιάλωι Ἰθάκηι βασιλεύσει Ἀχαιῶν·
κτήματα δ’ αὐτὸς ἔχοις καὶ δώμασι σοῖσιν ἀνάσσοις.
μὴ γὰρ ὅ_γ’ ἔλθοι ἀνὴρ ὅς_τίς σ’ ἀέκοντα βίηφιν
κτήματ’ ἀπορραίσει’, Ἰθάκης ἔτι ναιεταώσης.
ἀλλ’ ἐθέλω σε, φέριστε, περὶ ξείνοιο ἐρέσθαι,
ὁππόθεν οὗτος ἀνήρ, ποίης δ’ ἐξ εὔχεται εἶναι
γαίης, ποῦ δέ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα·
Eury- ἠέ τιν’ ἀγγελίην πατρὸς φέρει ἐρχομένοιο,
machos ἦ ἑὸν αὐτοῦ χρεῖος ἐελδόμενος τόδ’ ἱκάνει;
οἷον ἀναΐξας ἄφαρ οἴχεται, οὐδ’ ὑπέμεινεν
γνώμεναι· οὐ μὲν γάρ τι κακῶι εἰς ὦπα ἐώικει.”
2.178 “ὦ γέρον, εἰ δ’ ἄγε νῦν μαντεύεο σοῖσι τέκεσσιν
οἴκαδ’ ἰών, μή πού τι κακὸν πάσχωσιν ὀπίσσω·
ταῦτα δ’ ἐγὼ σέο πολλὸν ἀμείνων μαντεύεσθαι.
ὄρνιθες δέ τε πολλοὶ ὑπ’ αὐγὰς ἠελίοιο
φοιτῶσ’, οὐδέ τε πάντες ἐναίσιμοι· αὐτὰρ Ὀδυσσεὺς
ὤλετο τῆλ’, ὡς καὶ σὺ καταφθίσθαι σὺν ἐκείνωι
ὤφελες· οὐκ ἂν τόσσα θεοπροπέων ἀγόρευες,
οὐδέ κε Τηλέμαχον κεχολωμένον ὧδ’ ἀνιείης,
σῶι οἴκωι δῶρον ποτιδέγμενος, αἴ κε πόρῃσιν.
ἀλλ’ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
αἴ κε νεώτερον ἄνδρα παλαιά τε πολλά τε εἰδὼς
παρφάμενος ἐπέεσσιν ἐποτρύνῃς χαλεπαίνειν,
αὐτῶι μέν οἱ πρῶτον ἀνιηρέστερον ἔσται,
πρῆξαι δ’ ἔμπης οὔ τι δυνήσεται εἵνεκα τῶν_γε·
σοὶ δέ, γέρον, θωὴν ἐπιθήσομεν ἥν κ’ ἐνὶ θυμῶι
τίνων ἀσχάλλῃς· χαλεπὸν δέ τοι ἔσσεται ἄλγος.
Τηλεμάχωι δ’ ἐν πᾶσιν ἐγὼν ὑποθήσομαι αὐτός·
μητέρ’ ἑὴν ἐς πατρὸς ἀνωγέτω ἀπονέεσθαι·
οἱ δὲ γάμον τεύξουσι καὶ ἀρτυνέουσιν ἔεδνα
πολλὰ μάλ’, ὅσσα ἔοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι.
οὐ γὰρ πρὶν παύσεσθαι ὀΐομαι υἷας Ἀχαιῶν
μνηστύος ἀργαλέης, ἐπεὶ οὔ_τινα δείδιμεν ἔμπης,
οὔτ’ οὖν Τηλέμαχον, μάλα περ πολύμυθον ἐόντα·
οὔτε θεοπροπίης ἐμπαζόμεθ’, ἣν σύ, γεραιέ,
μυθέαι ἀκράαντον, ἀπεχθάνεαι δ’ ἔτι μᾶλλον.
χρήματα δ’ αὖτε κακῶς βεβρώσεται, οὐδέ ποτ’ ἶσα
ἔσσεται, ὄφρα κεν ἥ_γε διατρίβῃσιν Ἀχαιοὺς
ὃν γάμον· ἡμεῖς δ’ αὖ ποτιδέγμενοι ἤματα πάντα
Eury- εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν, οὐδὲ μετ’ ἄλλας
machos ἐρχόμεθ’, ἃς ἐπιεικὲς ὀπυιέμεν ἐστὶν ἑκάστωι.”
16.346 “ὦ φίλοι, ἦ μέγα ἔργον ὑπερφιάλως τετέλεσται.
Τηλεμάχωι ὁδὸς ἥδε· φάμεν δέ οἱ οὐ τελέεσθαι.
Eury- ἀλλ’ ἄγε νῆα μέλαιναν ἐρύσσομεν, ἥ_τις ἀρίστη,
machos ἐς δ’ ἐρέτας ἁλιῆας ἀγείρομεν, οἵ κε τάχιστα
κείνοις ἀγγείλωσι θοῶς οἶκόνδε νέεσθαι.”
16.435 “κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
θάρσει· μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
οὐκ ἔσθ’ οὗτος ἀνὴρ οὐδ’ ἔσσεται οὐδὲ γένηται,
ὅς κεν Τηλεμάχωι σῶι υἱέϊ χεῖρας ἐποίσει
ζώοντός γ’ ἐμέθεν καὶ ἐπὶ χθονὶ δερκομένοιο.
ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·
αἶψά οἱ αἷμα κελαινὸν ἐρωήσει περὶ δουρὶ
ἡμετέρωι, ἐπεὶ ἦ καὶ ἐμὲ πτολίπορθος Ὀδυσσεὺς
πολλάκι γούνασιν οἷσιν ἐφεσσάμενος κρέας ὀπτὸν
ἐν χείρεσσιν ἔθηκεν, ἐπέσχε τε οἶνον ἐρυθρόν.
τῶι μοι Τηλέμαχος πάντων πολὺ φίλτατός ἐστιν
ἀνδρῶν, οὐδέ τί μιν θάνατον τρομέεσθαι ἄνωγα Eury-
ἔκ γε μνηστήρων· θεόθεν δ’ οὐκ ἔστ’ ἀλέασθαι.” machos
“κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια, 18.245
πλέονές κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισιν
ἠῶθεν δαινῦατ’, ἐπεὶ περίεσσι γυναικῶν Eury-
εἶδός τε μέγεθός τε ἰδὲ φρένας ἔνδον ἐΐσας.” machos
“κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης, 18.351
ὄφρ’ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
οὐκ ἀθεεὶ ὅδ’ ἀνὴρ Ὀδυσήϊον ἐς δόμον ἵκει·
ἔμπης μοι δοκέει δαΐδων σέλας ἔμμεναι αὐτοῦ Eury-
κὰκ κεφαλῆς, ἐπεὶ οὔ οἱ ἔνι τρίχες οὐδ’ ἠβαιαί.” machos
“ξεῖν’, ἦ ἄρ κ’ ἐθέλοις θητευέμεν, εἴ σ’ ἀνελοίμην, 18.357
ἀγροῦ ἐπ’ ἐσχατιῆς — μισθὸς δέ τοι ἄρκιος ἔσται —
αἱμασιάς τε λέγων καὶ δένδρεα μακρὰ φυτεύων;
ἔνθά κ’ ἐγὼ σῖτον μὲν ἐπηετανὸν παρέχοιμι,
εἵματα δ’ ἀμφιέσαιμι ποσίν θ’ ὑποδήματα δοίην.
ἀλλ’ ἐπεὶ οὖν δὴ ἔργα κάκ’ ἔμμαθες, οὐκ ἐθελήσεις
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσειν κατὰ δῆμον Eury-
βούλεαι, ὄφρ’ ἂν ἔχῃς βόσκειν σὴν γαστέρ’ ἄναλτον.” machos
“ἆ δείλ’, ἦ τάχα τοι τελέω κακόν, οἷ’ ἀγορεύεις 18.389
θαρσαλέως πολλοῖσι μετ’ ἀνδράσιν, οὐδέ τι θυμῶι
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ Eury-
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.” machos
“ἀφραίνει ξεῖνος νέον ἄλλοθεν εἰληλουθώς. 20.360
ἀλλά μιν αἶψα, νέοι, δόμου ἐκπέμψασθε θύραζε Eury-
εἰς ἀγορὴν ἔρχεσθαι, ἐπεὶ τάδε νυκτὶ ἐΐσκει.” machos
“ὢ πόποι, ἦ μοι ἄχος περί τ’ αὐτοῦ καὶ περὶ πάντων· 21.249
οὔ_τι γάμου τοσσοῦτον ὀδύρομαι, ἀχνύμενός περ·
εἰσὶ καὶ ἄλλαι πολλαὶ Ἀχαιΐδες, αἱ μὲν ἐν αὐτῆι
ἀμφιάλωι Ἰθάκηι, αἱ δ’ ἄλλῃσιν πολίεσσιν·
ἀλλ’ εἰ δὴ τοσσόνδε βίης ἐπιδευέες εἰμὲν
ἀντιθέου Ὀδυσῆος, ὅ_τ’ οὐ δυνάμεσθα τανύσσαι Eury-
τόξον· ἐλεγχείη δὲ καὶ ἐσσομένοισι πυθέσθαι.” machos
“κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια, 21.321
οὔ_τί σε τόνδ’ ἄξεσθαι ὀΐομεθ’· οὐδὲ ἔοικεν·
ἀλλ’ αἰσχυνόμενοι φάτιν ἀνδρῶν ἠδὲ γυναικῶν,
μή ποτέ τις εἴπῃσι κακώτερος ἄλλος Ἀχαιῶν,
‘ἦ πολὺ χείρονες ἄνδρες ἀμύμονος ἀνδρὸς ἄκοιτιν
μνῶνται, οὐδέ τι τόξον ἐΰξοον ἐντανύουσιν·
ἀλλ’ ἄλλος τις πτωχὸς ἀνὴρ ἀλαλήμενος ἐλθὼν
ῥηϊδίως ἐτάνυσσε βιόν, διὰ δ’ ἧκε σιδήρου.’ Eury-
ὣς ἐρέουσ’, ἡμῖν δ’ ἂν ἐλέγχεα ταῦτα γένοιτο.” machos

22.45 “εἰ μὲν δὴ Ὀδυσεὺς Ἰθακήσιος εἰλήλουθας,
ταῦτα μὲν αἴσιμα εἶπες, ὅσα ῥέζεσκον Ἀχαιοί,
πολλὰ μὲν ἐν μεγάροισιν ἀτάσθαλα, πολλὰ δ’ ἐπ’ ἀγροῦ.
ἀλλ’ ὁ μὲν ἤδη κεῖται ὃς αἴτιος ἔπλετο πάντων,
Ἀντίνοος· οὗτος γὰρ ἐπίηλεν τάδε ἔργα,
οὔ τι γάμου τόσσον κεχρημένος οὐδὲ χατίζων,
ἀλλ’ ἄλλα φρονέων, τά οἱ οὐκ ἐτέλεσσε Κρονίων,
ὄφρ’ Ἰθάκης κατὰ δῆμον ἐϋκτιμένης βασιλεύοι
αὐτός, ἀτὰρ σὸν παῖδα κατακτείνειε λοχήσας.
νῦν δ’ ὁ μὲν ἐν μοίρηι πέφαται, σὺ δὲ φείδεο λαῶν
σῶν· ἀτὰρ ἄμμες ὄπισθεν ἀρεσσάμενοι κατὰ δῆμον,
ὅσσα τοι ἐκπέποται καὶ ἐδήδεται ἐν μεγάροισιν,
τιμὴν ἀμφὶς ἄγοντες ἐεικοσάβοιον ἕκαστος,
Eury- χαλκόν τε χρυσόν τ’ ἀποδώσομεν, εἰς ὅ κε σὸν κῆρ
machos ἰανθῆι· πρὶν δ’ οὔ τι νεμεσσητὸν κεχολῶσθαι.”
22.70 “ὦ φίλοι, οὐ γὰρ σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους,
ἀλλ ἐπεὶ ἔλλαβε τόξον ἐΰξοον ἠδὲ φαρέτρην,
οὐδοῦ ἄπο ξεστοῦ τοξάσσεται, εἰς ὅ κε πάντας
ἄμμε κατακτείνηι· ἀλλὰ μνησώμεθα χάρμης.
φάσγανά τε σπάσσασθε καὶ ἀντίσχεσθε τραπέζας
ἰῶν ὠκυμόρων· ἐπὶ δ’ αὐτῶι πάντες ἔχωμεν
ἁθρόοι, εἴ κέ μιν οὐδοῦ ἀπώσομεν ἠδὲ θυράων,
Eury- ἔλθωμεν δ’ ἀνὰ ἄστυ, βοὴ δ’ ὤκιστα γένοιτο·
machos τῶι κε τάχ’ οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσσαιτο.”

language: Homeric Greek

copy text: Dindorf (Teubner 1877)

typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 7 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF

(SUITOR OF PEN.)

KTESIPPOS

IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

<u>**20.292**</u> “κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, ὄφρα τι εἴπω·
μοῖραν μὲν δὴ ξεῖνος ἔχει πάλαι, ὡς ἐπέοικεν,
Ktes- ἴσην· οὐ γὰρ καλὸν ἀτέμβειν οὐδὲ δίκαιον
ippos ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ’ ἵκηται.

ἀλλ’ ἄγε οἱ καὶ ἐγὼ δῶ ξείνιον, ὄφρα καὶ αὐτὸς
ἠὲ λοετροχόωι δώηι γέρας ἠέ τωι ἄλλωι
δμώων, οἳ κατὰ δώματ’ Ὀδυσσῆος θείοιο.”

ODYSSEY ASCENDS FROM START

copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 19 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF (DIVINER & SUITOR OF PEN.) LEIODES IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

21.152 “ὦ φίλοι, οὐ μὲν ἐγὼ τανύω, λαβέτω δὲ καὶ ἄλλος.
πολλοὺς γὰρ τόδε τόξον ἀριστῆας κεκαδήσει
θυμοῦ καὶ ψυχῆς, ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν
τεθνάμεν ἢ ζώοντας ἁμαρτεῖν, οὗ_θ’ ἕνεκ’ αἰεὶ
ἐνθάδ’ ὁμιλέομεν, ποτιδέγμενοι ἤματα πάντα.
νῦν μέν τις καὶ ἔλπετ’ ἐνὶ φρεσὶν ἠδὲ μενοινᾶι
γῆμαι Πηνελόπειαν, Ὀδυσσῆος παράκοιτιν.
αὐτὰρ ἐπὴν τόξου πειρήσεται ἠδὲ ἴδηται,
ἄλλην δή τιν’ ἔπειτα Ἀχαιϊάδων ἐϋπέπλων
Lei- μνάσθω ἐέδνοισιν διζήμενος· ἡ δέ κ’ ἔπειτα
odes γήμαιθ’ ὅς κε πλεῖστα πόροι καὶ μόρσιμος ἔλθοι.”
22.312 “γουνοῦμαί σ’, Ὀδυσεῦ· σὺ δέ μ’ αἴδεο καί μ’ ἐλέησον·
οὐ γάρ πώ τινά φημι γυναικῶν ἐν μεγάροισιν
εἰπεῖν οὔτέ τι ῥέξαι ἀτάσθαλον· ἀλλὰ καὶ ἄλλους
παύεσκον μνηστῆρας, ὅ_τις τοιαῦτά γε ῥέζοι.
ἀλλά μοι οὐ πείθοντο κακῶν ἄπο χεῖρας ἔχεσθαι·
τῶι καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
Lei- αὐτὰρ ἐγὼ μετὰ τοῖσι θυοσκόος οὐδὲν ἐοργὼς
odes κείσομαι, ὡς οὐκ ἔστι χάρις μετόπισθ’ εὐεργέων.”

21.152 “ὦ φίλοι, οὐ μὲν ἐγὼ τανύω, λαβέτω δὲ καὶ ἄλλος.
πολλοὺς γὰρ τόδε τόξον ἀριστῆας κεκαδήσει
θυμοῦ καὶ ψυχῆς, ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν
τεθνάμεν ἢ ζώοντας ἁμαρτεῖν, οὗ_θ’ ἕνεκ’ αἰεὶ
ἐνθάδ’ ὁμιλέομεν, ποτιδέγμενοι ἤματα πάντα.
νῦν μέν τις καὶ ἔλπετ’ ἐνὶ φρεσὶν ἠδὲ μενοινᾶι
γῆμαι Πηνελόπειαν, Ὀδυσσῆος παράκοιτιν.
αὐτὰρ ἐπὴν τόξου πειρήσεται ἠδὲ ἴδηται,
ἄλλην δή τιν’ ἔπειτα Ἀχαιϊάδων ἐϋπέπλων
Lei- μνάσθω ἐέδνοισιν διζήμενος· ἡ δέ κ’ ἔπειτα
odes γήμαιθ’ ὅς κε πλεῖστα πόροι καὶ μόρσιμος ἔλθοι.”

“γουνοῦμαί σ’, Ὀδυσεῦ· σὺ δέ μ’ αἴδεο καί μ’ ἐλέησον· 22.312
οὐ γάρ πώ τινά φημι γυναικῶν ἐν μεγάροισιν
εἰπεῖν οὔτέ τι ῥέξαι ἀτάσθαλον· ἀλλὰ καὶ ἄλλους
παύεσκον μνηστῆρας, ὅ_τις τοιαῦτά γε ῥέζοι.
ἀλλά μοι οὐ πείθοντο κακῶν ἄπο χεῖρας ἔχεσθαι·
τῶι καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
αὐτὰρ ἐγὼ μετὰ τοῖσι θυοσκόος οὐδὲν ἐοργὼς Lei-
κείσομαι, ὡς οὐκ ἔστι χάρις μετόπισθ’ εὐεργέων.” odes

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 14 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES OF
(SUITOR OF PEN.)
LEIOKRITOS
IN THE ODYSSEY

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

2.243 “Μέντορ ἀταρτηρὲ, φρένας ἠλεὲ, ποῖον ἔειπες
ἡμέας ὀτρύνων καταπαυέμεν. ἀργαλέον δὲ
ἀνδράσι καὶ πλεόνεσσι μαχέσσασθαι περὶ δαιτί.
εἴ_περ γάρ κ’ Ὀδυσεὺς Ἰθακήσιος αὐτὸς ἐπελθὼν
δαινυμένους κατὰ δῶμα ἑὸν μνηστῆρας ἀγαυοὺς
ἐξελάσαι μεγάροιο μενοινήσει’ ἐνὶ θυμῶι,
οὔ κέν οἱ κεχάροιτο γυνὴ, μάλα περ χατέουσα,
ἐλθόντ’, ἀλλά κεν αὐτοῦ ἀεικέα πότμον ἐπίσποι,
εἰ πλεόνεσσι μάχοιτο· σὺ δ’ οὐ κατὰ μοῖραν ἔειπες.
ἀλλ’ ἄγε, λαοὶ μὲν σκίδνασθ’ ἐπὶ ἔργα ἕκαστος,
τούτωι δ’ ὀτρυνέει Μέντωρ ὁδὸν ἠδ’ Ἁλιθέρσης,
οἵ_τέ οἱ ἐξ ἀρχῆς πατρώϊοι εἰσιν ἑταῖροι.
Leio- ἀλλ’, ὀΐω, καὶ δηθὰ καθήμενος ἀγγελιάων
kritos πεύσεται εἰν Ἰθάκηι, τελέει δ’ ὁδὸν οὔ ποτε ταύτην.”

2.243 “Μέντορ ἀταρτηρὲ, φρένας ἠλεὲ, ποῖον ἔειπες
ἡμέας ὀτρύνων καταπαυέμεν. ἀργαλέον δὲ
ἀνδράσι καὶ πλεόνεσσι μαχέσσασθαι περὶ δαιτί.
εἴ_περ γάρ κ’ Ὀδυσεὺς Ἰθακήσιος αὐτὸς ἐπελθὼν
δαινυμένους κατὰ δῶμα ἑὸν μνηστῆρας ἀγαυοὺς
ἐξελάσαι μεγάροιο μενοινήσει’ ἐνὶ θυμῶι,
οὔ κέν οἱ κεχάροιτο γυνὴ, μάλα περ χατέουσα,
ἐλθόντ’, ἀλλά κεν αὐτοῦ ἀεικέα πότμον ἐπίσποι,
εἰ πλεόνεσσι μάχοιτο· σὺ δ’ οὐ κατὰ μοῖραν ἔειπες.
ἀλλ’ ἄγε, λαοὶ μὲν σκίδνασθ’ ἐπὶ ἔργα ἕκαστος,
τούτωι δ’ ὀτρυνέει Μέντωρ ὁδὸν ἠδ’ Ἁλιθέρσης,
οἵ_τέ οἱ ἐξ ἀρχῆς πατρώϊοι εἰσιν ἑταῖροι.
ἀλλ’, ὀΐω, καὶ δηθὰ καθήμενος ἀγγελιάων Leio-
πεύσεται εἰν Ἰθάκηι, τελέει δ’ ὁδὸν οὔ ποτε ταύτην.” kritos

Notes

Notes

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 104 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF TROJAN LOVE TRIANGLE

HELEN, HELENOS AND DEIPHOBOS

IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

3.172 “αἰδοῖός τέ μοί ἐσσι, φίλε ἑκυρέ, δεινός τε·
ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακὸς, ὁππότε δεῦρο
υἱέϊ σῶι ἑπόμην, θάλαμον γνωτούς τε λιποῦσα
παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν.
ἀλλὰ τά_γ' οὐκ ἐγένοντο· τὸ καὶ κλαίουσα τέτηκα.
τοῦτο δέ τοι ἐρέω, ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾶις·
οὗτός γ' Ἀτρεΐδης, εὐρὺ κρείων Ἀγαμέμνων,
ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής.
Helen δαὴρ αὖτ' ἐμὸς ἔσκε κυνώπιδος, εἴ_ποτ' ἔην γε.”
3.200 “οὗτος δ' αὖ Λαερτιάδης, πολύμητις Ὀδυσσεὺς,
ὃς τράφεν ἐν δήμωι Ἰθάκης κραναῆς περ ἐούσης
Helen εἰδὼς παντοίους τε δόλους καὶ μηδεα πυκνά.”
3.399 “δαιμονίη, τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν;
ἦ πήι με προτέρω πολίων εὖ_ναιομενάων
ἄξεις ἢ Φρυγίης, ἢ Μηιονίης ἐρατεινῆς,
εἴ τίς τοι καὶ κεῖθι φίλος μερόπων ἀνθρώπων;
οὕνεκα δὴ νῦν δῖον Ἀλέξανδρον Μενέλαος
νικήσας ἐθέλει στυγερὴν ἐμὲ οἴκαδ' ἄγεσθαι,
τοὔνεκα δὴ νῦν δεῦρο δολοφρονέουσα παρέστης;
ἧσο παρ' αὐτὸν ἰοῦσα, θεῶν δ' ἀπόειπε κελεύθου,
μηδ' ἔτι σοῖσι πόδεσσιν ὑποστρέψειας Ὄλυμπον,
ἀλλ' αἰεὶ περὶ κεῖνον ὀΐζυε καί ἑ φύλασσε,
εἰς_ὅ_κέ σ' ἢ' ἄλοχον ποιήσεται, ἢ' ὅ_γε δούλην.
κεῖσε δ' ἐγὼν οὐκ εἶμι — νεμεσσητὸν δέ κεν εἴη —
κείνου πορσανέουσα λέχος. Τρωιαὶ δέ μ' ὀπίσσω
Helen πᾶσαι μωμήσονται· ἔχω δ' ἄχε' ἄκριτα θυμῶι.”
3.428 “ἤλυθες ἐκ πολέμου· ὡς ὤφελες αὐτόθ' ὀλέσθαι,
ἀνδρὶ δαμεὶς κρατερῶι, ὃς ἐμὸς πρότερος πόσις ἦεν.
ἦ μὲν δὴ πρίν γ' εὔχε' ἀρηϊφίλου Μενελάου
σῆι τε βίηι καὶ χερσὶ καὶ ἔγχεϊ φέρτερος εἶναι·
ἀλλ' ἴθι νῦν προκάλεσσαι ἀρηΐφιλον Μενέλαον
ἐξαῦτις μαχέσασθαι ἐναντίον. ἀλλά σ' ἐγώ_γε
παύεσθαι κέλομαι, μηδὲ ξανθῶι Μενελάωι
ἀντίβιον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
Helen ἀφραδέως, μή πως τάχ' ὑπ' αὐτοῦ δουρὶ δαμήῃς.”
6.77 “Αἰνεία τε καὶ Ἕκτορ, ἐπεὶ πόνος ὔμμι μάλιστα
Τρώων καὶ Λυκίων ἐγκέκλιται, οὕνεκ' ἄριστοι
πᾶσαν ἐπ' ἰθύν ἐστε μάχεσθαί τε φρονέειν τε,
στῆτ' αὐτοῦ, καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων
πάντηι ἐποιχόμενοι, πρὶν αὖτ' ἐν χερσὶ γυναικῶν
φεύγοντας πεσέειν, δηΐοισι δὲ χάρμα γενέσθαι.
αὐτὰρ ἐπεί κε φάλαγγας ἐποτρύνητον ἁπάσας,
ἡμεῖς μὲν Δαναοῖσι μαχησόμεθ' αὖθι μένοντες,
καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει·
Ἕκτορ, ἀτὰρ σὺ πόλινδε μετέρχεο, εἰπὲ δ' ἔπειτα
μητέρι σῆι καὶ ἐμῆι· ἡ δὲ ξυνάγουσα γεραιὰς
νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλει ἄκρηι,

[ ]
[ ]
[ ]

οἴξασα κληῗδι θύρας ἱεροῖο δόμοιο,
πέπλον, ὅ οἱ δοκέει χαριέστατος ἠδὲ μέγιστος
εἶναι ἐνὶ μεγάρωι καί οἱ πολὺ φίλτατος αὐτῆι,
θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο,
καί οἱ ὑποσχέσθαι δυοκαίδεκα βοῦς ἐνὶ νηῶι
ἤνις ἠκέστας ἱερευσέμεν, αἴ κ' ἐλεήσηι
ἄστυ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα,
αἴ κεν Τυδέος υἱὸν ἀπόσχηι Ἰλίου ἱρῆς,
ἄγριον αἰχμητὴν, κρατερὸν μήστωρα φόβοιο,
ὃν δὴ ἐγὼ κάρτιστον Ἀχαιῶν φημὶ γενέσθαι.
οὐδ' Ἀχιλῆά ποθ' ὧδέ γ' ἐδείδιμεν, ὄρχαμον ἀνδρῶν, Helenos
ὅν_περ φασὶ θεᾶς ἐξ ἔμμεναι· ἀλλ' ὅδε λίην
μαίνεται, οὐδέ τίς οἱ δύναται μένος ἰσοφαρίζειν.”
“δᾶερ ἐμεῖο, κυνὸς κακομηχάνου, ὀκρυοέσσης, 6.344
ὥς μ' ὄφελ' ἤματι τῶι ὅτε με πρῶτον τέκε μήτηρ
οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα
εἰς ὄρος ἢ ἐς κῦμα πολυφλοίσβοιο θαλάσσης,
ἔνθα με κῦμ' ἀπόερσε πάρος τάδε ἔργα γενέσθαι.
αὐτὰρ ἐπεὶ τάδε γ' ὧδε θεοὶ κακὰ τεκμήραντο,
ἀνδρὸς ἔπειτ' ὤφελλον ἀμείνονος εἶναι ἄκοιτις,
ὃς εἴδη νέμεσίν τε καὶ αἴσχεα πόλλ' ἀνθρώπων.
τούτωι δ' οὔτ' ἂρ νῦν φρένες ἔμπεδοι οὔτ' ἄρ' ὀπίσσω
ἔσσονται· τοῦ καί μιν ἐπαυρήσεσθαι ὀΐω.
ἀλλ' ἄγε νῦν εἴσελθε καὶ ἕζεο τῶιδ' ἐπὶ δίφρωι,
δᾶερ, ἐπεί σε μάλιστα πόνος φρένας ἀμφιβέβηκεν
εἵνεκ' ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδρου ἕνεκ' ἄτης,
οἷσιν ἔπι Ζεὺς θῆκε κακὸν μόρον, ὡς καὶ ὀπίσσω
ἀνθρώποισι πελώμεθ' ἀοίδιμοι ἐσσομένοισιν.” Helen
“Ἕκτορ, υἱὲ Πριάμοιο, Διὶ μῆτιν ἀτάλαντε, 7.47
ἦ ῥά νύ μοί τι πίθοιο; κασίγνητος δέ τοί εἰμι·
ἄλλους μὲν κάθεσον Τρῶας καὶ πάντας Ἀχαιοὺς,
αὐτὸς δὲ προκάλεσσαι Ἀχαιῶν ὅς_τις ἄριστος
ἀντίβιον μαχέσασθαι ἐν αἰνῆι δηϊοτῆτι·
οὐ γάρ πώ τοι μοῖρα θανεῖν καὶ πότμον ἐπισπεῖν.
ὣς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν αἰειγενετάων.” Helenos
“οὐ μὰν αὖτ' ἄτιτος κεῖτ' Ἄσιος, ἀλλά ἕ φημι 13.414
εἰς Ἄϊδός περ ἰόντα πυλάρταο κρατεροῖο
γηθήσειν κατὰ θυμὸν, ἐπεί ῥά οἱ ὤπασα πομπόν.” Deiphobos
“Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ 13.463
γαμβρῶι ἀμυνέμεναι, εἴ_περ τί σε κῆδος ἱκάνει.
ἀλλ' ἕπευ, Ἀλκαθόωι ἐπαμύνομεν, ὅς σε πάρος περ
γαμβρὸς ἐὼν ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα·
τὸν δέ τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν.” Deiphobos
“Ἕκτορ, ἐμῶι θυμῶι δαέρων πολὺ φίλτατε πάντων, 24.762
ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδὴς,
ὅς μ' ἄγαγε Τροίηνδ'· ὡς πρὶν ὤφελλον ὀλέσθαι·
ἤδη γὰρ νῦν μοι τόδ' ἐεικοστὸν ἔτος ἐστὶν

[ ]
[ ]
[ ]

ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆς ἀπελήλυθα πάτρης·
ἀλλ' οὔ_πω σε_' ἄκουσα κακὸν ἔπος οὐδ' ἀσύφηλον·
ἀλλ' εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι
δαέρων, ἢ γαλόων, ἢ εἰνατέρων εὐπέπλων,
ἢ ἑκυρή — ἑκυρὸς δὲ πατὴρ ὣς ἤπιος αἰεί —
ἀλλὰ σὺ τόν_γ' ἐπέεσσι παραιφάμενος κατέρυκες,
σῆι τ' ἀγανοφροσύνηι καὶ σοῖς ἀγανοῖς ἐπέεσσιν.
τῶι σέ θ' ἅμα κλαίω καὶ ἔμ' ἄμμορον ἀχνυμένη κῆρ·
οὐ γάρ τίς μοι ἔτ' ἄλλος ἐνὶ Τροίηι εὐρείηι
Helen ἤπιος οὐδὲ φίλος, πάντες δέ με πεφρίκασιν."

3.172 “αἰδοῖός τέ μοί ἐσσι, φίλε ἑκυρέ, δεινός τε·
ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακὸς, ὁππότε δεῦρο
υἱέϊ σῶι ἑπόμην, θάλαμον γνωτούς τε λιποῦσα
παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν.
ἀλλὰ τά_γ' οὐκ ἐγένοντο· τὸ καὶ κλαίουσα τέτηκα.
τοῦτο δέ τοι ἐρέω, ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾶις·
οὗτός γ' Ἀτρεΐδης, εὐρὺ κρείων Ἀγαμέμνων,
ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής.
Helen δαὴρ αὖτ' ἐμὸς ἔσκε κυνώπιδος, εἴ_ποτ' ἔην γε.”
3.200 “οὗτος δ' αὖ Λαερτιάδης, πολύμητις Ὀδυσσεὺς,
ὃς τράφεν ἐν δήμωι Ἰθάκης κραναῆς περ ἐούσης
Helen εἰδὼς παντοίους τε δόλους καὶ μηδεα πυκνά.”
3.229 “οὗτος δ' Αἴας ἐστὶ πελώριος, ἕρκος Ἀχαιῶν·
Ἰδομενεὺς δ' ἑτέρωθεν ἐνὶ Κρήτεσσι θεὸς ὣς
ἕστηκ', ἀμφὶ δέ μιν Κρητῶν ἀγοὶ ἠγερέθονται.
πολλάκι μιν ξείνισσεν ἀρηΐφιλος Μενέλαος
οἴκωι ἐν ἡμετέρωι, ὁπότε Κρήτηθεν ἵκοιτο.
νῦν δ' ἄλλους μὲν πάντας ὁρῶ ἑλίκωπας Ἀχαιοὺς,
οὕς κεν ἐῢ γνοίην καί τ' οὔνομα μυθησαίμην·
δοιὼ δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν,
Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,
αὐτοκασιγνήτω, τώ μοι μία γείνατο μήτηρ.
ἦ οὐχ ἑσπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς,
ἢ δεύρω μὲν ἕποντο νέεσσ' ἔνι ποντοπόροισιν,
νῦν αὖτ' οὐκ ἐθέλουσι μάχην καταδύμεναι ἀνδρῶν,
Helen αἴσχεα δειδιότες καὶ ὀνείδεα πόλλ', ἅ μοί ἐστιν.”
3.399 “δαιμονίη, τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν;
ἦ πῆι με προτέρω πολίων εὖ_ναιομενάων
ἄξεις ἢ Φρυγίης, ἢ Μηιονίης ἐρατεινῆς,
εἴ τίς τοι καὶ κεῖθι φίλος μερόπων ἀνθρώπων;
οὕνεκα δὴ νῦν δῖον Ἀλέξανδρον Μενέλαος
νικήσας ἐθέλει στυγερὴν ἐμὲ οἴκαδ' ἄγεσθαι,
τοὔνεκα δὴ νῦν δεῦρο δολοφρονέουσα παρέστης;
ἧσο παρ' αὐτὸν ἰοῦσα, θεῶν δ' ἀπόειπε κελεύθου,
μηδ' ἔτι σοῖσι πόδεσσιν ὑποστρέψειας Ὄλυμπον,
ἀλλ' αἰεὶ περὶ κεῖνον ὀΐζυε καί ἑ φύλασσε,
εἰς_ὅ_κέ σ' ἢ' ἄλοχον ποιήσεται, ἢ' ὅ_γε δούλην.
κεῖσε δ' ἐγὼν οὐκ εἶμι — νεμεσσητὸν δέ κεν εἴη —
♦ κείνου πορσανέουσα λέχος. Τρωιαὶ δέ μ' ὀπίσσω
Helen πᾶσαι μωμήσονται· ἔχω δ' ἄχε' ἄκριτα θυμῶι.”
3.428 “ἤλυθες ἐκ πολέμου· ὡς ὤφελες αὐτόθ' ὀλέσθαι,
ἀνδρὶ δαμεὶς κρατερῶι, ὃς ἐμὸς πρότερος πόσις ἦεν.
ἦ μὲν δὴ πρίν γ' εὔχε' ἀρηϊφίλου Μενελάου
σῆι τε βίηι καὶ χερσὶ καὶ ἔγχεϊ φέρτερος εἶναι·
ἀλλ' ἴθι νῦν προκάλεσσαι ἀρηΐφιλον Μενέλαον
ἐξαῦτις μαχέσασθαι ἐναντίον. ἀλλά σ' ἐγώ_γε
παύεσθαι κέλομαι, μηδὲ ξανθῶι Μενελάωι
ἀντίβιον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
Helen ἀφραδέως, μή πως τάχ' ὑπ' αὐτοῦ δουρὶ δαμήηις.”
4.235 “Ἀτρεΐδη Μενέλαε διοτρεφὲς ἠδὲ καὶ οἵδε

“Αἰνεία τε καὶ Ἕκτορ, ἐπεὶ πόνος ὔμμι μάλιστα 6.77
Τρώων καὶ Λυκίων ἐγκέκλιται, οὕνεκ' ἄριστοι
πᾶσαν ἐπ' ἰθύν ἐστε μάχεσθαί τε φρονέειν τε,
στῆτ' αὐτοῦ, καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων
πάντηι ἐποιχόμενοι, πρὶν αὖτ' ἐν χερσὶ γυναικῶν
φεύγοντας πεσέειν, δηΐοισι δὲ χάρμα γενέσθαι.
αὐτὰρ ἐπεί κε φάλαγγας ἐποτρύνητον ἁπάσας,
ἡμεῖς μὲν Δαναοῖσι μαχησόμεθ' αὖθι μένοντες,
καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει·
Ἕκτορ, ἀτὰρ σὺ πόλινδε μετέρχεο, εἰπὲ δ' ἔπειτα
μητέρι σῆι καὶ ἐμῆι· ἡ δὲ ξυνάγουσα γεραιὰς
νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλει ἄκρηι,
οἴξασα κληῗδι θύρας ἱεροῖο δόμοιο,
πέπλον, ὅ οἱ δοκέει χαριέστατος ἠδὲ μέγιστος
εἶναι ἐνὶ μεγάρωι καί οἱ πολὺ φίλτατος αὐτῆι,
θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο,
καί οἱ ὑποσχέσθαι δυοκαίδεκα βοῦς ἐνὶ νηῶι
ἤνις ἠκέστας ἱερευσέμεν, αἴ κ' ἐλεήσηι
ἄστυ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα,
αἴ κεν Τυδέος υἱὸν ἀπόσχηι Ἰλίου ἱρῆς,
ἄγριον αἰχμητὴν, κρατερὸν μήστωρα φόβοιο,
ὃν δὴ ἐγὼ κάρτιστον Ἀχαιῶν φημὶ γενέσθαι.
οὐδ' Ἀχιλῆά ποθ' ὧδέ γ' ἐδείδιμεν, ὄρχαμον ἀνδρῶν, Helenos
ὅν_περ φασὶ θεᾶς ἐξ ἔμμεναι· ἀλλ' ὅδε λίην
μαίνεται, οὐδέ τίς οἱ δύναται μένος ἰσοφαρίζειν.”
“Ἕκτορ, υἱὲ Πριάμοιο, Διὶ μῆτιν ἀτάλαντε, 7.47
ἦ ῥά νύ μοί τι πίθοιο; κασίγνητος δέ τοί εἰμι·
ἄλλους μὲν κάθεσον Τρῶας καὶ πάντας Ἀχαιοὺς,
αὐτὸς δὲ προκάλεσσαι Ἀχαιῶν ὅς_τις ἄριστος
ἀντίβιον μαχέσασθαι ἐν αἰνῆι δηϊοτῆτι·
οὐ γάρ πώ τοι μοῖρα θανεῖν καὶ πότμον ἐπισπεῖν.
ὣς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν αἰειγενετάων.” Helenos

13.414 “οὐ μὰν αὖτ’ ἄτιτος κεῖτ’ Ἄσιος, ἀλλά ἕ φημι
Dei- εἰς Ἄϊδός περ ἰόντα πυλάρταο κρατεροῖο
phobos γηθήσειν κατὰ θυμὸν, ἐπεί ῥά οἱ ὤπασα πομπόν.”

13.463 “Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ
γαμβρῶι ἀμυνέμεναι, εἰ_περ τί σε κῆδος ἱκάνει.
ἀλλ’ ἕπευ, Ἀλκαθόωι ἐπαμύνομεν, ὅς σε πάρος περ
Dei- γαμβρὸς ἐὼν ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα·
phobos τὸν δέ τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν.”

13.414 “οὐ μὰν αὖτ’ ἄτιτος κεῖτ’ Ἄσιος, ἀλλά ἕ φημι
Dei- εἰς Ἄϊδός περ ἰόντα πυλάρταο κρατεροῖο
phobos γηθήσειν κατὰ θυμὸν, ἐπεί ῥά οἱ ὤπασα πομπόν.”
13.463 “Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ
γαμβρῶι ἀμυνέμεναι, εἰ_περ τί σε κῆδος ἱκάνει.
ἀλλ’ ἕπευ, Ἀλκαθόωι ἐπαμύνομεν, ὅς σε πάρος περ
Dei- γαμβρὸς ἐὼν ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα·
phobos τὸν δέ τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν.”

Notes

Notes

EXCLUDES PARTIAL SPOKEN LINES:

6.479 καί ποτέ τις εἴποι ‘πατρός γ’ ὅδε πολλὸν ἀμείνων’
15.82 “ἔνθ’ εἴην, ἢ ἔνθα”, μενοινήῃσί τε πολλὰ,

ALTERNATING: ILIAD ASCENDS AND OD. DESCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 **100** lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES ATTRIBUTED TO “SOMEONE” (τις) IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

2.272 “ὢ πόποι, ἦ δὴ μυρί’ Ὀδυσσεὺς ἐσθλὰ ἔοργεν
βουλάς τ’ ἐξάρχων ἀγαθὰς πόλεμόν τε κορύσσων,
νῦν δὲ τόδε μέγ’ ἄριστον ἐν Ἀργείοισιν ἔρεξεν,
ὃς τὸν λωβητῆρα ἐπεσβόλον ἔσχ’ ἀγοράων.
οὔ θήν μιν πάλιν αὖτις ἀνήσει θυμὸς ἀγήνωρ
τις νεικείειν **βασιλῆας** ὀνειδείοις ἐπέεσσιν.”
23.149 “ἦ μάλα δή τις ἔγημε πολυμνήστην **βασίλειαν**·
σχετλίη, οὐδ’ ἔτλη πόσιος οὗ κουριδίοιο
τις εἴρυσθαι μέγα δῶμα διαμπερὲς, ὄφρ’ ἂν ἵκοιτο.”
3.298 “Ζεῦ κύδιστε μέγιστε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν,
ὧδέ σφ’ ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος,
τις αὐτῶν καὶ τεκέων, ἄλοχοι δ’ ἄλλοισι δαμεῖεν.”
21.402 “αἲ γὰρ δὴ τοσσοῦτον ὀνήσιος ἀντιάσειεν,
ὡς οὗτός ποτε τοῦτο δυνήσεται ἐντανύσασθαι.”
3.320 “Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε,
ὁππότερος τάδε ἔργα μετ’ ἀμφοτέροισιν ἔθηκεν,
τὸν δὸς ἀποφθίμενον δῦναι δόμον Ἄϊδος εἴσω,
τις ἡμῖν αὖ φιλότητα καὶ ὅρκια πιστὰ γενέσθαι.”
21.397 “ἦ τις θηητὴρ καὶ ἐπίκλοπος ἔπλετο τόξων·
ἤ ῥά νύ που τοιαῦτα καὶ αὐτῶι οἴκοθι κεῖται,
ἦ ὅ_γ’ ἐφορμᾶται ποιησέμεν, ὡς ἐνὶ χερσὶν
τις νωμᾶι ἔνθα καὶ ἔνθα **κακῶν** ἔμπαιος ἀλήτης.”
4.82 “ἦ ῥ’ αὖτις πόλεμός τε **κακὸς** καὶ φύλοπις αἰνὴ
ἔσσεται, ἦ φιλότητα μετ’ ἀμφοτέροισι τίθησιν
τις Ζεύς, ὅς τ’ ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.”
21.362 “πῆι δὴ καμπύλα τόξα φέρεις, ἀμέγαρτε συβῶτα,
πλαγκτέ; τάχ’ αὖ σ’ ἐφ’ ὕεσσι κύνες ταχέες κατέδονται
οἶον ἀπ’ ἀνθρώπων, οὓς ἔτρεφες, εἴ κεν Ἀπόλλων
τις ἡμῖν ἱλήκησι καὶ ἀθάνατοι θεοὶ ἄλλοι.”
6.460 ‘Ἕκτορος ἥδε γυνή, ὃς ἀριστεύεσκε μάχεσθαι
τις Τρώων ἱπποδάμων, ὅτε Ἴλιον ἀμφεμάχοντο.’
20.376 “Τηλέμαχ’ οὔ_τις σεῖο κακοξεινώτερος ἄλλος·
οἷον μέν τινα τοῦτον ἔχεις ἐπίμαστον ἀλήτην,
σίτου καὶ οἴνου κεχρημένον, οὐδέ τι ἔργων
ἔμπαιον οὐδὲ βίης, ἀλλ’ αὔτως ἄχθος ἀρούρης.
ἄλλος δ’ αὖτέ τις οὗτος ἀνέστη μαντεύεσθαι.
ἀλλ’ εἴ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη·
τοὺς ξείνους ἐν **νηῒ πολυκλήϊδι** βαλόντες
τις ἐς Σικελοὺς πέμψωμεν, ὅθεν κέ τοι ἄξιον ἄλφοι.”
7.89 ‘ἀνδρὸς μὲν τόδε σῆμα πάλαι κατατεθνηῶτος,
τις ὅν ποτ’ ἀριστεύοντα **κατέκτανε** φαίδιμος Ἕκτωρ.’
τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε,
ἦ τι μεταστρέψεις; στρεπταὶ μέν τε φρένες ἐσθλῶν.
οἶσθ’ ὡς πρεσβυτέροισιν Ἐρινύες αἰὲν ἕπονται.” Iris
“ὄρσεο, Πηλεΐδη, πάντων ἐκπαγλότατ’ ἀνδρῶν· 18.170
Πατρόκλωι ἐπάμυνον, οὗ εἵνεκα φύλοπις αἰνὴ
ἕστηκε πρὸ νεῶν, οἱ δ’ ἀλλήλους ὀλέκουσιν,
οἱ μὲν ἀμυνόμενοι νέκυος πέρι τεθνηῶτος,

οἱ δὲ ἐρύσσασθαι προτὶ Ἴλιον ἠνεμόεσσαν
Τρῶες ἐπιθύουσι. μάλιστα δὲ φαίδιμος Ἕκτωρ
ἑλκέμεναι μέμονεν· κεφαλὴν δέ ἑ θυμὸς ἄνωγει
πῆξαι ἀνὰ σκολόπεσσι, ταμόνθ’ ἁπαλῆς ἀπὸ δειρῆς.
ἀλλ’ ἄνα, μηδ’ ἔτι κεῖσο· σέβας δέ σε θυμὸν ἱκέσθω,
Πάτροκλον Τρωιῇσι κυσὶν μέλπηθρα γενέσθαι·
Iris σοὶ λώβη, αἴ κέν τι νέκυς ᾐσχυμμένος ἔλθηι."
18.184 "Ἥρη με προέηκε, Διὸς κυδρὴ παράκοιτις·
οὐδ’ οἶδε Κρονίδης ὑψίζυγος οὐδέ τις ἄλλος
Iris ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται."
18.197 "εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι κλυτὰ τεύχε’ ἔχονται·
ἀλλ’ αὔτως ἐπὶ τάφρον ἰὼν Τρώεσσι φάνηθι,
αἴ κέ σ’ ὑποδδείσαντες ἀπόσχωνται πολέμοιο.
✦ Τρῶες, ἀναπνεύσωσι δ’ Ἀρήϊοι υἷες Ἀχαιῶν
Iris τειρόμενοι· ὀλίγη δέ τ’ ἀνάπνευσις πολέμοιο."
21.498 "Λητοῖ, ἐγὼ δέ τοι οὔ_τι μαχήσομαι· ἀργαλέον δὲ
πληκτίζεσθ’ ἀλόχοισι Διὸς νεφεληγερέταο·
ἀλλὰ μάλα πρόφρασσα μετ’ ἀθανάτοισι θεοῖσιν
Hermes εὔχεσθαι ἐμὲ νικῆσαι κρατερῆφι βίηφιν."
23.205 "οὐχ ἕδος· εἶμι γὰρ αὖτις ἐπ’ Ὠκεανοῖο ῥέεθρα,
Αἰθιόπων ἐς γαῖαν, ὅθι ῥέζουσ’ ἑκατόμβας
ἀθανάτοις, ἵνα δὴ καὶ ἐγὼ μεταδαίσομαι ἱρῶν·
ἀλλ’ Ἀχιλεὺς Βορέην ἠδὲ Ζέφυρον κελαδεινὸν
ἐλθεῖν ἀρᾶται, καὶ ὑπίσχεται ἱερὰ καλὰ,
ὄφρα πυρὴν ὄρσητε καήμεναι, ᾗ ἔνι κεῖται
Iris Πάτροκλος, τὸν πάντες ἀναστενάχουσιν Ἀχαιοί.
24.88 Iris "ὄρσο, Θέτι· καλέει Ζεὺς ἄφθιτα μήδεα εἰδώς."
24.171 "θάρσει, Δαρδανίδη Πρίαμε, φρεσὶ, μηδέ τι τάρβει·
οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ’ ἱκάνω,
ἀλλ ἀγαθὰ φρονέουσα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὅς σε_ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ’ ἐλεαίρει.
λύσασθαί σ’ ἐκέλευεν Ὀλύμπιος Ἕκτορα δῖον,
δῶρα δ’ Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνηι,
οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.
κῆρύξ τίς τοι ἕποιτο γεραίτερος, ὅς κ’ ἰθύνοι
ἡμιόνους καὶ ἅμαξαν ἐΰτροχον, ἠδὲ καὶ αὖτις
νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
μηδέ τί τοι θάνατος μελέτω φρεσὶ μηδέ τι τάρβος·
τοῖος γάρ τοι πομπὸς ἅμ’ ἕψεται Ἀργειφόντης,
ὅς σ’ ἄξει, εἵως κεν ἄγων Ἀχιλῆϊ πελάσσηι.
αὐτὰρ ἐπὴν ἀγάγησιν ἔσω κλισίην Ἀχιλῆος,
οὔτ’ αὐτὸς κτενέει ἀπό τ’ ἄλλους πάντας ἐρύξει·
οὔτε γάρ ἐστ’ ἄφρων οὔτ’ ἄσκοπος οὔτ’ ἀλιτήμων,
Iris ἀλλὰ μάλ’ ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός."
24.354 "φράζεο, Δαρδανίδη· φραδέος νόου ἔργα τέτυκται.
ἄνδρ’ ὁρόω, τάχα δ’ ἄμμε διαρραίσεσθαι ὀΐω.
ἀλλ’ ἄγε δὴ φεύγωμεν ἐφ’ ἵππων, ἤ μιν ἔπειτα
γούνων ἁψάμενοι λιτανεύσομεν, αἴ κ’ ἐλεήσηι."
24.362 "πῆι, πάτερ, ὧδ’ ἵππους τε καὶ ἡμιόνους ἰθύνεις
νύκτα δι’ ἀμβροσίην, ὅτε θ’ εὕδουσι βροτοὶ ἄλλοι;
οὐδὲ σύ_γ’ ἔδδεισας μένεα πνείοντας Ἀχαιοὺς,
οἵ τοι δυσμενέες καὶ ἀνάρσιοι ἐγγὺς ἔασιν;
τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν
τοσσάδ’ ὀνείατ’ ἄγοντα, τίς ἂν δή τοι νόος εἴη;
οὔτ’ αὐτὸς νέος ἐσσὶ, γέρων δέ τοι οὗτος ὀπηδεῖ,
ἄνδρ’ ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνηι.
ἀλλ’ ἐγὼ οὐδέν σε ῥέξω κακὰ, καὶ δέ κεν ἄλλον
σεῦ ἀπαλεξήσαιμι· φίλωι δέ σε πατρὶ ἐΐσκω." Hermes
"ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπες. 24.379
ἀλλ’ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ἠέ πηι ἐκπέμπεις κειμήλια πολλὰ καὶ ἐσθλὰ
ἄνδρας ἐς ἀλλοδαποὺς, ἵνα τοι τάδε περ σόα μίμνηι,
ἦ ἤδη πάντες καταλείπετε Ἴλιον ἱρὴν
δειδιότες· τοῖος γὰρ ἀνὴρ ὤριστος ὄλωλεν
σὸς παῖς· οὐ μὲν γάρ τι μάχης ἐπεδεύετ’ Ἀχαιῶν." Hermes
"πειρᾶι ἐμεῖο, γεραιὲ, καὶ εἴρεαι Ἕκτορα δῖον. 24.390
τὸν μὲν ἐγὼ μάλα πολλὰ μάχηι ἔνι κυδιανείρηι
ὀφθαλμοῖσιν ὄπωπα, καὶ εὖτ’ ἐπὶ νηυσὶν ἐλάσσας
Ἀργείους κτείνεσκε, δαΐζων ὀξέϊ χαλκῶι.
ἡμεῖς δ’ ἑσταότες θαυμάζομεν· οὐ γὰρ Ἀχιλλεὺς
εἴα μάρνασθαι, κεχολωμένος Ἀτρείωνι.
τοῦ γὰρ ἐγὼ θεράπων, μία δ’ ἤγαγε νηῦς εὐεργής·
Μυρμιδόνων δ’ ἔξ_εἰμι, πατὴρ δέ μοί ἐστι Πολύκτωρ.
ἀφνειὸς μὲν ὅ_γ’ ἐστι, γέρων δὲ δὴ ὡς σύ_περ ὧδε,
ἓξ δέ οἱ υἷες ἔασιν, ἐγὼ δέ οἱ ἕβδομός εἰμι·
τῶν μέτα παλλόμενος κλήρωι λάχον ἐνθάδ’ ἕπεσθαι.
νῦν δ’ ἦλθον πεδίονδ’ ἀπὸ νηῶν· ἠῶθεν γὰρ
θήσονται περὶ ἄστυ μάχην ἑλίκωπες Ἀχαιοί.
ἀσχαλόωσι γὰρ οἵδε καθήμενοι, οὐδὲ δύνανται
ἴσχειν ἐσσυμένους πολέμου βασιλῆες Ἀχαιῶν." ✦ Hermes
"ὦ γέρον, οὔ_πω τόν_γε κύνες φάγον οὐδ’ οἰωνοὶ, 24.411
ἀλλ’ ἔτι κεῖνος κεῖται Ἀχιλλῆος παρὰ νηῒ
αὔτως ἐν κλισίηισι. δυωδεκάτη δέ οἱ ἤδη
κειμένωι, οὐδέ τί οἱ χρὼς σήπεται, οὐδέ μιν εὐλαὶ
ἔσθουσ’, αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν.
ἦ μέν μιν περὶ σῆμα ἑοῦ ἑτάροιο φίλοιο
ἕλκει ἀκηδέστως, ἠὼς ὅτε δῖα φανήηι·
οὐδέ μιν αἰσχύνει· θηοῖό κεν αὐτὸς ἐπελθὼν,
οἷον ἐερσήεις κεῖται, περὶ δ’ αἷμα νένιπται,
οὐδέ ποθι μιαρός· σὺν δ’ ἕλκεα πάντα μέμυκεν,
ὅσσ’ ἐτύπη· πολέες γὰρ ἐν αὐτῶι χαλκὸν ἔλασσαν.
ὥς τοι κήδονται μάκαρες θεοὶ υἷος ἑῆος,
καὶ νέκυός περ ἐόντος, ἐπεὶ σφι φίλος περὶ κῆρι." Hermes
"πειρᾶι ἐμεῖο, γεραιὲ, νεωτέρου, οὐδέ με πείσεις, 24.433
ὅς με κέλεαι σέο δῶρα πάρεξ Ἀχιλῆα δέχεσθαι.
τὸν μὲν ἐγὼ δείδοικα καὶ αἰδέομαι περὶ κῆρι
συλεύειν, μη μοί τι κακὸν μετόπισθε γένηται.
σοὶ δ’ ἂν ἐγὼ πομπὸς καί κε κλυτὸν Ἄργος ἱκοίμην
ἐνδυκέως ἐν νηῒ θοῆι ἢ πεζὸς ἁμαρτέων·
οὐκ ἄν τίς τοι, πομπὸν ὀνοσσάμενος, μαχέσαιτο." Hermes

24.460 “ὦ γέρον, ἤτοι ἐγὼ θεὸς ἄμβροτος εἰλήλουθα,
Ἑρμείας· σοὶ γάρ με πατὴρ ἅμα πομπὸν ὄπασσεν·
ἀλλ’ ἤτοι μὲν ἐγὼ πάλιν εἴσομαι, οὐδ’ Ἀχιλῆος
ὀφθαλμοὺς εἴσειμι· νεμεσσητὸν δέ κεν εἴη,
ἀθάνατον θεὸν ὧδε βροτοὺς ἀγαπαζέμεν ἄντην·
τύνη δ’ εἰσελθὼν λαβὲ γούνατα Πηλείωνος,
καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος ἠϋκόμοιο
Hermes λίσσεο καὶ τέκεος, ἵνα οἱ σὺν θυμὸν ὀρίνηις.”

24.683 “ὦ γέρον, οὔ νύ τι σοί γε μέλει κακὸν, οἷον ἔθ’ εὕδεις
ἀνδράσιν ἐν δηΐοισιν, ἐπεί σ’ εἴασεν Ἀχιλλεύς.
καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ’ ἔδωκας·
σεῖο δέ κε ζωοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα
Hermes παῖδες τοι μετόπισθε λελειμμένοι, αἴ κ’ Ἀγαμέμνων
γνώηι σ’ Ἀτρείδης, γνώωσι δὲ πάντες Ἀχαιοί.”

16. Πρὸς δὲ τούτωι τὸ μηκέτι ταράττεσθαι σφόδρα μηδ’ ἐρυθριᾶν μηδὲ κατακρύπτειν ἢ μετασχηματίζειν τι τῶν καθ’ ἑαυτόν, ἀνδρὸς ἐνδόξου καὶ σώφρονος ἐξαπίνης ἐπιφανέντος, ἀλλὰ θαρρεῖν ὁμόσε χωροῦντα τοῖς τοιούτοις ἔχει τοῦ συνειδότος τινὰ βεβαίωσιν. Ἀλέξανδρος μὲν γὰρ ὡς ἔοικεν **ἄγγελον ἰδὼν περιχαρῆι προσθέοντα** καὶ τὴν δεξιὰν προτείνοντα “τί μοι μέλλεις,” εἶπεν, “ὦ τᾶν ἀπαγγελεῖν; ἢ ὅτι **Ὅμηρος ἀναβεβίωκεν;**” οὐδενὸς αὐτῶι τὰ πράγματα πλὴν ὑστεροφημίας ἐνδεῖν οἰόμενος. νέωι δ’ ἀνδρὶ βελτιουμένωι τὸ ἦθος οὐδενὸς ἔρως ἐμφύεται μᾶλλον ἢ καλοῖς κἀγαθοῖς ἀνδράσιν ἐγκαλλωπίσασθαι καὶ παρασχεῖν οἰκίαν αὑτοῦ καταφανῆ, τράπεζαν, γυναῖκα, παιδία, σπουδήν, **λόγους λεγομένους** ἢ **γραφομένους**, ὥστε καὶ δάκνεσθαι πατρὸς τεθνεῶτος ἢ καθηγητοῦ μεμνημένον οὐκ ἐπιδόντος αὐτὸν ἐν διαθέσει τοιαύτηι, καὶ μηδὲν ἂν οὕτως εὔξασθαι παρὰ τῶν θεῶν, ὡς ἐκείνους ἀναβιώσαντας αὐτῶι γενέσθαι τοῦ βίου καὶ τῶν πράξεων θεατάς. ὥσπερ αὖ τοὐναντίον οἱ καταμελήσαντες ἑαυτῶν καὶ διαφθαρέντες οὐδ’ ἐν ὕπνωι τοὺς προσήκοντας ἀτρέμα καὶ ἀδεῶς ὁρῶσιν.

Plutarch, Moralia, Progress in Virtue, 16
(Loeb, vol 1, 1927)

THE
SPOKEN LINES
OF
MESSENGERS
IN THE ODYSSEY

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 91 lines 3.0

4.697 “αἲ γὰρ δή, βασίλεια, τόδε πλεῖστον κακὸν εἴη.
ἀλλὰ πολὺ μεῖζόν τε καὶ ἀργαλεώτερον ἄλλο
μνηστῆρες φράζονται, ὃ μὴ τελέσειε Κρονίων·
Τηλέμαχον μεμάασι κατακτάμεν ὀξέϊ χαλκῶι
οἴκαδε νισόμενον. ὁ δ’ ἔβη μετὰ πατρὸς ἀκουὴν
Medon ἐς Πύλον ἠγαθέην ἠδ’ ἐς Λακεδαίμονα δίαν.”
4.712 “οὐκ οἶδ’ ἤ τίς μιν θεὸς ὤρορεν, ἦε καὶ αὐτοῦ
θυμὸς ἐφωρμήθη ἴμεν ἐς Πύλον, ὄφρα πύθηται
Medon πατρὸς ἑοῦ ἢ νόστον, ἢ ὅν_τινα πότμον ἐπέσπεν.”
4.804 “εὕδεις, Πηνελόπεια, φίλον τετιημένη ἦτορ;
οὐ μέν σ’ οὐδὲ ἐῶσι θεοὶ ῥεῖα ζώοντες
κλαίειν οὐδ’ ἀκάχησθαι, ἐπεί ῥ’ ἔτι νόστιμός ἐστιν
Eidolon σὸς παῖς· οὐ μὲν γάρ τι θεοῖς ἀλιτήμενός ἐστιν.”
4.825 “θάρσει, μηδέ τι πάγχυ μετὰ φρεσὶ δείδιθι λίην
τοίη γάρ οἱ πομπὸς ἅμ’ ἔρχεται, ἥν_τε καὶ ἄλλοι
ἀνέρες ἠρήσαντο παρεστάμεναι — δύναται γάρ —
Παλλὰς Ἀθηναίη· σὲ δ’ ὀδυρομένην ἐλεαίρει·
Eidolon ἣ νῦν με προέηκε τεῒν τάδε μυθήσασθαι.”
4.836 “οὐ μέν τοι κεῖνόν γε διηνεκέως ἀγορεύσω,
Eidolon ζώει ὅ γ’ ἦ τέθνηκε· κακὸν δ’ ἀνεμώλια βάζειν.”
5.97 “εἰρωτᾶις μ’ ἐλθόντα θεὰ θεόν· αὐτὰρ ἐγώ τοι
νημερτέως τὸν μῦθον ἐνισπήσω· κέλεαι γάρ.
Ζεὺς ἐμέ γ’ ἠνώγει δεῦρ’ ἐλθέμεν οὐκ ἐθέλοντα·
τίς δ’ ἂν ἑκὼν τοσσόνδε διαδράμοι ἁλμυρὸν ὕδωρ
ἄσπετον; οὐδέ τις ἄγχι βροτῶν πόλις, οἵ_τε θεοῖσιν
ἱερά τε ῥέζουσι καὶ ἐξαίτους ἑκατόμβας.
ἀλλὰ μάλ’ οὔ_πως ἔστι Διὸς νόον αἰγιόχοιο
οὔτε παρεξελθεῖν ἄλλον θεὸν οὔθ’ ἁλιῶσαι.
φησί τοι ἄνδρα παρεῖναι ὀϊζυρώτατον ἄλλων,
τῶν ἀνδρῶν οἳ ἄστυ πέρι Πριάμοιο μάχοντο
εἰνάετες, δεκάτωι δὲ πόλιν πέρσαντες ἔβησαν
οἴκαδ’· ἀτὰρ ἐν νόστωι Ἀθηναίην ἀλίτοντο,
ἥ σφιν ἐπῶρσ’ ἄνεμόν τε κακὸν καὶ κύματα μακρά.
ἔνθ’ ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,
τὸν δ’ ἄρα δεῦρ’ ἄνεμός τε φέρων καὶ κῦμα πέλασσεν.
τὸν νῦν σ’ ἠνώγειν ἀποπεμπέμεν ὅττι τάχιστα·
οὐ γάρ οἱ τῆιδ’ αἶσα φίλων ἀπὸ νόσφιν ὀλέσθαι,
ἀλλ’ ἔτι οἱ μοῖρ’ ἐστὶ φίλους τ’ ἰδέειν καὶ ἱκέσθαι
Hermes οἶκον ἐς ὑψόροφον καὶ ἑὴν ἐς πατρίδα γαῖαν.”
5.146 “οὕτω νῦν ἀπόπεμπε, Διὸς δ’ ἐποπίζεο μῆνιν,
Hermes μή_πώς τοι μετόπισθε κοτεσσάμενος χαλεπήνηι.”
8.339 “αἲ γὰρ τοῦτο γένοιτο, ἄναξ ἑκατηβόλ’ Ἄπολλον·
δεσμοὶ μὲν τρὶς τόσσοι ἀπείρονες ἀμφὶς ἔχοιεν,
ὑμεῖς δ’ εἰσορόωιτε θεοὶ πᾶσαί τε θέαιναι,
Hermes αὐτὰρ ἐγὼν εὕδοιμι παρὰ χρυσῆι Ἀφροδίτηι.”
10.281 “πῆι δὴ αὖτ’, ὦ δύστηνε, δι’ ἄκριας ἔρχεαι οἶος,
χώρου ἄϊδρις ἐών; ἕταροι δέ τοι οἵδ’ ἐνὶ Κίρκης
ἔρχαται ὥς_τε σύες, πυκινοὺς κευθμῶνας ἔχοντες.
ἦ τοὺς λυσόμενος δεῦρ’ ἔρχεαι; οὐδέ σέ φημι
αὐτὸν νοστήσειν, μενέεις δὲ σύ_γ’ ἔνθα περ ἄλλοι.
ἀλλ’ ἄγε δή σε κακῶν ἐκλύσομαι ἠδὲ σαώσω·
τῆ, τόδε φάρμακον ἐσθλὸν ἔχων ἐς δώματα Κίρκης
ἔρχευ, ὅ κέν τοι κρατὸς ἀλάλκησιν κακὸν ἦμαρ.
πάντα δέ τοι ἐρέω ὀλοφώϊα δήνεα Κίρκης·
τεύξει τοι κυκεῶ, βαλέει δ’ ἐν φάρμακα σίτωι·
ἀλλ’ οὐδ’ ὧς θέλξαί σε δυνήσεται· οὐ γὰρ ἐάσει
φάρμακον ἐσθλόν, ὅ τοι δώσω, ἐρέω δὲ ἕκαστα.
ὁππότε κεν Κίρκη σ’ ἐλάσηι περιμήκεϊ ῥάβδωι,
δὴ τότε σὺ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
Κίρκηι ἐπαῖξαι ὥς_τε κτάμεναι μενεαίνων.
ἡ δέ σ’ ὑποδδείσασα κελήσεται εὐνηθῆναι·
ἔνθα σὺ μηκέτ’ ἔπειτ’ ἀπανήνασθαι θεοῦ εὐνήν,
ὄφρα κέ τοι λύσηι θ’ ἑτάρους αὐτόν τε κομίσσηι·
ἀλλὰ κέλεσθαί μιν μακάρων μέγαν ὅρκον ὀμόσσαι
μή_τί σοι αὐτῶι πῆμα κακὸν βουλευσέμεν ἄλλο,
μή σ’ ἀπογυμνωθέντα κακὸν καὶ ἀνήνορα θείηι.” Hermes
“ἤδη τοι, βασίλεια, φίλος παῖς εἰλήλουθεν.” ? 16.337
“κοῦροι, ἐπεὶ δὴ πάντες ἐτέρφθητε φρέν’ ἀέθλοις, 17.174
ἔρχεσθε πρὸς δώμαθ’, ἵν’ ἐντυνώμεθα δαῖτα·
οὐ μὲν γάρ τι χέρειον ἐν ὥρηι δεῖπνον ἑλέσθαι.” Medon
“εἶκε, γέρον, προθύρου, μὴ δὴ τάχα καὶ ποδὸς ἕλκηι. 18.10
οὐκ ἀΐεις ὅτι δή μοι ἐπιλλίζουσιν ἅπαντες,
ἑλκέμεναι δὲ κέλονται; ἐγὼ δ’ αἰσχύνομαι ἔμπης.
ἀλλ’ ἄνα, μὴ τάχα νῶϊν ἔρις καὶ χερσὶ γένηται.” Iros
“ὢ πόποι, ὡς ὁ μολοβρὸς ἐπιτροχάδην ἀγορεύει, 18.26
γρηῒ καμινοῖ ἶσος· ὃν ἂν κακὰ μητισαίμην
κόπτων ἀμφοτέρηισι, χαμαὶ δ’ ἐκ πάντας ὀδόντας ◆
γναθμῶν ἐξελάσαιμι συὸς ὣς ληϊβοτείρης.
ζῶσαι νῦν, ἵνα πάντες ἐπιγνώωσι καὶ οἵδε
μαρναμένους. πῶς δ’ ἂν σὺ νεωτέρωι ἀνδρὶ μάχοιο;” Iros
“ὦ φίλ’, ἐγὼ μὲν ὅδ’ εἰμί, σὺ δ’ ἴσχεο· εἰπὲ δὲ πατρὶ 22.367
μή με περισθενέων δηλήσεται ὀξέϊ χαλκῶι,
ἀνδρῶν μνηστήρων κεχολωμένος, οἵ οἱ ἔκειρον Medon
κτήματ’ ἐνὶ μεγάροις, σὲ δὲ νήπιοι οὐδὲν ἔτιον.”
“κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι· οὐ γὰρ Ὀδυσσεὺς 24.443
ἀθανάτων ἀέκητι θεῶν τάδε μήσατο ἔργα·
αὐτὸς ἐγὼν εἶδον θεὸν ἄμβροτον, ὅς ῥ’ Ὀδυσῆϊ
ἐγγύθεν ἑστήκει, καὶ Μέντορι πάντα ἐῴκει.
ἀθάνατος δὲ θεὸς τοτὲ μὲν προπάροιθ’ Ὀδυσῆος
φαίνετο θαρσύνων, τοτὲ δὲ μνηστῆρας ὀρίνων ◆
θῦνε κατὰ μέγαρον· τοί δ’ ἀγχηστῖνοι ἔπιπτον.” Medon

ILIAD AND OD.
ASCEND FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 12+11 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF DREAMS AND THE EIDOLON IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

2.23 “εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο;
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ὧι λαοί τ’ ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.
νῦν δ’ ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
✦ ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ’ ἐλεαίρει.
θωρῆξαί σε κέλευσε κάρη κομόωντας Ἀχαιοὺς
πανσυδίηι· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ’ ἀμφὶς Ὀλύμπια δώματ’ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε’ ἐφῆπται
ἐκ Διός. ἀλλὰ σὺ σῆισιν ἔχε φρεσὶ, μηδέ σε λήθη
Dream αἱρείτω, εὖτ’ ἄν σε μελίφρων ὕπνος ἀνήηι.”

“εὕδεις, Πηνελόπεια, φίλον τετιημένη ἦτορ; 4.804
οὐ μέν σ’ οὐδὲ ἐῶσι θεοὶ ῥεῖα ζώοντες
κλαίειν οὐδ’ ἀκάχησθαι, ἐπεί ῥ’ ἔτι νόστιμός ἐστιν
σὸς παῖς· οὐ μὲν γάρ τι θεοῖς ἀλιτήμενός ἐστιν.” Eidolon
“θάρσει, μηδέ τι πάγχυ μετὰ φρεσὶ δείδιθι λίην 4.825
τοίη γάρ οἱ πομπὸς ἅμ’ ἔρχεται, ἥν τε καὶ ἄλλοι
ἀνέρες ἠρήσαντο παρεστάμεναι — δύναται γάρ —
Παλλὰς Ἀθηναίη· σὲ δ’ ὀδυρομένην ἐλεαίρει·
ἣ νῦν με προέηκε τεῒν τάδε μυθήσασθαι.” Eidolon
“οὐ μέν τοι κεῖνόν γε διηνεκέως ἀγορεύσω, 4.836
ζώει ὅ γ’ ἦ τέθνηκε· κακὸν δ’ ἀνεμώλια βάζειν.” Eidolon

THE SPOKEN LINES OF DREAMS AND THE EIDOLON VS HYPNOS IN HOMER

2.23 “εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο;
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ὧι λαοί τ’ ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.
νῦν δ’ ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
✦ ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ’ ἐλεαίρει.
θωρῆξαί σε κέλευσε κάρη κομόωντας Ἀχαιοὺς
πανσυδίηι· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ’ ἀμφὶς Ὀλύμπια δώματ’ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε’ ἐφῆπται
ἐκ Διός. ἀλλὰ σὺ σῆισιν ἔχε φρεσί, μηδέ σε λήθη
Dream αἱρείτω, εὖτ’ ἄν σε μελίφρων ὕπνος ἀνήηι.”
4.804 “εὕδεις, Πηνελόπεια, φίλον τετιημένη ἦτορ;
οὐ μέν σ’ οὐδὲ ἐῶσι θεοὶ ῥεῖα ζώοντες
κλαίειν οὐδ’ ἀκάχησθαι, ἐπεί ῥ’ ἔτι νόστιμός ἐστιν
Eidolon σὸς παῖς· οὐ μὲν γάρ τι θεοῖς ἀλιτήμενός ἐστιν.”
4.825 “θάρσει, μηδέ τι πάγχυ μετὰ φρεσὶ δείδιθι λίην
τοίη γάρ οἱ πομπὸς ἅμ’ ἔρχεται, ἥν τε καὶ ἄλλοι
ἀνέρες ἠρήσαντο παρεστάμεναι — δύναται γάρ —
Παλλὰς Ἀθηναίη· σὲ δ’ ὀδυρομένην ἐλεαίρει·
Eidolon ἣ νῦν με προέηκε τεῒν τάδε μυθήσασθαι.”
4.836 “οὐ μέν τοι κεῖνόν γε διηνεκέως ἀγορεύσω,
Eidolon ζώει ὅ γ’ ἦ τέθνηκε· κακὸν δ’ ἀνεμώλια βάζειν.”

““Ἥρη, πρέσβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο, 14.243
ἄλλον μέν κεν ἐγώ γε θεῶν αἰειγενετάων
ῥεῖα κατευνήσαιμι, καὶ ἂν ποταμοῖο ῥέεθρα
Ὠκεανοῦ, ὅς περ γένεσις πάντεσσι τέτυκται·
Ζηνὸς δ’ οὐκ ἂν ἐγώ γε Κρονίονος ἆσσον ἱκοίμην,
οὐδὲ κατευνήσαιμ’, ὅτε μὴ αὐτός γε κελεύοι.
ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμή,
ἤματι τῶι ὅτε κεῖνος ὑπέρθυμος Διὸς υἱὸς
ἔπλεεν Ἰλιόθεν Τρώων πόλιν ἐξαλαπάξας·
ἤτοι ἐγὼ μὲν ἔλεξα Διὸς νόον αἰγιόχοιο
νήδυμος ἀμφιχυθείς· σὺ δέ οἱ κακὰ μήσαο θυμῶι,
ὄρσασ’ ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτας,
καί μιν ἔπειτα Κόωνδ’ εὖ ναιομένην ἀπένεικας,
νόσφι φίλων πάντων. ὁ δ’ ἐπεγρόμενος χαλέπαινεν,
ῥιπτάζων κατὰ δῶμα θεούς, ἐμὲ δ’ ἔξοχα πάντων
ζήτει· καί κέ μ’ ἄϊστον ἀπ’ αἰθέρος ἔμβαλε πόντωι,
εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν·
τὴν ἱκόμην φεύγων, ὁ δ’ ἐπαύσατο, χωόμενός περ.
ἅζετο γὰρ μὴ Νυκτὶ θοῆι ἀποθύμια ἔρδοι.
νῦν αὖ τοῦτό μ’ ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι.” Hypnos
“ἄγρει νύν μοι ὄμοσσον ἀάατον Στυγὸς ὕδωρ· 14.271
χειρὶ δὲ τῆι ἑτέρηι μὲν ἕλε χθόνα πουλυβότειραν,
τῆι δ’ ἑτέρηι ἅλα μαρμαρέην, ἵνα νῶϊν ἅπαντες
μάρτυροι ὦσ’ οἱ ἔνερθε θεοὶ Κρόνον ἀμφὶς ἐόντες,
ἦ μὲν ἐμοὶ δώσειν Χαρίτων μίαν ὁπλοτεράων,
Πασιθέην, ἧς τ’ αὐτὸς ἐέλδομαι ἤματα πάντα.” Hypnos
“πρόφρων νῦν Δαναοῖσι, Πoσείδαον, ἐπάμυνε, 14.357
καί σφιν κῦδος ὄπαζε μίνυνθά περ, ὄφρ’ ἔτι εὕδει
Ζεύς, ἐπεὶ αὐτῶι ἐγὼ μαλακὸν περὶ κῶμ’ ἐκάλυψα·
Ἥρη δ’ ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι.” Hypnos

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 10 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF IROS A/K/A ARNAEUS IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

18.10 “εἶκε, γέρον, προθύρου, μὴ δὴ τάχα καὶ ποδὸς ἕλκηι.
οὐκ ἀΐεις ὅτι δή μοι ἐπιλλίζουσιν ἅπαντες,
ἑλκέμεναι δὲ κέλονται; ἐγὼ δ’ αἰσχύνομαι ἔμπης.
Iros ἀλλ’ ἄνα, μὴ τάχα νῶϊν ἔρις καὶ χερσὶ γένηται.”

18.26 “ὢ πόποι, ὡς ὁ μολοβρὸς ἐπιτροχάδην ἀγορεύει,
γρηῒ καμινοῖ ἶσος· ὃν ἂν κακὰ μητισαίμην
κόπτων ἀμφοτέρηισι, χαμαὶ δ’ ἐκ πάντας ὀδόντας
γναθμῶν ἐξελάσαιμι συὸς ὣς ληϊβοτείρης.
ζῶσαι νῦν, ἵνα πάντες ἐπιγνώωσι καὶ οἵδε
Iros μαρναμένους. πῶς δ’ ἂν σὺ νεωτέρωι ἀνδρὶ μάχοιο;”

“ὢ πόποι, ὡς ὁ μολοβρὸς ἐπιτροχάδην ἀγορεύει, 18.26
γρηῒ καμινοῖ ἶσος· ὃν ἂν κακὰ μητισαίμην
κόπτων ἀμφοτέρηισι, χαμαὶ δ’ ἐκ πάντας ὀδόντας
γναθμῶν ἐξελάσαιμι συὸς ὣς ληϊβοτείρης.
ζῶσαι νῦν, ἵνα πάντες ἐπιγνώωσι καὶ οἵδε
μαρναμένους. πῶς δ’ ἂν σὺ νεωτέρωι ἀνδρὶ μάχοιο;” Iros

18.10 “εἶκε, γέρον, προθύρου, μὴ δὴ τάχα καὶ ποδὸς ἕλκηι.
οὐκ ἀΐεις ὅτι δή μοι ἐπιλλίζουσιν ἅπαντες,
ἑλκέμεναι δὲ κέλονται; ἐγὼ δ’ αἰσχύνομαι ἔμπης.
Iros ἀλλ’ ἄνα, μὴ τάχα νῶϊν ἔρις καὶ χερσὶ γένηται.”

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 23 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES OF
(HERALD OF ODYSSEUS)
MEDON
IN THE ODYSSEY

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

4.697 “αἲ γὰρ δή, βασίλεια, τόδε πλεῖστον κακὸν εἴη.
ἀλλὰ πολὺ μεῖζόν τε καὶ ἀργαλεώτερον ἄλλο
μνηστῆρες φράζονται, ὃ μὴ τελέσειε Κρονίων·
Τηλέμαχον μεμάασι κατακτάμεν ὀξέϊ χαλκῶι
οἴκαδε νισόμενον. ὁ δ᾽ ἔβη μετὰ πατρὸς ἀκουὴν
Medon ἐς Πύλον ἠγαθέην ἠδ᾽ ἐς Λακεδαίμονα δίαν.”
4.712 “οὐκ οἶδ᾽ ἤ τίς μιν θεὸς ὤρορεν, ἦε καὶ αὐτοῦ
θυμὸς ἐφωρμήθη ἴμεν ἐς Πύλον, ὄφρα πύθηται
Medon πατρὸς ἑοῦ ἢ νόστον, ἤ ὅν τινα πότμον ἐπέσπεν.”
17.174 “κοῦροι, ἐπεὶ δὴ πάντες ἐτέρφθητε φρέν᾽ ἀέθλοις,
ἔρχεσθε πρὸς δώμαθ᾽, ἵν᾽ ἐντυνώμεθα δαῖτα·
Medon οὐ μὲν γάρ τι χέρειον ἐν ὥρηι δεῖπνον ἑλέσθαι.”
22.367 “ὦ φίλ᾽, ἐγὼ μὲν ὅδ᾽ εἰμί, σὺ δ᾽ ἴσχεο· εἰπὲ δὲ πατρὶ
μή με περισθενέων δηλήσεται ὀξέϊ χαλκῶι,
Medon ἀνδρῶν μνηστήρων κεχολωμένος, οἵ οἱ ἔκειρον
κτήματ᾽ ἐνὶ μεγάροις, σὲ δὲ νήπιοι οὐδὲν ἔτιον.”
24.443 “κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι· οὐ γὰρ Ὀδυσσεὺς
ἀθανάτων ἀέκητι θεῶν τάδε μήσατο ἔργα·
αὐτὸς ἐγὼν εἶδον θεὸν ἄμβροτον, ὅς ῥ᾽ Ὀδυσῆϊ
ἐγγύθεν ἑστήκει, καὶ Μέντορι πάντα ἐῴκει.
ἀθάνατος δὲ θεὸς τοτὲ μὲν προπάροιθ᾽ Ὀδυσῆος
✦ φαίνετο θαρσύνων, τοτὲ δὲ μνηστῆρας ὀρίνων
Medon θῦνε κατὰ μέγαρον· τοὶ δ᾽ ἀγχηστῖνοι ἔπιπτον.”

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 6 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE

SPOKEN LINES OF

(HERALD OF AENEAS)

PERIPHAS

IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

17.327 “Αἰνεία πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσσαισθε
Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
Apollo κάρτεΐ τε σθένεΐ τε πεποιθότας ἠνορέηι τε
πλήθεΐ τε σφετέρωι, καὶ ὑπερδέα δῆμον ἔχοντας.
as ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται ἢ Δαναοῖσιν
Periphas νίκην· ἀλλ’ αὐτοὶ τρεῖτ’ ἄσπετον οὐδὲ μάχεσθε.”

17.327 “Αἰνεία πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσσαισθε
Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
Apollo κάρτεΐ τε σθένεΐ τε πεποιθότας ἠνορέηι τε
as
Periphas
πλήθεΐ τε σφετέρωι, καὶ ὑπερδέα δῆμον ἔχοντας.
ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται ἢ Δαναοῖσιν
νίκην· ἀλλ’ αὐτοὶ τρεῖτ’ ἄσπετον οὐδὲ μάχεσθε.”

Notes

Notes

INCLUDED:
2.284 ff

ALTERNATING: ILIAD ASCENDS AND OD. DESCDENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 250 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

LINES SPOKEN IN DISGUISE (BUT NOT BY ODYSSEUS, UNLESS TO ODYSSEUS) IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

2.23 “εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο;
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ὧι λαοί τ᾽ ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.
νῦν δ᾽ ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ᾽ ἐλεαίρει.
θωρῆξαί σε κέλευσε κάρη_κομόωντας Ἀχαιοὺς
πανσυδίηι· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ᾽ ἀμφὶς Ὀλύμπια δώματ᾽ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε᾽ ἐφῆπται
Dream ἐκ Διός. ἀλλὰ σὺ σῆισιν ἔχε φρεσί, μηδέ σε λήθη
~ Nestor αἱρείτω, εὖτ᾽ ἄν σε μελίφρων ὕπνος ἀνήηι.”
20.33 “τίπτ᾽ αὖτ᾽ ἐγρήσσεις, πάντων περὶ κάμμορε φωτῶν;
Athena οἶκος μέν τοι ὅδ᾽ ἐστί, γυνὴ δέ τοι ἥδ᾽ ἐνὶ οἴκωι
~ woman καὶ παῖς, οἷόν πού τις ἐέλδεται ἔμμεναι υἷα.”
2.284 “Ἀτρείδη, νῦν δή σε, ἄναξ, ἐθέλουσιν Ἀχαιοὶ
πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσιν,
οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν ἥν_περ ὑπέσταν
ἐνθάδ᾽ ἔτι στείχοντες ἀπ᾽ Ἄργεος ἱπποβότοιο,
Ἴλιον ἐκπέρσαντ᾽ εὐτείχεον ἀπονέεσθαι.
ὥς_τε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες
ἀλλήλοισιν ὀδύρονται οἶκόνδε νέεσθαι.
ἦ μὴν καὶ πόνος ἐστὶν ἀνιηθέντα νέεσθαι·
καὶ γάρ τίς θ᾽ ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο
ἀσχαλάαι σὺν νηῒ πολυζύγωι, ὅν_περ ἄελλαι
χειμέριαι εἰλέωσιν ὀρινομένη τε θάλασσα·
ἡμῖν δ᾽ εἴνατός ἐστι περιτροπέων ἐνιαυτὸς
ἐνθάδε μιμνόντεσσι. τῶι οὐ νεμεσίζομ᾽ Ἀχαιοὺς
ἀσχαλάαν παρὰ νηυσὶ κορωνίσιν· ἀλλὰ καὶ ἔμπης
αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι.
τλῆτε, φίλοι, καὶ μείνατ᾽ ἐπὶ χρόνον, ὄφρα δαῶμεν
ἢ ἐτεὸν Κάλχας μαντεύεται, ἠὲ καὶ οὐκί.
εὖ γὰρ δὴ τόδε ἴδμεν ἐνὶ φρεσίν, ἐστὲ δὲ πάντες
μάρτυροι, οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι·
χθιζά τε καὶ πρωΐζ᾽, ὅτ᾽ ἐς Αὐλίδα νῆες Ἀχαιῶν
ἠγερέθοντο κακὰ Πριάμωι καὶ Τρωσὶ φέρουσαι·
ἡμεῖς δ᾽ ἀμφὶ περὶ κρήνην ἱεροὺς κατὰ βωμοὺς
ἔρδομεν ἀθανάτοισι τεληέσσας ἑκατόμβας,
καλῆι ὑπὸ πλατανίστωι, ὅθεν ῥέεν ἀγλαὸν ὕδωρ·
ἔνθ᾽ ἐφάνη μέγα σῆμα· δράκων ἐπὶ νῶτα δαφοινός,
σμερδαλέος, τόν ῥ᾽ αὐτὸς Ὀλύμπιος ἧκε φόωσδε,
βωμοῦ ὑπαΐξας πρός ῥα πλατάνιστον ὄρουσεν.
ἔνθα δ᾽ ἔσαν στρουθοῖο νεοσσοί, νήπια τέκνα,
ὄζωι ἔπ᾽ ἀκροτάτωι, πετάλοις ὑποπεπτηῶτες,
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα.
ἔνθ᾽ ὅ_γε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας·
μήτηρ δ᾽ ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα·
τὴν δ᾽ ἐλελιξάμενος πτέρυγος λάβεν ἀμφιαχυῖαν.
αὐτὰρ ἐπεὶ κατὰ τέκν᾽ ἔφαγε στρουθοῖο καὶ αὐτήν,
τὸν μὲν ἀΐζηλον θῆκεν θεός, ὅς_περ ἔφηνεν·
λᾶαν γάρ μιν ἔθηκε Κρόνου παῖς ἀγκυλομήτεω·
ἡμεῖς δ᾽ ἑσταότες θαυμάζομεν οἷον ἐτύχθη.
ὡς οὖν δεινὰ πέλωρα θεῶν εἰσῆλθ᾽ ἑκατόμβας,
Κάλχας δ᾽ αὐτίκ᾽ ἔπειτα θεοπροπέων ἀγόρευεν·
‘τίπτ᾽ ἄνεω ἐγένεσθε, κάρη_κομόωντες Ἀχαιοί;
ἡμῖν μὲν τόδ᾽ ἔφηνε τέρας μέγα μητίετα Ζεύς,
ὄψιμον, ὀψιτέλεστον, ὅου κλέος οὔ_ποτ᾽ ὀλεῖται.
ὡς οὗτος κατὰ τέκν᾽ ἔφαγε στρουθοῖο καὶ αὐτήν,
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα·
ὣς ἡμεῖς τοσσαῦτ᾽ ἔτεα πτολεμίξομεν αὖθι,
τῶι δεκάτωι δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν.’
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται. Od.
ἀλλ᾽ ἄγε, μίμνετε πάντες, ἐϋκνήμιδες Ἀχαιοί, ~ Athena
αὐτοῦ, εἰς ὅ κεν ἄστυ μέγα Πριάμοιο ἕλωμεν.” ~ mess.
‘διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ, 14.486
οὔ_τοι ἔτι ζωοῖσι μετέσσομαι, ἀλλά με χεῖμα Od.
δάμναται· οὐ γὰρ ἔχω χλαῖναν· παρά μ᾽ ἤπαφε δαίμων ~ cold
οἰοχίτων᾽ ἴμεναι· νῦν δ᾽ οὐκέτι φυκτὰ πέλονται.’ to Od.!
“ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσιν, 2.796
ὥς ποτ᾽ ἐπ᾽ εἰρήνης· πόλεμος δ᾽ ἀλίαστος ὄρωρεν.
ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰσήλυθον ἀνδρῶν,
ἀλλ᾽ οὔ_πω τοιόνδε τοσόνδέ τε λαὸν ὄπωπα·
λίην γὰρ φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν
ἔρχονται πεδίοιο μαχησόμενοι προτὶ ἄστυ.
Ἕκτορ, σοὶ δὲ μάλιστ᾽ ἐπιτέλλομαι ὧδέ γε ῥέξαι·
πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου ἐπίκουροι,
ἄλλη δ᾽ ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων·
τοῖσιν ἕκαστος ἀνὴρ σημαινέτω οἷσί περ ἄρχει, Iris
τῶν δ᾽ ἐξηγείσθω, κοσμησάμενος πολιήτας.” ~ Polites
“κερδαλέος κ᾽ εἴη καὶ ἐπίκλοπος ὅς σε παρέλθοι 13.291
ἐν πάντεσσι δόλοισι, καὶ εἰ θεὸς ἀντιάσειεν.
σχέτλιε, ποικιλομῆτα, δόλων ἆτ᾽, οὐκ ἄρ᾽ ἔμελλες,
οὐδ᾽ ἐν σῆι περ ἐὼν γαίηι, λήξειν ἀπατάων
μύθων τε κλοπίων, οἵ τοι πεδόθεν φίλοι εἰσίν.
ἀλλ᾽ ἄγε, μηκέτι ταῦτα λεγώμεθα, εἰδότες ἄμφω
κέρδε᾽, ἐπεὶ σὺ μέν ἐσσι βροτῶν ὄχ᾽ ἄριστος ἁπάντων
βουλῆι καὶ μύθοισιν, ἐγὼ δ᾽ ἐν πᾶσι θεοῖσιν
μήτι τε κλέομαι καὶ κέρδεσιν· οὐδὲ σύ γ᾽ ἔγνως
Παλλάδ᾽ Ἀθηναίην, κούρην Διός, ἥ_τέ τοι αἰεὶ
ἐν πάντεσσι πόνοισι παρίσταμαι ἠδὲ φυλάσσω,
καὶ δέ σε Φαιήκεσσι φίλον πάντεσσιν ἔθηκα.
νῦν αὖ δεῦρ᾽ ἱκόμην, ἵνα τοι σὺν μῆτιν ὑφήνω
χρήματά τε κρύψω, ὅσα τοι Φαίηκες ἀγαυοὶ
ὤπασαν οἴκαδ᾽ ἰόντι ἐμῆι βουλῆι τε νόωι τε,
εἴπω θ᾽ ὅσσα τοι αἶσα δόμοις ἔνι ποιητοῖσιν
κήδε᾽ ἀνασχέσθαι. σὺ δὲ τετλάμεναι καὶ ἀνάγκηι,
μηδέ τωι ἐκφάσθαι μήτ᾽ ἀνδρῶν μήτε γυναικῶν,
πάντων, οὕνεκ᾽ ἄρ᾽ ἦλθες ἀλώμενος, ἀλλὰ σιωπῆι Athena
πάσχειν ἄλγεα πολλά, βίας ὑποδέγμενος ἀνδρῶν.” ~ a woman
“ἦ ῥά νύ μοί τι πίθοιο, Λυκάονος υἱὲ δαΐφρον; 4.93

τλαίης κεν Μενελάωι ἔπι_προέμεν ταχὺν ἰόν,
πᾶσι δέ κε Τρώεσσι χάριν καὶ κῦδος ἄροιο,
ἐκ πάντων δὲ μάλιστα Ἀλεξάνδρωι βασιλῆϊ.
τοῦ κεν δὴ πάμπρωτα πάρ' ἀγλαὰ δῶρα φέροιο,
αἴ κεν ἴδηι Μενέλαον ἀρήϊον Ἀτρέος υἱὸν
σῶι βέλεϊ δμηθέντα, πυρῆς ἐπιβάντ' ἀλεγεινῆς.
ἀλλ' ἄγ' ὀΐστευσον Μενελάου κυδαλίμοιο,
Athena εὔχεο δ' Ἀπόλλωνι Λυκηγενέϊ κλυτοτόξωι
~ Lao- ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην
dokos οἴκαδε νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης."
8.195 "καί κ' ἀλαός τοι, ξεῖνε, διακρίνειε τὸ σῆμα
ἀμφαφόων, ἐπεὶ οὔ_τι μεμιγμένον ἐστὶν ὁμίλωι,
Athena ἀλλὰ πολὺ πρῶτον. σὺ δὲ θάρσει τόνδε γ' ἄεθλον·
~ a man οὔ_τις Φαιήκων τόν γ' ἵξεται οὐδ' ὑπερήσει."
5.787 "αἰδώς, Ἀργεῖοι, κάκ' ἐλέγχεα, εἶδος ἀγητοί·
ὄφρα μὲν ἐς πόλεμον πωλέσκετο δῖος Ἀχιλλεύς,
οὐδέποτε Τρῶες πρὸ πυλάων Δαρδανιάων
Hera οἴχνεσκον· κείνου γὰρ ἐδείδισαν ὄβριμον ἔγχος·
~ Stentor νῦν δὲ ἑκὰς πόλιος κοίλῃς ἐπὶ νηυσὶ μάχονται."
6.25 "Ναυσικάα, τί νύ σ' ὧδε μεθήμονα γείνατο μήτηρ;
εἵματα μέν τοι κεῖται ἀκηδέα σιγαλόεντα,
σοὶ δὲ γάμος σχεδόν ἐστιν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
ἕννυσθαι, τὰ δὲ τοῖσι παρασχεῖν οἵ κέ σ' ἄγωνται.
ἐκ γάρ τοι τούτων φάτις ἀνθρώπους ἀναβαίνει
ἐσθλή, χαίρουσιν δὲ πατὴρ καὶ πότνια μήτηρ.
ἀλλ' ἴομεν πλυνέουσαι ἅμ' ἠοῖ φαινομένηφιν·
καί τοι ἐγὼ συνέριθος ἅμ' ἕψομαι, ὄφρα τάχιστα
ἐντύνεαι, ἐπεὶ οὔ_τοι ἔτι δὴν παρθένος ἔσσεαι·
ἤδη γάρ σε μνῶνται ἀριστῆες κατὰ δῆμον
πάντων Φαιήκων, ὅθι τοι γένος ἐστὶ καὶ αὐτῆι.
Athena ἀλλ' ἄγ' ἐπότρυνον πατέρα κλυτὸν ἠῶθι πρὸ
~ κούρηι ἡμιόνους καὶ ἄμαξαν ἐφοπλίσαι, ἥ κεν ἄγῃσιν
Δύμ- ζῶστρά τε καὶ πέπλους καὶ ῥήγεα σιγαλόεντα.
αντος καὶ δὲ σοὶ ὧδ' αὐτῆι πολὺ κάλλιον ἠὲ πόδεσσιν
ἔρχεσθαι· πολλὸν γὰρ ἀπὸ πλυνοί εἰσι πόληος."
13.47 "Αἴαντε, σφὼ μέν τε σαώσετε λαὸν Ἀχαιῶν
ἀλκῆς μνησαμένω, μηδὲ κρυεροῖο φόβοιο.
ἄλληι μὲν γὰρ ἐγώ γ' οὐ δείδια χεῖρας ἀάπτους
Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλωι·
ἕξουσιν γὰρ πάντας ἐϋκνήμιδες Ἀχαιοί·
τῆι δὲ δὴ αἰνότατον περιδείδια μή τι πάθωμεν,
ἧι ῥ' ὅ_γ' ὁ λυσσώδης φλογὶ εἴκελος ἡγεμονεύει,
Ἕκτωρ, ὃς Διὸς εὔχετ' ἐρισθενέος πάϊς εἶναι.
σφῶϊν δ' ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν,
αὐτώ θ' ἑστάμεναι κρατερῶς καὶ ἀνωγέμεν ἄλλους·
Pos. τῶι κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ' ἀπὸ νηῶν
~ Kalch. ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει."
2.402 "Τηλέμαχ', ἤδη μέν τοι ἐϋκνήμιδες ἑταῖροι
Athena εἵατ' ἐπήρετμοι, τὴν σὴν ποτιδέγμενοι ὁρμήν·
~ Mentor ἀλλ' ἴομεν, μὴ δηθὰ διατρίβωμεν ὁδοῖο."

"Ἰδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ 13.219
οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;" Pos. ~ Thoas
"Τηλέμαχ' οὐδ' ὄπιθεν κακὸς ἔσσεαι οὐδ' ἀνοήμων. 2.270
εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠΰ,
οἷος ἐκεῖνος ἔην τελέσαι ἔργόν τε ἔπος τε,
οὔ τοι ἔπειθ' ἁλίη ὁδὸς ἔσσεται οὐδ' ἀτέλεστος.
εἰ δ' οὐ κείνου γ' ἐσσὶ γόνος καὶ Πηνελοπείης,
οὔ σε_γ' ἔπειτα ἔολπα τελευτήσειν ἃ μενοινᾶις.
παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται,
οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους.
ἀλλ' ἐπεὶ οὐδ' ὄπιθεν κακὸς ἔσσεαι οὐδ' ἀνοήμων,
οὐδέ σε πάγχυ γε μῆτις Ὀδυσσῆος προλέλοιπεν,
ἐλπωρή τοι ἔπειτα τελευτῆσαι τάδε ἔργα.
τῶι νῦν μνηστήρων μὲν ἔα βουλήν τε νόον τε
ἀφραδέων, ἐπεὶ οὔ τι νοήμονες οὐδὲ δίκαιοι·
οὐδέ τι ἴσασιν θάνατον καὶ κῆρα μέλαιναν,
ὃς δή σφι σχεδόν ἐστιν, ἐπ' ἤματι πάντας ὀλέσθαι.
σοὶ δ' ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται ἣν σὺ μενοινᾶις·
τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώϊός εἰμι,
ὅς τοι νῆα θοὴν στελέω καὶ ἅμ' ἕψομαι αὐτός.
ἀλλὰ σὺ μὲν πρὸς δώματ' ἰὼν μνηστῆρσιν ὁμίλει,
ὅπλισσόν τ' ἤϊα καὶ ἄγγεσιν ἄρσον ἅπαντα,
οἶνον ἐν ἀμφιφορεῦσι, καὶ ἄλφιτα, μυελὸν ἀνδρῶν,
δέρμασιν ἐν πυκινοῖσιν· ἐγὼ δ' ἀνὰ δῆμον ἑταίρους
αἶψ' ἐθελοντῆρας συλλέξομαι. εἰσὶ δὲ νῆες
πολλαὶ ἐν ἀμφιάλωι Ἰθάκηι, νέαι ἠδὲ παλαιαί·
τάων μέν τοι ἐγὼν ἐπιόψομαι ἥ_τις ἀρίστη, Athena
ὦκα δ' ἐφοπλίσσαντες ἐνήσομεν εὐρέϊ πόντωι." ~ Mentor
"Ἀτρεΐδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ 14.139
γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν
δερκομένωι, ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ' ἠβαιαί.
ἀλλ' ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειεν.
σοὶ δ' οὔ_πω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν,
ἀλλ' ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες
εὐρὺ κονίσουσιν πεδίον, σὺ δ' ἐπόψεαι αὐτὸς Pos.
φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων." ~ old man
"τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω. 1.179
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
νῦν δ' ὧδε ξὺν νηῒ κατήλυθον ἠδ' ἑτάροισιν,
πλέων ἐπὶ οἴνοπα πόντον ἐπ' ἀλλοθρόους ἀνθρώπους,
ἐς Τεμέσην μετὰ χαλκόν, ἄγω δ' αἴθωνα σίδηρον.
νηῦς δέ μοι ἥδ' ἕστηκεν ἐπ' ἀγροῦ νόσφι πόληος,
ἐν λιμένι Ῥείθρωι, ὑπὸ Νηΐωι ὑλήεντι.
ξεῖνοι δ' ἀλλήλων πατρώϊοι εὐχόμεθ' εἶναι
ἐξ ἀρχῆς, εἴ_πέρ τε γέροντ' εἴρηαι ἐπελθὼν
Λαέρτην ἥρωα, τὸν οὐκέτι φασὶ πόλινδε
ἔρχεσθ', ἀλλ' ἀπάνευθεν ἐπ' ἀγροῦ πήματα πάσχειν
γρηῒ σὺν ἀμφιπόλωι, ἥ οἱ βρῶσίν τε πόσιν τε
παρτιθεῖ, εὖτ' ἄν μιν κάματος κατὰ γυῖα λάβησιν

ἑρπύζοντ' ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
νῦν δ' ἦλθον· δὴ γάρ μιν ἔφαντ' ἐπιδήμιον εἶναι,
σὸν πατέρ'· ἀλλά νυ τόν_γε θεοὶ βλάπτουσι κελεύθου.
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀδυσσεύς,
ἀλλ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντωι,
νήσωι ἐν ἀμφιρύτηι, χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν,
ἄγριοι, οἵ που κεῖνον ἐρυκανόωσ' ἀέκοντα.
αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῶι
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω,
οὔτέ τι μάντις ἐὼν οὔτ' οἰωνῶν σάφα εἰδώς·
οὔ_τοι ἔτι δηρόν γε φίλης ἀπὸ πατρίδος αἴης
ἔσσεται, οὐδ' εἴ_πέρ τε σιδήρεα δέσματ' ἔχησιν·
φράσσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστιν.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἰ δὴ ἐξ αὐτοῖο τόσος παῖς εἰς Ὀδυσῆος.
αἰνῶς μὲν κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας
κείνωι, ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ' ἀλλήλοισιν,
πρίν γε τὸν ἐς Τροίην ἀναβήμεναι, ἔνθά περ ἄλλοι
Athena Ἀργείων οἱ ἄριστοι ἔβαν κοίλῃς ἐπὶ νηυσίν·
~ Mentes ἐκ τοῦ δ' οὔτ' Ὀδυσῆα ἐγὼν ἴδον οὔτ' ἐμὲ κεῖνος."
16.721 "Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή.
αἴθ' ὅσον ἥσσων εἰμί, τόσον σέο φέρτερος εἴην·
τῶι κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.
Apollo ἀλλ' ἄγε, Πατρόκλωι ἔφεπε κρατερώνυχας ἵππους,
~ Asios αἴ κέν πώς μιν ἕλῃς, δώῃ δέ τοι εὖχος Ἀπόλλων."
17.75 "Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων,
ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ' ἀλεγεινοὶ
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ' ὀχέεσθαι,
ἄλλωι γ' ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱός,
Apollo Πατρόκλωι περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνεν,
~ Mentes Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς."
17.327 "Αἰνεία πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσσαισθε
Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
κάρτεΐ τε σθένεΐ τε πεποιθότας ἠνορέῃ τε
Apollo πλήθεΐ τε σφετέρωι, καὶ ὑπερδέα δῆμον ἔχοντας.
~ Peri- ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται ἢ Δαναοῖσιν
phas νίκην· ἀλλ' αὐτοὶ τρεῖτ' ἄσπετον οὐδὲ μάχεσθε."
17.556 "σοὶ μὲν δή, Μενέλαε, κατηφείη καὶ ὄνειδος
ἔσσεται, εἴ κ' Ἀχιλῆος ἀγαυοῦ πιστὸν ἑταῖρον
Athena τείχει ὕπο Τρώων ταχέες κύνες ἑλκήσουσιν.
~ Phoenix ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα."
17.586 "Ἕκτορ, τίς κέ σ' ἔτ' ἄλλος Ἀχαιῶν ταρβήσειεν;
οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ
Apollo μαλθακὸς αἰχμητής· νῦν δ' οἴχεται οἶος ἀείρας
~ Phae- νεκρὸν ὕπεκ Τρώων· σὸν δ' ἔκτανε πιστὸν ἑταῖρον,
nops ἐσθλὸν ἐνὶ προμάχοισι, Ποδῆν υἱὸν Ἠετίωνος."
22.229 "ἠθεῖ', ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεύς,
Athena ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκων·
~Deiphobos ἀλλ' ἄγε δὴ στέωμεν καὶ ἀλεξώμεσθα μένοντες."

EXCLUDED:

2.284 ff

ALTERNATING: ILIAD ASCENDS AND OD. DESCDENDS FROM START

language: Homeric Greek

copy text: Dindorf (Teubner 1861, 1877)

typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 201 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

LINES SPOKEN

IN

DISGUISE

(BUT NOT BY ODYSSEUS, UNLESS TO ODYSSEUS)

IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

2.23 “εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο;
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ὧι λαοί τ’ ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.
νῦν δ’ ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ’ ἐλεαίρει.
θωρῆξαί σε κέλευσε κάρη κομόωντας Ἀχαιοὺς
πανσυδίηι· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ’ ἀμφὶς Ὀλύμπια δώματ’ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε’ ἐφῆπται
Dream ἐκ Διός. ἀλλὰ σὺ σῆισιν ἔχε φρεσί, μηδέ σε λήθη
~ Nestor αἱρείτω, εὖτ’ ἄν σε μελίφρων ὕπνος ἀνήηι.”
20.33 “τίπτ’ αὖτ’ ἐγρήσσεις, πάντων περὶ κάμμορε φωτῶν;
Athena οἶκος μέν τοι ὅδ’ ἐστί, γυνὴ δέ τοι ἥδ’ ἐνὶ οἴκωι
~ woman καὶ παῖς, οἷόν πού τις ἐέλδεται ἔμμεναι υἷα.”
2.796 “ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσιν,
ὥς ποτ’ ἐπ’ εἰρήνης· πόλεμος δ’ ἀλίαστος ὄρωρεν.
ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰσήλυθον ἀνδρῶν,
ἀλλ’ οὔ πω τοιόνδε τοσόνδέ τε λαὸν ὄπωπα·
λίην γὰρ φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν
ἔρχονται πεδίοιο μαχησόμενοι προτὶ ἄστυ.
Ἕκτορ, σοὶ δὲ μάλιστ’ ἐπιτέλλομαι ὧδέ γε ῥέξαι·
πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου ἐπίκουροι,
ἄλλη δ’ ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων·
Iris τοῖσιν ἕκαστος ἀνὴρ σημαινέτω οἷσί περ ἄρχει,
~ Polites τῶν δ’ ἐξηγείσθω, κοσμησάμενος πολιήτας.”
14.486 ‘διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ,
Od. οὔ τοι ἔτι ζωοῖσι μετέσσομαι, ἀλλά με χεῖμα
~ cold δάμναται· οὐ γὰρ ἔχω χλαῖναν· παρά μ’ ἤπαφε δαίμων
to Od.! οἰοχίτων’ ἴμεναι· νῦν δ’ οὐκέτι φυκτὰ πέλονται.’
4.93 “ἦ ῥά νύ μοί τι πίθοιο, Λυκάονος υἱὲ δαΐφρον;
τλαίης κεν Μενελάωι ἔπι προέμεν ταχὺν ἰόν,
πᾶσι δέ κε Τρώεσσι χάριν καὶ κῦδος ἄροιο,
ἐκ πάντων δὲ μάλιστα Ἀλεξάνδρωι βασιλῆϊ.
τοῦ κεν δὴ πάμπρωτα πάρ’ ἀγλαὰ δῶρα φέροιο,
αἴ κεν ἴδηι Μενέλαον ἀρήϊον Ἀτρέος υἱὸν
σῶι βέλεϊ δμηθέντα, πυρῆς ἐπιβάντ’ ἀλεγεινῆς.
ἀλλ’ ἄγ’ ὀΐστευσον Μενελάου κυδαλίμοιο,
Athena εὔχεο δ’ Ἀπόλλωνι Λυκηγενέϊ κλυτοτόξωι
~ Lao- ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην
dokos οἴκαδε νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης.”
13.291 “κερδαλέος κ’ εἴη καὶ ἐπίκλοπος ὅς σε παρέλθοι
ἐν πάντεσσι δόλοισι, καὶ εἰ θεὸς ἀντιάσειεν.
σχέτλιε, ποικιλομῆτα, δόλων ἆτ’, οὐκ ἄρ’ ἔμελλες,
οὐδ’ ἐν σῆι περ ἐὼν γαίηι, λήξειν ἀπατάων
μύθων τε κλοπίων, οἵ τοι πεδόθεν φίλοι εἰσίν.
ἀλλ’ ἄγε, μηκέτι ταῦτα λεγώμεθα, εἰδότες ἄμφω
κέρδε’, ἐπεὶ σὺ μέν ἐσσι βροτῶν ὄχ’ ἄριστος ἁπάντων
βουλῆι καὶ μύθοισιν, ἐγὼ δ’ ἐν πᾶσι θεοῖσιν
μήτι τε κλέομαι καὶ κέρδεσιν· οὐδὲ σύ γ’ ἔγνως
Παλλάδ’ Ἀθηναίην, κούρην Διός, ἥ τέ τοι αἰεὶ
ἐν πάντεσσι πόνοισι παρίσταμαι ἠδὲ φυλάσσω,
καὶ δέ σε Φαιήκεσσι φίλον πάντεσσιν ἔθηκα.
νῦν αὖ δεῦρ’ ἱκόμην, ἵνα τοι σὺν μῆτιν ὑφήνω
χρήματά τε κρύψω, ὅσα τοι Φαίηκες ἀγαυοὶ
ὤπασαν οἴκαδ’ ἰόντι ἐμῆι βουλῆι τε νόωι τε,
εἴπω θ’ ὅσσα τοι αἶσα δόμοις ἔνι ποιητοῖσιν
κήδε’ ἀνασχέσθαι. σὺ δὲ τετλάμεναι καὶ ἀνάγκηι,
μηδέ τωι ἐκφάσθαι μήτ’ ἀνδρῶν μήτε γυναικῶν,
πάντων, οὕνεκ’ ἄρ’ ἦλθες ἀλώμενος, ἀλλὰ σιωπῆι Athena
πάσχειν ἄλγεα πολλά, βίας ὑποδέγμενος ἀνδρῶν.” ~ a woman
“αἰδώς, Ἀργεῖοι, κάκ’ ἐλέγχεα, εἶδος ἀγητοί· 5.787
ὄφρα μὲν ἐς πόλεμον πωλέσκετο δῖος Ἀχιλλεύς,
οὐδέποτε Τρῶες πρὸ πυλάων Δαρδανιάων
οἴχνεσκον· κείνου γὰρ ἐδείδισαν ὄβριμον ἔγχος· Hera
νῦν δὲ ἑκὰς πόλιος κοίλῃς ἐπὶ νηυσὶ μάχονται.” ~ Stentor
“καί κ’ ἀλαός τοι, ξεῖνε, διακρίνειε τὸ σῆμα 8.195
ἀμφαφόων, ἐπεὶ οὔ τι μεμιγμένον ἐστὶν ὁμίλωι,
ἀλλὰ πολὺ πρῶτον. σὺ δὲ θάρσει τόνδε γ’ ἄεθλον· Athena
οὔ τις Φαιήκων τόν γ’ ἵξεται οὐδ’ ὑπερήσει.” ~ a man
“Αἴαντε, σφὼ μέν τε σαώσετε λαὸν Ἀχαιῶν 13.47
ἀλκῆς μνησαμένω, μηδὲ κρυεροῖο φόβοιο.
ἄλληι μὲν γὰρ ἐγώ γ’ οὐ δείδια χεῖρας ἀάπτους
Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλωι·
ἕξουσιν γὰρ πάντας ἐϋκνήμιδες Ἀχαιοί·
τῆι δὲ δὴ αἰνότατον περιδείδια μή τι πάθωμεν,
ἧι ῥ’ ὅ γ’ ὁ λυσσώδης φλογὶ εἴκελος ἡγεμονεύει,
Ἕκτωρ, ὃς Διὸς εὔχετ’ ἐρισθενέος πάϊς εἶναι.
σφῶϊν δ’ ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν,
αὐτώ θ’ ἑστάμεναι κρατερῶς καὶ ἀνωγέμεν ἄλλους·
τῶι κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ’ ἀπὸ νηῶν Pos.
ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει.” ~ Kalch.
“Ναυσικάα, τί νύ σ’ ὧδε μεθήμονα γείνατο μήτηρ; 6.25
εἵματα μέν τοι κεῖται ἀκηδέα σιγαλόεντα,
σοὶ δὲ γάμος σχεδόν ἐστιν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
ἕννυσθαι, τὰ δὲ τοῖσι παρασχεῖν οἵ κέ σ’ ἄγωνται.
ἐκ γάρ τοι τούτων φάτις ἀνθρώπους ἀναβαίνει
ἐσθλή, χαίρουσιν δὲ πατὴρ καὶ πότνια μήτηρ.
ἀλλ’ ἴομεν πλυνέουσαι ἅμ’ ἠοῖ φαινομένηφιν·
καί τοι ἐγὼ συνέριθος ἅμ’ ἕψομαι, ὄφρα τάχιστα
ἐντύνεαι, ἐπεὶ οὔ τοι ἔτι δὴν παρθένος ἔσσεαι·
ἤδη γάρ σε μνῶνται ἀριστῆες κατὰ δῆμον
πάντων Φαιήκων, ὅθι τοι γένος ἐστὶ καὶ αὐτῆι.
ἀλλ’ ἄγ’ ἐπότρυνον πατέρα κλυτὸν ἠῶθι πρὸ Athena
ἡμιόνους καὶ ἅμαξαν ἐφοπλίσαι, ἥ κεν ἄγησιν ~ κούρηι
ζῶστρά τε καὶ πέπλους καὶ ῥήγεα σιγαλόεντα. Δύμ-
καὶ δὲ σοὶ ὧδ’ αὐτῆι πολὺ κάλλιον ἠὲ πόδεσσιν αντος
ἔρχεσθαι· πολλὸν γὰρ ἀπὸ πλυνοί εἰσι πόληος.”
“Ἰδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ 13.219
οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;” Pos. ~ Thoas

2.402 “Τηλέμαχ’, ἤδη μέν τοι ἐϋκνήμιδες ἑταῖροι
Athena εἵατ’ ἐπήρετμοι, τὴν σὴν ποτιδέγμενοι ὁρμήν·
~ Mentor ἀλλ’ ἴομεν, μὴ δηθὰ διατρίβωμεν ὁδοῖο.”
14.139 “Ἀτρείδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ
γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν
δερκομένωι, ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ’ ἠβαιαί.
ἀλλ’ ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειεν.
σοὶ δ’ οὔ πω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν,
ἀλλ’ ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες
Pos. εὐρὺ κονίσουσιν πεδίον, σὺ δ’ ἐπόψεαι αὐτὸς
~ old man φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.”
2.270 “Τηλέμαχ’ οὐδ’ ὄπιθεν κακὸς ἔσσεαι οὐδ’ ἀνοήμων.
εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠΰ,
οἷος ἐκεῖνος ἔην τελέσαι ἔργόν τε ἔπος τε,
οὔ τοι ἔπειθ’ ἁλίη ὁδὸς ἔσσεται οὐδ’ ἀτέλεστος.
εἰ δ’ οὐ κείνου γ’ ἐσσὶ γόνος καὶ Πηνελοπείης,
οὔ σε γ’ ἔπειτα ἔολπα τελευτήσειν ἃ μενοινᾷς.
παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται,
οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους.
ἀλλ’ ἐπεὶ οὐδ’ ὄπιθεν κακὸς ἔσσεαι οὐδ’ ἀνοήμων,
οὐδέ σε πάγχυ γε μῆτις Ὀδυσσῆος προλέλοιπεν,
ἐλπωρή τοι ἔπειτα τελευτῆσαι τάδε ἔργα.
τῶι νῦν μνηστήρων μὲν ἔα βουλήν τε νόον τε
ἀφραδέων, ἐπεὶ οὔ τι νοήμονες οὐδὲ δίκαιοι·
οὐδέ τι ἴσασιν θάνατον καὶ κῆρα μέλαιναν,
ὃς δή σφι σχεδόν ἐστιν, ἐπ’ ἤματι πάντας ὀλέσθαι.
σοὶ δ’ ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται ἣν σὺ μενοινᾷς·
τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώϊός εἰμι,
ὅς τοι νῆα θοὴν στελέω καὶ ἅμ’ ἕψομαι αὐτός.
ἀλλὰ σὺ μὲν πρὸς δώματ’ ἰὼν μνηστῆρσιν ὁμίλει,
ὅπλισσόν τ’ ἤϊα καὶ ἄγγεσιν ἄρσον ἅπαντα,
οἶνον ἐν ἀμφιφορεῦσι, καὶ ἄλφιτα, μυελὸν ἀνδρῶν,
δέρμασιν ἐν πυκινοῖσιν· ἐγὼ δ’ ἀνὰ δῆμον ἑταίρους
αἶψ’ ἐθελοντῆρας συλλέξομαι. εἰσὶ δὲ νῆες
πολλαὶ ἐν ἀμφιάλωι Ἰθάκηι, νέαι ἠδὲ παλαιαί·
Athena τάων μέν τοι ἐγὼν ἐπιόψομαι ἥ τις ἀρίστη,
~ Mentor ὦκα δ’ ἐφοπλίσσαντες ἐνήσομεν εὐρέϊ πόντωι.”
16.721 “Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή.
αἴθ’ ὅσον ἥσσων εἰμί, τόσον σέο φέρτερος εἴην·
τῶι κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.
Apollo ἀλλ’ ἄγε, Πατρόκλωι ἔφεπε κρατερώνυχας ἵππους,
~ Asios αἴ κέν πώς μιν ἕλῃς, δώηι δέ τοι εὖχος Ἀπόλλων.”
1.179 “τοιγὰρ ἐγώ τοι ταῦτα μάλ’ ἀτρεκέως ἀγορεύσω.
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
νῦν δ’ ὧδε ξὺν νηῒ κατήλυθον ἠδ’ ἑτάροισιν,
πλέων ἐπὶ οἴνοπα πόντον ἐπ’ ἀλλοθρόους ἀνθρώπους,
ἐς Τεμέσην μετὰ χαλκόν, ἄγω δ’ αἴθωνα σίδηρον.
νηῦς δέ μοι ἥδ’ ἕστηκεν ἐπ’ ἀγροῦ νόσφι πόληος,
ἐν λιμένι Ῥείθρωι, ὑπὸ Νηΐωι ὑλήεντι.
ξεῖνοι δ’ ἀλλήλων πατρώϊοι εὐχόμεθ’ εἶναι
ἐξ ἀρχῆς, εἴ πέρ τε γέροντ’ εἴρηαι ἐπελθὼν
Λαέρτην ἥρωα, τὸν οὐκέτι φασὶ πόλινδε
ἔρχεσθ’, ἀλλ’ ἀπάνευθεν ἐπ’ ἀγροῦ πήματα πάσχειν
γρηῒ σὺν ἀμφιπόλωι, ἥ οἱ βρῶσίν τε πόσιν τε
παρτιθεῖ, εὖτ’ ἄν μιν κάματος κατὰ γυῖα λάβῃσιν
ἑρπύζοντ’ ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
νῦν δ’ ἦλθον· δὴ γάρ μιν ἔφαντ’ ἐπιδήμιον εἶναι,
σὸν πατέρ’· ἀλλά νυ τόν γε θεοὶ βλάπτουσι κελεύθου.
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀδυσσεύς,
ἀλλ’ ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντωι,
νήσωι ἐν ἀμφιρύτηι, χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν,
ἄγριοι, οἵ που κεῖνον ἐρυκανόωσ’ ἀέκοντα.
αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῶι
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω,
οὔτέ τι μάντις ἐὼν οὔτ’ οἰωνῶν σάφα εἰδώς·
οὔ τοι ἔτι δηρόν γε φίλης ἀπὸ πατρίδος αἴης
ἔσσεται, οὐδ’ εἴ πέρ τε σιδήρεα δέσματ’ ἔχῃσιν·
φράσσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστιν.
ἀλλ’ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἰ δὴ ἐξ αὐτοῖο τόσος παῖς εἰς Ὀδυσῆος.
αἰνῶς μὲν κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας
κείνωι, ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ’ ἀλλήλοισιν,
πρίν γε τὸν ἐς Τροίην ἀναβήμεναι, ἔνθά περ ἄλλοι
Ἀργείων οἱ ἄριστοι ἔβαν κοίληις ἐπὶ νηυσίν· Athena
ἐκ τοῦ δ’ οὔτ’ Ὀδυσῆα ἐγὼν ἴδον οὔτ’ ἐμὲ κεῖνος.” ~ Mentes
“Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων, 17.75
ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ’ ἀλεγεινοὶ
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ’ ὀχέεσθαι,
ἄλλωι γ’ ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱός,
Πατρόκλωι περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνεν, Apollo
Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς.” ~ Mentes
“Αἰνεία πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσσαισθε 17.327
Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
κάρτεΐ τε σθένεΐ τε πεποιθότας ἠνορέηι τε
πλήθεΐ τε σφετέρωι, καὶ ὑπερδέα δῆμον ἔχοντας. Apollo
ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται ἢ Δαναοῖσιν ~ Peri-
νίκην· ἀλλ’ αὐτοὶ τρεῖτ’ ἄσπετον οὐδὲ μάχεσθε.” phas
“σοὶ μὲν δή, Μενέλαε, κατηφείη καὶ ὄνειδος 17.556
ἔσσεται, εἴ κ’ Ἀχιλῆος ἀγαυοῦ πιστὸν ἑταῖρον
τείχει ὕπο Τρώων ταχέες κύνες ἑλκήσουσιν. Athena
ἀλλ’ ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα.” ~ Phoenix
“Ἕκτορ, τίς κέ σ’ ἔτ’ ἄλλος Ἀχαιῶν ταρβήσειεν; 17.586
οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ
μαλθακὸς αἰχμητής· νῦν δ’ οἴχεται οἶος ἀείρας Apollo
νεκρὸν ὕπεκ Τρώων· σὸν δ’ ἔκτανε πιστὸν ἑταῖρον, ~ Phae-
ἐσθλὸν ἐνὶ προμάχοισι, Ποδῆν υἱὸν Ἠετίωνος.” nops
“ἠθεῖ’, ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεύς, 22.229
ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκων· Athena

~**Deiphobos** ἀλλ' ἄγε δὴ στέωμεν καὶ ἀλεξώμεσθα μένοντες."

INCLUDED:
2.284 ff

ALTERNATING: ILIAD ASCENDS FROM START; OD. FROM END

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 250 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

LINES SPOKEN

IN

DISGUISE

(BUT NOT BY ODYSSEUS, UNLESS TO ODYSSEUS)

IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

2.23 “εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο;
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ὧι λαοί τ’ ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.
νῦν δ’ ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ’ ἐλεαίρει.
θωρῆξαί σε κέλευσε κάρη_κομόωντας Ἀχαιοὺς
πανσυδίηι· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ’ ἀμφὶς Ὀλύμπια δώματ’ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε’ ἐφῆπται
Dream ἐκ Διός. ἀλλὰ σὺ σῆισιν ἔχε φρεσί, μηδέ σε λήθη
~ Nestor αἱρείτω, εὖτ’ ἄν σε μελίφρων ὕπνος ἀνήηι.”
2.284 “Ἀτρείδη, νῦν δή σε, ἄναξ, ἐθέλουσιν Ἀχαιοὶ
πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσιν,
οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν ἥν_περ ὑπέσταν
ἐνθάδ’ ἔτι στείχοντες ἀπ’ Ἄργεος ἱπποβότοιο,
Ἴλιον ἐκπέρσαντ’ εὐτείχεον ἀπονέεσθαι.
ὥς_τε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες
ἀλλήλοισιν ὀδύρονται οἶκόνδε νέεσθαι.
ἦ μὴν καὶ πόνος ἐστὶν ἀνιηθέντα νέεσθαι·
καὶ γάρ τίς θ’ ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο
ἀσχαλάαι σὺν νηῒ πολυζύγωι, ὅν_περ ἄελλαι
χειμέριαι εἰλέωσιν ὀρινομένη τε θάλασσα·
ἡμῖν δ’ εἴνατός ἐστι περιτροπέων ἐνιαυτὸς
ἐνθάδε μιμνόντεσσι. τῶι οὐ νεμεσίζομ’ Ἀχαιοὺς
ἀσχαλάαν παρὰ νηυσὶ κορωνίσιν· ἀλλὰ καὶ ἔμπης
αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι.
τλῆτε, φίλοι, καὶ μείνατ’ ἐπὶ χρόνον, ὄφρα δαῶμεν
ἦ ἐτεὸν Κάλχας μαντεύεται, ἠὲ καὶ οὐκί.
εὖ γὰρ δὴ τόδε ἴδμεν ἐνὶ φρεσίν, ἐστὲ δὲ πάντες
μάρτυροι, οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι·
χθιζά τε καὶ πρωΐζ’, ὅτ’ ἐς Αὐλίδα νῆες Ἀχαιῶν
ἠγερέθοντο κακὰ Πριάμωι καὶ Τρωσὶ φέρουσαι·
ἡμεῖς δ’ ἀμφὶ περὶ κρήνην ἱεροὺς κατὰ βωμοὺς
ἔρδομεν ἀθανάτοισι τεληέσσας ἑκατόμβας,
καλῆι ὑπὸ πλατανίστωι, ὅθεν ῥέεν ἀγλαὸν ὕδωρ·
ἔνθ’ ἐφάνη μέγα σῆμα· δράκων ἐπὶ νῶτα δαφοινός,
σμερδαλέος, τόν ῥ’ αὐτὸς Ὀλύμπιος ἧκε φόωσδε,
βωμοῦ ὑπαΐξας πρός ῥα πλατάνιστον ὄρουσεν.
ἔνθα δ’ ἔσαν στρουθοῖο νεοσσοί, νήπια τέκνα,
ὄζωι ἔπ’ ἀκροτάτωι, πετάλοις ὑποπεπτηῶτες,
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα.
ἔνθ’ ὅ_γε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας·
μήτηρ δ’ ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα·
τὴν δ’ ἐλελιξάμενος πτερύγος λάβεν ἀμφιαχυῖαν.
αὐτὰρ ἐπεὶ κατὰ τέκν’ ἔφαγε στρουθοῖο καὶ αὐτήν,
τὸν μὲν ἀΐζηλον θῆκεν θεός, ὅς_περ ἔφηνεν·
λᾶαν γάρ μιν ἔθηκε Κρόνου παῖς ἀγκυλομήτεω·
ἡμεῖς δ’ ἑσταότες θαυμάζομεν οἷον ἐτύχθη.
ὡς οὖν δεινὰ πέλωρα θεῶν εἰσῆλθ’ ἑκατόμβας,
Κάλχας δ’ αὐτίκ’ ἔπειτα θεοπροπέων ἀγόρευεν·
‘τίπτ’ ἄνεω ἐγένεσθε, κάρη_κομόωντες Ἀχαιοί;
ἡμῖν μὲν τόδ’ ἔφηνε τέρας μέγα μητίετα Ζεύς,
ὄψιμον, ὀψιτέλεστον, ὅου κλέος οὔ_ποτ’ ὀλεῖται.
ὡς οὗτος κατὰ τέκν’ ἔφαγε στρουθοῖο καὶ αὐτήν,
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα·
ὣς ἡμεῖς τοσσαῦτ’ ἔτεα πτολεμίξομεν αὖθι,
τῶι δεκάτωι δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν.’
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται. Od.
ἀλλ’ ἄγε, μίμνετε πάντες, ἐϋκνήμιδες Ἀχαιοί, ~ Athena
αὐτοῦ, εἰς_ὅ κεν ἄστυ μέγα Πριάμοιο ἕλωμεν.” ~ mess.
“ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσιν, 2.796
ὥς ποτ’ ἐπ’ εἰρήνης· πόλεμος δ’ ἀλίαστος ὄρωρεν.
ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰσήλυθον ἀνδρῶν,
ἀλλ’ οὔ_πω τοιόνδε τοσόνδέ τε λαὸν ὄπωπα·
λίην γὰρ φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν
ἔρχονται πεδίοιο μαχησόμενοι προτὶ ἄστυ.
Ἕκτορ, σοὶ δὲ μάλιστ’ ἐπιτέλλομαι ὧδέ γε ῥέξαι·
πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου ἐπίκουροι,
ἄλλη δ’ ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων·
τοῖσιν ἕκαστος ἀνὴρ σημαινέτω οἷσί περ ἄρχει, Iris
τῶν δ’ ἐξηγείσθω, κοσμησάμενος πολιήτας.” ~ Polites
“ἦ ῥά νύ μοί τι πίθοιο, Λυκάονος υἱὲ δαΐφρον; 4.93
τλαίης κεν Μενελάωι ἔπι_προέμεν ταχὺν ἰόν,
πᾶσι δέ κε Τρώεσσι χάριν καὶ κῦδος ἄροιο,
ἐκ πάντων δὲ μάλιστα Ἀλεξάνδρωι βασιλῆϊ.
τοῦ κεν δὴ πάμπρωτα πάρ’ ἀγλαὰ δῶρα φέροιο,
αἴ κεν ἴδηι Μενέλαον ἀρήϊον Ἀτρέος υἱὸν
σῶι βέλεϊ δμηθέντα, πυρῆς ἐπιβάντ’ ἀλεγεινῆς.
ἀλλ’ ἄγ’ ὀΐστευσον Μενελάου κυδαλίμοιο,
εὔχεο δ’ Ἀπόλλωνι Λυκηγενέϊ κλυτοτόξωι Athena
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην ~ Lao-
οἴκαδε νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης.” dokos
“αἰδώς, Ἀργεῖοι, κάκ’ ἐλέγχεα, εἶδος ἀγητοί· 5.787
ὄφρα μὲν ἐς πόλεμον πωλέσκετο δῖος Ἀχιλλεύς, Hera
οὐδέποτε Τρῶες πρὸ πυλάων Δαρδανιάων ~ Sten-
οἴχνεσκον· κείνου γὰρ ἐδείδισαν ὄβριμον ἔγχος· tor
νῦν δὲ ἑκὰς πόλιος κοίλῃς ἐπὶ νηυσὶ μάχονται.”
“Αἴαντε, σφὼ μέν τε σαώσετε λαὸν Ἀχαιῶν 13.47
ἀλκῆς μνησαμένω, μηδὲ κρυεροῖο φόβοιο.
ἄλληι μὲν γὰρ ἐγώ γ’ οὐ δείδια χεῖρας ἀάπτους
Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλωι·
ἕξουσιν γὰρ πάντας ἐϋκνήμιδες Ἀχαιοί·
τῆι δὲ δὴ αἰνότατον περιδείδια μή τι πάθωμεν,
ἧι ῥ’ ὅ_γ’ ὁ λυσσώδης φλογὶ εἴκελος ἡγεμονεύει,
Ἕκτωρ, ὃς Διὸς εὔχετ’ ἐρισθενέος πάϊς εἶναι.
σφῶϊν δ’ ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν,
αὐτώ θ’ ἑστάμεναι κρατερῶς καὶ ἀνωγέμεν ἄλλους·
τῶι κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ’ ἀπὸ νηῶν Pos.
ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει.” ~ Kalch.

13.219 “Ἰδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ
Pos. ~ Thoas οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;”
20.33 “τίπτ’ αὖτ’ ἐγρήσσεις, πάντων περὶ κάμμορε φωτῶν;
Athena οἶκος μέν τοι ὅδ’ ἐστί, γυνὴ δέ τοι ἥδ’ ἐνὶ οἴκωι
~ woman καὶ παῖς, οἷόν πού τις ἐέλδεται ἔμμεναι υἷα.”
14.139 “Ἀτρεΐδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ
γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν
δερκομένωι, ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ’ ἠβαιαί.
ἀλλ’ ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειεν.
σοὶ δ’ οὔ πω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν,
Pos. ἀλλ’ ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες
~ old εὐρὺ κονίσουσιν πεδίον, σὺ δ’ ἐπόψεαι αὐτὸς
man φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.”
14.486 ‘διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ,
Od. οὔ τοι ἔτι ζωοῖσι μετέσσομαι, ἀλλά με χεῖμα
~ cold δάμναται· οὐ γὰρ ἔχω χλαῖναν· παρά μ’ ἤπαφε δαίμων
to Od.! οἰοχίτων’ ἴμεναι· νῦν δ’ οὐκέτι φυκτὰ πέλονται.’
16.721 “Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή.
αἴθ’ ὅσον ἥσσων εἰμί, τόσον σέο φέρτερος εἴην·
τῶι κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.
Apollo ἀλλ’ ἄγε, Πατρόκλωι ἔφεπε κρατερώνυχας ἵππους,
~ Asios αἴ κέν πώς μιν ἕληις, δώηι δέ τοι εὖχος Ἀπόλλων.”
13.291 “κερδαλέος κ’ εἴη καὶ ἐπίκλοπος ὅς σε παρέλθοι
ἐν πάντεσσι δόλοισι, καὶ εἰ θεὸς ἀντιάσειεν.
σχέτλιε, ποικιλομῆτα, δόλων ἆτ’, οὐκ ἄρ’ ἔμελλες,
οὐδ’ ἐν σῆι περ ἐὼν γαίηι, λήξειν ἀπατάων
μύθων τε κλοπίων, οἵ τοι πεδόθεν φίλοι εἰσίν.
ἀλλ’ ἄγε, μηκέτι ταῦτα λεγώμεθα, εἰδότες ἄμφω
κέρδε’, ἐπεὶ σὺ μέν ἐσσι βροτῶν ὄχ’ ἄριστος ἁπάντων
βουλῆι καὶ μύθοισιν, ἐγὼ δ’ ἐν πᾶσι θεοῖσιν
μήτι τε κλέομαι καὶ κέρδεσιν· οὐδὲ σύ γ’ ἔγνως
Παλλάδ’ Ἀθηναίην, κούρην Διός, ἥ τέ τοι αἰεὶ
ἐν πάντεσσι πόνοισι παρίσταμαι ἠδὲ φυλάσσω,
καὶ δέ σε Φαιήκεσσι φίλον πάντεσσιν ἔθηκα.
νῦν αὖ δεῦρ’ ἱκόμην, ἵνα τοι σὺν μῆτιν ὑφήνω
χρήματά τε κρύψω, ὅσα τοι Φαίηκες ἀγαυοὶ
ὤπασαν οἴκαδ’ ἰόντι ἐμῆι βουλῆι τε νόωι τε,
εἴπω θ’ ὅσσα τοι αἶσα δόμοις ἔνι ποιητοῖσιν
κήδε’ ἀνασχέσθαι. σὺ δὲ τετλάμεναι καὶ ἀνάγκηι,
Athena μηδέ τωι ἐκφάσθαι μήτ’ ἀνδρῶν μήτε γυναικῶν,
~ a wo- πάντων, οὕνεκ’ ἄρ’ ἦλθες ἀλώμενος, ἀλλὰ σιωπῆι
man πάσχειν ἄλγεα πολλά, βίας ὑποδέγμενος ἀνδρῶν.”
17.75 “Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων,
ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ’ ἀλεγεινοὶ
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ’ ὀχέεσθαι,
ἄλλωι γ’ ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱός,
Apollo Πατρόκλωι περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνεν,
~ Mentes Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς.”
8.195 “καί κ’ ἀλαός τοι, ξεῖνε, διακρίνειε τὸ σῆμα
ἀμφαφόων, ἐπεὶ οὔ τι μεμιγμένον ἐστὶν ὁμίλωι,
ἀλλὰ πολὺ πρῶτον. σὺ δὲ θάρσει τόνδε γ’ ἄεθλον· Athena
οὔ τις Φαιήκων τόν γ’ ἵξεται οὐδ’ ὑπερήσει.” ~ a man
“Αἰνεία πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσσαισθε 17.327
Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
κάρτεϊ τε σθένεϊ τε πεποιθότας ἠνορέηι τε
πλήθεϊ τε σφετέρωι, καὶ ὑπερδέα δῆμον ἔχοντας. Apollo
ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται ἢ Δαναοῖσιν ~ Peri-
νίκην· ἀλλ’ αὐτοὶ τρεῖτ’ ἄσπετον οὐδὲ μάχεσθε.” phas
“Ναυσικάα, τί νύ σ’ ὧδε μεθήμονα γείνατο μήτηρ; 6.25
εἵματα μέν τοι κεῖται ἀκηδέα σιγαλόεντα,
σοὶ δὲ γάμος σχεδόν ἐστιν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
ἕννυσθαι, τὰ δὲ τοῖσι παρασχεῖν οἵ κέ σ’ ἄγωνται.
ἐκ γάρ τοι τούτων φάτις ἀνθρώπους ἀναβαίνει
ἐσθλή, χαίρουσιν δὲ πατὴρ καὶ πότνια μήτηρ.
ἀλλ’ ἴομεν πλυνέουσαι ἅμ’ ἠοῖ φαινομένηφιν·
καί τοι ἐγὼ συνέριθος ἅμ’ ἕψομαι, ὄφρα τάχιστα
ἐντύνεαι, ἐπεὶ οὔ τοι ἔτι δὴν παρθένος ἔσσεαι·
ἤδη γάρ σε μνῶνται ἀριστῆες κατὰ δῆμον
πάντων Φαιήκων, ὅθι τοι γένος ἐστὶ καὶ αὐτῆι.
ἀλλ’ ἄγ’ ἐπότρυνον πατέρα κλυτὸν ἠῶθι πρὸ Athena
ἡμιόνους καὶ ἅμαξαν ἐφοπλίσαι, ἥ κεν ἄγῃσιν ~ κούρηι
ζῶστρά τε καὶ πέπλους καὶ ῥήγεα σιγαλόεντα. Δύμ-
καὶ δὲ σοὶ ὧδ’ αὐτῆι πολὺ κάλλιον ἠὲ πόδεσσιν αντος
ἔρχεσθαι· πολλὸν γὰρ ἀπὸ πλυνοί εἰσι πόληος.”
“σοὶ μὲν δή, Μενέλαε, κατηφείη καὶ ὄνειδος 17.556
ἔσσεται, εἴ κ’ Ἀχιλῆος ἀγαυοῦ πιστὸν ἑταῖρον Athena
τείχει ὕπο Τρώων ταχέες κύνες ἑλκήσουσιν. ~ Phoe-
ἀλλ’ ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα.” nix
“Τηλέμαχ’, ἤδη μέν τοι ἐϋκνήμιδες ἑταῖροι 2.402
εἵατ’ ἐπήρετμοι, τὴν σὴν ποτιδέγμενοι ὁρμήν· Athena
ἀλλ’ ἴομεν, μὴ δηθὰ διατρίβωμεν ὁδοῖο.” ~ Mentor
“Ἕκτορ, τίς κέ σ’ ἔτ’ ἄλλος Ἀχαιῶν ταρβήσειεν; 17.586
οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ
μαλθακὸς αἰχμητής· νῦν δ’ οἴχεται οἶος ἀείρας Apollo
νεκρὸν ὕπεκ Τρώων· σὸν δ’ ἔκτανε πιστὸν ἑταῖρον, ~ Phae-
ἐσθλὸν ἐνὶ προμάχοισι, Ποδῆν υἱὸν Ἠετίωνος.” nops
“Τηλέμαχ’ οὐδ’ ὄπιθεν κακὸς ἔσσεαι οὐδ’ ἀνοήμων. 2.270
εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠΰ,
οἷος ἐκεῖνος ἔην τελέσαι ἔργόν τε ἔπος τε,
οὔ τοι ἔπειθ’ ἁλίη ὁδὸς ἔσσεται οὐδ’ ἀτέλεστος.
εἰ δ’ οὐ κείνου γ’ ἐσσὶ γόνος καὶ Πηνελοπείης,
οὔ σε γ’ ἔπειτα ἔολπα τελευτήσειν ἃ μενοινᾶις.
παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται,
οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους.
ἀλλ’ ἐπεὶ οὐδ’ ὄπιθεν κακὸς ἔσσεαι οὐδ’ ἀνοήμων,
οὐδέ σε πάγχυ γε μῆτις Ὀδυσσῆος προλέλοιπεν,
ἐλπωρή τοι ἔπειτα τελευτῆσαι τάδε ἔργα.
τῶι νῦν μνηστήρων μὲν ἔα βουλήν τε νόον τε
ἀφραδέων, ἐπεὶ οὔ τι νοήμονες οὐδὲ δίκαιοι·

οὐδέ τι ἴσ_σ_ασιν θάνατον καὶ κῆρα μέλαιναν,
ὃς δή σφι σχεδόν ἐστιν, ἐπ᾽ ἤματι πάντας ὀλέσθαι.
σοὶ δ᾽ ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται ἣν σὺ μενοινᾷς·
τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώϊός εἰμι,
ὅς τοι νῆα θοὴν στελέω καὶ ἅμ᾽ ἕψομαι αὐτός.
ἀλλὰ σὺ μὲν πρὸς δώματ᾽ ἰὼν μνηστῆρσιν ὁμίλει,
ὅπλισσόν τ᾽ ἤϊα καὶ ἄγγεσιν ἄρσον ἅπαντα,
οἶνον ἐν ἀμφιφορεῦσι, καὶ ἄλφιτα, μυελὸν ἀνδρῶν,
δέρμασιν ἐν πυκινοῖσιν· ἐγὼ δ᾽ ἀνὰ δῆμον ἑταίρους
αἶψ᾽ ἐθελοντῆρας συλλέξομαι. εἰσὶ δὲ νῆες
πολλαὶ ἐν ἀμφιάλωι Ἰθάκηι, νέαι ἠδὲ παλαιαί·
Athena τάων μέν τοι ἐγὼν ἐπιόψομαι ἥ_τις ἀρίστη,
~ Mentor ὦκα δ᾽ ἐφοπλίσσαντες ἐνήσομεν εὐρέϊ πόντωι."
22.229 "ἠθεῖ᾽, ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεύς,
Athena ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκων·
~Deiphobos ἀλλ᾽ ἄγε δὴ στέωμεν καὶ ἀλεξώμεσθα μένοντες."
1.179 "τοιγὰρ ἐγώ τοι ταῦτα μάλ᾽ ἀτρεκέως ἀγορεύσω.
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
νῦν δ᾽ ὧδε ξὺν νηῒ κατήλυθον ἠδ᾽ ἑτάροισιν,
πλέων ἐπὶ οἴνοπα πόντον ἐπ᾽ ἀλλοθρόους ἀνθρώπους,
ἐς Τεμέσην μετὰ χαλκόν, ἄγω δ᾽ αἴθωνα σίδηρον.
νηῦς δέ μοι ἥδ᾽ ἕστηκεν ἐπ᾽ ἀγροῦ νόσφι πόληος,
ἐν λιμένι Ῥείθρωι, ὑπὸ Νηΐωι ὑλήεντι.
ξεῖνοι δ᾽ ἀλλήλων πατρώϊοι εὐχόμεθ᾽ εἶναι
ἐξ ἀρχῆς, εἴ_πέρ τε γέροντ᾽ εἴρηαι ἐπελθὼν
Λαέρτην ἥρωα, τὸν οὐκέτι φασὶ πόλινδε
ἔρχεσθ᾽, ἀλλ᾽ ἀπάνευθεν ἐπ᾽ ἀγροῦ πήματα πάσχειν
γρηῒ σὺν ἀμφιπόλωι, ἥ οἱ βρῶσίν τε πόσιν τε
παρτιθεῖ, εὖτ᾽ ἄν μιν κάματος κατὰ γυῖα λάβησιν
ἑρπύζοντ᾽ ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
νῦν δ᾽ ἦλθον· δὴ γάρ μιν ἔφαντ᾽ ἐπιδήμιον εἶναι,
σὸν πατέρ᾽· ἀλλά νυ τόν_γε θεοὶ βλάπτουσι κελεύθου.
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀδυσσεύς,
ἀλλ᾽ ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντωι,
νήσωι ἐν ἀμφιρύτηι, χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν,
ἄγριοι, οἵ που κεῖνον ἐρυκανόωσ᾽ ἀέκοντα.
αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῶι
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω,
οὔτέ τι μάντις ἐὼν οὔτ᾽ οἰωνῶν σάφα εἰδώς·
οὔ_τοι ἔτι δηρόν γε φίλης ἀπὸ πατρίδος αἴης
ἔσσεται, οὐδ᾽ εἴ_πέρ τε σιδήρεα δέσματ᾽ ἔχησιν·
φράσσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστιν.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἰ δὴ ἐξ αὐτοῖο τόσος παῖς εἰς Ὀδυσῆος.
αἰνῶς μὲν κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας
κείνωι, ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ᾽ ἀλλήλοισιν,
πρίν γε τὸν ἐς Τροίην ἀναβήμεναι, ἔνθά περ ἄλλοι
Athena Ἀργείων οἱ ἄριστοι ἔβαν κοίλῃς ἐπὶ νηυσίν·
~ Mentes ἐκ τοῦ δ᾽ οὔτ᾽ Ὀδυσῆα ἐγὼν ἴδον οὔτ᾽ ἐμὲ κεῖνος."

INCLUDED:

2.284 ff

ILIAD AND OD.
ASCEND FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 250 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

LINES SPOKEN

IN

DISGUISE

(BUT NOT BY ODYSSEUS,
UNLESS TO ODYSSEUS)

IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.179 “τοιγὰρ ἐγώ τοι ταῦτα μάλ’ ἀτρεκέως ἀγορεύσω.
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
νῦν δ’ ὧδε ξὺν νηῒ κατήλυθον ἠδ’ ἑτάροισιν,
πλέων ἐπὶ οἴνοπα πόντον ἐπ’ ἀλλοθρόους ἀνθρώπους,
ἐς Τεμέσην μετὰ χαλκόν, ἄγω δ’ αἴθωνα σίδηρον.
νηῦς δέ μοι ἥδ’ ἕστηκεν ἐπ’ ἀγροῦ νόσφι πόληος,
ἐν λιμένι Ῥείθρωι, ὑπὸ Νηΐωι ὑλήεντι.
ξεῖνοι δ’ ἀλλήλων πατρώϊοι εὐχόμεθ’ εἶναι
ἐξ ἀρχῆς, εἴ_πέρ τε γέροντ’ εἴρηαι ἐπελθὼν
Λαέρτην ἥρωα, τὸν οὐκέτι φασὶ πόλινδε
ἔρχεσθ’, ἀλλ’ ἀπάνευθεν ἐπ’ ἀγροῦ πήματα πάσχειν
γρηῒ σὺν ἀμφιπόλωι, ἥ οἱ βρῶσίν τε πόσιν τε
παρτιθεῖ, εὖτ’ ἄν μιν κάματος κατὰ γυῖα λάβησιν
ἑρπύζοντ’ ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
νῦν δ’ ἦλθον· δὴ γάρ μιν ἔφαντ’ ἐπιδήμιον εἶναι,
σὸν πατέρ’· ἀλλά νυ τόν_γε θεοὶ βλάπτουσι κελεύθου.
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀδυσσεύς,
ἀλλ’ ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντωι,
νήσωι ἐν ἀμφιρύτηι, χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν,
ἄγριοι, οἵ που κεῖνον ἐρυκανόωσ’ ἀέκοντα.
αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῶι
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω,
οὔτέ τι μάντις ἐὼν οὔτ’ οἰωνῶν σάφα εἰδώς·
οὔ_τοι ἔτι δηρόν γε φίλης ἀπὸ πατρίδος αἴης
ἔσσεται, οὐδ’ εἴ_πέρ τε σιδήρεα δέσματ’ ἔχησιν·
φράσσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστιν.
ἀλλ’ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἰ δὴ ἐξ αὐτοῖο τόσος παῖς εἰς Ὀδυσῆος.
αἰνῶς μὲν κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας
κείνωι, ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ’ ἀλλήλοισιν,
πρίν γε τὸν ἐς Τροίην ἀναβήμεναι, ἔνθά περ ἄλλοι
Athena Ἀργείων οἱ ἄριστοι ἔβαν κοίλῃς ἐπὶ νηυσίν·
~ Mentes ἐκ τοῦ δ’ οὔτ’ Ὀδυσῆα ἐγὼν ἴδον οὔτ’ ἐμὲ κεῖνος.”
2.23 “εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο;
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ὧι λαοί τ’ ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.
νῦν δ’ ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ’ ἐλεαίρει.
θωρῆξαί σε κέλευσε κάρη_κομόωντας Ἀχαιοὺς
πανσυδίηι· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ’ ἀμφὶς Ὀλύμπια δώματ’ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε’ ἐφῆπται
Dream ἐκ Διός. ἀλλὰ σὺ σῇσιν ἔχε φρεσί, μηδέ σε λήθη
~ Nestor αἱρείτω, εὖτ’ ἄν σε μελίφρων ὕπνος ἀνήηι.”
2.270 “Τηλέμαχ’ οὐδ’ ὄπιθεν κακὸς ἔσσεαι οὐδ’ ἀνοήμων.
εἰ δὴ τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠΰ,
οἷος ἐκεῖνος ἔην τελέσαι ἔργόν τε ἔπος τε,
οὔ τοι ἔπειθ’ ἁλίη ὁδὸς ἔσσεται οὐδ’ ἀτέλεστος.
εἰ δ’ οὐ κείνου γ’ ἐσσὶ γόνος καὶ Πηνελοπείης,
οὔ σε_γ’ ἔπειτα ἔολπα τελευτήσειν ἃ μενοινᾶις.
παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται,
οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους.
ἀλλ’ ἐπεὶ οὐδ’ ὄπιθεν κακὸς ἔσσεαι οὐδ’ ἀνοήμων,
οὐδέ σε πάγχυ γε μῆτις Ὀδυσσῆος προλέλοιπεν,
ἐλπωρή τοι ἔπειτα τελευτῆσαι τάδε ἔργα.
τῶι νῦν μνηστήρων μὲν ἔα βουλήν τε νόον τε
ἀφραδέων, ἐπεὶ οὔ τι νοήμονες οὐδὲ δίκαιοι·
οὐδέ τι ἴσασιν θάνατον καὶ κῆρα μέλαιναν,
ὃς δή σφι σχεδόν ἐστιν, ἐπ’ ἤματι πάντας ὀλέσθαι.
σοὶ δ’ ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται ἣν σὺ μενοινᾶις·
τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώϊός εἰμι,
ὅς τοι νῆα θοὴν στελέω καὶ ἅμ’ ἕψομαι αὐτός.
ἀλλὰ σὺ μὲν πρὸς δώματ’ ἰὼν μνηστῆρσιν ὁμίλει,
ὅπλισσόν τ’ ἤϊα καὶ ἄγγεσιν ἄρσον ἅπαντα,
οἶνον ἐν ἀμφιφορεῦσι, καὶ ἄλφιτα, μυελὸν ἀνδρῶν,
δέρμασιν ἐν πυκινοῖσιν· ἐγὼ δ’ ἀνὰ δῆμον ἑταίρους
αἶψ’ ἐθελοντῆρας συλλέξομαι. εἰσὶ δὲ νῆες
πολλαὶ ἐν ἀμφιάλωι Ἰθάκηι, νέαι ἠδὲ παλαιαί·
τάων μέν τοι ἐγὼν ἐπιόψομαι ἥ_τις ἀρίστη, Athena
ὦκα δ’ ἐφοπλίσσαντες ἐνήσομεν εὐρέϊ πόντωι.” ~ Mentor
“Ἀτρεΐδη, νῦν δή σε, ἄναξ, ἐθέλουσιν Ἀχαιοὶ 2.284
πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσιν,
οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν ἥν_περ ὑπέσταν
ἐνθάδ’ ἔτι στείχοντες ἀπ’ Ἄργεος ἱπποβότοιο,
Ἴλιον ἐκπέρσαντ’ εὐτείχεον ἀπονέεσθαι.
ὥς_τε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες
ἀλλήλοισιν ὀδύρονται οἶκόνδε νέεσθαι.
ἦ μὴν καὶ πόνος ἐστὶν ἀνιηθέντα νέεσθαι·
καὶ γάρ τίς θ’ ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο
ἀσχαλάαι σὺν νηῒ πολυζύγωι, ὅν_περ ἄελλαι
χειμέριαι εἰλέωσιν ὀρινομένη τε θάλασσα·
ἡμῖν δ’ εἴνατός ἐστι περιτροπέων ἐνιαυτὸς
ἐνθάδε μιμνόντεσσι. τῶι οὐ νεμεσίζομ’ Ἀχαιοὺς
ἀσχαλάαν παρὰ νηυσὶ κορωνίσιν· ἀλλὰ καὶ ἔμπης
αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι.
τλῆτε, φίλοι, καὶ μείνατ’ ἐπὶ χρόνον, ὄφρα δαῶμεν
ἢ ἐτεὸν Κάλχας μαντεύεται, ἦε καὶ οὐκί.
εὖ γὰρ δὴ τόδε ἴδμεν ἐνὶ φρεσίν, ἐστὲ δὲ πάντες
μάρτυροι, οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι·
χθιζά τε καὶ πρωΐζ’, ὅτ’ ἐς Αὐλίδα νῆες Ἀχαιῶν
ἠγερέθοντο κακὰ Πριάμωι καὶ Τρωσὶ φέρουσαι·
ἡμεῖς δ’ ἀμφὶ περὶ κρήνην ἱεροὺς κατὰ βωμοὺς
ἔρδομεν ἀθανάτοισι τεληέσσας ἑκατόμβας,
καλῆι ὑπὸ πλατανίστωι, ὅθεν ῥέεν ἀγλαὸν ὕδωρ·
ἔνθ’ ἐφάνη μέγα σῆμα· δράκων ἐπὶ νῶτα δαφοινός,
σμερδαλέος, τόν ῥ’ αὐτὸς Ὀλύμπιος ἧκε φόωσδε,
βωμοῦ ὑπαΐξας πρός ῥα πλατάνιστον ὄρουσεν.
ἔνθα δ’ ἔσαν στρουθοῖο νεοσσοί, νήπια τέκνα,

ὄζωι ἔπ' ἀκροτάτωι, πετάλοις ὑποπεπτηῶτες,
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα.
ἔνθ' ὅ_γε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας·
μήτηρ δ' ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα·
τὴν δ' ἐλελιξάμενος πτερύγος λάβεν ἀμφιαχυῖαν.
αὐτὰρ ἐπεὶ κατὰ τέκν' ἔφαγε στρουθοῖο καὶ αὐτήν,
τὸν μὲν ἀΐζηλον θῆκεν θεός, ὅς_περ ἔφηνεν·
λᾶαν γάρ μιν ἔθηκε Κρόνου παῖς ἀγκυλομήτεω·
ἡμεῖς δ' ἑσταότες θαυμάζομεν οἷον ἐτύχθη.
ὡς οὖν δεινὰ πέλωρα θεῶν εἰσῆλθ' ἑκατόμβας,
Κάλχας δ' αὐτίκ' ἔπειτα θεοπροπέων ἀγόρευεν·
'τίπτ' ἄνεω ἐγένεσθε, κάρη_κομόωντες Ἀχαιοί;
ἡμῖν μὲν τόδ' ἔφηνε τέρας μέγα μητίετα Ζεύς,
ὄψιμον, ὀψιτέλεστον, ὅου κλέος οὔ_ποτ' ὀλεῖται.
ὡς οὗτος κατὰ τέκν' ἔφαγε στρουθοῖο καὶ αὐτήν,
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα·
ὣς ἡμεῖς τοσσαῦτ' ἔτεα πτολεμίξομεν αὖθι,
τῶι δεκάτωι δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν.'
Od. κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
~ Athena ἀλλ' ἄγε, μίμνετε πάντες, ἐϋκνήμιδες Ἀχαιοί,
~ mess. αὐτοῦ, εἰς_ὅ κεν ἄστυ μέγα Πριάμοιο ἕλωμεν."
2.402 "Τηλέμαχ', ἤδη μέν τοι ἐϋκνήμιδες ἑταῖροι
Athena εἵατ' ἐπήρετμοι, τὴν σὴν ποτιδέγμενοι ὁρμήν·
~ Mentor ἀλλ' ἴομεν, μὴ δηθὰ διατρίβωμεν ὁδοῖο."
2.796 "ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσιν,
ὥς ποτ' ἐπ' εἰρήνης· πόλεμος δ' ἀλίαστος ὄρωρεν.
ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰσήλυθον ἀνδρῶν,
ἀλλ' οὔ_πω τοιόνδε τοσόνδέ τε λαὸν ὄπωπα·
λίην γὰρ φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν
ἔρχονται πεδίοιο μαχησόμενοι προτὶ ἄστυ.
Ἕκτορ, σοὶ δὲ μάλιστ' ἐπιτέλλομαι ὧδέ γε ῥέξαι·
πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου ἐπίκουροι,
ἄλλη δ' ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων·
Iris τοῖσιν ἕκαστος ἀνὴρ σημαινέτω οἷσί περ ἄρχει,
~ Polites τῶν δ' ἐξηγείσθω, κοσμησάμενος πολιήτας."
4.93 "ἦ ῥά νύ μοί τι πίθοιο, Λυκάονος υἱὲ δαΐφρον;
τλαίης κεν Μενελάωι ἔπι_προέμεν ταχὺν ἰόν,
πᾶσι δέ κε Τρώεσσι χάριν καὶ κῦδος ἄροιο,
ἐκ πάντων δὲ μάλιστα Ἀλεξάνδρωι βασιλῆϊ.
τοῦ κεν δὴ πάμπρωτα πάρ' ἀγλαὰ δῶρα φέροιο,
αἴ κεν ἴδηι Μενέλαον ἀρήϊον Ἀτρέος υἱὸν
σῶι βέλεϊ δμηθέντα, πυρῆς ἐπιβάντ' ἀλεγεινῆς.
ἀλλ' ἄγ' ὀΐστευσον Μενελάου κυδαλίμοιο,
Athena εὔχεο δ' Ἀπόλλωνι Λυκηγενέϊ κλυτοτόξωι
~ Lao- ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην
dokos οἴκαδε νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης."
5.787 "αἰδώς, Ἀργεῖοι, κάκ' ἐλέγχεα, εἶδος ἀγητοί·
Hera ὄφρα μὲν ἐς πόλεμον πωλέσκετο δῖος Ἀχιλλεύς,
~ Sten- οὐδέποτε Τρῶες πρὸ πυλάων Δαρδανιάων
tor οἴχνεσκον· κείνου γὰρ ἐδείδισαν ὄβριμον ἔγχος·
νῦν δὲ ἑκὰς πόλιος κοίλης ἐπὶ νηυσὶ μάχονται."
"Ναυσικάα, τί νύ σ' ὧδε μεθήμονα γείνατο μήτηρ; 6.25
εἵματα μέν τοι κεῖται ἀκηδέα σιγαλόεντα,
σοὶ δὲ γάμος σχεδόν ἐστιν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
ἕννυσθαι, τὰ δὲ τοῖσι παρασχεῖν οἵ κέ σ' ἄγωνται.
ἐκ γάρ τοι τούτων φάτις ἀνθρώπους ἀναβαίνει
ἐσθλή, χαίρουσιν δὲ πατὴρ καὶ πότνια μήτηρ.
ἀλλ' ἴομεν πλυνέουσαι ἅμ' ἠοῖ φαινομένηφιν·
καί τοι ἐγὼ συνέριθος ἅμ' ἕψομαι, ὄφρα τάχιστα
ἐντύνεαι, ἐπεὶ οὔ_τοι ἔτι δὴν παρθένος ἔσσεαι·
ἤδη γάρ σε μνῶνται ἀριστῆες κατὰ δῆμον
πάντων Φαιήκων, ὅθι τοι γένος ἐστὶ καὶ αὐτῆι.
ἀλλ' ἄγ' ἐπότρυνον πατέρα κλυτὸν ἠῶθι πρὸ Athena
ἡμιόνους καὶ ἄμαξαν ἐφοπλίσαι, ἥ κεν ἄγησιν ~ κούρηι
ζῶστρά τε καὶ πέπλους καὶ ῥήγεα σιγαλόεντα. Δύμ-
καὶ δὲ σοὶ ὧδ' αὐτῆι πολὺ κάλλιον ἠὲ πόδεσσιν αντος
ἔρχεσθαι· πολλὸν γὰρ ἀπὸ πλυνοί εἰσι πόληος."
"καί κ' ἀλαός τοι, ξεῖνε, διακρίνειε τὸ σῆμα 8.195
ἀμφαφόων, ἐπεὶ οὔ_τι μεμιγμένον ἐστὶν ὁμίλωι,
ἀλλὰ πολὺ πρῶτον. σὺ δὲ θάρσει τόνδε γ' ἄεθλον· Athena
οὔ_τις Φαιήκων τόν γ' ἵξεται οὐδ' ὑπερήσει." ~ a man
"Αἴαντε, σφὼ μέν τε σαώσετε λαὸν Ἀχαιῶν 13.47
ἀλκῆς μνησαμένω, μηδὲ κρυεροῖο φόβοιο.
ἄλληι μὲν γὰρ ἐγώ γ' οὐ δείδια χεῖρας ἀάπτους
Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλωι·
ἕξουσιν γὰρ πάντας ἐϋκνήμιδες Ἀχαιοί·
τῆι δὲ δὴ αἰνότατον περιδείδια μή τι πάθωμεν,
ἧι ῥ' ὅ_γ' ὁ λυσσώδης φλογὶ εἴκελος ἡγεμονεύει,
Ἕκτωρ, ὃς Διὸς εὔχετ' ἐρισθενέος πάϊς εἶναι.
σφῶϊν δ' ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν,
αὐτώ θ' ἑστάμεναι κρατερῶς καὶ ἀνωγέμεν ἄλλους·
τῶι κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ' ἀπὸ νηῶν Pos.
ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει." ~ Kalch.
"Ἰδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ 13.219
οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;" Pos. ~ Thoas
"κερδαλέος κ' εἴη καὶ ἐπίκλοπος ὅς σε παρέλθοι 13.291
ἐν πάντεσσι δόλοισι, καὶ εἰ θεὸς ἀντιάσειεν.
σχέτλιε, ποικιλομῆτα, δόλων ἆτ', οὐκ ἄρ' ἔμελλες,
οὐδ' ἐν σῆι περ ἐὼν γαίηι, λήξειν ἀπατάων
μύθων τε κλοπίων, οἵ τοι πεδόθεν φίλοι εἰσίν.
ἀλλ' ἄγε, μηκέτι ταῦτα λεγώμεθα, εἰδότες ἄμφω
κέρδε', ἐπεὶ σὺ μέν ἐσσι βροτῶν ὄχ' ἄριστος ἁπάντων
βουλῆι καὶ μύθοισιν, ἐγὼ δ' ἐν πᾶσι θεοῖσιν
μήτι τε κλέομαι καὶ κέρδεσιν· οὐδὲ σύ γ' ἔγνως
Παλλάδ' Ἀθηναίην, κούρην Διός, ἥ_τέ τοι αἰεὶ
ἐν πάντεσσι πόνοισι παρίσταμαι ἠδὲ φυλάσσω,
καὶ δέ σε Φαιήκεσσι φίλον πάντεσσιν ἔθηκα.
νῦν αὖ δεῦρ' ἱκόμην, ἵνα τοι σὺν μῆτιν ὑφήνω
χρήματά τε κρύψω, ὅσα τοι Φαίηκες ἀγαυοὶ
ὤπασαν οἴκαδ' ἰόντι ἐμῆι βουλῆι τε νόωι τε,

εἴπω θ' ὅσσα τοι αἶσα δόμοις ἔνι ποιητοῖσιν
κήδε' ἀνασχέσθαι. σὺ δὲ τετλάμεναι καὶ ἀνάγκηι,
Athena μηδέ τωι ἐκφάσθαι μήτ' ἀνδρῶν μήτε γυναικῶν,
~ a wo- πάντων, οὕνεκ' ἄρ' ἦλθες ἀλώμενος, ἀλλὰ σιωπῆι
man πάσχειν ἄλγεα πολλά, βίας ὑποδέγμενος ἀνδρῶν."
14.139 "Ἀτρείδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ
γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν
δερκομένωι, ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ' ἠβαιαί.
ἀλλ' ὁ μὲν ὡς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειεν.
σοὶ δ' οὔ_πω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν,
Pos. ἀλλ' ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες
~ old εὐρὺ κονίσουσιν πεδίον, σὺ δ' ἐπόψεαι αὐτὸς
man φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων."
14.486 'διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Od. οὔ_τοι ἔτι ζωοῖσι μετέσσομαι, ἀλλά με χεῖμα
~ cold δάμναται· οὐ γὰρ ἔχω χλαῖναν· παρά μ' ἤπαφε δαίμων
to Od.! οἰοχίτων' ἴμεναι· νῦν δ' οὐκέτι φυκτὰ πέλονται.'
16.721 "Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή.
αἴθ' ὅσον ἥσσων εἰμί, τόσον σέο φέρτερος εἴην·
τῶι κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.
Apollo ἀλλ' ἄγε, Πατρόκλωι ἔφεπε κρατερώνυχας ἵππους,
~ Asios αἴ κέν πώς μιν ἕληις, δώηι δέ τοι εὖχος Ἀπόλλων."
17.75 "Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων,
ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ' ἀλεγεινοὶ
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ' ὀχέεσθαι,
ἄλλωι γ' ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱὸς,
Apollo Πατρόκλωι περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνεν,
~ Mentes Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς."
17.327 "Αἰνεία πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσσαισθε
Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
κάρτεΐ τε σθένεΐ τε πεποιθότας ἠνορέηι τε
Apollo πλήθεΐ τε σφετέρωι, καὶ ὑπερδέα δῆμον ἔχοντας.
~ Peri- ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται ἢ Δαναοῖσιν
phas νίκην· ἀλλ' αὐτοὶ τρεῖτ' ἄσπετον οὐδὲ μάχεσθε."
17.556 "σοὶ μὲν δή, Μενέλαε, κατηφείη καὶ ὄνειδος
Athena ἔσσεται, εἴ κ' Ἀχιλῆος ἀγαυοῦ πιστὸν ἑταῖρον
~ Phoe- τείχει ὕπο Τρώων ταχέες κύνες ἑλκήσουσιν.
nix ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα."
17.586 "Ἕκτορ, τίς κέ σ' ἔτ' ἄλλος Ἀχαιῶν ταρβήσειεν;
οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ
Apollo μαλθακὸς αἰχμητής· νῦν δ' οἴχεται οἶος ἀείρας
~ Phae- νεκρὸν ὕπεκ Τρώων· σὸν δ' ἔκτανε πιστὸν ἑταῖρον,
nops ἐσθλὸν ἐνὶ προμάχοισι, Ποδῆν υἱὸν Ἠετίωνος."
20.33 "τίπτ' αὖτ' ἐγρήσσεις, πάντων περὶ κάμμορε φωτῶν;
Athena οἶκος μέν τοι ὅδ' ἐστὶ, γυνὴ δέ τοι ἤδ' ἐνὶ οἴκωι
~ woman καὶ παῖς, οἷόν πού τις ἐέλδεται ἔμμεναι υἷα."
22.229 "ἠθεῖ', ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεὺς,
Athena ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκων·
~ Dei- ἀλλ' ἄγε δὴ στέωμεν καὶ ἀλεξώμεσθα μένοντες."
phobos

INCLUDED:

2.284 ff

ILIAD ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 140 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

LINES SPOKEN IN DISGUISE (BUT NOT BY ODYSSEUS, UNLESS TO ODYSSEUS) IN THE ILIAD

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

2.23 “εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο;
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ὧι λαοί τ’ ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.
νῦν δ’ ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ’ ἐλεαίρει.
θωρῆξαί σε κέλευσε κάρη κομόωντας Ἀχαιοὺς
πανσυδίηι· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ’ ἀμφὶς Ὀλύμπια δώματ’ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε’ ἐφῆπται
Dream ἐκ Διός. ἀλλὰ σὺ σῇσιν ἔχε φρεσί, μηδέ σε λήθη
~ Nestor αἱρείτω, εὖτ’ ἄν σε μελίφρων ὕπνος ἀνήηι.”
2.284 “Ἀτρείδη, νῦν δή σε, ἄναξ, ἐθέλουσιν Ἀχαιοὶ
πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσιν,
οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν ἥν_περ ὑπέσταν
ἐνθάδ’ ἔτι στείχοντες ἀπ’ Ἄργεος ἱπποβότοιο,
Ἴλιον ἐκπέρσαντ’ εὐτείχεον ἀπονέεσθαι.
ὥς_τε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες
ἀλλήλοισιν ὀδύρονται οἶκόνδε νέεσθαι.
ἦ μὴν καὶ πόνος ἐστὶν ἀνιηθέντα νέεσθαι·
καὶ γάρ τίς θ’ ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο
ἀσχαλάαι σὺν νηῒ πολυζύγωι, ὅν_περ ἄελλαι
χειμέριαι εἰλέωσιν ὀρινομένη τε θάλασσα·
ἡμῖν δ’ εἴνατός ἐστι περιτροπέων ἐνιαυτὸς
ἐνθάδε μιμνόντεσσι. τῶι οὐ νεμεσίζομ’ Ἀχαιοὺς
ἀσχαλάαν παρὰ νηυσὶ κορωνίσιν· ἀλλὰ καὶ ἔμπης
αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι.
τλῆτε, φίλοι, καὶ μείνατ’ ἐπὶ χρόνον, ὄφρα δαῶμεν
ἢ ἐτεὸν Κάλχας μαντεύεται, ἠὲ καὶ οὐκί.
εὖ γὰρ δὴ τόδε ἴδμεν ἐνὶ φρεσίν, ἐστὲ δὲ πάντες
μάρτυροι, οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι·
χθιζά τε καὶ πρωΐζ’, ὅτ’ ἐς Αὐλίδα νῆες Ἀχαιῶν
ἠγερέθοντο κακὰ Πριάμωι καὶ Τρωσὶ φέρουσαι·
ἡμεῖς δ’ ἀμφὶ περὶ κρήνην ἱεροὺς κατὰ βωμοὺς
ἔρδομεν ἀθανάτοισι τεληέσσας ἑκατόμβας,
καλῆι ὑπὸ πλατανίστωι, ὅθεν ῥέεν ἀγλαὸν ὕδωρ·
ἔνθ’ ἐφάνη μέγα σῆμα· δράκων ἐπὶ νῶτα δαφοινός,
σμερδαλέος, τόν ῥ’ αὐτὸς Ὀλύμπιος ἧκε φόωσδε,
βωμοῦ ὑπαΐξας πρός ῥα πλατάνιστον ὄρουσεν.
ἔνθα δ’ ἔσαν στρουθοῖο νεοσσοί, νήπια τέκνα,
ὄζωι ἔπ’ ἀκροτάτωι, πετάλοις ὑποπεπτηῶτες,
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα.
ἔνθ’ ὅ_γε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας·
μήτηρ δ’ ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα·
τὴν δ’ ἐλελιξάμενος πτερύγος λάβεν ἀμφιαχυῖαν.
αὐτὰρ ἐπεὶ κατὰ τέκν’ ἔφαγε στρουθοῖο καὶ αὐτήν,
τὸν μὲν ἀΐζηλον θῆκεν θεός, ὅς_περ ἔφηνεν·
λᾶαν γάρ μιν ἔθηκε Κρόνου παῖς ἀγκυλομήτεω·
ἡμεῖς δ’ ἑσταότες θαυμάζομεν οἷον ἐτύχθη.
ὡς οὖν δεινὰ πέλωρα θεῶν εἰσῆλθ’ ἑκατόμβας,
Κάλχας δ’ αὐτίκ’ ἔπειτα θεοπροπέων ἀγόρευεν·
‘τίπτ’ ἄνεω ἐγένεσθε, κάρη κομόωντες Ἀχαιοί;
ἡμῖν μὲν τόδ’ ἔφηνε τέρας μέγα μητίετα Ζεύς,
ὄψιμον, ὀψιτέλεστον, ὅου κλέος οὔ_ποτ’ ὀλεῖται.
ὡς οὗτος κατὰ τέκν’ ἔφαγε στρουθοῖο καὶ αὐτήν,
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα·
ὣς ἡμεῖς τοσσαῦτ’ ἔτεα πτολεμίξομεν αὖθι,
τῶι δεκάτωι δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν.’
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται. Od.
ἀλλ’ ἄγε, μίμνετε πάντες, ἐϋκνήμιδες Ἀχαιοί, ~ Athena
αὐτοῦ, εἰς_ὅ κεν ἄστυ μέγα Πριάμοιο ἕλωμεν.” ~ mess.
“ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσιν, 2.796
ὥς ποτ’ ἐπ’ εἰρήνης· πόλεμος δ’ ἀλίαστος ὄρωρεν.
ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰσήλυθον ἀνδρῶν,
ἀλλ’ οὔ_πω τοιόνδε τοσόνδε τε λαὸν ὄπωπα·
λίην γὰρ φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν
ἔρχονται πεδίοιο μαχησόμενοι προτὶ ἄστυ.
Ἕκτορ, σοὶ δὲ μάλιστ’ ἐπιτέλλομαι ὧδέ γε ῥέξαι·
πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου ἐπίκουροι,
ἄλλη δ’ ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων·
τοῖσιν ἕκαστος ἀνὴρ σημαινέτω οἷσί περ ἄρχει, Iris
τῶν δ’ ἐξηγείσθω, κοσμησάμενος πολιήτας.” ~ Polites
“ἦ ῥά νύ μοί τι πίθοιο, Λυκάονος υἱὲ δαΐφρον; 4.93
τλαίης κεν Μενελάωι ἔπι_προέμεν ταχὺν ἰόν,
πᾶσι δέ κε Τρώεσσι χάριν καὶ κῦδος ἄροιο,
ἐκ πάντων δὲ μάλιστα Ἀλεξάνδρωι βασιλῆϊ.
τοῦ κεν δὴ πάμπρωτα πάρ’ ἀγλαὰ δῶρα φέροιο,
αἴ κεν ἴδηι Μενέλαον ἀρήϊον Ἀτρέος υἱὸν
σῶι βέλεϊ δμηθέντα, πυρῆς ἐπιβάντ’ ἀλεγεινῆς.
ἀλλ’ ἄγ’ ὀΐστευσον Μενελάου κυδαλίμοιο,
εὔχεο δ’ Ἀπόλλωνι Λυκηγενέϊ κλυτοτόξωι Athena
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην ~ Lao-
οἴκαδε νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης.” dokos
“αἰδώς, Ἀργεῖοι, κάκ’ ἐλέγχεα, εἶδος ἀγητοί· 5.787
ὄφρα μὲν ἐς πόλεμον πωλέσκετο δῖος Ἀχιλλεύς, Hera
οὐδέποτε Τρῶες πρὸ πυλάων Δαρδανιάων ~ Sten-
οἴχνεσκον· κείνου γὰρ ἐδείδισαν ὄβριμον ἔγχος· tor
νῦν δὲ ἑκὰς πόλιος κοίλῃς ἐπὶ νηυσὶ μάχονται.”
“Αἴαντε, σφὼ μέν τε σαώσετε λαὸν Ἀχαιῶν 13.47
ἀλκῆς μνησαμένω, μηδὲ κρυεροῖο φόβοιο.
ἄλληι μὲν γὰρ ἐγώ γ’ οὐ δείδια χεῖρας ἀάπτους
Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλωι·
ἕξουσιν γὰρ πάντας ἐϋκνήμιδες Ἀχαιοί·
τῆι δὲ δὴ αἰνότατον περιδείδια μή τι πάθωμεν,
ἧι ῥ’ ὅ_γ’ ὁ λυσσώδης φλογὶ εἴκελος ἡγεμονεύει,
Ἕκτωρ, ὃς Διὸς εὔχετ’ ἐρισθενέος πάϊς εἶναι.
σφῶϊν δ’ ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν,
αὐτώ θ’ ἑστάμεναι κρατερῶς καὶ ἀνωγέμεν ἄλλους·
τῶι κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ’ ἀπὸ νηῶν Pos.
ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει.” ~ Kalch.

13.219 “Ἰδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ
Pos. ~ Thoas οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;”
14.139 “Ἀτρείδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ
γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν
δερκομένωι, ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ’ ἠβαιαί.
ἀλλ’ ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειεν.
σοὶ δ’ οὔ_πω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν,
Pos. ἀλλ’ ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες
~ old εὐρὺ κονίσουσιν πεδίον, σὺ δ’ ἐπόψεαι αὐτὸς
man φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.”
16.721 “Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή.
αἴθ’ ὅσον ἥσσων εἰμί, τόσον σέο φέρτερος εἴην·
τῶι κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.
Apollo ἀλλ’ ἄγε, Πατρόκλωι ἔφεπε κρατερώνυχας ἵππους,
~ Asios αἴ κέν πώς μιν ἕλῃς, δώῃ δέ τοι εὖχος Ἀπόλλων.”
17.75 “Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων,
ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ’ ἀλεγεινοὶ
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ’ ὀχέεσθαι,
ἄλλωι γ’ ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱὸς,
Apollo Πατρόκλωι περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνεν,
~ Mentes Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς.”
17.327 “Αἰνεία πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσσαισθε
Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
κάρτεΐ τε σθένεΐ τε πεποιθότας ἠνορέηι τε
Apollo πλήθεΐ τε σφετέρωι, καὶ ὑπερδέα δῆμον ἔχοντας.
~ Peri- ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται ἢ Δαναοῖσιν
phas νίκην· ἀλλ’ αὐτοὶ τρεῖτ’ ἄσπετον οὐδὲ μάχεσθε.”
17.556 “σοὶ μὲν δή, Μενέλαε, κατηφείη καὶ ὄνειδος
Athena ἔσσεται, εἴ κ’ Ἀχιλῆος ἀγαυοῦ πιστὸν ἑταῖρον
~ Phoe- τείχει ὕπο Τρώων ταχέες κύνες ἑλκήσουσιν.
nix ἀλλ’ ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα.”
17.586 “Ἕκτορ, τίς κέ σ’ ἔτ’ ἄλλος Ἀχαιῶν ταρβήσειεν;
οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ
Apollo μαλθακὸς αἰχμητής· νῦν δ’ οἴχεται οἶος ἀείρας
~ Phae νεκρὸν ὕπεκ Τρώων· σὸν δ’ ἔκτανε πιστὸν ἑταῖρον,
nops ἐσθλὸν ἐνὶ προμάχοισι, Ποδῆν υἱὸν Ἠετίωνος.”
22.229 “ἠθεῖ’, ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεύς,
Athena ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκων·
~ Dei- ἀλλ’ ἄγε δὴ στέωμεν καὶ ἀλεξώμεσθα μένοντες.”
phobos

Notes

Notes

ODYSSEY ASCENDS
FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 110 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

LINES SPOKEN IN DISGUISE (BUT NOT BY ODYSSEUS, UNLESS TO ODYSSEUS) IN THE ODYSSEY

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

1.179 “τοιγὰρ ἐγώ τοι ταῦτα μάλ’ ἀτρεκέως ἀγορεύσω.
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
νῦν δ’ ὧδε ξὺν νηῒ κατήλυθον ἠδ’ ἑτάροισιν,
πλέων ἐπὶ οἴνοπα πόντον ἐπ’ ἀλλοθρόους ἀνθρώπους,
ἐς Τεμέσην μετὰ χαλκόν, ἄγω δ’ αἴθωνα σίδηρον.
νηῦς δέ μοι ἥδ’ ἕστηκεν ἐπ’ ἀγροῦ νόσφι πόληος,
ἐν λιμένι Ῥείθρωι, ὑπὸ Νηΐωι ὑλήεντι.
ξεῖνοι δ’ ἀλλήλων πατρώϊοι εὐχόμεθ’ εἶναι
ἐξ ἀρχῆς, εἴ_πέρ τε γέροντ’ εἴρηαι ἐπελθὼν
Λαέρτην ἥρωα, τὸν οὐκέτι φασὶ πόλινδε
ἔρχεσθ’, ἀλλ’ ἀπάνευθεν ἐπ’ ἀγροῦ πήματα πάσχειν
γρηῒ σὺν ἀμφιπόλωι, ἥ οἱ βρῶσίν τε πόσιν τε
παρτιθεῖ, εὖτ’ ἄν μιν κάματος κατὰ γυῖα λάβησιν
ἑρπύζοντ’ ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
νῦν δ’ ἦλθον· δὴ γάρ μιν ἔφαντ’ ἐπιδήμιον εἶναι,
σὸν πατέρ’· ἀλλά νυ τόν_γε θεοὶ βλάπτουσι κελεύθου.
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀδυσσεύς,
ἀλλ’ ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντωι,
νήσωι ἐν ἀμφιρύτηι, χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν,
ἄγριοι, οἵ που κεῖνον ἐρυκανόωσ’ ἀέκοντα.
αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῶι
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω,
οὔτέ τι μάντις ἐὼν οὔτ’ οἰωνῶν σάφα εἰδώς·
οὔ_τοι ἔτι δηρόν γε φίλης ἀπὸ πατρίδος αἴης
ἔσσεται, οὐδ’ εἴ_πέρ τε σιδήρεα δέσματ’ ἔχηισιν·
φράσσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστιν.
ἀλλ’ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἰ δὴ ἐξ αὐτοῖο τόσος παῖς εἰς Ὀδυσῆος.
αἰνῶς μὲν κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας
κείνωι, ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ’ ἀλλήλοισιν,
πρίν γε τὸν ἐς Τροίην ἀναβήμεναι, ἔνθά περ ἄλλοι
Athena Ἀργείων οἱ ἄριστοι ἔβαν κοίληις ἐπὶ νηυσίν·
~ Mentes ἐκ τοῦ δ’ οὔτ’ Ὀδυσῆα ἐγὼν ἴδον οὔτ’ ἐμὲ κεῖνος.”
2.270 “Τηλέμαχ’ οὐδ’ ὄπιθεν κακὸς ἔσσεαι οὐδ’ ἀνοήμων.
εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠΰ,
οἷος ἐκεῖνος ἔην τελέσαι ἔργόν τε ἔπος τε,
οὔ τοι ἔπειθ’ ἁλίη ὁδὸς ἔσσεται οὐδ’ ἀτέλεστος.
εἰ δ’ οὐ κείνου γ’ ἐσσὶ γόνος καὶ Πηνελοπείης,
οὔ σε_γ’ ἔπειτα ἔολπα τελευτήσειν ἃ μενοινᾶις.
παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται,
οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους.
ἀλλ’ ἐπεὶ οὐδ’ ὄπιθεν κακὸς ἔσσεαι οὐδ’ ἀνοήμων,
οὐδέ σε πάγχυ γε μῆτις Ὀδυσσῆος προλέλοιπεν,
ἐλπωρή τοι ἔπειτα τελευτῆσαι τάδε ἔργα.
τῶι νῦν μνηστήρων μὲν ἔα βουλήν τε νόον τε
ἀφραδέων, ἐπεὶ οὔ τι νοήμονες οὐδὲ δίκαιοι·
οὐδέ τι ἴσασιν θάνατον καὶ κῆρα μέλαιναν,
ὃς δή σφι σχεδόν ἐστιν, ἐπ’ ἤματι πάντας ὀλέσθαι.
σοὶ δ’ ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται ἣν σὺ μενοινᾶις·
τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώϊός εἰμι,
ὅς τοι νῆα θοὴν στελέω καὶ ἅμ’ ἕψομαι αὐτός.
ἀλλὰ σὺ μὲν πρὸς δώματ’ ἰὼν μνηστῆρσιν ὁμίλει,
ὅπλισσόν τ’ ἤϊα καὶ ἄγγεσιν ἄρσον ἅπαντα,
οἶνον ἐν ἀμφιφορεῦσι, καὶ ἄλφιτα, μυελὸν ἀνδρῶν,
δέρμασιν ἐν πυκινοῖσιν· ἐγὼ δ’ ἀνὰ δῆμον ἑταίρους
αἶψ’ ἐθελοντῆρας συλλέξομαι. εἰσὶ δὲ νῆες
πολλαὶ ἐν ἀμφιάλωι Ἰθάκηι, νέαι ἠδὲ παλαιαί·
τάων μέν τοι ἐγὼν ἐπιόψομαι ἥ_τις ἀρίστη, Athena
ὦκα δ’ ἐφοπλίσσαντες ἐνήσομεν εὐρέϊ πόντωι.” ~ Mentor
“Τηλέμαχ’, ἤδη μέν τοι ἐϋκνήμιδες ἑταῖροι 2.402
εἵατ’ ἐπήρετμοι, τὴν σὴν ποτιδέγμενοι ὁρμήν· Athena
ἀλλ’ ἴομεν, μὴ δηθὰ διατρίβωμεν ὁδοῖο.” ~ Mentor
“Ναυσικάα, τί νύ σ’ ὧδε μεθήμονα γείνατο μήτηρ; 6.25
εἵματα μέν τοι κεῖται ἀκηδέα σιγαλόεντα,
σοὶ δὲ γάμος σχεδόν ἐστιν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
ἕννυσθαι, τὰ δὲ τοῖσι παρασχεῖν οἵ κέ σ’ ἄγωνται.
ἐκ γάρ τοι τούτων φάτις ἀνθρώπους ἀναβαίνει
ἐσθλή, χαίρουσιν δὲ πατὴρ καὶ πότνια μήτηρ.
ἀλλ’ ἴομεν πλυνέουσαι ἅμ’ ἠοῖ φαινομένηφιν·
καί τοι ἐγὼ συνέριθος ἅμ’ ἕψομαι, ὄφρα τάχιστα
ἐντύνεαι, ἐπεὶ οὔ_τοι ἔτι δὴν παρθένος ἔσσεαι·
ἤδη γάρ σε μνῶνται ἀριστῆες κατὰ δῆμον
πάντων Φαιήκων, ὅθι τοι γένος ἐστὶ καὶ αὐτῆι.
ἀλλ’ ἄγ’ ἐπότρυνον πατέρα κλυτὸν ἠῶθι πρὸ Athena
ἡμιόνους καὶ ἅμαξαν ἐφοπλίσαι, ἥ κεν ἄγησιν ~ κούρηι
ζῶστρά τε καὶ πέπλους καὶ ῥήγεα σιγαλόεντα. Δύμ-
καὶ δὲ σοὶ ὧδ’ αὐτῆι πολὺ κάλλιον ἠὲ πόδεσσιν αντος
ἔρχεσθαι· πολλὸν γὰρ ἀπὸ πλυνοί εἰσι πόληος.”
“καί κ’ ἀλαός τοι, ξεῖνε, διακρίνειε τὸ σῆμα 8.195
ἀμφαφόων, ἐπεὶ οὔ_τι μεμιγμένον ἐστὶν ὁμίλωι,
ἀλλὰ πολὺ πρῶτον. σὺ δὲ θάρσει τόνδε γ’ ἄεθλον· Athena
οὔ_τις Φαιήκων τόν γ’ ἵξεται οὐδ’ ὑπερήσει.” ~ a man
“κερδαλέος κ’ εἴη καὶ ἐπίκλοπος ὅς σε παρέλθοι 13.291
ἐν πάντεσσι δόλοισι, καὶ εἰ θεὸς ἀντιάσειεν.
σχέτλιε, ποικιλομῆτα, δόλων ἆτ’, οὐκ ἄρ’ ἔμελλες,
οὐδ’ ἐν σῆι περ ἐὼν γαίηι, λήξειν ἀπατάων
μύθων τε κλοπίων, οἵ τοι πεδόθεν φίλοι εἰσίν.
ἀλλ’ ἄγε, μηκέτι ταῦτα λεγώμεθα, εἰδότες ἄμφω
κέρδε’, ἐπεὶ σὺ μέν ἐσσι βροτῶν ὄχ’ ἄριστος ἁπάντων
βουλῆι καὶ μύθοισιν, ἐγὼ δ’ ἐν πᾶσι θεοῖσιν
μήτι τε κλέομαι καὶ κέρδεσιν· οὐδὲ σύ γ’ ἔγνως
Παλλάδ’ Ἀθηναίην, κούρην Διός, ἥ_τέ τοι αἰεὶ
ἐν πάντεσσι πόνοισι παρίσταμαι ἠδὲ φυλάσσω,
καὶ δέ σε Φαιήκεσσι φίλον πάντεσσιν ἔθηκα.
νῦν αὖ δεῦρ’ ἱκόμην, ἵνα τοι σὺν μῆτιν ὑφήνω
χρήματά τε κρύψω, ὅσα τοι Φαίηκες ἀγαυοὶ
ὤπασαν οἴκαδ’ ἰόντι ἐμῆι βουλῆι τε νόωι τε,
εἴπω θ’ ὅσσα τοι αἶσα δόμοις ἔνι ποιητοῖσιν
κήδε’ ἀνασχέσθαι. σὺ δὲ τετλάμεναι καὶ ἀνάγκηι,

Athena μηδέ τωι ἐκφάσθαι μήτ' ἀνδρῶν μήτε γυναικῶν,
~ a wo- πάντων, οὕνεκ' ἄρ' ἦλθες ἀλώμενος, ἀλλὰ σιωπῆι
man πάσχειν ἄλγεα πολλὰ, βίας ὑποδέγμενος ἀνδρῶν."
<u>**14.486**</u> 'διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Od. οὔ_τοι ἔτι ζωοῖσι μετέσσομαι, ἀλλά με χεῖμα
~ cold δάμναται· οὐ γὰρ ἔχω χλαῖναν· παρά μ' ἤπαφε δαίμων
to Od.! οἰοχίτων' ἴμεναι· νῦν δ' οὐκέτι φυκτὰ πέλονται.'
<u>**20.33**</u> "τίπτ' αὖτ' ἐγρήσσεις, πάντων περὶ κάμμορε φωτῶν;
Athena οἶκος μέν τοι ὅδ' ἐστὶ, γυνὴ δέ τοι ἥδ' ἐνὶ οἴκωι
~ woman καὶ παῖς, οἶόν πού τις ἐέλδεται ἔμμεναι υἷα."

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 41 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF THE APOLLO & ATHENA DISGUISED AS MENTES IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

17.75 "Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων,
ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ᾽ ἀλεγεινοὶ
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ᾽ ὀχέεσθαι,
ἄλλωι γ᾽ ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱὸς,
Apollo Πατρόκλωι περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνεν,
~ Mentes Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς."
1.179 "τοιγὰρ ἐγώ τοι ταῦτα μάλ᾽ ἀτρεκέως ἀγορεύσω.
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
υἱὸς, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
νῦν δ᾽ ὧδε ξὺν νηῒ κατήλυθον ἠδ᾽ ἑτάροισιν,
πλέων ἐπὶ οἴνοπα πόντον ἐπ᾽ ἀλλοθρόους ἀνθρώπους,
ἐς Τεμέσην μετὰ χαλκὸν, ἄγω δ᾽ αἴθωνα σίδηρον.
νηῦς δέ μοι ἥδ᾽ ἕστηκεν ἐπ᾽ ἀγροῦ νόσφι πόληος,
ἐν λιμένι Ῥείθρωι, ὑπὸ Νηΐωι ὑλήεντι.
ξεῖνοι δ᾽ ἀλλήλων πατρώϊοι εὐχόμεθ᾽ εἶναι
ἐξ ἀρχῆς, εἴ_πέρ τε γέροντ᾽ εἴρηαι ἐπελθὼν
Λαέρτην ἥρωα, τὸν οὐκέτι φασὶ πόλινδε
ἔρχεσθ᾽, ἀλλ᾽ ἀπάνευθεν ἐπ᾽ ἀγροῦ πήματα πάσχειν
γρηῒ σὺν ἀμφιπόλωι, ἥ οἱ βρῶσίν τε πόσιν τε
παρτιθεῖ, εὖτ᾽ ἄν μιν κάματος κατὰ γυῖα λάβησιν
ἑρπύζοντ᾽ ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
νῦν δ᾽ ἦλθον· δὴ γάρ μιν ἔφαντ᾽ ἐπιδήμιον εἶναι,
σὸν πατέρ᾽· ἀλλά νυ τόν_γε θεοὶ βλάπτουσι κελεύθου.
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος ᾿Οδυσσεὺς,
ἀλλ᾽ ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντωι,
νήσωι ἐν ἀμφιρύτηι, χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν,
ἄγριοι, οἵ που κεῖνον ἐρυκανόωσ᾽ ἀέκοντα.
αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῶι
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω,
οὔτέ τι μάντις ἐὼν οὔτ᾽ οἰωνῶν σάφα εἰδώς·
οὔ_τοι ἔτι δηρόν γε φίλης ἀπὸ πατρίδος αἴης
ἔσσεται, οὐδ᾽ εἴ_πέρ τε σιδήρεα δέσματ᾽ ἔχησιν·
φράσσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστιν.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἰ δὴ ἐξ αὐτοῖο τόσος παῖς εἰς ᾿Οδυσῆος.
αἰνῶς μὲν κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας
κείνωι, ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ᾽ ἀλλήλοισιν,
πρίν γε τὸν ἐς Τροίην ἀναβήμεναι, ἔνθά περ ἄλλοι
Athena Ἀργείων οἱ ἄριστοι ἔβαν κοίλῃς ἐπὶ νηυσίν·
~ Mentes ἐκ τοῦ δ᾽ οὔτ᾽ ᾿Οδυσῆα ἐγὼν ἴδον οὔτ᾽ ἐμὲ κεῖνος."

17.75 "Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων,
ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ' ἀλεγεινοὶ
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ' ὀχέεσθαι,
ἄλλωι γ' ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱὸς,
Apollo Πατρόκλωι περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνεν,
~ Mentes Πανθοίδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς."

"τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω. 1.179
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
υἱὸς, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
νῦν δ' ὧδε ξὺν νηῒ κατήλυθον ἠδ' ἑτάροισιν,
πλέων ἐπὶ οἴνοπα πόντον ἐπ' ἀλλοθρόους ἀνθρώπους,
ἐς Τεμέσην μετὰ χαλκὸν, ἄγω δ' αἴθωνα σίδηρον.
νηῦς δέ μοι ἥδ' ἕστηκεν ἐπ' ἀγροῦ νόσφι πόληος,
ἐν λιμένι Ῥείθρωι, ὑπὸ Νηΐωι ὑλήεντι.
ξεῖνοι δ' ἀλλήλων πατρώϊοι εὐχόμεθ' εἶναι
ἐξ ἀρχῆς, εἴ_πέρ τε γέροντ' εἴρηαι ἐπελθὼν
Λαέρτην ἥρωα, τὸν οὐκέτι φασὶ πόλινδε
ἔρχεσθ', ἀλλ' ἀπάνευθεν ἐπ' ἀγροῦ πήματα πάσχειν
γρηῒ σὺν ἀμφιπόλωι, ἥ οἱ βρῶσίν τε πόσιν τε
παρτιθεῖ, εὖτ' ἄν μιν κάματος κατὰ γυῖα λάβησιν
ἑρπύζοντ' ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
νῦν δ' ἦλθον· δὴ γάρ μιν ἔφαντ' ἐπιδήμιον εἶναι,
σὸν πατέρ'· ἀλλά νυ τόν_γε θεοὶ βλάπτουσι κελεύθου.
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀδυσσεὺς,
ἀλλ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντωι,
νήσωι ἐν ἀμφιρύτηι, χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν,
ἄγριοι, οἵ που κεῖνον ἐρυκανόωσ' ἀέκοντα.
αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῶι
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω,
οὔτέ τι μάντις ἐὼν οὔτ' οἰωνῶν σάφα εἰδώς·
οὔ_τοι ἔτι δηρόν γε φίλης ἀπὸ πατρίδος αἴης
ἔσσεται, οὐδ' εἴ_πέρ τε σιδήρεα δέσματ' ἔχησιν·
φράσσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστιν.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἰ δὴ ἐξ αὐτοῖο τόσος παῖς εἰς Ὀδυσῆος.
αἰνῶς μὲν κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας
κείνωι, ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ' ἀλλήλοισιν,
πρίν γε τὸν ἐς Τροίην ἀναβήμεναι, ἔνθά περ ἄλλοι
Ἀργείων οἱ ἄριστοι ἔβαν κοίλῃς ἐπὶ νηυσίν· Athena
ἐκ τοῦ δ' οὔτ' Ὀδυσῆα ἐγὼν ἴδον οὔτ' ἐμὲ κεῖνος." ~ Mentes

17.75 "Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων,
ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ' ἀλεγεινοὶ
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ' ὀχέεσθαι,
ἄλλωι γ' ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱός,
Apollo Πατρόκλωι περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνεν,
~ Mentes Πανθοίδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς."
1.179 "τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω.
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
νῦν δ' ὧδε ξὺν νηῒ κατήλυθον ἠδ' ἑτάροισιν,
πλέων ἐπὶ οἴνοπα πόντον ἐπ' ἀλλοθρόους ἀνθρώπους,
ἐς Τεμέσην μετὰ χαλκόν, ἄγω δ' αἴθωνα σίδηρον.
νηῦς δέ μοι ἥδ' ἕστηκεν ἐπ' ἀγροῦ νόσφι πόληος,
ἐν λιμένι Ῥείθρωι, ὑπὸ Νηΐωι ὑλήεντι.
ξεῖνοι δ' ἀλλήλων πατρώϊοι εὐχόμεθ' εἶναι
ἐξ ἀρχῆς, εἴ πέρ τε γέροντ' εἴρηαι ἐπελθὼν
Λαέρτην ἥρωα, τὸν οὐκέτι φασὶ πόλινδε
ἔρχεσθ', ἀλλ' ἀπάνευθεν ἐπ' ἀγροῦ πήματα πάσχειν
γρηῒ σὺν ἀμφιπόλωι, ἥ οἱ βρῶσίν τε πόσιν τε
παρτιθεῖ, εὖτ' ἄν μιν κάματος κατὰ γυῖα λάβησιν
ἑρπύζοντ' ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
νῦν δ' ἦλθον· δὴ γάρ μιν ἔφαντ' ἐπιδήμιον εἶναι,
σὸν πατέρ'· ἀλλά νυ τόν γε θεοὶ βλάπτουσι κελεύθου.
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀδυσσεύς,
ἀλλ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντωι,
νήσωι ἐν ἀμφιρύτηι, χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν,
ἄγριοι, οἵ που κεῖνον ἐρυκανόωσ' ἀέκοντα.
αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῶι
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω,
οὔτέ τι μάντις ἐὼν οὔτ' οἰωνῶν σάφα εἰδώς·
οὔ τοι ἔτι δηρόν γε φίλης ἀπὸ πατρίδος αἴης
ἔσσεται, οὐδ' εἴ πέρ τε σιδήρεα δέσματ' ἔχησιν·
φράσσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστιν.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἰ δὴ ἐξ αὐτοῖο τόσος παῖς εἰς Ὀδυσῆος.
αἰνῶς μὲν κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας
κείνωι, ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ' ἀλλήλοισιν,
πρίν γε τὸν ἐς Τροίην ἀναβήμεναι, ἔνθά περ ἄλλοι
Ἀργείων οἱ ἄριστοι ἔβαν κοίλῃς ἐπὶ νηυσίν· Athena
ἐκ τοῦ δ' οὔτ' Ὀδυσῆα ἐγὼν ἴδον οὔτ' ἐμὲ κεῖνος." ~ Mentes

Notes

Notes

γ 113 ἄλλα τε πόλλ’ ἐπὶ τοῖς πάθομεν κακά· τίς κεν ἐκεῖνα
πάντα γε μυθήσαιτο καταθνητῶν ἀνθρώπων;

Γ 290 αὐτὰρ ἐγὼ καὶ ἔπειτα μαχήσομαι εἵνεκα ποινῆς
αὖθι μένων, εἵως κε τέλος πολέμοιο κιχείω.”

INCLUDED:
23.69 ff shade of Patroklos (not in Hades)

ALTERNATING: ILIAD ASCENDS FROM START; OD. FROM END

11.625 τὸν μὲν ἐγὼν ἀνένεικα καὶ ἤγαγον ἐξ Ἀΐδαο·

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 379 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF THE DEAD IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

23.69 “εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ, Ἀχιλλεῦ.
οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος.
θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω·
τῆλέ μ' ἐέργουσι ψυχαί, εἴδωλα καμόντων,
οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν,
ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ.
καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι· οὐ γὰρ ἔτ' αὖτις
νίσομαι ἐξ Ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε.
οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰς ἑζόμενοι βουλεύσομεν, ἀλλ' ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερή, ἥ_περ λάχε γεινόμενόν περ·
καὶ δὲ σοὶ αὐτῶι μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
τείχει ὕπο Τρώων εὐηφενέων ἀπολέσθαι.
ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι, αἴ κε πίθηαι·
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ,
ἀλλ' ὁμοῦ, ὡς_τράφομέν περ ἐν ὑμετέροισι δόμοισιν,
εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
ἤγαγεν ὑμέτερόνδ' ἀνδροκτασίης ὕπο λυγρῆς,
ἤματι τῶι, ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος,
νήπιος, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς·
ἔνθά με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς
ἔτραφέ τ' ἐνδυκέως καὶ σὸν θεράποντ' ὀνόμηνεν·
ὣς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι
Patroklos χρύσεος ἀμφιφορεύς, τόν τοι πόρε πότνια μήτηρ.”
24.192 “ὄλβιε Λαέρταο πάϊ, πολυμήχαν' Ὀδυσσεῦ,
ἦ ἄρα σὺν μεγάληι ἀρετῆι ἐκτήσω ἄκοιτιν.
ὡς ἀγαθαὶ φρένες ἦσαν ἀμύμονι Πηνελοπείηι,
κούρηι Ἰκαρίου· ὡς εὖ μέμνητ' Ὀδυσῆος,
◆◆ ἀνδρὸς κουριδίου· τῶι οἱ κλέος οὔ_ποτ' ὀλεῖται
ἧς ἀρετῆς, τεύξουσι δ' ἐπιχθονίοισιν ἀοιδὴν
ἀθάνατοι χαρίεσσαν ἐχέφρονι Πηνελοπείηι,
οὐχ ὡς Τυνδαρέου κούρη κακὰ μήσατο ἔργα,
κουρίδιον κτείνασα πόσιν, στυγερὴ δέ τ' ἀοιδὴ
Aga- ἔσσετ' ἐπ' ἀνθρώπους, χαλεπὴν δέ τε φῆμιν ὀπάσσευ
memnon θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν.”
24.121 “Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
μέμνημαι τάδε πάντα, διοτρεφές, ὡς ἀγορεύεις·
σοὶ δ' ἐγὼ εὖ μάλα πάντα καὶ ἀτρεκέως καταλέξω,
ἡμετέρου θανάτοιο κακὸν τέλος, οἷον ἐτύχθη.
μνώμεθ' Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα·
ἡ δ' οὔτ' ἠρνεῖτο στυγερὸν γάμον οὔτ' ἐτελεύτα,
ἡμῖν φραζομένη θάνατον καὶ κῆρα μέλαιναν.
ἀλλὰ δόλον τόνδ' ἄλλον ἐνὶ φρεσὶ μερμήριξεν·
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινεν,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' ἡμῖν μετέειπεν·
'κοῦροι ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς_ὅ κε φᾶρος
ἐκτελέσω — μή μοι μεταμώνια νήματ' ὄληται —
Λαέρτηι ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
Μοῖρ' ὀλοὴ καθέλησι τανηλεγέος θανάτοιο,
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσηι,
αἴ κεν ἄτερ σπείρου κεῖται πολλὰ κτεατίσσας.'
ὣς ἔφαθ', ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστόν,
νύκτας δ' ἀλλύεσκεν, ἐπεὶ δαΐδας παραθεῖτο.
ὣς τρίετες μὲν ἔληθε δόλωι καὶ ἔπειθεν Ἀχαιούς·
ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι,
μηνῶν φθινόντων, περὶ δ' ἤματα πάντ' ἐτελέσθη,
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ἤιδει,
καὶ τήν_γ' ἀλλύουσαν ἐφηύρομεν ἀγλαὸν ἱστόν.
ὣς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ', ὑπ' ἀνάγκης.
εὖθ' ἡ φᾶρος ἔδειξεν, ὑφήνασα μέγαν ἱστόν,
πλύνασ', ἠελίωι ἐναλίγκιον ἠὲ σελήνηι, ◆
καὶ τότε δή ῥ' Ὀδυσῆα κακός ποθεν ἤγαγε δαίμων
ἀγροῦ ἐπ' ἐσχατιήν, ὅθι δώματα ναῖε συβώτης.
ἔνθ' ἦλθεν φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
ἐκ Πύλου ἠμαθόεντος ἰὼν σὺν νηῒ μελαίνηι·
τὼ δὲ μνηστῆρσιν θάνατον κακὸν ἀρτύναντε
ἵκοντο προτὶ ἄστυ περικλυτόν, ἤτοι Ὀδυσσεὺς
ὕστερος, αὐτὰρ Τηλέμαχος πρόσθ' ἡγεμόνευεν.
τὸν δὲ συβώτης ἦγε κακὰ χροῒ εἵματ' ἔχοντα,
πτωχῶι λευγαλέωι ἐναλίγκιον ἠδὲ γέροντι
σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο·
οὐδέ τις ἡμείων δύνατο γνῶναι τὸν ἐόντα
ἐξαπίνης προφανέντ', οὐδ' οἳ προγενέστεροι ἦσαν,
ἀλλ' ἔπεσίν τε κακοῖσιν ἐνίσσομεν ἠδὲ βολῇσιν.
αὐτὰρ ὁ τέως ἐτόλμα ἐνὶ μεγάροισιν ἑοῖσιν
βαλλόμενος καὶ ἐνισσόμενος τετληότι θυμῶι·
ἀλλ' ὅτε δή μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο,
σὺν μὲν Τηλεμάχωι περικαλλέα τεύχε' ἀείρας
ἐς θάλαμον κατέθηκε, καὶ ἐκλήϊσεν ὀχῆας·
αὐτὰρ ὁ ἣν ἄλοχον πολυκερδείῃσιν ἄνωγεν
τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον,
ἡμῖν αἰνομόροισιν ἀέθλια καὶ φόνου ἀρχήν.
οὐδέ τις ἡμείων δύνατο κρατεροῖο βιοῖο
νευρὴν ἐντανύσαι, πολλὸν δ' ἐπιδευέες ἦμεν.
ἀλλ' ὅτε χεῖρας ἵκανεν Ὀδυσσῆος μέγα τόξον,
ἔνθ' ἡμεῖς μὲν πάντες ὁμοκλέομεν ἐπέεσσιν
τόξον μὴ δόμεναι, μηδ' εἰ μάλα πόλλ' ἀγορεύοι·
Τηλέμαχος δέ μιν οἶος ἐποτρύνων ἐκέλευσεν.
αὐτὰρ ὁ δέξατο χειρὶ πολύτλας δῖος Ὀδυσσεύς,
ῥηϊδίως δ' ἐτάνυσσε βιόν, διὰ δ' ἧκε σιδήρου.
μέμνημαι τάδε πάντα, διοτρεφὲς, ὡς ἀγορεύεις·
σοὶ δ' ἐγὼ εὖ μάλα πάντα καὶ ἀτρεκέως καταλέξω,
ἡμετέρου θανάτοιο κακὸν τέλος, οἷον ἐτύχθη.
μνώμεθ' 'Οδυσσῆος δὴν οἰχομένοιο δάμαρτα·
ἡ δ' οὔτ' ἠρνεῖτο στυγερὸν γάμον οὔτ' ἐτελεύτα,
ἡμῖν φραζομένη θάνατον καὶ κῆρα μέλαιναν.
ἀλλὰ δόλον τόνδ' ἄλλον ἐνὶ φρεσὶ μερμήριξεν·
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινεν,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' ἡμῖν μετέειπεν·
'κοῦροι ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος 'Οδυσσεὺς,
μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
ἐκτελέσω — μή μοι μεταμώνια νήματ' ὄληται —
Λαέρτηι ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
Μοῖρ' ὀλοὴ καθέληισι τανηλεγέος θανάτοιο,
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσηι,
αἴ κεν ἄτερ σπείρου κεῖται πολλὰ κτεατίσσας.'
ὣς ἔφαθ', ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστὸν,
νύκτας δ' ἀλλύεσκεν, ἐπεὶ δαΐδας παραθεῖτο.
ὣς τρίετες μὲν ἔληθε δόλωι καὶ ἔπειθεν Ἀχαιούς·
ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι,
μηνῶν φθινόντων, περὶ δ' ἤματα πάντ' ἐτελέσθη,
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ἤιδει,
καὶ τήν_γ' ἀλλύουσαν ἐφηύρομεν ἀγλαὸν ἱστόν.
ὣς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ', ὑπ' ἀνάγκης.

ἔνθ' ἡ̣ φᾶρος ἔδειξεν, ὑφήνασα μέγαν ἱστὸν,
✦ πλύνασ', ἠελίωι ἐναλίγκιον ἠὲ σελήνηι,
καὶ τότε δή ῥ' Ὀδυσῆα κακός ποθεν ἤγαγε δαίμων
ἀγροῦ ἐπ' ἐσχατιὴν, ὅθι δώματα ναῖε συβώτης.
ἔνθ' ἦλθεν φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
ἐκ Πύλου ἠμαθόεντος ἰὼν σὺν νηῒ μελαίνηι·
τὼ δὲ μνηστῆρσιν θάνατον κακὸν ἀρτύναντε
ἵκοντο προτὶ ἄστυ περικλυτόν, ἤτοι Ὀδυσσεὺς
ὕστερος, αὐτὰρ Τηλέμαχος πρόσθ' ἡγεμόνευεν.
τὸν δὲ συβώτης ἦγε κακὰ χροῒ εἵματ' ἔχοντα,
πτωχῶι λευγαλέωι ἐναλίγκιον ἠδὲ γέροντι
σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο·
οὐδέ τις ἡμείων δύνατο γνῶναι τὸν ἐόντα
ἐξαπίνης προφανέντ', οὐδ' οἳ προγενέστεροι ἦσαν,
ἀλλ' ἔπεσίν τε κακοῖσιν ἐνίσσομεν ἠδὲ βολῆισιν.
αὐτὰρ ὁ τέως ἐτόλμα ἐνὶ μεγάροισιν ἑοῖσιν
βαλλόμενος καὶ ἐνισσόμενος τετληότι θυμῶι·
ἀλλ' ὅτε δή μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο,
σὺν μὲν Τηλεμάχωι περικαλλέα τεύχε' ἀείρας
ἐς θάλαμον κατέθηκε, καὶ ἐκλήϊσεν ὀχῆας·
αὐτὰρ ὁ ἣν ἄλοχον πολυκερδείῃσιν ἄνωγεν
τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον,
ἡμῖν αἰνομόροισιν ἀέθλια καὶ φόνου ἀρχήν.
οὐδέ τις ἡμείων δύνατο κρατεροῖο βιοῖο
νευρὴν ἐντανύσαι, πολλὸν δ' ἐπιδευέες ἦμεν.
ἀλλ' ὅτε χεῖρας ἵκανεν Ὀδυσσῆος μέγα τόξον,
ἔνθ' ἡμεῖς μὲν πάντες ὁμοκλέομεν ἐπέεσσιν
τόξον μὴ δόμεναι, μηδ' εἰ μάλα πόλλ' ἀγορεύοι·
✦✦ Τηλέμαχος δέ μιν οἶος ἐποτρύνων ἐκέλευσεν.
αὐτὰρ ὁ δέξατο χειρὶ πολύτλας δῖος Ὀδυσσεὺς,
ῥηϊδίως δ' ἐτάνυσσε βιὸν, διὰ δ' ἧκε σιδήρου.
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν, ταχέας δ' ἐκχεύατ' ὀϊστοὺς
δεινὸν παπταίνων, βάλε δ' Ἀντίνοον βασιλῆα.
αὐτὰρ ἔπειτ' ἄλλοις ἐφίει βέλεα στονόεντα,
ἄντα τιτυσκόμενος· τοὶ δ' ἀγχηστῖνοι ἔπιπτον.
γνωτὸν δ' ἦν ὅ ῥά τίς σφι θεῶν ἐπιτάρροθος ἦεν·
αὐτίκα γὰρ κατὰ δώματ' ἐπισπόμενοι μένεϊ σφῶι
κτεῖνον ἐπιστροφάδην, τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς
κράτων τυπτομένων, δάπεδον δ' ἅπαν αἵματι θῦεν.
ὣς ἡμεῖς, Ἀγάμεμνον, ἀπωλόμεθ', ὧν ἔτι καὶ νῦν
σώματ' ἀκηδέα κεῖται ἐνὶ μεγάροις Ὀδυσῆος·
Amphi- οὐ γάρ πω ἴσασι φίλοι κατὰ δώμαθ' ἑκάστου,
medon οἵ κ' ἀπονίψαντες μέλανα βρότον ἐξ ὠτειλέων
κατθέμενοι γοάοιεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων."
24.192 "ὄλβιε Λαέρταο πάϊ, πολυμήχαν' Ὀδυσσεῦ,
ἦ ἄρα σὺν μεγάληι ἀρετῆι ἐκτήσω ἄκοιτιν.
ὡς ἀγαθαὶ φρένες ἦσαν ἀμύμονι Πηνελοπείηι,
κούρηι Ἰκαρίου· ὡς εὖ μέμνητ' Ὀδυσῆος,
ἀνδρὸς κουριδίου· τῶι οἱ κλέος οὔ ποτ' ὀλεῖται
ἧς ἀρετῆς, τεύξουσι δ' ἐπιχθονίοισιν ἀοιδὴν
ἀθάνατοι χαρίεσσαν ἐχέφρονι Πηνελοπείηι,
οὐχ ὡς Τυνδαρέου κούρη κακὰ μήσατο ἔργα,
κουρίδιον κτείνασα πόσιν, στυγερὴ δέ τ' ἀοιδὴ
ἔσσετ' ἐπ' ἀνθρώπους, χαλεπὴν δέ τε φῆμιν ὀπάσσεν Aga-
θηλυτέρηισι γυναιξὶ, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν." memnon
"εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ, Ἀχιλλεῦ. 23.69
οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος.
θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω·
τῆλε μ' ἐέργουσι ψυχαί, εἴδωλα καμόντων,
οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν,
ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ.
καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι· οὐ γὰρ ἔτ' αὖτις
νίσομαι ἐξ Ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε.
οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰς ἑζόμενοι βουλεύσομεν, ἀλλ' ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερὴ, ἥ περ λάχε γεινόμενόν περ·
καὶ δὲ σοὶ αὐτῶι μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
τείχει ὕπο Τρώων εὐηφενέων ἀπολέσθαι.
ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι, αἴ κε πίθηαι·
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ,
ἀλλ' ὁμοῦ, ὡς τράφομέν περ ἐν ὑμετέροισι δόμοισιν,
εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
ἤγαγεν ὑμετερόνδ' ἀνδροκτασίης ὕπο λυγρῆς,
ἤματι τῶι, ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος,
νήπιος, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς·
ἔνθά με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς
ἔτραφέ τ' ἐνδυκέως καὶ σὸν θεράποντ' ὀνόμηνεν·
ὣς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι
χρύσεος ἀμφιφορεὺς, τόν τοι πόρε πότνια μήτηρ." Patroklos

Notes

Notes

γ 113 ἄλλα τε πόλλ’ ἐπὶ τοῖς πάθομεν κακά· τίς κεν ἐκεῖνα
πάντα γε μυθήσαιτο καταθνητῶν ἀνθρώπων;

Γ 290 αὐτὰρ ἐγὼ καὶ ἔπειτα μαχήσομαι εἵνεκα ποινῆς
αὖθι μένων, εἵως κε τέλος πολέμοιο κιχείω.”

INCLUDED:

23.69 ff shade of Patroklos (not in Hades)

ILIAD AND OD.
ASCEND FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 379 lines 3.0

As some way-faring Man, who wanders o’er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE
SPOKEN LINES
OF THE
DEAD
IN HOMER

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

11.60 “διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ,
ἆσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος οἶνος·
Κίρκης δ’ ἐν μεγάρωι καταλέγμενος οὐκ ἐνόησα
ἄψορρον καταβῆναι ἰὼν ἐς κλίμακα μακρήν,
ἀλλὰ καταντικρὺ τέγεος πέσον· ἐκ δέ μοι αὐχὴν
ἀστραγάλων ἐάγη, ψυχὴ δ’ Ἄϊδόσδε κατῆλθεν.
νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων,
πρός τ’ ἀλόχου καὶ πατρός, ὅ σ’ ἔτρεφε τυτθὸν ἐόντα,
Τηλεμάχου θ’, ὃν μοῦνον ἐνὶ μεγάροισιν ἔλειπες·
οἶδα γὰρ ὡς ἐνθένδε κιὼν δόμου ἐξ Ἀΐδαο
νῆσον ἐς Αἰαίην σχήσεις εὐεργέα νῆα·
ἔνθα σ’ ἔπειτα, ἄναξ, κέλομαι μνήσασθαι ἐμεῖο·
μή μ’ ἄκλαυτον, ἄθαπτον, ἰὼν ὄπιθεν καταλείπειν,
νοσφισθείς, μή τοί τι θεῶν μήνιμα γένωμαι,
ἀλλά με κακκῆαι σὺν τεύχεσιν, ἅσσα μοί ἐστιν,
σῆμά τέ μοι χεῦαι πολιῆς ἐπὶ θινὶ θαλάσσης
ἀνδρὸς δυστήνοιο, καὶ ἐσσομένοισι πυθέσθαι.
ταῦτά τέ μοι τελέσαι πῆξαί τ’ ἐπὶ τύμβωι ἐρετμόν,
Elpenor τῶι καὶ ζωὸς ἔρεσσον ἐὼν μετ’ ἐμοῖς ἑτάροισιν.”
11.92 “διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ,
τίπτ αὖτ’, ὦ δύστηνε, λιπὼν φάος ἠελίοιο
ἤλυθες, ὄφρα ἴδηις νέκυας καὶ ἀτερπέα χῶρον;
Teiresias ἀλλ’ ἀποχάζεο βόθρου, ἄπισχε δὲ φάσγανον ὀξύ,
αἵματος ὄφρα πίω καί τοι νημερτέα εἴπω.”
11.100 “νόστον δίζηαι μελιηδέα, φαίδιμ’ Ὀδυσσεῦ·
τὸν δέ τοι ἀργαλέον θήσει θεός· οὐ γὰρ ὀΐω
λήσειν Ἐννοσίγαιον, ὅ τοι κότον ἔνθετο θυμῶι,
χωόμενος ὅτι οἱ υἱὸν φίλον ἐξαλάωσας.
✦✦ ἀλλ’ ἔτι μέν κε καὶ ὣς κακά περ πάσχοντες ἵκοισθε,
αἴ κ’ ἐθέληις σὸν θυμὸν ἐρυκακέειν καὶ ἑταίρων,
ὁππότε δὴ πρῶτον πελάσηις εὐεργέα νῆα
Θρινακίηι νήσωι, προφυγὼν ἰοειδέα πόντον,
βοσκομένας δ’ εὕρητε βόας καὶ ἴφια μῆλα
Ἠελίου, ὃς πάντ’ ἐφορᾶι καὶ πάντ’ ἐπακούει.
τὰς εἰ μέν κ’ ἀσινέας ἐάαις νόστου τε μέδηαι,
καί κεν ἔτ’ εἰς Ἰθάκην κακά περ πάσχοντες ἵκοισθε·
εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ’ ὄλεθρον
νηΐ τε καὶ ἑτάροις· αὐτὸς δ’ εἴ πέρ κεν ἀλύξηις,
ὀψὲ κακῶς νεῖαι, ὀλέσας ἄπο πάντας ἑταίρους,
νηὸς ἐπ’ ἀλλοτρίης· δήεις δ’ ἐν πήματα οἴκωι,
ἄνδρας ὑπερφιάλους, οἵ τοι βίοτον κατέδουσιν
μνώμενοι ἀντιθέην ἄλοχον καὶ ἕδνα διδόντες.
ἀλλ’ ἦτοι κείνων γε βίας ἀποτείσεαι ἐλθών·
αὐτὰρ ἐπὴν μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσιν
κτείνηις ἠὲ δόλωι ἢ ἀμφαδὸν ὀξέϊ χαλκῶι,
ἔρχεσθαι δὴ ἔπειτα, λαβὼν εὐῆρες ἐρετμόν,
εἰς ὅ κε τοὺς ἀφίκηαι οἳ οὐκ ἴσασι θάλασσαν
ἀνέρες, οὐδέ θ’ ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν·
οὐδ’ ἄρα τοί γ’ ἴσασι νέας φοινικοπαρῄους,
οὐδ’ εὐήρε’ ἐρετμά, τά τε πτερὰ νηυσὶ πέλονται.
σῆμα δέ τοι ἐρέω μάλ’ ἀριφραδές, οὐδέ σε λήσει·
ὁππότε κεν δή τοι ξυμβλήμενος ἄλλος ὁδίτης
φήηι ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμωι ὤμωι,
καὶ τότε δὴ γαίηι πήξας εὐῆρες ἐρετμόν,
ῥέξας ἱερὰ καλὰ Ποσειδάωνι ἄνακτι,
ἀρνειὸν ταῦρόν τε συῶν τ’ ἐπιβήτορα κάπρον,
οἴκαδ’ ἀποστείχειν ἔρδειν θ’ ἱερὰς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
πᾶσι μάλ’ ἑξείης· θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῶι
ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ σε πέφνηι
γήραι ὕπο λιπαρῶι ἀρημένον· ἀμφὶ δὲ λαοὶ Teiresias
ὄλβιοι ἔσσονται· τὰ δέ τοι νημερτέα εἴρω.”
“ῥηΐδιόν τοι ἔπος ἐρέω καὶ ἐπὶ φρεσὶ θήσω· 11.146
ὅν τινα μέν κεν ἐᾶις νεκύων κατατεθνηώτων
αἵματος ἆσσον ἴμεν, ὃ δέ τοι νημερτὲς ἐνίψει· Teiresias
ὧι δέ κ’ ἐπιφθονέοις, ὃ δέ τοι πάλιν εἶσιν ὀπίσσω.”
“τέκνον ἐμόν, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα 11.155
ζωὸς ἐών; χαλεπὸν δὲ τάδε ζωοῖσιν ὁρᾶσθαι.
μέσσωι γὰρ μεγάλοι ποταμοὶ καὶ δεινὰ ῥέεθρα,
Ὠκεανὸς μὲν πρῶτα, τὸν οὔ πώς ἐστι περῆσαι
πεζὸν ἰόντ’, ἢν μή τις ἔχηι εὐεργέα νῆα.
ἦ νῦν δὴ Τροίηθεν ἀλώμενος ἐνθάδ’ ἱκάνεις
νηΐ τε καὶ ἑτάροισι πολὺν χρόνον; οὐδέ πω ἦλθες
εἰς Ἰθάκην, οὐδ’ εἶδες ἐνὶ μεγάροισι γυναῖκα;” Antiklea
“καὶ λίην κείνη γε μένει τετληότι θυμῶι 11.181
σοῖσιν ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ χεούσηι.
σὸν δ’ οὔ πώ τις ἔχει καλὸν γέρας, ἀλλὰ ἕκηλος
Τηλέμαχος τεμένεα νέμεται καὶ δαῖτας ἐΐσας
δαίνυται, ἃς ἐπέοικε δικασπόλον ἄνδρ’ ἀλεγύνειν·
πάντες γὰρ καλέουσι. πατὴρ δὲ σός αὐτόθι μίμνει
ἀγρῶι, οὐδὲ πόλινδε κατέρχεται. οὐδέ οἱ εὐναὶ
δέμνια καὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα,
ἀλλ’ ὅ γε χεῖμα μὲν εὕδει ὅθι δμῶες ἐνὶ οἴκωι
ἐν κόνι ἄγχι πυρός, κακὰ δὲ χροΐ εἵματα εἶται·
αὐτὰρ ἐπὴν ἔλθηισι θέρος τεθαλυῖά τ’ ὀπώρη,
πάντηι οἱ κατὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο
φύλλων κεκλιμένων χθαμαλαὶ βεβλήαται εὐναί·
ἔνθ’ ὅ γε κεῖτ’ ἀχέων, μέγα δὲ φρεσὶ πένθος ἀέξει
σὸν νόστον ποθέων· χαλεπὸν δ’ ἐπὶ γῆρας ἱκάνει.
οὕτω γὰρ καὶ ἐγὼν ὀλόμην καὶ πότμον ἐπέσπον·
οὔτ’ ἐμέ γ’ ἐν μεγάροισιν ἐΰσκοπος Ἰοχέαιρα
οἷς ἀγανοῖσι βέλεσσιν ἐποιχομένη κατέπεφνεν,
οὔτέ τις οὖν μοι νοῦσος ἐπήλυθεν, ἥ τε μάλιστα
τηκεδόνι στυγερῆι μελέων ἐξείλετο θυμόν·
ἀλλά με σός τε πόθος σά τε μήδεα, φαίδιμ’ Ὀδυσσεῦ,
σή τ’ ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα.” Antiklea
“ὦ μοι, τέκνον ἐμόν, περὶ πάντων κάμμορε φωτῶν, 11.216
οὔ τί σε Περσεφόνεια, Διὸς θυγάτηρ, ἀπαφίσκει,
ἀλλ’ αὕτη δίκη ἐστὶ βροτῶν, ὅτε κέν τε θάνωσιν·

οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσιν,
ἀλλὰ τὰ μέν τε πυρὸς κρατερὸν μένος αἰθομένοιο
δαμνᾶι, ἐπεί κε πρῶτα λίπηι λεύκ' ὀστέα θυμός,
ψυχὴ δ' ἠΰτ' ὄνειρος ἀποπταμένη πεπότηται.
ἀλλὰ φόωσδε τάχιστα λιλαίεο· ταῦτα δὲ πάντα
ἴσθ', ἵνα καὶ μετόπισθε τεῆι εἴπηισθα γυναικί."
Antiklea 11.405 "διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
οὔτ' ἐμέ_γ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν
ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀϋτμήν,
οὔτέ μ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου,
ἀλλά μοι Αἴγισθος τεύξας θάνατόν τε μόρον τε
ἔκτα σὺν οὐλομένηι ἀλόχωι, οἶκόνδε καλέσσας,
δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνηι.
ὣς θάνον οἰκτίστωι θανάτωι· περὶ δ' ἄλλοι ἑταῖροι
νωλεμέως κτείνοντο, σύες ὣς ἀργιόδοντες,
οἵ ῥά τ' ἐν ἀφνειοῦ ἀνδρὸς μέγα δυναμένοιο
ἢ γάμωι ἢ ἐράνωι ἢ εἰλαπίνηι τεθαλυίηι.
ἤδη μὲν πολέων φόνωι ἀνδρῶν ἀντεβόλησα_,
μουνὰξ κτεινομένων καὶ ἐνὶ κρατερῆι ὑσμίνηι·
ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ὀλοφύραο θυμῶι,
ὡς ἀμφὶ κρητῆρα τραπέζας τε πληθούσας
κείμεθ' ἐνὶ μεγάρωι, δάπεδον δ' ἅπαν αἵματι θῦεν.
οἰκτροτάτην δ' ἤκουσα ὄπα Πριάμοιο θυγατρός,
Κασσάνδρης, τὴν κτεῖνε Κλυταιμήστρη δολόμητις
ἀμφ' ἐμοί· αὐτὰρ ἐγὼ ποτὶ γαίηι χεῖρας ἀείρων
βάλλον ἀποθνήισκων περὶ φασγάνωι· ἡ δὲ κυνῶπις
νοσφίσατ', οὐδέ μοι ἔτλη ἰόντι περ εἰς Ἀΐδαο
χερσὶ κατ' ὀφθαλμοὺς ἑλέειν σύν τε στόμ' ἐρεῖσαι.
✦✦ ὣς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικὸς
ἥ_τις δὴ τοιαῦτα μετὰ φρεσὶν ἔργα βάληται·
οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικές,
κουριδίωι τεύξασα πόσει φόνον. ἦ_τοι ἔφην γε
ἀσπάσιος παίδεσσιν ἰδὲ δμώεσσιν ἐμοῖσιν
οἴκαδ' ἐλεύσεσθαι· ἡ δ' ἔξοχα λύγρα _ἰδυῖα
Agamemnon οἷ τε κατ' αἶσχος ἔχευε καὶ ἐσσομένηισιν ὀπίσσω
11.441 θηλυτέρηισι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔηισιν."
"τῶι νῦν μή_ποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι·
μηδ' οἱ μῦθον ἅπαντα πιφαυσκέμεν, ὅν κ' εὖ εἰδῆις,
ἀλλὰ τὸ μὲν φάσθαι, τὸ δέ καὶ κεκρυμμένον εἶναι.
ἀλλ' οὐ σοί γ', Ὀδυσεῦ, φόνος ἔσσεται ἔκ γε γυναικός·
λίην γὰρ πινυτή τε καὶ εὖ φρεσὶ μήδεα οἶδεν
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
ἦ μέν μιν νύμφην γε νέην κατελείπομεν ἡμεῖς
ἐρχόμενοι πόλεμόνδε· πάϊς δέ οἱ ἦν ἐπὶ μαζῶι
νήπιος, ὅς που νῦν γε μετ' ἀνδρῶν ἵζει ἀριθμῶι,
ὄλβιος· ἦ γὰρ τόν γε πατὴρ φίλος ὄψεται ἐλθών,
καὶ κεῖνος πατέρα προσπτύξεται, ἧι θέμις ἐστίν.
ἡ δ' ἐμὴ οὐδέ περ υἷος ἐνιπλησθῆναι ἄκοιτις
ὀφθαλμοῖσιν ἔασε· πάρος δέ με πέφνε καὶ αὐτόν.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
κρύβδην, μηδ' ἀναφανδά, φίλην ἐς πατρίδα γαῖαν
νῆα κατισχέμεναι· ἐπεὶ οὐκέτι πιστὰ γυναιξίν.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἴ που ἔτι ζώοντος ἀκούετε παιδὸς ἐμοῖο,
ἤ που ἐν Ὀρχομενῶι, ἢ ἐν Πύλωι ἠμαθόεντι
ἤ που πὰρ Μενελάωι ἐνὶ Σπάρτηι εὐρείηι· **Aga-**
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀρέστης." **memnon**
"διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, **11.473**
σχέτλιε, τίπτ' ἔτι μεῖζον ἐνὶ φρεσὶ μήσεαι ἔργον;
πῶς ἔτλης Ἀϊδόσδε κατελθέμεν, ἔνθά τε νεκροὶ
ἀφραδέες ναίουσι, βροτῶν εἴδωλα καμόντων;" **Achilles**
"μὴ δή μοι θάνατόν γε παραύδα, φαίδιμ' Ὀδυσσεῦ. **11.488**
βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλωι,
ἀνδρὶ πάρ' ἀκλήρωι, ὧι μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.
ἀλλ' ἄγε μοι τοῦ παιδὸς ἀγαυοῦ μῦθον ἐνίσπες,
ἢ ἕπετ' ἐς πόλεμον πρόμος ἔμμεναι ἦε καὶ οὐκί.
εἰπὲ δέ μοι, Πηλῆος ἀμύμονος εἴ τι πέπυσσαι,
ἢ ἔτ' ἔχει τιμὴν πολέσιν μετὰ Μυρμιδόνεσσιν,
ἦ μιν ἀτιμάζουσιν ἀν' Ἑλλάδα τε Φθίην τε,
οὕνεκά μιν κατὰ γῆρας ἔχει χεῖράς τε πόδας τε.
οὐ γὰρ ἐγὼν ἐπαρωγὸς ὑπ' αὐγὰς ἠελίοιο,
τοῖος ἐών οἷός ποτ' ἐνὶ Τροίηι εὐρείηι,
πέφνον λαὸν ἄριστον ἀμύνων Ἀργείοισιν.
εἰ τοιόσδ' ἔλθοιμι μίνυνθά περ ἐς πατέρος δῶ,
τῶι κέ τεωι στύξαιμι μένος καὶ χεῖρας ἀάπτους,
οἳ κεῖνον βιόωνται ἐέργουσίν τ' ἀπὸ τιμῆς." **Achilles**
"διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, **11.617**
ἆ δείλ', ἦ τινὰ καὶ σὺ κακὸν μόρον ἡγηλάζεις,
ὅν_περ ἐγὼν ὀχέεσκον ὑπ' αὐγὰς ἠελίοιο.
Ζηνὸς μὲν παῖς ἦα Κρονίονος, αὐτὰρ ὀϊζὺν
εἶχον ἀπειρεσίην· μάλα γὰρ πολὺ χείρονι φωτὶ
δεδμήμην, ὁ δέ μοι χαλεποὺς ἐπετέλλετ' ἀέθλους.
καί ποτέ μ' ἐνθάδ' ἔπεμψε κύν' ἄξοντ'· οὐ γὰρ ἔτ' ἄλλον
φράζετο τοῦδέ γέ μοι κρατερώτερον εἶναι ἄεθλον.
τὸν μὲν ἐγὼν ἀνένεικα καὶ ἤγαγον ἐξ Ἀΐδαο·
Ἑρμείας δέ μ' ἔπεμπεν ἰδὲ γλαυκῶπις Ἀθήνη." **Herakles**
"εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ, Ἀχιλλεῦ. **23.69**
οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος.
θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω·
τῆλε μ' εἴργουσι ψυχαί, εἴδωλα καμόντων,
οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν,
ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ.
καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι· οὐ γὰρ ἔτ' αὖτις
νίσομαι ἐξ Ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε.
οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰς ἑζόμενοι βουλεύσομεν, ἀλλ' ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερή, ἥ_περ λάχε γεινόμενόν περ·
καὶ δὲ σοὶ αὐτῶι μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
τείχει ὕπο Τρώων εὐηφενέων ἀπολέσθαι.

ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι, αἴ κε πίθηαι·
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ,
ἀλλ' ὁμοῦ, ὡς τράφομέν περ ἐν ὑμετέροισι δόμοισιν,
εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
ἤγαγεν ὑμέτερόνδ' ἀνδροκτασίης ὕπο λυγρῆς,
ἤματι τῶι, ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος,
νήπιος, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς·
ἔνθά με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς
ἔτραφέ τ' ἐνδυκέως καὶ σὸν θεράποντ' ὀνόμηνεν·
ὣς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι
Patroklos χρύσεος ἀμφιφορεύς, τόν τοι πόρε πότνια μήτηρ."
24.24 "Ἀτρεΐδη, περὶ μέν σε φάμεν Διὶ τερπικεραύνωι
ἀνδρῶν ἡρώων φίλον ἔμμεναι ἤματα πάντα,
οὕνεκα πολλοῖσίν τε καὶ ἰφθίμοισιν ἄνασσες
δήμωι ἔνι Τρώων, ὅθι πάσχομεν ἄλγε' Ἀχαιοί.
ἦ τ' ἄρα καὶ σοὶ πρῶϊ παραστήσεσθαι ἔμελλεν
Μοῖρ' ὀλοή, τὴν οὔ τις ἀλεύεται ὅς κε γένηται.
ὡς ὄφελες τιμῆς ἀπονήμενος, ἧς περ ἄνασσες,
δήμωι ἔνι Τρώων θάνατον καὶ πότμον ἐπισπεῖν·
τῶι κέν τοι τύμβον μὲν ἐποίησαν Παναχαιοί,
ἠδέ κε καὶ σῶι παιδὶ μέγα κλέος ἤρα' ὀπίσσω·
Achilles νῦν δ' ἄρα σ' οἰκτίστωι θανάτωι εἵμαρτο ἁλῶναι."
24.36 "ὄλβιε Πηλέος υἱέ, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
ὃς θάνες ἐν Τροίηι ἑκὰς Ἄργεος· ἀμφὶ δέ σ' ἄλλοι
κτείνοντο Τρώων καὶ Ἀχαιῶν υἷες ἄριστοι,
μαρνάμενοι περὶ σεῖο· σὺ δ' ἐν στροφάλιγγι κονίης
κεῖσο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνάων.
ἡμεῖς δὲ πρόπαν ἦμαρ ἐμαρνάμεθ'· οὐδέ κε πάμπαν
✦✦ παυσάμεθα πτολέμου, εἰ μὴ Ζεὺς λαίλαπι παῦσεν.
αὐτὰρ ἐπεί σ' ἐπὶ νῆας ἐνείκαμεν ἐκ πολέμοιο,
κάτθεμεν ἐν λεχέεσσι, καθήραντες χρόα καλὸν
ὕδατί τε λιαρῶι καὶ ἀλείφατι· πολλὰ δέ σ' ἀμφὶς
δάκρυα θερμὰ χέον Δαναοὶ κείροντό τε χαίτας.
μήτηρ δ' ἐξ ἁλὸς ἦλθε σὺν ἀθανάτῃς ἁλίῃσιν
✦ ἀγγελίης ἀΐουσα· βοὴ δ' ἐπὶ πόντον ὀρώρει
θεσπεσίη, ὑπὸ δὲ τρόμος ἔλλαβε πάντας Ἀχαιούς·
καί νύ κ' ἀναΐξαντες ἔβαν κοίλας ἐπὶ νῆας,
εἰ μὴ ἀνὴρ κατέρυκε παλαιά τε πολλά τε εἰδώς,
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
ὅ σφιν ἐῢ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
'ἴσχεσθ', Ἀργεῖοι, μὴ φεύγετε, κοῦροι Ἀχαιῶν·
μήτηρ ἐξ ἁλὸς ἥδε σὺν ἀθανάτῃς ἁλίῃσιν
ἔρχεται, οὗ παιδὸς τεθνηότος ἀντιόωσα.'
ὣς ἔφαθ', οἱ δ' ἔσχοντο φόβου μεγάθυμοι Ἀχαιοί·
ἀμφὶ δέ σ' ἔστησαν κοῦραι ἁλίοιο γέροντος
οἴκτρ' ὀλοφυρόμεναι, περὶ δ' ἄμβροτα εἵματα ἕσσαν.
Μοῦσαι δ' ἐννέα πᾶσαι ἀμειβόμεναι ὀπὶ καλῆι
θρήνεον· ἔνθά κεν οὔ τιν' ἀδάκρυτόν γ' ἐνόησας
Ἀργείων· τοῖον γὰρ ἐπώρορε Μοῦσα λίγεια.
ἑπτὰ τε καὶ δέκα μέν σε ὁμῶς νύκτας τε καὶ ἦμαρ
κλαίομεν ἀθάνατοί τε θεοὶ θνητοί τ' ἄνθρωποι·
ὀκτωκαιδεκάτηι δ' ἔδομεν πυρί, πολλὰ δέ σ' ἀμφὶς
μῆλα κατεκτάνομεν μάλα πίονα καὶ ἕλικας βοῦς.
καίεο δ' ἔν τ' ἐσθῆτι θεῶν καὶ ἀλείφατι πολλῶι
καὶ μέλιτι γλυκερῶι· πολλοὶ δ' ἥρωες Ἀχαιοὶ
τεύχεσιν ἐρρώσαντο πυρὴν πέρι καιομένοιο,
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
αὐτὰρ ἐπεὶ δή σε φλὸξ ἤνυσεν Ἡφαίστοιο,
ἠῶθεν δή τοι λέγομεν λεύκ' ὀστέ', Ἀχιλλεῦ,
οἴνωι ἐν ἀκρήτωι καὶ ἀλείφατι· δῶκε δὲ μήτηρ
χρύσεον ἀμφιφορῆα· Διωνύσοιο δὲ δῶρον
φάσκ' ἔμεναι, ἔργον δὲ περικλυτοῦ Ἡφαίστοιο.
ἐν τῶι τοι κεῖται λεύκ' ὀστέα, φαίδιμ' Ἀχιλλεῦ,
μίγδα δὲ Πατρόκλοιο Μενοιτιάδαο θανόντος,
χωρὶς δ' Ἀντιλόχοιο, τὸν ἔξοχα τῖες ἁπάντων
τῶν ἄλλων ἑτάρων μετὰ Πάτροκλόν γε θανόντα.
ἀμφ' αὐτοῖσι δ' ἔπειτα μέγαν καὶ ἀμύμονα τύμβον
χεύαμεν Ἀργείων ἱερὸς στρατὸς αἰχμητάων,
ἀκτῆι ἔπι προὐχούσηι, ἐπὶ πλατεῖ Ἑλλησπόντωι,
ὥς κεν τηλεφανὴς ἐκ ποντόφιν ἀνδράσιν εἴη
τοῖς οἳ νῦν γεγάασι καὶ οἳ μετόπισθεν ἔσονται.
μήτηρ δ' αἰτήσασα θεοὺς περικαλλέ' ἄεθλα
θῆκε μέσωι ἐν ἀγῶνι ἀριστήεσσιν Ἀχαιῶν·
ἤδη μὲν πολέων τάφωι ἀνδρῶν ἀντεβόλησας
ἡρώων, ὅτε κέν ποτ' ἀποφθιμένου βασιλῆος
ζώννυνταί τε νέοι καὶ ἐπεντύνωνται ἄεθλα·
ἀλλά κε κεῖνα μάλιστα ἰδὼν θηήσαο θυμῶι,
οἷ' ἐπὶ σοὶ κατέθηκε θεὰ περικαλλέ' ἄεθλα,
ἀργυρόπεζα Θέτις· μάλα γὰρ φίλος ἦσθα θεοῖσιν.
ὣς σὺ μὲν οὐδὲ θανὼν ὄνομ' ὤλεσας, ἀλλά τοι αἰεὶ
πάντας ἐπ' ἀνθρώπους κλέος ἔσσεται ἐσθλόν, Ἀχιλλεῦ,
αὐτὰρ ἐμοὶ τί τόδ' ἦδος, ἐπεὶ πόλεμον τολύπευσα;
ἐν νόστωι γάρ μοι Ζεὺς μήσατο λυγρὸν ὄλεθρον **Aga-**
Αἰγίσθου ὑπὸ χερσὶ καὶ οὐλομένης ἀλόχοιο." **memnon**
"Ἀμφίμεδον, τί παθόντες ἐρεμνὴν γαῖαν ἔδυτε **24.106**
πάντες κεκριμένοι καὶ ὁμήλικες; οὐδέ κεν ἄλλως
κρινάμενος λέξαιτο κατὰ πτόλιν ἄνδρας ἀρίστους.
ἦ ὔμμ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν,
ὄρσας ἀργαλέους ἀνέμους καὶ κύματα μακρά;
ἦ που ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου
βοῦς περιταμνομένους ἠδ' οἰῶν πώεα καλά,
ἠὲ περὶ πτόλιος μαχεούμενοι ἠδὲ γυναικῶν;
εἰπέ μοι εἰρομένωι· ξεῖνος δέ τοι εὔχομαι εἶναι.
ἦ οὐ μέμνηι ὅτε κεῖσε κατήλυθον ὑμέτερον δῶ,
ὀτρυνέων Ὀδυσῆα σὺν ἀντιθέωι Μενελάωι
Ἴλιον εἰς ἅμ' ἕπεσθαι ἐϋσσέλμων ἐπὶ νηῶν;
μηνὶ δ' ἄρ' οὔλωι πάντα περήσαμεν εὐρέα πόντον, **Aga-**
σπουδῆι παρπεπιθόντες Ὀδυσσῆα πτολίπορθον." **memnon**
"Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον, **24.121**
μέμνημαι τάδε πάντα, διοτρεφές, ὡς ἀγορεύεις·

σοὶ δ' ἐγὼ εὖ μάλα πάντα καὶ ἀτρεκέως καταλέξω,
ἡμετέρου θανάτοιο κακὸν τέλος, οἷον ἐτύχθη.
μνώμεθ' Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα·
ἡ δ' οὔτ' ἠρνεῖτο στυγερὸν γάμον οὔτ' ἐτελεύτα,
ἡμῖν φραζομένη θάνατον καὶ κῆρα μέλαιναν.
ἀλλὰ δόλον τόνδ' ἄλλον ἐνὶ φρεσὶ μερμήριξεν·
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινεν,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' ἡμῖν μετέειπεν·
'κοῦροι ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
ἐκτελέσω — μή μοι μεταμώνια νήματ' ὄληται —
Λαέρτηι ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
Μοῖρ' ὀλοὴ καθέλησι τανηλεγέος θανάτοιο,
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσηι,
αἴ κεν ἄτερ σπείρου κεῖται πολλὰ κτεατίσσας.'
ὣς ἔφαθ', ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστὸν,
νύκτας δ' ἀλλύεσκεν, ἐπεὶ δαΐδας παραθεῖτο.
ὣς τρίετες μὲν ἔληθε δόλωι καὶ ἔπειθεν Ἀχαιούς·
ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι,
μηνῶν φθινόντων, περὶ δ' ἤματα πάντ' ἐτελέσθη,
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ἤιδει,
καὶ τήν γ' ἀλλύουσαν ἐφηύρομεν ἀγλαὸν ἱστόν.
ὣς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ', ὑπ' ἀνάγκης.
εὖθ' ἡ φᾶρος ἔδειξεν, ὑφήνασα μέγαν ἱστὸν,
πλύνασ', ἠελίωι ἐναλίγκιον ἠὲ σελήνηι,
καὶ τότε δή ῥ' Ὀδυσῆα κακός ποθεν ἤγαγε δαίμων
ἀγροῦ ἐπ' ἐσχατιὴν, ὅθι δώματα ναῖε συβώτης.
ἔνθ' ἦλθεν φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
ἐκ Πύλου ἠμαθόεντος ἰὼν σὺν νηῒ μελαίνηι·
τὼ δὲ μνηστῆρσιν θάνατον κακὸν ἀρτύναντε
ἵκοντο προτὶ ἄστυ περικλυτόν, ἤτοι Ὀδυσσεὺς
ὕστερος, αὐτὰρ Τηλέμαχος πρόσθ' ἡγεμόνευεν.
τὸν δὲ συβώτης ἦγε κακὰ χροῒ εἵματ' ἔχοντα,
πτωχῶι λευγαλέωι ἐναλίγκιον ἠδὲ γέροντι
σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο·
οὐδέ τις ἡμείων δύνατο γνῶναι τὸν ἐόντα
ἐξαπίνης προφανέντ', οὐδ' οἳ προγενέστεροι ἦσαν,
ἀλλ' ἔπεσίν τε κακοῖσιν ἐνίσσομεν ἠδὲ βολῆισιν.
αὐτὰρ ὁ τέως ἐτόλμα ἐνὶ μεγάροισιν ἑοῖσιν
βαλλόμενος καὶ ἐνισσόμενος τετληότι θυμῶι·
ἀλλ' ὅτε δή μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο,
σὺν μὲν Τηλεμάχωι περικαλλέα τεύχε' ἀείρας
ἐς θάλαμον κατέθηκε, καὶ ἐκλήϊσεν ὀχῆας·
αὐτὰρ ὁ ἣν ἄλοχον πολυκερδείηισιν ἄνωγεν
τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον,
ἡμῖν αἰνομόροισιν ἀέθλια καὶ φόνου ἀρχήν.
οὐδέ τις ἡμείων δύνατο κρατεροῖο βιοῖο
νευρὴν ἐντανύσαι, πολλὸν δ' ἐπιδευέες ἦμεν.
ἀλλ' ὅτε χεῖρας ἵκανεν Ὀδυσσῆος μέγα τόξον,
ἔνθ' ἡμεῖς μὲν πάντες ὁμοκλέομεν ἐπέεσσιν
τόξον μὴ δόμεναι, μηδ' εἰ μάλα πόλλ' ἀγορεύοι·
Τηλέμαχος δέ μιν οἶος ἐποτρύνων ἐκέλευσεν.
αὐτὰρ ὁ δέξατο χειρὶ πολύτλας δῖος Ὀδυσσεὺς,
ῥηϊδίως δ' ἐτάνυσσε βιὸν, διὰ δ' ἧκε σιδήρου.
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν, ταχέας δ' ἐκχεύατ' ὀϊστοὺς
δεινὸν παπταίνων, βάλε δ' Ἀντίνοον βασιλῆα.
αὐτὰρ ἔπειτ' ἄλλοις ἐφίει βέλεα στονόεντα,
ἄντα τιτυσκόμενος· τοὶ δ' ἀγχηστῖνοι ἔπιπτον.
γνωτὸν δ' ἦν ὅ ῥά τίς σφι θεῶν ἐπιτάρροθος ἦεν·
αὐτίκα γὰρ κατὰ δώματ' ἐπισπόμενοι μένεϊ σφῶι
κτεῖνον ἐπιστροφάδην, τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς
κράτων τυπτομένων, δάπεδον δ' ἅπαν αἵματι θῦεν.
ὣς ἡμεῖς, Ἀγάμεμνον, ἀπωλόμεθ', ὧν ἔτι καὶ νῦν
σώματ' ἀκηδέα κεῖται ἐνὶ μεγάροις Ὀδυσῆος·
οὐ γάρ πω ἴσασι φίλοι κατὰ δώμαθ' ἑκάστου, **Amphi-**
οἵ κ' ἀπονίψαντες μέλανα βρότον ἐξ ὠτειλέων **medon**
κατθέμενοι γοάοιεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων."
"ὄλβιε Λαέρταο πάϊ, πολυμήχαν' Ὀδυσσεῦ, **24.192**
ἦ ἄρα σὺν μεγάληι ἀρετῆι ἐκτήσω ἄκοιτιν.
ὡς ἀγαθαὶ φρένες ἦσαν ἀμύμονι Πηνελοπείηι,
κούρηι Ἰκαρίου· ὡς εὖ μέμνητ' Ὀδυσῆος,
ἀνδρὸς κουριδίου· τῶι οἱ κλέος οὔ ποτ' ὀλεῖται
ἧς ἀρετῆς, τεύξουσι δ' ἐπιχθονίοισιν ἀοιδὴν
ἀθάνατοι χαρίεσσαν ἐχέφρονι Πηνελοπείηι,
οὐχ ὡς Τυνδαρέου κούρη κακὰ μήσατο ἔργα,
κουρίδιον κτείνασα πόσιν, στυγερὴ δέ τ' ἀοιδὴ
ἔσσετ' ἐπ' ἀνθρώπους, χαλεπὴν δέ τε φῆμιν ὀπάσσεν **Aga-**
θηλυτέρηισι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔησιν." **memnon**

Notes

Notes

EXCLUDED (because not in Hades):

23.69 “εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ, Ἀχιλλεῦ.
οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος.
θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω·
τῆλε μ’ ἐέργουσι ψυχαί, εἴδωλα καμόντων,
οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν,
ἀλλ’ αὔτως ἀλάλημαι ἀν’ εὐρυπυλὲς Ἄϊδος δῶ.
καί μοι δὸς τὴν χεῖρ’, ὀλοφύρομαι· οὐ γὰρ ἔτ’ αὖτις
νίσομαι ἐξ Ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε.
οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰς ἑζόμενοι βουλεύσομεν, ἀλλ’ ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερὴ, ἥ_περ λάχε γεινόμενόν περ·
καὶ δὲ σοὶ αὐτῶι μοῖρα, θεοῖς ἐπιείκελ’ Ἀχιλλεῦ,
τείχει ὕπο Τρώων εὐηφενέων ἀπολέσθαι.
ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι, αἴ κε πίθηαι·
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ’, Ἀχιλλεῦ,
ἀλλ’ ὁμοῦ, ὡς_τράφομέν περ ἐν ὑμετέροισι δόμοισιν,
εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ ’Οπόεντος
ἤγαγεν ὑμέτερόνδ’ ἀνδροκτασίης ὕπο λυγρῆς,
ἤματι τῶι, ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος,
νήπιος, οὐκ ἐθέλων, ἀμφ’ ἀστραγάλοισι χολωθείς·
ἔνθά με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς
ἔτραφέ τ’ ἐνδυκέως καὶ σὸν θεράποντ’ ὀνόμηνεν·
ὣς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι
Patroklos χρύσεος ἀμφιφορεὺς, τόν τοι πόρε πότνια μήτ

ODYSSEY ASCENDS FROM START

language: Homeric Greek
copy text: Dindorf (Teubner 1861, 1877)
typeface: Sea Hand Press 20

Selection and arrangement
copyright 2025 Sea Hand Press LLC.

§ FOR ALL WHO LOVE A GOOD BOOKE §

EPICPOEM.ORG 🇺🇸 355 lines 3.0

As some way-faring Man, who wanders o’er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

THE SPOKEN LINES OF THE DEAD IN HADES IN HOMER

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

11.60 "διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἆσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος οἶνος·
Κίρκης δ' ἐν μεγάρωι καταλέγμενος οὐκ ἐνόησα
ἄψορρον καταβῆναι ἰὼν ἐς κλίμακα μακρήν,
◆◆ ἀλλὰ καταντικρὺ τέγεος πέσον· ἐκ δέ μοι αὐχὴν
ἀστραγάλων ἐάγη, ψυχὴ δ' Ἄϊδόσδε κατῆλθεν.
νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων,
πρός τ' ἀλόχου καὶ πατρός, ὅ σ' ἔτρεφε τυτθὸν ἐόντα,
Τηλεμάχου θ', ὃν μοῦνον ἐνὶ μεγάροισιν ἔλειπες·
οἶδα γὰρ ὡς ἐνθένδε κιὼν δόμου ἐξ Ἀΐδαο
νῆσον ἐς Αἰαίην σχήσεις εὐεργέα νῆα·
ἔνθα σ' ἔπειτα, ἄναξ, κέλομαι μνήσασθαι ἐμεῖο·
μή μ' ἄκλαυτον, ἄθαπτον, ἰὼν ὄπιθεν καταλείπειν,
νοσφισθείς, μή τοί τι θεῶν μήνιμα γένωμαι,
ἀλλά με κακκῆαι σὺν τεύχεσιν, ἅσσα μοί ἐστιν,
σῆμά τέ μοι χεῦαι πολιῆς ἐπὶ θινὶ θαλάσσης
ἀνδρὸς δυστήνοιο, καὶ ἐσσομένοισι πυθέσθαι.
ταῦτά τέ μοι τελέσαι πῆξαί τ' ἐπὶ τύμβωι ἐρετμόν,
Elpenor τῶι καὶ ζωὸς ἔρεσσον ἐὼν μετ' ἐμοῖς ἑτάροισιν."
11.92 "διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
τίπτ' αὖτ', ὦ δύστηνε, λιπὼν φάος ἠελίοιο
ἤλυθες, ὄφρα ἴδηις νέκυας καὶ ἀτερπέα χῶρον;
Teir- ἀλλ' ἀποχάζεο βόθρου, ἄπισχε δὲ φάσγανον ὀξύ,
esias αἵματος ὄφρα πίω καί τοι νημερτέα εἴπω."
11.100 "νόστον δίζηαι μελιηδέα, φαίδιμ' Ὀδυσσεῦ·
L1[I] τὸν δέ τοι ἀργαλέον θήσει θεός· οὐ γὰρ ὀΐω
λήσειν Ἐννοσίγαιον, ὅ τοι κότον ἔνθετο θυμῶι,
χωόμενος ὅτι οἱ υἱὸν φίλον ἐξαλάωσας.
ἀλλ' ἔτι μέν κε καὶ ὧς κακά περ πάσχοντες ἵκοισθε,
αἴ κ' ἐθέληις σὸν θυμὸν ἐρυκακέειν καὶ ἑταίρων,
ὁππότε δὴ πρῶτον πελάσηις εὐεργέα νῆα
Θρινακίηι νήσωι, προφυγὼν ἰοειδέα πόντον,
βοσκομένας δ' εὕρητε βόας καὶ ἴφια μῆλα
Ἠελίου, ὃς πάντ' ἐφορᾶι καὶ πάντ' ἐπακούει.
τὰς εἰ μέν κ' ἀσινέας ἐάαις νόστου τε μέδηαι,
καί κεν ἔτ' εἰς Ἰθάκην κακά περ πάσχοντες ἵκοισθε·
εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον
νηΐ τε καὶ ἑτάροις· αὐτὸς δ' εἴ_πέρ κεν ἀλύξηις,
ὀψὲ κακῶς νεῖαι, ὀλέσας ἄπο πάντας ἑταίρους,
νηὸς ἔπ' ἀλλοτρίης· δήεις δ' ἐν πήματα οἴκωι,
ἄνδρας ὑπερφιάλους, οἵ τοι βίοτον κατέδουσιν
μνώμενοι ἀντιθέην ἄλοχον καὶ ἕδνα διδόντες.
ἀλλ' ἦτοι κείνων γε βίας ἀποτείσεαι ἐλθών·
αὐτὰρ ἐπὴν μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσιν
κτείνηις ἠὲ δόλωι ἢ ἀμφαδὸν ὀξέϊ χαλκῶι,
ἔρχεσθαι δὴ ἔπειτα, λαβὼν εὐῆρες ἐρετμόν,
εἰς_ὅ_κε τοὺς ἀφίκηαι οἳ οὐκ ἴσασι θάλασσαν
ἀνέρες, οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν·
οὐδ' ἄρα τοί_γ' ἴσασι νέας φοινικοπαρήιους,
οὐδ' εὐήρε' ἐρετμά, τά τε πτερὰ νηυσὶ πέλονται.
σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές, οὐδέ σε λήσει·
ὁππότε κεν δή τοι ξυμβλήμενος ἄλλος ὁδίτης
φήηι ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμωι ὤμωι,
καὶ τότε δὴ γαίηι πήξας εὐῆρες ἐρετμόν,
ῥέξας ἱερὰ καλὰ Ποσειδάωνι ἄνακτι,
ἀρνειὸν ταῦρόν τε συῶν τ' ἐπιβήτορα κάπρον,
οἴκαδ' ἀποστείχειν ἔρδειν θ' ἱερὰς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
πᾶσι μάλ' ἑξείης· θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῶι
ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ σε πέφνηι
γήραι ὕπο λιπαρῶι ἀρημένον· ἀμφὶ δὲ λαοὶ Teir-
ὄλβιοι ἔσσονται· τὰ δέ τοι νημερτέα εἴρω." esias
"ῥηΐδιόν τοι ἔπος ἐρέω καὶ ἐπὶ φρεσὶ θήσω· 11.146
ὅν_τινα μέν κεν ἐᾶις νεκύων κατατεθνηώτων
αἵματος ἆσσον ἴμεν, ὁ_δέ τοι νημερτὲς ἐνίψει· Teir-
ὧι δέ κ' ἐπιφθονέοις, ὁ_δέ τοι πάλιν εἶσιν ὀπίσσω." esias
"τέκνον ἐμόν, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα 11.155
ζωὸς ἐών; χαλεπὸν δὲ τάδε ζωοῖσιν ὁρᾶσθαι.
μέσσωι γὰρ μεγάλοι ποταμοὶ καὶ δεινὰ ῥέεθρα,
Ὠκεανὸς μὲν πρῶτα, τὸν οὔ_πως ἔστι περῆσαι
πεζὸν ἰόντ', ἢν μή τις ἔχηι εὐεργέα νῆα.
ἦ νῦν δὴ Τροίηθεν ἀλώμενος ἐνθάδ' ἱκάνεις
νηΐ τε καὶ ἑτάροισι πολὺν χρόνον; οὐδέ πω ἦλθες
εἰς Ἰθάκην, οὐδ' εἶδες ἐνὶ μεγάροισι γυναῖκα;" Antiklea
"καὶ λίην κείνη γε μένει τετληότι θυμῶι 11.181
σοῖσιν ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ L2[O]
φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ_χεούσηι.
σὸν δ' οὔ_πω τις ἔχει καλὸν γέρας, ἀλλὰ ἕκηλος
Τηλέμαχος τεμένεα νέμεται καὶ δαῖτας ἐΐσας
δαίνυνται, ἃς ἐπέοικε δικασπόλον ἄνδρ' ἀλεγύνειν·
πάντες γὰρ καλέουσι. πατὴρ δὲ σός αὐτόθι μίμνει
ἀγρῶι, οὐδὲ πόλινδε κατέρχεται. οὐδέ οἱ εὐναὶ
δέμνια καὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα,
ἀλλ' ὅ_γε χεῖμα μὲν εὕδει ὅθι δμῶες ἐνὶ οἴκωι
ἐν κόνι ἄγχι πυρός, κακὰ δὲ χροῒ εἵματα εἷται·
αὐτὰρ ἐπὴν ἔλθηισι θέρος τεθαλυῖά τ' ὀπώρη,
πάντηι οἱ κατὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο
φύλλων κεκλιμένων χθαμαλαὶ βεβλήαται εὐναί·
ἔνθ' ὅ_γε κεῖτ' ἀχέων, μέγα δὲ φρεσὶ πένθος ἀέξει
σὸν νόστον ποθέων· χαλεπὸν δ' ἐπὶ γῆρας ἱκάνει.
οὕτω γὰρ καὶ ἐγὼν ὀλόμην καὶ πότμον ἐπέσπον·
οὔτ' ἐμέ_γ' ἐν μεγάροισιν ἐΰσκοπος Ἰοχέαιρα
οἷς ἀγανοῖσι βέλεσσιν ἐποιχομένη κατέπεφνεν,
οὔτέ τις οὖν μοι νοῦσος ἐπήλυθεν, ἥ_τε μάλιστα
τηκεδόνι στυγερῆι μελέων ἐξείλετο θυμόν·
ἀλλά με σός τε πόθος σά τε μήδεα, φαίδιμ' Ὀδυσσεῦ,
σή τ' ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα." Antiklea
"ὦ μοι, τέκνον ἐμόν, περὶ πάντων κάμμορε φωτῶν, 11.216
οὔ_τί σε Περσεφόνεια, Διὸς θυγάτηρ, ἀπαφίσκει,
ἀλλ' αὕτη δίκη ἐστὶ βροτῶν, ὅτε κέν τε θάνωσιν·

οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσιν,
ἀλλὰ τὰ μέν τε πυρὸς κρατερὸν μένος αἰθομένοιο
δαμνᾶι, ἐπεί κε πρῶτα λίπηι λεύκ' ὀστέα θυμὸς,
ψυχὴ δ' ἠύτ' ὄνειρος ἀποπταμένη πεπότηται.
◆◆ ἀλλὰ φόωσδε τάχιστα λιλαίεο· ταῦτα δὲ πάντα
Antiklea ἴσθ', ἵνα καὶ μετόπισθε τεῆι εἴπηισθα γυναικί."
11.405 "διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
οὔτ' ἐμέ_γ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν
ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀϋτμὴν,
οὔτέ μ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου,
ἀλλά μοι Αἴγισθος τεύξας θάνατόν τε μόρον τε
ἔκτα σὺν οὐλομένηι ἀλόχωι, οἶκόνδε καλέσσας,
δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνηι.
ὣς θάνον οἰκτίστωι θανάτωι· περὶ δ' ἄλλοι ἑταῖροι
νωλεμέως κτείνοντο, σύες ὣς ἀργιόδοντες,
οἵ ῥά τ' ἐν ἀφνειοῦ ἀνδρὸς μέγα δυναμένοιο
ἢ γάμωι ἢ ἐράνωι ἢ εἰλαπίνηι τεθαλυίηι.
ἤδη μὲν πολέων φόνωι ἀνδρῶν ἀντεβόλησα_,
μουνὰξ κτεινομένων καὶ ἐνὶ κρατερῆι ὑσμίνηι·
ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ὀλοφύραο θυμῶι,
ὡς ἀμφὶ κρητῆρα τραπέζας τε πληθούσας
κείμεθ' ἐνὶ μεγάρωι, δάπεδον δ' ἅπαν αἵματι θυῖεν.
οἰκτροτάτην δ' ἤκουσα ὄπα Πριάμοιο θυγατρὸς,
Κασσάνδρης, τὴν κτεῖνε Κλυταιμήστρη δολόμητις
ἀμφ' ἐμοί· αὐτὰρ ἐγὼ ποτὶ γαίηι χεῖρας ἀείρων
βάλλον ἀποθνήισκων περὶ φασγάνωι· ἡ δὲ κυνῶπις
L2[I] νοσφίσατ', οὐδέ μοι ἔτλη ἰόντι περ εἰς Ἀΐδαο
χερσὶ κατ' ὀφθαλμοὺς ἑλέειν σύν τε στόμ' ἐρεῖσαι.
ὣς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικὸς
ἥ_τις δὴ τοιαῦτα μετὰ φρεσὶν ἔργα βάληται·
οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικὲς,
κουριδίωι τεύξασα πόσει φόνον. ἦ_τοι ἔφην γε
ἀσπάσιος παίδεσσιν ἰδὲ δμώεσσιν ἐμοῖσιν
οἴκαδ' ἐλεύσεσθαι· ἡ δ' ἔξοχα λύγρα _ἰδυῖα
Aga- οἷ τε κατ' αἶσχος ἔχευε καὶ ἐσσομένηισιν ὀπίσσω
memnon θηλυτέρηισι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔησιν."
11.441 "τῶι νῦν μή_ποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι·
μηδ' οἱ μῦθον ἅπαντα πιφαυσκέμεν, ὅν κ' εὖ εἰδῆις,
ἀλλὰ τὸ μὲν φάσθαι, τὸ δὲ καὶ κεκρυμμένον εἶναι.
ἀλλ' οὐ σοί γ', Ὀδυσεῦ, φόνος ἔσσεται ἔκ γε γυναικός·
λίην γὰρ πινυτή τε καὶ εὖ φρεσὶ μήδεα οἶδεν
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
ἦ μέν μιν νύμφην γε νέην κατελείπομεν ἡμεῖς
ἐρχόμενοι πόλεμόνδε· πάϊς δέ οἱ ἦν ἐπὶ μαζῶι
νήπιος, ὅς που νῦν γε μετ' ἀνδρῶν ἵζει ἀριθμῶι,
ὄλβιος· ἦ γὰρ τόν γε πατὴρ φίλος ὄψεται ἐλθὼν,
καὶ κεῖνος πατέρα προσπτύξεται, ἣ θέμις ἐστίν.
ἡ δ' ἐμὴ οὐδέ περ υἷος ἐνιπλησθῆναι ἄκοιτις
ὀφθαλμοῖσιν ἔασε· πάρος δέ με πέφνε καὶ αὐτόν.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
κρύβδην, μηδ' ἀναφανδὰ, φίλην ἐς πατρίδα γαῖαν
νῆα κατισχέμεναι· ἐπεὶ οὐκέτι πιστὰ γυναιξίν.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἴ που ἔτι ζώοντος ἀκούετε παιδὸς ἐμοῖο,
ἤ που ἐν Ὀρχομενῶι, ἢ ἐν Πύλωι ἠμαθόεντι
ἤ που πὰρ Μενελάωι ἐνὶ Σπάρτηι εὐρείηι· Aga-
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀρέστης." memnon
"διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, 11.473
σχέτλιε, τίπτ' ἔτι μεῖζον ἐνὶ φρεσὶ μήσεαι ἔργον;
πῶς ἔτλης Ἀϊδόσδε κατελθέμεν, ἔνθά τε νεκροὶ
ἀφραδέες ναίουσι, βροτῶν εἴδωλα καμόντων;" Achilles
"μὴ δή μοι θάνατόν γε παραύδα, φαίδιμ' Ὀδυσσεῦ. 11.488
βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλωι,
ἀνδρὶ πάρ' ἀκλήρωι, ὧι μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.
ἀλλ' ἄγε μοι τοῦ παιδὸς ἀγαυοῦ μῦθον ἐνίσπες,
ἢ ἔπετ' ἐς πόλεμον πρόμος ἔμμεναι ἠὲ καὶ οὐκί.
εἰπὲ δέ μοι, Πηλῆος ἀμύμονος εἴ τι πέπυσσαι,
ἢ ἔτ' ἔχει τιμὴν πολέσιν μετὰ Μυρμιδόνεσσιν,
ἦ μιν ἀτιμάζουσιν ἀν' Ἑλλάδα τε Φθίην τε,
οὕνεκά μιν κατὰ γῆρας ἔχει χεῖράς τε πόδας τε.
οὐ γὰρ ἐγὼν ἐπαρωγὸς ὑπ' αὐγὰς ἠελίοιο,
τοῖος ἐών οἷός ποτ' ἐνὶ Τροίηι εὐρείηι,
πέφνον λαὸν ἄριστον ἀμύνων Ἀργείοισιν.
εἰ τοιόσδ' ἔλθοιμι μίνυνθά περ ἐς πατέρος δῶ,
τῶι κέ τεωι στύξαιμι μένος καὶ χεῖρας ἀάπτους,
οἳ κεῖνον βιόωνται ἐέργουσίν τ' ἀπὸ τιμῆς." Ach. L3[O]
"διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, 11.617
ἆ δείλ', ἦ τινὰ καὶ σὺ κακὸν μόρον ἡγηλάζεις,
ὅν_περ ἐγὼν ὀχέεσκον ὑπ' αὐγὰς ἠελίοιο.
Ζηνὸς μὲν παῖς ἦα Κρονίονος, αὐτὰρ ὀϊζὺν
εἶχον ἀπειρεσίην· μάλα γὰρ πολὺ χείρονι φωτὶ
δεδμήμην, ὁ δέ μοι χαλεποὺς ἐπετέλλετ' ἀέθλους.
καί ποτέ μ' ἐνθάδ' ἔπεμψε κύν' ἄξοντ'· οὐ γὰρ ἔτ' ἄλλον
φράζετο τοῦδέ γέ μοι κρατερώτερον εἶναι ἄεθλον.
τὸν μὲν ἐγὼν ἀνένεικα καὶ ἤγαγον ἐξ Ἀΐδαο·
Ἑρμείας δέ μ' ἔπεμπεν ἰδὲ γλαυκῶπις Ἀθήνη." Herakles
"Ἀτρείδη, περὶ μέν σε φάμεν Διὶ τερπικεραύνωι 24.24
ἀνδρῶν ἡρώων φίλον ἔμμεναι ἤματα πάντα,
οὕνεκα πολλοῖσίν τε καὶ ἰφθίμοισιν ἄνασσες
δήμωι ἔνι Τρώων, ὅθι πάσχομεν ἄλγε' Ἀχαιοί.
ἦ τ' ἄρα καὶ σοὶ πρῶϊ παραστήσεσθαι ἔμελλεν
Μοῖρ' ὀλοή, τὴν οὔτις ἀλεύεται ὅς κε γένηται.
ὡς ὄφελες τιμῆς ἀπονήμενος, ἧς_περ ἄνασσες,
δήμωι ἔνι Τρώων θάνατον καὶ πότμον ἐπισπεῖν·
τῶι κέν τοι τύμβον μὲν ἐποίησαν Παναχαιοί,
ἠδέ κε καὶ σῶι παιδὶ μέγα κλέος ἤρα' ὀπίσσω·
νῦν δ' ἄρα σ' οἰκτίστωι θανάτωι εἵμαρτο ἁλῶναι." Achilles
"ὄλβιε Πηλέος υἱὲ, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ, 24.36
ὃς θάνες ἐν Τροίηι ἑκὰς Ἄργεος· ἀμφὶ δέ σ' ἄλλοι

κτείνοντο Τρώων καὶ Ἀχαιῶν υἷες ἄριστοι,
μαρνάμενοι περὶ σεῖο· σὺ δ' ἐν στροφάλιγγι κονίης
κεῖσο μέγας μεγαλωστὶ, λελασμένος ἱπποσυνάων.
ἡμεῖς δὲ πρόπαν ἦμαρ ἐμαρνάμεθ'· οὐδέ κε πάμπαν
◆◆ παυσάμεθα πτολέμου, εἰ μὴ Ζεὺς λαίλαπι παῦσεν.
αὐτὰρ ἐπεί σ' ἐπὶ νῆας ἐνείκαμεν ἐκ πολέμοιο,
κάτθεμεν ἐν λεχέεσσι, καθήραντες χρόα καλὸν
ὕδατί τε λιαρῶι καὶ ἀλείφατι· πολλὰ δέ σ' ἀμφὶς
δάκρυα θερμὰ χέον Δαναοὶ κείροντό τε χαίτας.
μήτηρ δ' ἐξ ἁλὸς ἦλθε σὺν ἀθανάτηις ἁλίηισιν
◆ ἀγγελίης ἀϊοῦσα· βοὴ δ' ἐπὶ πόντον ὀρώρει
θεσπεσίη, ὑπὸ δὲ τρόμος ἔλλαβε πάντας Ἀχαιούς·
καί νύ κ' ἀναΐξαντες ἔβαν κοίλας ἐπὶ νῆας,
εἰ μὴ ἀνὴρ κατέρυκε παλαιά τε πολλά τε εἰδὼς,
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
ὅ σφιν ἐΰ_φρονέων ἀγορήσατο καὶ μετέειπεν·
"ἴσχεσθ', Ἀργεῖοι, μὴ φεύγετε, κοῦροι Ἀχαιῶν·
μήτηρ ἐξ ἁλὸς ἥδε σὺν ἀθανάτηις ἁλίηισιν
ἔρχεται, οὗ παιδὸς τεθνηότος ἀντιόωσα.'
ὣς ἔφαθ', οἱ δ' ἔσχοντο φόβου μεγάθυμοι Ἀχαιοί·
ἀμφὶ δέ σ' ἔστησαν κοῦραι ἁλίοιο γέροντος
οἴκτρ' ὀλοφυρόμεναι, περὶ δ' ἄμβροτα εἵματα ἕσσαν.
Μοῦσαι δ' ἐννέα πᾶσαι ἀμειβόμεναι ὀπὶ καλῆι
θρήνεον· ἔνθά κεν οὔ τιν' ἀδάκρυτόν γ' ἐνόησας
Ἀργείων· τοῖον γὰρ ἐπώρορε Μοῦσα λίγεια.
L3[I] ἑπτὰ τε καὶ δέκα μέν σε ὁμῶς νύκτας τε καὶ ἦμαρ
κλαίομεν ἀθάνατοί τε θεοὶ θνητοί τ' ἄνθρωποι·
ὀκτωκαιδεκάτηι δ' ἔδομεν πυρὶ, πολλὰ δέ σ' ἀμφὶς
μῆλα κατεκτάνομεν μάλα πίονα καὶ ἕλικας βοῦς.
καίεο δ' ἔν τ' ἐσθῆτι θεῶν καὶ ἀλείφατι πολλῶι
καὶ μέλιτι γλυκερῶι· πολλοὶ δ' ἥρωες Ἀχαιοὶ
τεύχεσιν ἐρρώσαντο πυρὴν πέρι καιομένοιο,
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
αὐτὰρ ἐπεὶ δή σε φλὸξ ἤνυσεν Ἡφαίστοιο,
ἠῶθεν δή τοι λέγομεν λεύκ' ὀστέ', Ἀχιλλεῦ,
οἴνωι ἐν ἀκρήτωι καὶ ἀλείφατι· δῶκε δὲ μήτηρ
χρύσεον ἀμφιφορῆα· Διωνύσοιο δὲ δῶρον
φάσκ' ἔμεναι, ἔργον δὲ περικλυτοῦ Ἡφαίστοιο.
ἐν τῶι τοι κεῖται λεύκ' ὀστέα, φαίδιμ' Ἀχιλλεῦ,
μίγδα δὲ Πατρόκλοιο Μενοιτιάδαο θανόντος,
χωρὶς δ' Ἀντιλόχοιο, τὸν ἔξοχα τῖες ἁπάντων
τῶν ἄλλων ἑτάρων μετὰ Πάτροκλόν γε θανόντα.
ἀμφ' αὐτοῖσι δ' ἔπειτα μέγαν καὶ ἀμύμονα τύμβον
χεύαμεν Ἀργείων ἱερὸς στρατὸς αἰχμητάων,
ἀκτῆι ἔπι προὐχούσηι, ἐπὶ πλατεῖ Ἑλλησπόντωι,
ὥς κεν τηλεφανὴς ἐκ ποντόφιν ἀνδράσιν εἴη
τοῖς οἳ νῦν γεγάασι καὶ οἳ μετόπισθεν ἔσονται.
μήτηρ δ' αἰτήσασα θεοὺς περικαλλέ' ἄεθλα
θῆκε μέσωι ἐν ἀγῶνι ἀριστήεσσιν Ἀχαιῶν·
ἤδη μὲν πολέων τάφωι ἀνδρῶν ἀντεβόλησας
ἡρώων, ὅτε κέν ποτ' ἀποφθιμένου βασιλῆος
ζώννυνταί τε νέοι καὶ ἐπεντύνωνται ἄεθλα·
ἀλλά κε κεῖνα μάλιστα ἰδὼν θηήσαο θυμῶι,
οἷ' ἐπὶ σοὶ κατέθηκε θεὰ περικαλλέ' ἄεθλα,
ἀργυρόπεζα Θέτις· μάλα γὰρ φίλος ἦσθα θεοῖσιν.
ὣς σὺ μὲν οὐδὲ θανὼν ὄνομ' ὤλεσας, ἀλλά τοι αἰεὶ
πάντας ἐπ' ἀνθρώπους κλέος ἔσσεται ἐσθλὸν, Ἀχιλλεῦ,
αὐτὰρ ἐμοὶ τί τόδ' ἦδος, ἐπεὶ πόλεμον τολύπευσα;
ἐν νόστωι γάρ μοι Ζεὺς μήσατο λυγρὸν ὄλεθρον Aga-
Αἰγίσθου ὑπὸ χερσὶ καὶ οὐλομένης ἀλόχοιο." memnon
"Ἀμφίμεδον, τί παθόντες ἐρεμνὴν γαῖαν ἔδυτε 24.106
πάντες κεκριμένοι καὶ ὁμήλικες; οὐδέ κεν ἄλλως
κρινάμενος λέξαιτο κατὰ πτόλιν ἄνδρας ἀρίστους.
ἦ ὔμμ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν,
ὄρσας ἀργαλέους ἀνέμους καὶ κύματα μακρά;
ἦ που ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου
βοῦς περιταμνομένους ἠδ' οἰῶν πώεα καλὰ,
ἠὲ περὶ πτόλιος μαχεούμενοι ἠδὲ γυναικῶν;
εἰπέ μοι εἰρομένωι· ξεῖνος δέ τοι εὔχομαι εἶναι.
ἦ οὐ μέμνηι ὅτε κεῖσε κατήλυθον ὑμέτερον δῶ,
ὀτρυνέων Ὀδυσῆα σὺν ἀντιθέωι Μενελάωι
Ἴλιον εἰς ἅμ' ἕπεσθαι ἐϋσσέλμων ἐπὶ νηῶν;
μηνὶ δ' ἄρ' οὔλωι πάντα περήσαμεν εὐρέα πόντον, Aga-
σπουδῆι παρπεπιθόντες Ὀδυσσῆα πτολίπορθον." memnon
"Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον, 24.121
μέμνημαι τάδε πάντα, διοτρεφὲς, ὡς ἀγορεύεις· L3[I]
σοὶ δ' ἐγὼ εὖ μάλα πάντα καὶ ἀτρεκέως καταλέξω,
ἡμετέρου θανάτοιο κακὸν τέλος, οἷον ἐτύχθη.
μνώμεθ' Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα·
ἡ δ' οὔτ' ἠρνεῖτο στυγερὸν γάμον οὔτ' ἐτελεύτα,
ἡμῖν φραζομένη θάνατον καὶ κῆρα μέλαιναν.
ἀλλὰ δόλον τόνδ' ἄλλον ἐνὶ φρεσὶ μερμήριξεν·
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινεν,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' ἡμῖν μετέειπεν·
'κοῦροι ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεὺς,
μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
ἐκτελέσω — μή μοι μεταμώνια νήματ' ὄληται —
Λαέρτηι ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
Μοῖρ' ὀλοὴ καθέλησι τανηλεγέος θανάτοιο,
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσηι,
αἴ κεν ἄτερ σπείρου κεῖται πολλὰ κτεατίσσας.'
ὣς ἔφαθ', ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστὸν,
νύκτας δ' ἀλλύεσκεν, ἐπεὶ δαΐδας παραθεῖτο.
ὣς τρίετες μὲν ἔληθε δόλωι καὶ ἔπειθεν Ἀχαιούς·
ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι,
μηνῶν φθινόντων, περὶ δ' ἤματα πάντ' ἐτελέσθη,
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ᾔδει,
καὶ τήν_γ' ἀλλύουσαν ἐφηύρομεν ἀγλαὸν ἱστόν.
ὣς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ', ὑπ' ἀνάγκης.

εὖθ' ἡ φᾶρος ἔδειξεν, ὑφήνασα μέγαν ἱστὸν,
✦ πλύνασ', ἠελίωι ἐναλίγκιον ἠὲ σελήνηι,
καὶ τότε δή ῥ' Ὀδυσῆα κακός ποθεν ἤγαγε δαίμων
ἀγροῦ ἐπ' ἐσχατιὴν, ὅθι δώματα ναῖε συβώτης.
✦✦ ἔνθ' ἦλθεν φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
ἐκ Πύλου ἠμαθόεντος ἰὼν σὺν νηῒ μελαίνηι·
τὼ δὲ μνηστῆρσιν θάνατον κακὸν ἀρτύναντε
ἵκοντο προτὶ ἄστυ περικλυτόν, ἤτοι Ὀδυσσεὺς
ὕστερος, αὐτὰρ Τηλέμαχος πρόσθ' ἡγεμόνευεν.
τὸν δὲ συβώτης ἦγε κακὰ χροῒ εἵματ' ἔχοντα,
πτωχῶι λευγαλέωι ἐναλίγκιον ἠδὲ γέροντι
σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο·
οὐδέ τις ἡμείων δύνατο γνῶναι τὸν ἐόντα
ἐξαπίνης προφανέντ', οὐδ' οἳ προγενέστεροι ἦσαν,
ἀλλ' ἔπεσίν τε κακοῖσιν ἐνίσσομεν ἠδὲ βολῇσιν.
αὐτὰρ ὁ τέως ἐτόλμα ἐνὶ μεγάροισιν ἑοῖσιν
βαλλόμενος καὶ ἐνισσόμενος τετληότι θυμῶι·
ἀλλ' ὅτε δή μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο,
σὺν μὲν Τηλεμάχωι περικαλλέα τεύχε' ἀείρας
ἐς θάλαμον κατέθηκε, καὶ ἐκλήϊσεν ὀχῆας·
αὐτὰρ ὁ ἣν ἄλοχον πολυκερδείῃσιν ἄνωγεν
τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον,
ἡμῖν αἰνομόροισιν ἀέθλια καὶ φόνου ἀρχήν.
οὐδέ τις ἡμείων δύνατο κρατεροῖο βιοῖο
νευρὴν ἐντανύσαι, πολλὸν δ' ἐπιδευέες ἦμεν.
L3[O] ἀλλ' ὅτε χεῖρας ἵκανεν Ὀδυσσῆος μέγα τόξον,
ἔνθ' ἡμεῖς μὲν πάντες ὁμοκλέομεν ἐπέεσσιν
τόξον μὴ δόμεναι, μηδ' εἰ μάλα πόλλ' ἀγορεύοι·
Τηλέμαχος δέ μιν οἶος ἐποτρύνων ἐκέλευσεν.
αὐτὰρ ὁ δέξατο χειρὶ πολύτλας δῖος Ὀδυσσεὺς,
ῥηϊδίως δ' ἐτάνυσσε βιὸν, διὰ δ' ἧκε σιδήρου.
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν, ταχέας δ' ἐκχεύατ' ὀϊστοὺς
δεινὸν παπταίνων, βάλε δ' Ἀντίνοον βασιλῆα.
αὐτὰρ ἔπειτ' ἄλλοις ἐφίει βέλεα στονόεντα,
ἄντα τιτυσκόμενος· τοὶ δ' ἀγχηστῖνοι ἔπιπτον.
γνωτὸν δ' ἦν ὅ ῥά τίς σφι θεῶν ἐπιτάρροθος ἦεν·
αὐτίκα γὰρ κατὰ δώματ' ἐπισπόμενοι μένεϊ σφῶι
κτεῖνον ἐπιστροφάδην, τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς
κράτων τυπτομένων, δάπεδον δ' ἅπαν αἵματι θῦεν.
ὣς ἡμεῖς, Ἀγάμεμνον, ἀπωλόμεθ', ὧν ἔτι καὶ νῦν
σώματ' ἀκηδέα κεῖται ἐνὶ μεγάροις Ὀδυσῆος·
Amphi- οὐ γάρ πω ἴσασι φίλοι κατὰ δώμαθ' ἑκάστου,
medon οἵ κ' ἀπονίψαντες μέλανα βρότον ἐξ ὠτειλέων
κατθέμενοι γοάοιεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων."
24.192 "ὄλβιε Λαέρταο πάϊ, πολυμήχαν' Ὀδυσσεῦ,
ἦ ἄρα σὺν μεγάλῃ ἀρετῇ ἐκτήσω ἄκοιτιν.
ὡς ἀγαθαὶ φρένες ἦσαν ἀμύμονι Πηνελοπείῃ,
κούρῃ Ἰκαρίου· ὡς εὖ μέμνητ' Ὀδυσῆος,
ἀνδρὸς κουριδίου· τῶι οἱ κλέος οὔ ποτ' ὀλεῖται
ἧς ἀρετῆς, τεύξουσι δ' ἐπιχθονίοισιν ἀοιδὴν
ἀθάνατοι χαρίεσσαν ἐχέφρονι Πηνελοπείῃ,
οὐχ ὡς Τυνδαρέου κούρη κακὰ μήσατο ἔργα,
κουρίδιον κτείνασα πόσιν, στυγερὴ δέ τ' ἀοιδὴ
ἔσσετ' ἐπ' ἀνθρώπους, χαλεπὴν δέ τε φῆμιν ὀπάσσεν Aga-
θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν." memnon
L2[I]